
3 1761 07993278 6

W. P. Laird
Reg. Coll.
Cud.



ROBERT LAIRD BORDEN



Septentrio
PONTUS EUXINUS
EUROPAE PARS
PROPONTIS
CHERSONESUS
Hellespontus
Samothrace
Thasus
Lemnus
Tenedos
Chios
Samos
Icaria
Patmus
Leros
Amorgus
Calymna
Astypalæa
Carpathus
Mysia Minor
TROAS
PHRYGIA MINOR
MYSIA MAIOR
MARE AEGAEUM
AEOLIA
LYDIA
CARIA
DORIS
Rhodus
Heraclea
Mariandyni
PAPHLAGONIA
Heneti
Tolistobogii
GALLOGRAECIA
Tectosages
Trocmi
PONTUS GALATICUS
PONTUS POLEMONIACUS
PONTUS CAPPADOCICUS
Chalybes
Tibareni
Sinope
Amisus
Amasia
Ancyra
Nicaea
Prusa
Nicomedia
Olympus M
Hyrcanus Campus
PHRYGIA PROPRIA
MAGNA
Sardes
Philadelphia
Smyrna
Ephesus
Miletus
Halicarnassus
Cnidus
AMYNTAE REGNUM
Garsauria
Sargarausena Præfectura
Argæus Mons
Antitaurus Mons
CAPPADOCIA
ARMENIA MINOR
Mazaca
Cæsarea
Melitene
Iconium
Laodicea
LYCAONIA
ISAURIA
PISIDIA
PAMPHYLIA
CILICIA
CATAONIA
Eleuthero Cilices
Trachea
Taurus Mons
Tarsus
MARE PAMPHYLIUM
MARIS
MEDITERRANEI PARS
CYPRUS
Salamis
Soli
Lapethus
Paphus
MARE SYRUM
SYRIAE PARS
Antiochia
Occidens
Oriens
Meridies
ASIA MINOR
Edinburgh Published by Stirling, Kenney & Co. 1838.

HOMERI ILIAS

GRAECE ET LATINE

EX RECENSIONE ET CUM NOTIS

SAMUELIS CLARKE, S.T.P.

Ὅμηρος —— λέξει καὶ διανοίᾳ ὑπερβέβληκε,
Aristot. de Poëtic. Cap. 24.

Hic omnes sine dubio, et in omni genere eloquentiae, procul à se reliquit. *Quinctilian. Lib.* X. *cap.* 1.

NOVA EDITIO.

TOM. II.

LONDINI:

IMPENSIS J. DUNCAN; WHITTAKER & SOC.; G. COWIE & SOC.; SIMPKIN, MARSHALL, & SOC.; T. ALLMAN; R. PRIESTLY; W. EDWARDS; W. S. ORR, & SOC.:—EDINBURGI, STIRLING, KENNEY, & SOC.:—EBORACI, WILSON & FIL:—DERBIÆ, H. MOZLEY:—DUBLINI, J. CUMMING.

MDCCCXXXVIII



Excudebat DUNCANUS STEVENSON,
Academiæ Edinensis Typographus.

PRÆFATIO.

Ut operis instituti ratio uno aspectu aperiatur, Lectorem haec paucis in antecessum monitum velim.

Primò, Iliada hîc *graecè* quàm emendatissimam emitti: Et, si quibus in locis, paucis quidem illis, sed quibuscunque in locis à Vulgatis discessum sit; in Annotationibus, quâ id ratione factum sit, singulatim esse expositum.

In graecis *latinè reddendis*, (quam quidem interpretationem maximâ ex parte correctam, parte aliquâ jam denuò compositam dedimus,) latinitatem adhibitam, non elegantem utique et venustam, sed ita Romanam, ut verbis verba, quoad ejus fieri posset, singulis singula ex ordine responderent, graecis latina. Quin et *Explementa* quae vulgò existimantur *Versuum*, quam in *Sententiâ explendâ* vim habeant, propriam quaeque et suam, in permultis ut nequeat non sentire Lector, diligenter effectum.

In *Annotationibus* ea ferè adjecta, quae vel ad Poëtae *artem aperiendam*, vel ad orationis *ornamenta* particulatim *commonstranda*, vel ad *sententiam illustrandam* praesertim facere viderentur. Quanquam hâc quidem postremâ in parte haud multum erat locandum operis, cùm Homericae eloquentiae et perpetua et singularis virtus sit *perspicuitas* in carminibus ornatissimis tanta, quantam nè in soluto quidem scribendi genere unquam assequutus est quisquam.

Cui à rebus magnis seriisque minus est otii, ex locis innumeris ea, quae sequuntur, consulere poterit.

De *vi* elegantissimâ *vocularum* quarundam, quae vulgò *Versum*, non *Sententiam*, *explere* sunt creditae: lib. ά, ver. 6, 56, 308. β', 1, 158. έ, 249, 273, 287, 303. ζ', 323, 418. θ', 53, 558. κ', 204, 509.

De *Temporum ratione*, quam in linguâ *Romanâ* paucissimi, in *Graecâ* nescio an quisquam satis accuratè tradiderit: ά, 37. γ', 141. δ', 492. έ, 587. ζ', 124. θ', 322. κ', 186.

De *prosodiâ*, et *licentiâ* (quam appellant) *Poëticâ*, vulgò minùs intellectâ: ά, 20, 51, 67, 140, 265, 314, 338. β', 43, 314, 537, 811. γ', 151, 260, 385. δ', 42. έ, 61, 117, 487, 708. ζ', 434. ί, 378.

De *usu* elegantiori *Verborum* quorundam rariùs observatio: ά, 528, 593. β', 269. έ, 769, 778. ή, 161, 216. θ', 156, 520. κ', 560.

De numeri *Dualis* usu et ratione perperàm à Grammaticis fictâ: ά, 566, 567. β', 288. έ, 487, 778. ί, 67, 182.

De loquendi ratione eâ, quae ineptè *Antiptosis* dici solet: β', 353, 681. γ', 211. ζ', 396, 510. κ', 224, 437.

De locis quibusdam *emendandis:* ά, 20, 340, 395, 566. β', 426. γ', 39. δ', 42, 242. έ, 487. κ', 268, 299. λ', 732.

De versûs *Numeris* rem *ipsam* depingentibus, et orationibus *personam* mirè condecentibus: ά, 436. β', 102. γ', 357, 363. ζ', 510. ή, 157. ί, 210, 551. λ', 687, 697, 766.

De *Accentuum* ratione quâdam, rariùs observatâ: β', 267, 314.

Levia quidem haec, et parvi fortè, si per se spectentur, momenti. Sed ex elementis constant, ex principiis oriuntur, omnia: Et ex judicii consuetudine in rebus *minutis* adhibitâ, pendet saepissimè etiam in *maximis* vera atque accurata Scientia.

*** De hâc Iliadis editione Clarkianâ te, Benevole Lector, uno verbo monitum quoque velim. In eam prelo subjiciendo præcautum est ut schedae summâ curâ recensitæ, et ad exemplaria Grenvelliana et Heyniana diligentèr collata castigatæ essent. Editoribus igitur ejus meritis confisis ne scrupulus quidem est, quin eam studiosis commendent, ut ex omni parte suo patrocinio dignam. Vale.

G. D

Ex Prelo Academ. Edin.
Cal. Septem. MDCCCXXV.

ΤΗΣ

ΟΜΗΡΟΥ ΙΛΙΑΔΟΣ

ῬΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ Ν΄.

Ὑπόθεσις τῆς ὉΜΗΡΟΥ ῥαψῳδίας Ν΄.

ΠΟΣΕΙΔΩ͂Ν, νικωμένους ἐλεῶν τοὺς Ἕλληνας, ὁμοιοῦται Κάλχαντι, καὶ ἀμφοτέρους τοὺς Αἴαντας παρορμᾷ, ἔπειτα δὲ καὶ τοὺς ἄλλους· μετὰ ταῦτα Ἰδομενεὺς ἀριστεύει, καὶ ἀναιρεῖ Ὀθρυονέα, καί τινας ἄλλους· πολλοὶ δὲ καὶ αὐτῶν ἀναιροῦνται. Τιτρώσκονται δὲ Δηΐφοβος καὶ Ἕλενος· τοὺς δὲ ὑπηκόους συναγαγὼν Ἕκτωρ ἐπάγει τοῖς πολεμίοις, καὶ μεγάλως ἀμφοτέρωθεν ἀναιροῦνται.

Ἄ Λ Λ Η.

ΔΙΑῤῬΗ͂ΞΑΣ τὰς πύλας τοῦ τείχους τῶν Ἑλλήνων Ἕκτωρ, μετὰ βάρους τε εἰσελθὼν, εἰς φυγὴν αὐτοὺς τρέπει· καὶ Ζεὺς μὲν, ἀποστρέψας τὰς ὄψεις ἐπὶ τὰ πέρατα τῆς γῆς, ἀλλοφύλους θεωρεῖ ἀνθρώπους. Ποσειδῶν δὲ καθεζόμενος ἐπὶ Σαμοθράκης, θεασάμενος ἡττημένους τοὺς Ἕλληνας, παραγίγνεται εἰς Αἰγὰς, ἔνθα ἦν αὐτῷ τέμενος· λαβὼν δὲ συνήθη κόσμον, καὶ ὑποζεύξας ἵππους, παραγίγνεται εἰς τὸ πεδίον· καὶ τὸ μὲν ἅρμα καθιστᾷ ἐν τῷ πελάγει, αὐτὸς δὲ, ὁμοιωθεὶς Κάλχαντι, παρορμᾷ τοὺς ἀρίστους τῶν Ἑλλήνων· οἳ καὶ τρόπον τινὰ ἐμπνευσθέντες παρὰ τοῦ θεοῦ, γενναίως ἀγωνίζονται· ἐν οἷς καὶ Ἰδομενεὺς καὶ Μηριόνης εὐδοκιμοῦσι. Συμβολῆς δὲ γενομένης, ἑκατέρων τῶν στρατευμάτων ἐξαίσιος βοὴ αἴρεται.

Ἐπιγραφαί.

Ἡ ἐπὶ ταῖς ναυσὶ μάχη.

Ἄλλως.

Νῦ δ', ἐπὶ νηυσὶ μάχῃ Δαναοῖς ἤμυνε Ποσειδῶν.

Ἄλλη.

Νῦ δὲ, Ποσειδάων Δαναοῖς κράτος ὤπασε λαθρη.

ΖΕΥ͂Σ δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσε,
Τοὺς μὲν ἔα παρὰ τῆσι πόνον τ' ἐχέμεν καὶ ὀϊζὺν
Νωλεμέως· αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινὼ,

JUPITER verò postquam Troasque et Hectorem navibus admovisset,
Eos quidem reliquit ad illas, laboremque ut-ferrent et ærumnas
Indesinentèr; ipse autem retrò vertit oculos fulgidos,

Ver. 1. —— ἐπεὶ οὖν.] *Quoniam, ut dictum est*——. Nempè, libro superiori, *ver.* ult.

Ibid. —— πέλασσε.] Ita jam scribendum, necessariò; quia πέλασε secundam corripit. Dubitari tamen potest, utrumne Græci Antiquiores isto modo scripserint. Nam quum

Νόσφιν ἐφ' ἱπποπόλων Θρηκῶν καθορώμενος αἶαν,
Μυσῶν τ' ἀγχεμάχων, καὶ ἀγαυῶν Ἱππημολγῶν,
Γλακτοφάγων, ἀβίων τε, δικαιοτάτων ἀνθρώπων·
Ἐς Τροίην δ' οὐ πάμπαν ἔτι τρέπεν ὄσσε φαεινώ·
Οὐ γὰρ ὅγ' ἀθανάτων τιν' ἐέλπετο ὃν κατὰ θυμὸν
Ἐλθόντ', ἢ Τρώεσσιν ἀρηγέμεν, ἢ Δαναοῖσιν.
  Οὐδ' ἀλαοσκοπιὴν εἶχε κρείων Ἐνοσίχθων·
Καὶ γὰρ ὁ θαυμάζων ἧστο πτόλεμόν τε μάχην τε
Ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑλῆέσσης,
Θρηϊκίης· ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη,
Φαίνετο δὲ Πριάμοιο πόλις, καὶ νῆες Ἀχαιῶν.
Ἔνθ' ἄρ' ὅγ' ἐξ ἁλὸς ἕζετ' ἰὼν, ἐλέαιρε δ' Ἀχαιοὺς
Τρωσὶν δαμναμένους, Διῒ δὲ κρατερῶς ἐνεμέσσα.
Αὐτίκα δ' ἐξ ὄρεος κατεβήσατο παιπαλόεντος,
Κραιπνὰ ποσὶ προβιβάς· τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη

Seorsùm equestrium Thracum intuens terram,
Mysorumque cominùs-pugnantium, et illustrium Hippomolgorum,
Lacte-victitantium [*pauperum*] longaevorumque, justissimorum hominum;
Ad Trojam autem non omninò ampliùs vertebat oculos fulgidos:
Non enim ille immortalium quemquam existimabat suo in animo
Profectum, vel Trojanis auxiliaturum, vel Danais.
Neque *verò* caecam-speculationem agebat rex Neptunus:
Etenim hìc spectans sedebat bellumque pugnamque
Altè super summum verticem Sami sylvosae,
Threïciae: inde enim conspiciebatur tota quidem Ida,
Conspiciebatur et Priami urbs, et naves Achivorum.
Illic *utique* is è mari sedebat egressus, miserabatur autem Achivos
A Trojanis domitos, Jovique graviter succensebat.
Protinùs itaque de monte descendit praerupto,
Rapidè pedibus progressus: tremebant autem montes alti et sylva

---

σ, *suæ potestatis literam* dixerunt; haud scio an hoc sibi voluerint: literas ζ, ξ, ψ, necessariò quidem *duplices* esse; consonantium reliquas omnes, *simplices*; unicam autem σ, istiusmodi esse, ut *permultis* in locis, ac *præcipuè* in Verborum Aoristis, *simplex*, *duplex*ve ex æquo pronuntiari possit.

Ver. 4. Νόσφιν.] Vide suprà ad ά, 349.

Ver. 5. —— ἀγαυῶν Ἱππημολγῶν —— ἀβίων τε.] *Al.* Ἀγαύων ἱππημολγῶν. —— Ἀβίων τε. Quique ἀβίων scribunt, eorum alii intelligunt (notante *Eustathio*) ὀλιγοβίους, sive εὐτελεῖς καὶ ἁπλοῦς· alii, τοὺς ἅμα βίῳ πορευομένους, ὡς ἁμαξοβίους· alii, τοὺς ἅμα βίῳ, τουτέστι τόξῳ, πορευομένους· alii, ἐλευθέρους, ὅτι βίαν οὐκ οἴδασιν· alii, ἀοίκους· alii, μακροβίους· alii, πολυβίους, ὅ ἐστιν, ἀνδρείους. Homeri, credo, temporibus nihil hîc ambigui. *Strabo* interpretatur, ἀνεστίους, ἁμαξοικοὺς, ἀπ' ὀλίγων εὐτελῶς ζῶντας, κοινὰ κεκτημένους πάντα, sine πολυτελείᾳ καὶ καπηλείᾳ. *Lib.* VII, *p.* 455. 460. 461.

Ver. 8. — ἀθανάτων.] Vide suprà ad ά, 398.

Ver. 9. — ἀρηγέμεν.] Ἀρηξέμεν, Codex *Harleianus* à viro erudito *Tho. Bentleio* collatus.

Ver. 11. —— πτόλεμόν τε μάχην τε.] Vide suprà ad ή, 232. 279.

Ver. 12. — ὑληέσσης.] Vide suprà ad γ', 151.

Ver. 13. —— ἔνθεν γὰρ ἐφαίνετο πᾶσα.]
—— unde omnis Troja videri,
Et Danaûm solitæ naves, et Achaïca castra.
Æn. II, 461.

Ver. 15. Ἔνθ' ἄρ'.] *Illic utique*——.

Ibid. —— ἐλέαιρε δ' Ἀχαιοὺς —— Διῒ δὲ —— ἐνεμέσσα.] Ἀσύστατον hoc existimavit *Spondanus*, cum eo quòd dixerat *Neptunus* suprà, θ', 210. Οὐκ ἂν ἔγωγ' ἐθέλοιμι——. Sed mentem Poëtæ minùs cepit vir eruditus. *Illic* nimirùm in *campo*, longiùs à *mari*, pugnabatur: *Hîc* ad usque naves repulsi, *marique* ipso coërciti Achivi, necessitate coacti dimicabant.

Ver. 18. —— τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη.] Πολὺ δὲ——ἀμείνω τὰ,——οῖα (πολλοῖς δὲ πρὸ

Ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος.
Τρὶς μὲν ὀρέξατ' ἰὼν· τὸ δὲ τέτρατον, ἵκετο τέκμωρ,
Αἰγάς· ἔνθα δέ οἱ κλυτὰ δώματα βένθεσι λίμνης,
Χρύσεα, μαρμαίροντα τετεύχαται, ἄφθιτα αἰεί.
Ἔνθ' ἐλθὼν, ὑπ' ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω,
Ὠκυπέτα, χρυσέῃσιν ἐθείρῃσιν κομόωντε.
Χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ· γέντο δ' ἱμάσθλην
Χρυσείην, εὔτυκτον, ἑοῦ δ' ἐπεβήσατο δίφρου·
Βῆ δ' ἐλάαν ἐπὶ κύματ'· ἄταλλε δὲ κήτε' ὑπ' αὐτῷ
Πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησεν ἄνακτα·
Γηθοσύνῃ δὲ θάλασσα διΐστατο· τοὶ δ' ἐπέτοντο
Ῥίμφα μάλ', οὐδ' ὑπένερθε διαίνετο χάλκεος ἄξων·
Τὸν δ' ἐς Ἀχαιῶν νῆας ἐΰσκαρθμοι φέρον ἵπποι.
Ἔστι δέ τι σπέος εὐρὺ βαθείης βένθεσι λίμνης,
Μεσσηγὺς Τενέδοιο καὶ Ἴμβρου παιπαλοέσσης·
Ἔνθ' ἵππους ἔστησε Ποσειδάων ἐνοσίχθων,

Pedibus sub immortalibus Neptuni incedentis.
Ter quidem protendit gressum, quarto autem *passu* pervenit ad-locum-destinatum,
Aegas: Illic scilicèt ei inclytae aedes in imo mari,
Aureae, coruscantes, aedificatae sunt, incorruptibiles semper.
Illuc cùm-venisset, sub curru junxit aeripedes equos,
Celeritèr-volantes, aureis jubis comantes.
Aurum autem ipse induit circum corpus; accepitque scuticam
Auream, scitè-factam, suumque conscendit currum;
Coepitque invehi super undas: exultabant autem cete sub ipso
Undique è latebris, neque non-agnoverunt regem:
Cum laetitiâ etiam mare huc-illuc-diductum-cedebat: Hi itaque volabant
Celeritèr admodùm, neque subtùs madescebat aereus axis:
Hunc autem ad Achivorum naves agiles ferebant equi.
Est autem quaedam specus ampla alti in profundo maris,
Inter Tenedum et Imbrum asperam:
Illic equos stabulare-fecit Neptunus terrae-quassator,

ἡμῶν ὁ τόπος ἐξείργασται) τὰ ἐπὶ τοῦ Ποσειδῶνος· "τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη.——Βῆ δ' ἐλάαν ἐπὶ κύματ'——." *Longinus*, § 9.

Ver. 22. —— τετεύχαται.] *Al.* τετεύχατο. Utrumvis, hoc quidem in loco, rectè constabit.

Ver. 23. —— ὑπ' ὄχεσφι τιτύσκετο—ἵππω.]
Junxit equos curru genitor. *Æn.* V, 817.

Ibid. —— χαλκόποδ'.]
—— Æripedem. *Æn.* VI, 803.

Ver. 24. —— χρυσέῃσιν ἐθείρῃσιν.] Pronuntiabatur χρυσῆσιν. Prima enim corripi non potest; neque in his ulla unquam est Licentia. *Al.* χρυσέοισιν.

Ver. 26. ——— ἐπεβήσατο.] *Al.* ἐπεβήσετο. Itemque *ver.* 17, κατεβήσετο. De quo, vide suprà ad β', 35; et ad έ, 109.

Ver. 27. Βῆ δ' ἐλάαν ἐπὶ κύματ'———]
Vide suprà ad *ver.* 18.

— manibusque omnes effundit habenas.
Cæruleo per summa levis volat æquora curru:
Subsidunt undae, tumidumque sub axe tonanti
Sternitur æquor aquis:———
Tum variæ comitum facies, immania cete.
Æn. V, 818.
Atque rotis summas levibus perlabitur undas. *Æn.* I, 151.

Superiorem hoc in loco *Virgilio Homerum*, nemo negaverit.

Ibid. —— ὑπ' αὐτῷ.] Ὑπ' αὐτοῦ, Cod. *Cantab.* à *Barnesio*, et Codd. *Harleian.* à *Tho. Bentleio* collati.

Ver. 29. Γηθοσύνῃ δὲ θάλασσα.] *Al.* Γηθόσυνη δὲ θάλασσα, *lætum mare.* Quæ et æquè commoda Lectio. Nam γηθόσυνος [*lætus,*] vox Homero non inusitata.

Λύσας ἐξ ὀχέων, παρὰ δ' ἀμβρόσιον βάλεν εἶδαρ
Ἔδμεναι· ἀμφὶ δὲ ποσσὶ πέδας ἔβαλε χρυσείας,
Ἀῤῥήκτους, ἀλύτους, ὄφρ' ἔμπεδον αὖθι μένοιεν
Νοστήσαντα ἄνακτα· ὁ δ' ἐς στρατὸν ᾤχετ' Ἀχαιῶν.
Τρῶες δὲ φλογὶ ἶσοι ἀολλέες, ἠὲ θυέλλῃ,
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτες ἕποντο,
Ἄβρομοι, αὐΐαχοι· ἔλποντο δὲ νῆας Ἀχαιῶν
Αἱρήσειν, κτενέειν δὲ παρ' αὐτόφι πάντας Ἀχαιούς·
Ἀλλὰ Ποσειδάων γαιήοχος, ἐννοσίγαιος,
Ἀργείους ὤτρυνε, βαθείης ἐξ ἁλὸς ἐλθὼν,
Εἰσάμενος Κάλχαντι δέμας καὶ ἀτειρέα φωνήν·
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ·
Αἴαντε, σφῶ μέν κε σαώσετε λαὸν Ἀχαιῶν,
Ἀλκῆς μνησαμένω, μηδὲ κρυεροῖο φόβοιο.
Ἄλλῃ μὲν γὰρ ἔγωγ' οὐ δείδια χεῖρας ἀάπτους
Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ·
Ἕξουσιν γὰρ ἅπαντας ἐϋκνήμιδες Ἀχαιοί·

Solutos curribus, juxtáque divinum posuit pabulum
Ut ederent: circáque pedes pedicas jecit aureas,
Infrangibiles, insolubiles; ut firmitèr illic manerent
Rediturum regem: is autem ad exercitum abiit Achivorum.
Trojani verò flammae pares conferti, sive procellae,
Hectorem Priamidem inexpleto ardore sequebantur,
Magnùm-frementes, clamantesque; sperabant autem naves Achivorum
Capturos *se*, occisurosque ad ipsas omnes Achivos:
Sed Neptunus terram-cingens, terrae-quassator,
Argivos excitabat, profundo è mari egressus,
Cum-se-assimilâsset Chalcanti corpore et indefessâ voce:
Atque Ajaces *quidem* primos allocutus est, promptos-animis etiam per se:
" Ajaces, vos quidem servabitis populum Achivorum,
" Fortitudinis memores, nequaquam autem dirae fugae.
" Alibi enim equidem non timeo manus audaces
" Trojanorum, qui magnum murum transcenderunt turbâ;
" Sustinebunt enim omnes benè-ocreati Achivi:

Ver. 36. — πέδας ἔβαλε χρυσείας.] De eo artificio, quo Poëta versûs sui numeros, verborumque ipsorum Sonum, ad rei dicendæ naturam exegerit; vide suprà ad γ', 363.

Ver. 40. —— Πριαμίδῃ.] Vide suprà ad ά, 398.

Ver. 42. —— παρ' αὐτόφι.] Παρ' αὐτόθι, Cod. *Harleian.* à *Tho. Bentleio* collatus.

Ver. 44. Ἀργείους ὤτρυνε.]
—— animum viresque Latinis
Addidit, et stimulos acres sub pectore vertit. *Æn.* IX, 717.
——— in prœlia sæva
Suscitat, et stimulis haud mollibus incitat iras. *Æn.* XI, 727.

Ver. 45. Εἰσάμενος.] Notandus hîc primarius et maximè proprius *Vocis Mediæ* usus. Vide suprà ad γ', 141.

Ibid. —— δέμας καὶ ἀτειρέα φωνήν.]
Omnia Mercurio similis, vocemque coloremque. *Æn.* IV, 558.

Ver. 46. et suprà, 40. ——— μεμαῶτε.] Quâ analogiâ factum ex βασιλῆος, βασιλέως· ex βασιλῆα, βασιλέα· ex μετήορος, μετέωρος· ex λᾱὸς, λεώς· ex ἵλᾱος, ἵλεως· Μενέλᾱος, Μενέλεως· ex τεθνηότος, τεθνεῶτος· eâdem analogiâ fit ex μεμᾱότες, μεμᾰῶτες. Vide suprà ad ά, 265; ad β', 818; et ad ζ', 464.

Ver. 49. — δείδια.] Vide suprà ad ά, 37.

Τῇ δὲ δὴ αἰνότατον περιδείδια, μήτι πάθωμεν,
Ἧ ῥ' ὅγ' ὁ λυσσώδης, φλογὶ εἴκελος, ἡγεμονεύει
Ἕκτωρ, ὃς Διὸς εὔχετ' ἐρισθενέος πάϊς εἶναι.
Σφῶϊν δ' ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν,
Αὐτώ θ' ἑστάμεναι κρατερῶς, καὶ ἀνωγέμεν ἄλλους·
Τῷ κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ' ἀπὸ νηῶν
Ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει.
Ἦ, καὶ σκηπανίῳ γαιήοχος Ἐννοσίγαιος
Ἀμφοτέρω κεκοπὼς πλῆσεν μένεος κρατεροῖο,
Γυῖα δ' ἔθηκεν ἐλαφρὰ, πόδας καὶ χεῖρας ὕπερθεν.
Αὐτὸς δ', ὥστ' ἴρηξ ὠκύπτερος ὦρτο πέτεσθαι,
Ὅς ῥά τ' ἀπ' αἰγίλιπος πέτρης περιμήκεος ἀρθεὶς
Ὁρμήσει πεδίοιο διώκειν ὄρνεον ἄλλο·
Ὣς ἀπὸ τῶν ἤϊξε Ποσειδάων ἐνοσίχθων.
Τοῖϊν δ' ἔγνω πρόσθεν Ὀϊλῆος ταχὺς Αἴας,
Αἶψα δ' ἄρ' Αἴαντα προσέφη Τελαμώνιον υἱόν·
Αἶαν, ἐπεί τις νῶϊ θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
Μάντεϊ εἰδόμενος κέλεται παρὰ νηυσὶ μάχεσθαι,
Οὐδ' ὅγε Κάλχας ἐστὶ, θεοπρόπος οἰωνιστής·

" Hâc verò *parte* sanè gravissimè timeo, nequid incommodi-accipiamus,
" Quâ hic rabiosus, flammae par, ducit-copias
" Hector, qui Jovis jactat praepotentis filium *se* esse.
" At vobis sic deorum aliquis in mentibus ponat,
" Ut et ipsi stetis fortitèr, et hortemini alios:
" Ita enim, ardentem licèt, repuleritis à navibus
" Velocibus, etiamsi eum Jupiter ipse excitet."
Dixit; et sceptro, terram-cingens Neptunus,
Ambos feriens, implevit robore forti,
Membraque fecit levia, pedes et manus supernè.
Ipse autem, ut accipiter alis-pernix excitatus fuerit ad volandum,
Qui è praeruptâ petrâ excelsâ levatus
Properaverit per planitiem insequi avem alîus-generis:
Sic ab his facto-impetu-abiit Neptunus terrae-quassator.
Ex-ipsis-duobus autem sensit priùs Oïlei *filius* velox Ajax,
Statimque Ajacem allocutus est Telamonium filium:
" Ajax, quoniam aliquis nobis Deorum, qui Olympum habitant,
" Vati assimilatus jubet ad naves pugnare;
" (Neque *enim* hic Calchas est, vates augur;

Ver. 53. Ἧ ῥ' ὅγ'.] *Quâ scilicèt hic, &c.*

Ibid. —— εἴκελος.] Ita restituit *Barnesius*, alibi ex MS. hîc ex conjecturâ. *Al.* ἴκελος. Quod primam corripit.

Ver. 60. —— κεκοπὼς.] *Al.* κεκοφώς.

Ibid. —— πλῆσεν μένεος κρατεροῖο.] Vide suprà ad *ver*. 44.

Ver. 62. — ὥστ' ἴρηξ.] Ἰωνικῶς ψιλοῦται, εἰ καὶ τὸ ἱέραξ δασύνεται. *Eustath.*

Quam facilè accipiter saxo sacer ales ab alto
Consequitur pennis sublimem in nube columbam. *Æn*. XI, 721.

Ver. 67. Αἶψα δ' ἄρ'.] *Statimque adeò; Statimque proinde.*

Ver. 68. — ἐπεί τις.] " Hæc oratio," inquit *Spondanus*, " est μείουρος. Nihil enim subjici-" tur, quod fit hujus initii ἀπόδοσις." Non vidit nimirùm vir eruditus, versus 70, 71 et 72. Parenthesi includendos; ἀπόδοσινque ab istis demùm verbis incipere, Καὶ δ' ἐμοὶ αὐτῷ, &c.

Ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων
Ῥεῖ᾽ ἔγνων ἀπιόντος· ἀρίγνωτοι δὲ θεοί περ·
Καὶ δ᾽ ἐμοὶ αὐτῷ θυμὸς ἐνὶ στήθεσσι φίλοισι
Μᾶλλον ἐφορμᾶται πολεμίζειν ἠδὲ μάχεσθαι,
Μαιμώωσι δ᾽ ἔνερθε πόδες καὶ χεῖρες ὕπερθεν.
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας·
Οὕτω νῦν καὶ ἐμοὶ περὶ δούρατι χεῖρες ἄαπτοι
Μαιμῶσιν, καί μοι μένος ὤρορε, νέρθε δὲ ποσσὶν
Ἔσσυμαι ἀμφοτέροισι· μενοινώω δὲ καὶ οἶος
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτι μάχεσθαι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
Χάρμῃ γηθόσυνοι, τήν σφιν θεὸς ἔμβαλε θυμῷ.
Τόφρα δὲ τοὺς ὄπιθεν Γαιήοχος ὦρσεν Ἀχαιοὺς,
Οἳ παρὰ νηυσὶ θοῇσιν ἀνέψυχον φίλον ἦτορ·
Τῶν ῥ᾽ ἅμα τ᾽ ἀργαλέῳ καμάτῳ φίλα γυῖα λέλυντο,
Καί σφιν ἄχος κατὰ θυμὸν ἐγίνετο, δερκομένοισι

" Vestigia quippe retrò pedum et tibiarum
" Facilè cognovi abeuntis: facilè utique dignoscuntur dii:)
" Continuò etiam mihi ipsi animus in pectoribus meis
" Magis excitatus est ad pugnandum atque proeliandum;
" Pugnamque-appetunt-gestientes subtus pedes, et manus supernè."
Hunc autem respondens allocutus est Telamonius Ajax:
" Sic nunc et mihi circa hastam manus audaces
" Gestiunt, et mihi animus erectus est; subtusque pedibus
" Sentio me-impulsum ambobus: animo verò incitato cupio vel solus
" Cum Hectore Priamide inexpletùm ardenti pugnare."
Sic hi quidem talia inter se dicebant,
Pugnae-studio laeti, quod ipsis deus immiserat animo.
Interim autem postremos Neptunus excitabat Achivos,
Qui ad naves veloces reficiebant suum animum:
Quorum utique simul gravique labore sibi *defessa* membra soluta erant,
Simulque ipsis dolor in animo oriebatur, aspicientibus

Ver. 71. Ἴχνια γὰρ μετόπισθε ποδῶν.]
— avertens roseâ cervice refulsit:—
—— pedes vestis defluxit ad imos,
Et vera incessu patuit Dea.———
Æn. I, 406.
Mortales medio aspectus sermone reliquit,
Et procul in tenuem ex oculis evanuit auram:
Agnovere Deum proceres.———
Æn. IX, 657.

Ver. 74. ——— πολεμίζειν ἠδὲ μάχεσθαι.] Vide suprà ad ή, 232, 279.

Ver. 78. —— ὤρορε.] *Schol.* Ὥρμηται, ἐρμᾶται· ὑπερβιβασμὸς χρόνου. Quæ quàm inepta sit observatio, vide suprà ad ά, 37.

Ver. 79. —— μενοινώω δὲ καὶ οἶος.]
Audeo, et Æneadûm promitto occurrere turmæ,
Solaque Tyrrhenos equites ire obvia contra.
Æn. XI, 503.

Ver. 83. Τόφρα δὲ.] *Barnesius* edidit Τόφραδε· et τὸ, "Δὲ," inquit, παρέλκει. Ineptè admodùm, et contra omnem linguæ Græcæ analogiam.

Ver. 84. Οἳ——— ἀνέψυχον.] *Al.* ἀνέψυχθεν· Quod et comprobat *Barnesius*, ex κ′, 575. Atqui ea vox hoc in loco sententiam planè perimeret. Aliud enim est, quod istic dicitur, *recreati sunt;* aliud, quod hîc, *recreabantur.* Indicat nimirùm *Tempus illud*, quod appellant Grammatici, *imperfectum*, spatium aliquod temporis *productius* inter agendum; quá de causá aptè à Græcis appellatur παρατατικός. Vide suprà ad ά, 37.

Ver. 85. Τῶν ῥ᾽.] *Quorum scilicèt; quorum utique*———.

Τρῶας, τοὶ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ·
Τοὺς οἵγ᾽ εἰσορόωντες, ὑπ᾽ ὀφρύσι δάκρυα λεῖβον·
Οὐ γὰρ ἔφαν φεύξεσθαι ὑπ᾽ ἐκ κακοῦ· ἀλλ᾽ Ἐνοσίχθων
Ῥεῖα μετεισάμενος κρατερὰς ὤτρυνε φάλαγγας.
Τεῦκρον ἐπὶ πρῶτον καὶ Λήϊτον ἦλθε κελεύων,
Πηνέλεών θ᾽ ἥρωα, Θόαντά τε, Δηΐπυρόν τε,
Μηριόνην τε, καὶ Ἀντίλοχον, μήστωρας ἀϋτῆς·
Τοὺς ὅγ᾽ ἐποτρύνων, ἔπεα πτερόεντα προσηύδα·
Αἰδὼς, Ἀργεῖοι, κοῦροι νέοι· ὔμμιν ἔγωγε
Μαρναμένοισι πέποιθα σαωσέμεναι νέας ἁμάς·
Εἰ δ᾽ ὑμεῖς πολέμοιο μεθήσετε λευγαλέοιο,
Νῦν δὴ εἴδεται ἦμαρ, ὑπὸ Τρώεσσι δαμῆναι.
Ὦ πόποι, ἦ μέγα θαῦμα τόδ᾽ ὀφθαλμοῖσιν ὁρῶμαι,
Δεινὸν, ὃ οὔποτ᾽ ἔγωγε τελευτήσεσθαι ἔφασκον,
Τρῶας ἐφ᾽ ἡμετέρας ἰέναι νέας· οἳ τοπάρος περ
Φυζακινῇς ἐλάφοισιν ἐοίκεσαν, αἵτε καθ᾽ ὕλην
Θώων, πορδαλίων τε, λύκων τ᾽ ἤϊα πέλονται,

Trojanos, qui magnum murum transcenderant cum tumultu:
Hos illi scilicèt inspicientes, sub superciliis lachrymas fundebant;
Non enim putabant *se* effugituros perniciem: sed Neptunus
Facilè interventu-suo fortes concitavit phalangas.
Atque ad Teucrum *quidem* primùm et Leïtum venit hortans,
Peneleumque heroëm, Thoantemque, Deïpyrumque,
Merionemque, et Antilochum, peritos pugnae:
Hos ille incitans, verbis alatis allocutus est:
" *Proh*, pudor, Argivi, juvenes adolescentes: vobis ego
" Pugnantibus confido salvas fore naves nostras:
" Si verò vos pugnam detrectabitis gravem,
" Jam nunc certè illuxit dies, quo à Trojanis domabimur.
" O dii, profectò ingens miraculum hoc oculis video,
" Indignum, quod nunquam ego eventurum putabam,
" Trojanos ad nostras accedere naves; qui priùs
" Fugacibus cervis similes erant, quae per sylvam
" Thoum, pardaliumque, luporumque escae sunt,

Ver. 90. Ῥεῖα μετεισάμενος.] *Facilè se inferens, facilè humanâ specie interveniens.*

Ver. 94. ——— πτερόεντα.]

——————— *verbis*
Quæ tutò tibi magna *volant*.
Æn. XI, 380.

Ver. 96. —— πέποιθα.] Malè hîc Interpretes, *confidebam*. Nihil enim aliud Græcè sonat πέποιθα, quàm quod Latinè *confido*.

—— πεποίθασίν τε βίηφι. δ΄, 325.
——— ὄφρα πεποίθῃς. ά, 524.
Ἵπποισίν τε πέποιθε, ——. ψ΄, 286.
—— νέος εἰμὶ, καὶ οὔπω χερσὶ πέποιθα.
Odyss. π΄, 71.
——— νεώτερός εἰμι, καὶ οὔπω χερσὶ πέποιθα.
φ΄, 132.

Vide suprà ad ά, 37. et ad β΄, 322.

Ver. 102. — ὕλην.] Vide suprà ad γ΄, 151.

Ver. 103. —— πορδαλίων.] Codices plerique, παρδαλίων.

Ibid. — ἤϊα πέλονται.] Supervacaneum est, quod hîc annotat *Barnesius*; " *media* τοῦ ἤϊα " —— *aliàs certè brevis, ut Odyss.* μ΄, 329. " —— ἐξέφθιτο ἤϊα πάντα." Cujus rei eandem esse causam, ac in voce τίω, — Ἰδομενεῦ, πέρι μέν σε τίω, δ΄, 257. ignoravit Vir eruditus. Nempe ad istum locum, " *vel hinc patet,*" " inquit, " *priorem* τοῦ τίω *communem esse:*" Quod nequaquam verum est: nam in τίσω, τίσεσθαι, et similibus, ubi *duæ Vocales* non *concurrunt*, prior *Homero* nunquam corripitur. Et ad *Odyss.* β΄, 289. Ὅπλισσόν τ᾽ ἤϊα

Αὔτως ἠλάσκουσαι, ἀνάλκιδες, οὐδ' ἐπὶ χάρμη·
Ὣς Τρῶες τοπρὶν γε μένος καὶ χεῖρας Ἀχαιῶν
Μίμνειν οὐκ ἐθέλεσκον ἐναντίον, οὐδ' ἠβαιόν·
Νῦν δ' ἕκαθεν πόλιος κοίλῃς ἐπὶ νηυσὶ μάχονται,
Ἡγεμόνος κακότητι, μεθημοσύνῃσί τε λαῶν,
Οἳ κείνῳ ἐρίσαντες ἀμυνέμεν οὐκ ἐθέλουσι
Νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν' αὐτάς.
Ἀλλ' εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιός ἐστιν
Ἥρως Ἀτρείδης, εὐρυκρείων Ἀγαμέμνων,
Οὕνεκ' ἀπητίμησε ποδώκεα Πηλείωνα·
Ἡμέας γ' οὔπως ἐστὶ μεθιέμεναι πολέμοιο·
Ἀλλ' ἀκεώμεθα θᾶσσον· ἀκεσταί τοι φρένες ἐσθλῶν.
Ὑμεῖς δ' οὐκέτι καλὰ μεθίετε θούριδος ἀλκῆς,
Πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν· οὐδ' ἂν ἔγωγε
Ἀνδρὶ μαχεσσαίμην, ὅστις πολέμοιο μεθείη,
Λυγρὸς ἐών· ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι.
Ὦ πέπονες, τάχα δή τι κακὸν ποιήσετε μεῖζον
Τῇδε μεθημοσύνῃ· ἀλλ' ἐν φρεσὶ θέσθε ἕκαστος

" Temerè errantes, imbelles, neque *natae* ad pugnam :
" Sic Trojani antehac robur et manus Achivorum
" Manere nolebant ex adverso, nè paululùm quidem :
" Nunc verò procul ab urbe cavas ad naves pugnant,
" Imperatoris ignaviâ, negligentiâque militum,
" Qui cum illo contendentes propugnare nolunt
" Naves veloces, sed interficiuntur ad ipsas.
" Veruntamen etiam si omninò reverà in culpâ est
" Heros Atrides, latè-dominans Agamemnon,
" Eò-quòd contumeliâ-affecerit pedibus-celerem Pelidem ;
" Nobis tamen nullo-modo licet intermittere pugnam :
" Sed medeamur ocyùs *huic malo ;* faciles utique sanatu mentes bonorum.
" Vos autem nequaquam honestè remittitis strenuam fortitudinem,
" Omnes fortissimi cùm sitis in exercitu : neque verò ego
" Virum objurgaverim, qui pugnam detrectet,
" Quum imbellis sit : at vobis succenseo ex animo.
" O molles, mox sanè aliquod malum admittetis gravius
" Hâc ignaviâ : sed in mentibus reponite singuli

καὶ ἄγγεσιν—· "*in tertio* (inquit) *loco Anapæstus.*" Quæ æquè inepta est annotatio. Vide infrà ad ό, 24.

Ver. 109.— ἐρίσαντες.] De hujus vocis, et similium, prosodiâ; vide suprà ad ά, 140.

Ver. 111. Ἀλλ' εἰ δὴ καὶ.] *At sanè etiam si* ———.

Ver. 115. —— ἀκεσταί τοι.] *Faciles certè sanatu ; faciles utique sanatu.*

Ver. 116. — καλὰ.] Vide suprà ad β', 43.

Ver. 117. Πάντες ἄριστοι ἐόντες ——· ὑμῖν δὲ νεμεσσῶμαι.] Ἐπεὶ δὲ — οὔτ' ἐμπαθὴς ψυχὴ παῤῥησίαν ἀναδέχεται καὶ νουθεσίαν ἄκρατον, ἐν τοῖς χρησιμωτάτοις ἐστὶ τῶν βοηθημάτων ὁ παραμιγνύμενος ἐλαφρὸς ἔπαινος· ὥσπερ ἐν τούτοις, — "Πάντες ἄριστοι ἐόντες ——." *Plutarch. de Adul. et Amici discrim.* sub finem.

Ver. 118. Ἀνδρὶ μαχεσσαίμην, ὅστις.] Lautus planè ad hunc locum *Spondanus :* "*Quem virum, quæso, intelligit Neptunus?*" &c.

Ibid. —— μεθείη.] μεθίει, Codd. *Harleian.* à *Tho. Bentleio* collati.

Ver. 120. 122. 123. —— τάχα δὴ —— δὴ γὰρ ——, Ἕκτωρ δὴ.] *Mox sanè* ——; *certè enim* ——; *Hector nempe* ———.

Αἰδῶ καὶ νέμεσιν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν.
Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθὸς πολεμίζει,
Καρτερός· ἔῤῥηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα.
Ὣς ῥα κελευτιόων Γαιήοχος ὦρσεν Ἀχαιούς·
Ἀμφὶ δ' ἄρ' Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες
Καρτεραὶ, ἃς οὔτ' ἄν κεν Ἄρης ὀνόσαιτο μετελθὼν,
Οὔτε κ' Ἀθηναίη λαοσσόος· οἱ γὰρ ἄριστοι
Κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον,
Φράξαντες δόρυ δουρὶ, σάκος σάκεϊ προθελύμνῳ·
Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·
Ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
Νευόντων· ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν·
Ἔγχεα δ' ἐπτύσσοντο θρασειάων ἀπὸ χειρῶν
Σειόμεν'· οἱ δ' ἰθὺς φρόνεον, μέμασαν δὲ μάχεσθαι.

" Pudorem, *hominumque* reprehensionem: certè enim ingens certamen ortum est.
" Hector nempè ad naves proelio strenuus pugnat,
" Fortis; perfregitque portas, et longum vectem."
Sic sanè adhortans Neptunus concitavit Achivos:
Circum autem Ajaces duos stabant phalanges
Firmae, quas nè Mars quidem vituperâsset, si intervenisset,
Neque Minerva populorum-concitatrix: quippe praestantissimi *viri*
Delecti, Trojanosque et Hectorem nobilem manebant,
Constipantes hastam hastae, scutum scuto densissimis ordinibus:
Clypeus nempè clypeum fulciebat, galea galeam, virum vir:
Seque-invicem-attingebant setis-equinis-comantes galeae splendentibus conis
Nutantium; adeò densi stabant inter se:
Hastae autem crispabantur audacibus à manibus
Concussae: hi quippe *in hostes* rectà tendebant, ardebantque pugnare.

Ver. 122. Αἰδῶ καὶ νέμεσιν.] Αἰδῶ, οἰκείαν· νέμεσιν, τὴν τῶν ἐκτός· *Scholia inedita* in Cod. *Harleiano* à *Tho. Bentleio* communicata.

Ver. 123. —— βοὴν ἀγαθός.] Vide suprà ad β', 408.

Ver. 126. Ἀμφὶ δ' ἄρ' Αἴαντας.] Connectit hæc istud ἄρ' cum eo quod præcessit, *ver.* 46, 47. Αἴαντε πρώτω,—σφὼ μέν κε σαώσετε λαὸν Ἀχαίων.

Ver. 129. Κρινθέντες.] Rectè. Nam κρινθέντες primam necessariò corripit.

Ver. 130. Φράξαντες δόρυ δουρὶ, σάκος σάκεϊ προθελύμνῳ·
Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ.]
—— ποὺς ἐπαλλαχθεὶς ποδὶ,
Ἀνὴρ δ' ἐπ' ἀνδρὶ στὰς, ἐκαρτέρει μάχῃ.
Euripid. Heracl. 836.
—— Trojanæ acies, aciesque Latinæ
Concurrunt; hæret pede pes, densusque viro vir.
Æn. X, 360.

Quem ad locum, summâ cum inscitiâ *Servius:* " *Pede* (inquit) *pro Pedi; nam est* " *Antiptosis.*" Cæterùm *Macrobius* in iis, quibus *Virgilium* contendit *Homerici* carminis majestatem non æquâsse; citatis his versibus, " *quanta* (inquit) *sit differentia utri-* " *usque loci, lectori æstimandum relinquo.*" lib. 5. c. 13. Mihi hîc, in *utroque* Poetâ, summus videtur splendor et pulchritudo. *Scaliger*, erga *Homerum* plerumque iniquior, de hisce duobus versibus, " *Fatemur* (inquit) " *ex Græcæ linguæ commoditate nobis esse ap-* " *tiores ad laudandum, quàm ad imitandum.*" Poetic. lib. 5. c. 3. Quod autem rogat; " *cum dixit σάκος σάκεϊ, quid erit ἀσπίδ' ἀσ-* " *πίς?*" non advertit vir eruditus, neque σάκος idem ipsum esse quod ἀσπίς; et sententiam, in voce Ἀσπὶς, ab alio esse inchoatam exordio; nec quæ demùm in sententiâ connectendâ vis esset particulæ istius ἄρ'.

Ibid.—— προθελύμνῳ.] Πολυπτύχῳ, *Scholia inedita* Codicis *Harleiani* à *Tho. Bentleio* communicata.

Τρῶες δὲ προὔτυψαν ἀολλέες, ἦρχε δ' ἄρ' Ἕκτωρ
Ἀντικρὺ μεμαώς· ὀλοοίτροχος ὣς ἀπὸ πέτρης,
Ὅντε κατὰ στεφάνης ποταμὸς χειμάῤῥοος ὤσῃ,
Ῥήξας ἀσπέτῳ ὄμβρῳ ἀναιδέος ἔχματα πέτρης,
Ὕψι τ' ἀναθρώσκων πέτεται, κτυπέει δέ θ' ὑπ' αὐτοῦ
Ὕλη· ὁ δ' ἀσφαλέως θέει ἔμπεδον, ὄφρ' ἂν ἵκηται
Ἰσόπεδον, τότε δ' οὔτι κυλίνδεται, ἐσσύμενός περ·
Ὣς Ἕκτωρ, εἵως μὲν ἀπείλει μέχρι θαλάσσης
Ῥεῖάδ' ἐλεύσεσθαι κλισίας καὶ νῆας Ἀχαιῶν,
Κτείνων· ἀλλ' ὅτε δὴ πυκινῇς ἐνέκυρσε φάλαγξι,
Στῆ ῥα μάλ' ἐγχριμφθείς· οἱ δ' ἀντίοι υἷες Ἀχαιῶν,
Νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν,
Ὦσαν ἀπὸ σφείων· ὁ δὲ χασσάμενος πελεμίχθη,
Ἤϋσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώς·
Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταὶ,

Trojani autem priùs-in-eos-impetum-fecerunt conferti; praeibatque Hector
Contrà alacer-ruens; lapis-cursu-perniciosus sicuti à petrâ,
Quem de vertice-montis fluvius torrens impulerit,
Abruptis immenso imbre asperae retinaculis petrae,
Altéque subsiliens volat, resonatque sub ipso
Sylva; hic autem cursu-perpetuo currit magnâ vi, donec pervenerit
In planitiem; tum verò nequaquam volvitur, cursu licèt incitatus:
Sic Hector, hactenus quidem minabatur, usque ad mare
Facilè *se* perventurum ad tentoria et naves Achivorum,
Interficientem *eos*: verùm quando jam in densas incidisset phalangas,
Stetit propè-admodùm obnitens: ex adverso autem filii Achivorum,
Percutientes ensibusque et hastis utrinque-acutis,
Repulerunt *eum* à se: ille verò cedens asperè-concussus est,
Vociferatusque est altâ-voce Trojanos inclamans:
" Trojani, et Lycii, et Dardani cominùs-pugnantes,

Ver. 136.—ἦρχε δ' ἄρ' Ἕκτωρ.] *Duxit eos, ut diximus, Hector.* Ea enim hîc vis est vocabuli, ἄρ', ut conjugat hæc cum eo quod præcessit, *ver.* 39. Τρῶες δὲ—— Ἕκτορι —— ἕποντο.

Ver. 137. Ἀντικρὺ.] Quâ ratione, ἀντικρὺ, hîc ultimam producat; vide suprà ad ά, 51.

Ibid. —— ὀλοοίτροχος ὣς ἀπὸ πέτρης.]

Ac veluti montis saxum de vertice præceps
Cùm ruit avulsum vento, seu turbidus imber
Proluit, aut annis solvit sublapsa vetustas;
Fertur in abruptum magno mons improbus actu,
Exultatque solo, sylvas, armenta, virosque
Involvens secum: disjecta per agmina Turnus
Sic——ruit.—— *Æn.* XII, 684.

Hujus Similitudinis et in utroque Poetâ venustatem *totius*, et apud *Homerum* partium *singularum* (multò etiam magis quàm apud *Virgilium*) accommodam traductionem, aptamque et compositam pulchritudinem, optimè hoc in loco exposuit et enarravit *Popius.*

Ver. 138. —— ὤσῃ.] *Al.* ὤσει.

Ver. 139. Ῥήξας ———— πέτρης.] Suprà ad *ver.* 36.

Ver. 141. Ὕλη.] Vide suprà ad γ', 151.

Ver. 144. Ῥεῖάδ' ἐλεύσεσθαι κλίσιας.] Hoc tantùm in loco, et infrà, ύ, 263. occurrit vox ῥεῖάδ' apud *Homerum:* et utrobique cum voce ἐλεύσεσθαι conjuncta. Quare neque cum *Barnesio* sentio, voculam "δὲ" παρέλκειν· id quod linguæ Græcæ ratio haud patitur: neque cum *Eustathio*, δὲ positum esse pro δὴ· quod nihili est: sed, ῥεῖάδ' ἐλεύσεσθαι κλισίας, tantundem esse ac si dictum fuisset, ῥεῖα κλισίασδε ἐλεύσεσθαι. Quod et indicat *Eustathius*, quum addit, ἴσως δὲ καὶ κατὰ τὸ, οἶκόνδε.

Παρμένετ'· οὔτοι δηρὸν ἐμὲ σχήσουσιν Ἀχαιοὶ,
Καὶ μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες·
Ἀλλ', ὀΐω, χάσσονται ὑπ' ἔγχεος, εἰ ἐτεόν με
Ὦρσε θεῶν ὤριστος, ἐρίγδουπος πόσις Ἥρης.
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
Δηΐφοβος δ' ἐν τοῖσι μέγα φρονέων ἐβεβήκει
Πριαμίδης, πρόσθεν δ' ἔχεν ἀσπίδα πάντοσε ἴσην,
Κοῦφα ποσὶ προβιβὰς, καὶ ὑπασπίδια προποδίζων·
Μηριόνης δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
Καὶ βάλεν, οὐδ' ἀφάμαρτε, κατ' ἀσπίδα πάντοσε ἴσην,
Ταυρείην· τῆς δ' οὔτι διήλασεν, ἀλλὰ πολὺ πρὶν
Ἐν καυλῷ ἐάγη δολιχὸν δόρυ· Δηΐφοβος δὲ
Ἀσπίδα ταυρείην σχέθ' ἀπὸ ἕο, δεῖσε δὲ θυμῷ
Ἔγχος Μηριόναο δαΐφρονος· αὐτὰρ ὅγ' ἥρως
Ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο, χώσατο δ' αἰνῶς
Ἀμφότερον, νίκης τε, καὶ ἔγχεος, ὃ ξυνέαξε·
Βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν,
Οἰσόμενος δόρυ μακρὸν, ὅ οἱ κλισίηφι λέλειπτο·
Οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει.

"Perstate: haudquaquam diù me sustinebunt Achivi,
"Licèt valdè addensatis-ordine-quadrato-agminibus seipsos instruxerint:
"Sed, puto, cedent hastâ *meâ fugati*, si reverà me
"Incitavit deorum potentissimus, altitonans maritus Junonis."
Sic fatus, excitavit robur et animum uniuscujusque.
Deïphobus porrò inter hos elato animo incedebat
Priamides, praeque *se* tenebat clypeum undique aequale,
Levi passu progrediens, et clypeo-tectus procedens:
Meriones autem in eum collimans-direxit hastam fulgentem:
Et percussit, neque aberravit, clypeum undique aequale,
Taurinum; id verò haudquaquam trajecit, sed multò priùs
In extremo fracta est longa hasta: Deïphobus autem
Scutum taurinum tenuit-*procul* à se, timuit enim animo
Hastam Merionis bellicosi: at heros *Meriones*
Retrò sociorum in agmen recessit; iratus est autem gravitèr
Propter utrumque, victoriamque *amissam*, et hastam, quam fregerat:
Perrexit itaque ire praeterque tentoria et naves Achivorum,
Allaturus hastam longam, quae sibi in tentoriis reliqua erat:
Caeteri verò pugnabant, clamorque immensus exortus est.

Ver. 151. ——— οὔτοι δηρὸν ἐμὲ.] *Al.* οὔτι δηρὸν ἐμέ. Malè. *Al.* οὔτι με δηρὸν ἔτι. *Al.* οὔτ' ἔτι δηρὸν ἐμέ.

Ver. 152. ——— σφέας αὐτοὺς.] Pronuntiabatur σφᾶς αὐτούς. Nam σφέας ultimam producit. Alioqui contraheretur in σφεῖς.

Ibid. — ἀρτύναντες.] Vide suprà ad ά, 338.

Ver. 156. — ἐβεβήκει.] Vide suprà ad ά, 37.

Ver. 157. Πριαμίδης.] Vide suprà ad ά, 398.

Ver. 163. ——— ἀπὸ ἕο.] Quâ ratione, ἀπὸ, hîc ultimam producat; vide suprà ad ά, 51.

Ver. 168. Οἰσόμενος δόρυ.] Observandus hîc maximè proprius *vocis mediæ* usus. Quod et *Eustathius* notavit, et Scholiastes. Οἴσων μὲν γὰρ, ἑτέρῳ· οἰσόμενος δὲ, ἑαυτῷ. *Allaturus sibi hastam*, &c. Vide suprà ad γ', 141.

Ibid. ——— κλισίηφι.] *Eustathius* in commentario κλισίηφι.

Τεῦκρος δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα
Ἴμβριον αἰχμητὴν, πολυΐππου Μέντορος υἱόν·
Ναῖε δὲ Πήδαιον, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
Κούρην δὲ Πριάμοιο νόθην ἔχε Μηδεσικάστην·
Αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι,
Ἂψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι·
Ναῖε δὲ πὰρ Πριάμῳ· ὁ δέ μιν τίεν ἶσα τέκεσσι.
Τόν ῥ' υἱὸς Τελαμῶνος ὑπ' οὔατος ἔγχεϊ μακρῷ
Νύξ', ἐκ δ' ἔσπασεν ἔγχος· ὁ δ' αὖτ' ἔπεσεν, μελίη ὣς,
Ἥ τ' ὄρεος κορυφῇ ἕκαθεν περιφαινομένοιο
Χαλκῷ ταμνομένη τέρενα χθονὶ φύλλα πελάσσῃ·
Ὣς πέσεν· ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Τεῦκρος δ' ὡρμήθη, μεμαὼς ἀπὸ τεύχεα δῦσαι·
Ἕκτωρ δ' ὁρμηθέντος ἀκόντισε δουρὶ φαεινῷ·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
Τυτθόν· ὁ δ' Ἀμφίμαχον, Κτεάτου υἷ' Ἀκτορίωνος,

Ac Teucer quidem primus Telamonius virum interfecit
Imbrium armis-acerrimum, divitis-equorum Mentoris filium:
Habitabat autem *is* Pedaeum, antequam venissent filii Achivorum,
Filiamque Priami notham uxorem-habebat Medesicasten:
At postquam Danaorum naves venissent utrinque-remis-actae,
Rursùs ad Ilium venit, excellebatque inter Trojanos:
Habitabat autem apud Priamum: isque eum honorabat aequè ac filios.
Hunc utique filius Telamonis sub aurem hastâ longâ
Vulneravit, evulsitque hastam: is autem cecidit, fraxinus tanquam,
Quae montis in vertice procul conspicui
Aere recisa, tenera terrae folia admovit:
Sic cecidit; circumque ipsum sonitum-dederunt arma varia aere.
Teucer itaque accurrit, cupiens arma exuere:
Hector verò in accurrentem jaculatus est hastâ fulgenti:
Sed ille quidem ex adverso conspicatus evitavit aeream hastam
Paululùm; hic autem Amphimachum, Cteati filium Actorionis,

Ver. 172. — Πήδαιον.] Scholiasti, Πήδασον.

Ibid. ——— πρὶν ἐλθεῖν.] Quâ ratione hîc, πρὶν, producatur; item σθένεϊ, *ver.* 193. et ἀνὰ, *ver.* 199. vide suprà ad ά, 51.

Ver. 177. Τόν ῥ'.] *Hunc, inquam: Hunc utique* ———.

Ver. 178. —— ἔπεσεν, μελίη ὣς, —— χθονὶ φύλλα πελάσσῃ.]

Concidit; ut quondam cava concidit, aut
Erymantho
Aut Idâ in magnâ, radicibus eruta pinus.
Æn. V, 448.

Ver. 179. — κορυφῇ.] Κορυφῆς, codd. *Italic.* à *Th. Bentleio* collati.

Ver. 180. ——— ταμνομένη.] Ita *Barnesius* rectè ex MSS. et ex *Eustathio*. *Al.* τεμνομένη. Vide suprà ad θ', 87. Quem ad locum *Eustathius;* εἰ δὲ καὶ ἦν εἰπεῖν "ἀπέτεμ-" "νε" κοινότερον, ἀλλ' Ὅμηρος τὴν κατ' αὐτὸν Ἰάδα γλῶσσαν τιμᾷ, τὸ τέμνειν "τάμνειν" λέγουσαν.

Ver. 181 — 187. —— βράχε — Δούπησεν — ἀράβησε.] De hujus ὀνοματοποιΐας pulchritudine, vide suprà ad β', 210. et ad δ', 455.

— collapsa ruunt immania membra;
Dat tellus gemitum, et clypeum super intonat ingens. *Æn.* IX, 708.
Corruit in vulnus, sonitum super arma dedêre. *Æn.* X, 488.

Ver. 183 et 190. ——— ἀκόντισε.] De prosodiâ hujus vocis, vide suprà ad ά, 140. Cæterùm alii hîc legunt, ὀρίξατο.

Ver. 184. Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο.]

— ille ictum venientem à vertice velox
Prævidit, celerique elapsus corpore cessit.
Æn. V, 444.

Ibid. —— χάλκεον ἔγχος.] Vide suprà ad γ' 380.

Νισσόμενον πόλεμόνδε κατὰ στῆθος βάλε δουρί·
Δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Ἕκτωρ δ' ὡρμήθη κόρυθα κροτάφοις ἀραρυῖαν
Κρατὸς ἀφαρπάξαι μεγαλήτορος Ἀμφιμάχοιο·
Αἴας δ' ὁρμηθέντος ἀκόντισε δουρὶ φαεινῷ
Ἕκτορος· ἀλλ' οὔπη χροὸς εἴσατο, πᾶς δ' ἄρα χαλκῷ
Σμερδαλέῳ κεκάλυφθ'· ὁ δ' ἄρ' ἀσπίδος ὀμφαλὸν οὖτα,
Ὦσε δέ μιν σθένεϊ μεγάλῳ· ὁ δὲ χάσσατ' ὀπίσσω
Νεκρῶν ἀμφοτέρων· τοὺς δ' ἐξείρυσσαν Ἀχαιοί·
Ἀμφίμαχον μὲν ἄρα Στίχιος, δῖός τε Μενεσθεὺς,
Ἀρχοὶ Ἀθηναίων, κόμισαν κατὰ λαὸν Ἀχαιῶν·
Ἴμβριον αὖτ' Αἴαντε, μεμαότε θούριδος ἀλκῆς·
Ὥστε δύ' αἶγα λέοντε, κυνῶν ὑπὸ καρχαροδόντων
Ἁρπάξαντε, φέρητον ἀνὰ ῥωπήϊα πυκνὰ,
Ὑψοῦ ὑπὲρ γαίης μετὰ γαμφηλῇσιν ἔχοντε·
Ὥς ῥα τὸν ὑψοῦ ἔχοντε δύω Αἴαντε κορυστὰ

Venientem in pugnam ad pectus percussit hastâ:
Fragorem verò edidit cadens, et sonitum-dedêre arma super ipsum.
Hector itaque accurrit, ut galeam temporibus aptam
Capite deriperet magnanimi Amphimachi:
Ajax autem in accurrentem jaculatus est hastâ splendenti
Hectorem; sed nusquam ad corpus pervenit, totus quippe aere
Horrendo tectus erat: Ille tamen scuti umbonem percussit,
Reppulitque eum vi magnâ: is autem cedebat retrò
A cadaveribus ambobus; ista autem *ad se* extraxerunt Achivi:
Amphimachum quidem Stichius, nobilisque Menestheus,
Principes Atheniensium, portaverunt ad exercitum Achivorum:
Imbrium verò Ajaces, studiosi impetuosae pugnae:
Ut duo capram leones, à canibus serratis-dentibus
Ereptam, ferunt per virgulta densa,
Altè supra terram in malis tenentes:
Sic utique hunc [*Imbrium*] altè tenentes duo Ajaces bellatores

---

Ver. 191.—— πᾶς δ' ἄρα.] *Totus quippe: Totus nempe, ut diximus,* ————.

Ver. 192.—— οὖτα.] *Al.* οὗτα. Utrumque rectè. Ab οὐτάω, fit οὖτα, quod τὸ ά producit: Ab οὐτάζω, fit οὔτᾰσε; (et inde οὗτα) quod τὸ ά corripit. In aliis quibusdam verbis occultior est analogia; nec à Grammaticis, quod sciam, observata. Quemadmodum aliud scilicèt est—ώττειν, aliud—όττειν· similitérque aliud—ήττειν, aliud—έττειν· eodem planè modo, *pronuntiationis* et *prosodiæ* ratione, aliud est πράσσειν, in quo τὸ ά productum; aliud τάσσειν, in quo τὸ ά correptum est, licèt syllaba τάσσ positione producatur. Hinc nimirùm πράσσω, in linguâ Ionicâ, migrat in πρήσσω· τάσσω, nequaquam in τήσσω. Hinc, diverso accentu, πρᾶγμα, πρᾶξις, πρᾶξαι (πρῆγμα, πρῆξις, πρῆξαι) πέπρᾱγα· at τάγμα, τάξις, τάξαι, τέτᾰγα. Neque in his ullus unquam est Licentiæ locus.

Ver. 194.—— ἐξείρυσσαν.] Ita edidit *Barnesius* ex MS. *Al.* ἐξείρυσαν. Minùs rectè. Nam εἴρυσαν penultimam corripit. Vide suprà ad *ver.* 1.

Ver. 195. Ἀμφίμαχον μὲν ἄρα Στίχιος.] Non supervacaneum est istud, ἄρα. *Scilicèt Amphimachum Stichius quidem* ——.

Ver. 196.—— κόμισαν.] Vide suprà ad ά, 140.

Ibid.—— κατὰ λαὸν.] *Al.* μετὰ λαὸν.

Ver. 197.—— μεμαότε.] Ita iterùm rectè *Barnesius* ex MS. Vide suprà ad *ver.* 46. Item ad β', 818. *Al.* μεμαῶτε. Quod versum perimit.

Ver. 198.— αἶγα.] Nonnulli αἶγε. Malè.

Ver. 199.—— ἀνὰ ῥωπήϊα πυκνὰ.]
Hîc inter densas corylos ————
Virg. Ecl. I, 14.

Ver. 201. Ὥς ῥα τὸν.] *Sic, inquam, hunc*—.

Τεύχεα συλήτην, κεφαλὴν δ' ἁπαλῆς ἀπὸ δειρῆς
Κόψεν 'Οϊλιάδης, κεχολωμένος 'Αμφιμάχοιο·
Ἧκε δέ μιν σφαιρηδὸν ἑλιξάμενος δι' ὁμίλου,
Ἕκτορι δὲ προπάροιθε ποδῶν πέσεν ἐν κονίῃσι.
  Καὶ τότε δὴ περὶ κῆρι Ποσειδάων ἐχολώθη,
Υἱωνοῖο πεσόντος ἐν αἰνῇ δηϊοτῆτι·
Βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας 'Αχαιῶν,
'Οτρυνέων Δαναοὺς, Τρώεσσι δὲ κήδε' ἔτευχεν.
'Ιδομενεὺς δ' ἄρα οἱ δουρικλυτὸς ἀντεβόλησεν,
'Ερχόμενος παρ' ἑταίρου, ὅ οἱ νέον ἐκ πολέμοιο
Ἦλθε, κατ' ἰγνύην βεβλημένος ὀξέϊ χαλκῷ·
Τὸν μὲν ἑταῖροι ἔνεικαν, ὁ δ' ἰητροῖς ἐπιτείλας
Ἤϊεν ἐκ κλισίης· ἔτι γὰρ πολέμοιο μενοίνα
'Αντιάαν· τὸν δὲ προσέφη κρείων 'Ενοσίχθων,
Εἰσάμενος φθογγὴν 'Ανδραίμονος υἷϊ Θόαντι,
Ὃς πάσῃ Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι
Αἰτωλοῖσιν ἄνασσε, θεὸς δ' ὣς τίετο δήμῳ·
  'Ιδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ

Arma detraxerunt; caput autem molli à cervice
Amputavit Oïliades, iratus Amphimachi *causâ;*
Misitque illud instar-globi rotatum per turbam;
Hectori verò ante pedes cecidit in pulveribus.
Ac tum quidem ex animo Neptunus iratus erat,
Nepotis *gratiâ* [*Amphimachi*] caesi in gravi pugnâ:
Perrexit itaque ire praetérque tentoria et naves Achivorum,
Incitaturus Danaos, Trojanisque clades moliebatur.
Idomeneus autem illi hastâ-inclytus occurrit,
Rediens à socio, qui ei nuper è proelio
Venerat, ad poplitem vulneratus acuto aere:
Hunc quidem socii asportaverant, ille autem, medicis quum mandata-dedisset,
Redibat ex tentorio; adhuc enim pugnae cupiebat
Particeps-esse: Ipsum itaque allocutus est rex Neptunus,
(Assimilans-se voce Andraemonis filio Thoanti,
Qui per totam Pleurona et excelsam Calydona
Aetolis imperabat, deusque tanquam honorabatur à populo:)
" Idomeneu, Cretum princeps, quò tandem minae

Ver. 202. —κεφαλὴν δ' ἁπαλῆς ἀπὸ δειρῆς.] Tum caput ipsi aufert—. *Æn.* IX, 332.

Ver. 209. 'Οτρυνέων.] Vide suprà ad ά, 309.

Ver. 210. 'Ιδομενεὺς δ' ἄρα οἱ.] *Idomeneus autem ei deinceps* ———. *Idomeneus autem ei eunti* ——. Connectitur videlicèt cum isto, βῆ δ' ἰέναι, *ver.* 208.

Ver. 212. —βεβλημένος.] Ita edidit *Barnesius* ex tribus MSS. Quod usitatius est. Cumque iisdem faciunt *MSS. Harleian.* et *Italic.* à *Th. Bentleio* collati. *Al.* βεβολημένος. Sed *hoc* apud *Homerum*, ut rectè annotavit *Barnesius*, semper de *Animi* affectibus et mœstitiâ; *illud*, de vulneribus *Corporis*, aut siquid simile.

Ver. 214. ——ἐκ κλισίης.] Ex *Amici vulnerati* tentorio, ἐρχόμενος παρ' ἑταίρου, *ver.* 211. iturus ad *Suum* tentorium, ut arma deinceps indueret, *ver.* 240. *Barnesius*, ex uno MS. edidit hoc in loco, ἐς κλισίην ad *Suum* scilicèt *tentorium*. Quod, ad sententiam, perindè est. Cumque *Barnesio* faciunt MSS. à *Th. Bentleio* collati.

Ver. 216. Εἰσάμενος.] Vide suprà ad *ver.* 54.

Ibid. ——φθογγὴν.] *Al.* φωνήν.

Ver. 219.—'Ιδομενεῦ.] *Barnesius*, ante hunc versum, alterum istum ex MS. *Cantabrigiensi*, tanquam "*penè necessarium*," inseruit:

Οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;
Τὸν δ' αὖτ' Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
Ὦ Θόαν, οὔτις ἀνὴρ νῦν γ' αἴτιος, ὅσσον ἔγωγε
Γιγνώσκω· πάντες γὰρ ἐπιστάμεθα πτολεμίζειν·
Οὔτε τινὰ δέος ἴσχει ἀκήριον, οὔτε τις ὄκνῳ
Εἴκων, ἀνδύεται πόλεμον κακόν· ἀλλά που οὕτω
Μέλλει δὴ φίλον εἶναι ὑπερμενέϊ Κρονίωνι,
Νωνύμους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς.
Ἀλλὰ, Θόαν, καὶ γὰρ τοπάρος μενεδήϊος ἦσθα,
Ὀτρύνεις δὲ καὶ ἄλλον, ὅθι μεθίεντα ἴδηαι·
Τῷ νῦν μήτ' ἀπόληγε, κέλευέ τε φωτὶ ἑκάστῳ.
Τὸν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
Ἰδομενεῦ, μὴ κεῖνος ἀνὴρ ἔτι νοστήσειεν
Ἐκ Τροίης, ἀλλ' αὖθι κυνῶν μέλπηθρα γένοιτο,
Ὅς τις ἐπ' ἤματι τῷδε ἑκὼν μεθίησι μάχεσθαι.
Ἀλλ' ἄγε, τεύχεα δεῦρο λαβὼν ἴθι· ταῦτα δ' ἅμα χρὴ
Σπεύδειν· αἴκ' ὄφελός τι γενώμεθα, καὶ δύ' ἐόντε.

"Abierunt, quas Trojanis minabantur filii Achivorum?"
Hunc autem vicissim Idomeneus, Cretum ductor, contrà allocutus est:
"O Thoa, nullus vir nunc in culpâ, quantum equidem
"Intelligo: omnes enim scimus proeliari:
"Neque quenquam timor detinet exanimans, neque quisquam pigritiae
"Cedens, subterfugit pugnam perniciosam: sed ita
"Videtur nimirùm gratum esse praepotenti Saturnio,
"Inglorios perire procul ab Argo hîc Achivos.
"At, Thoa, quandoquidem ante bellicosus fuisti,
"Hortari-soles autem et alium, ubi remittentem videris:
"Ideò nec nunc quidem cessa *ipse*, hortareque virum quemque."
Huic autem respondit deindè Neptunus quatiens-terram:
"Idomeneu, ne iste vir ampliùs revertatur
"A Trojâ, sed hîc canibus ludibrium fiat,
"Quicunque die hoc volens remiserit pugnam.
"Sed age, armis huc sumptis veni: haec autem simul oportet
"Maturare; si cui usui esse queamus, etiam duo cùm simus.

Τῷ μιν ἐεισάμενος προσέφη κρείων Ἐνοσίχθων.
Sed nihil opus. Nam, Parenthesi inclusis versibus 216, 217, 218, constat expleta omnibus suis numeris et partibus sententia.

Ibid. —— *ποῦ τοι ἀπειλαὶ Οἴχονται* —— ;] Scholiastes legendum contendit, *ποῦ τοι ἀπειλαί; Οἴχονται.* Minùs rectè. Simile enim est, *ποῦ οἴχονται*; ac illud Θ΄, 229. Πῆ ἔβαν εὐχωλαί;

Ver. 223. Γιγνώσκω.] *Al.* Γινώσκω. Quod perinde est: Nam *γινώσκω* primam producit.

Ibid. — *ἐπιστάμεθα πτολεμίζειν.*] Ita *Barnesius*, ex duobus MSS. *Al.* *πολεμίζειν.* Quod et ipsum ferri possit.

Ver. 224. —— *τινὰ δέος.*] Quâ ratione, *τινὰ*, hîc ultimam producat; item *ἴθι*, *ver.* 229. vide suprà ad *ά*, 51.

Ver. 225. — *ἀλλά που.*] *Sed, ut verisimile est: Sed, quantum conjicere est,* ——.

Ver. 227. Νωνύμους.] Nullâ ex analogiâ licentiarum produci potest istud *ύ*. Utrúmne verò *νωνύμνους*, quomodò nonnulli ediderunt, an *νωνύμμους*, aequè ac *νωνύμους*, pronuntiârint Iones, non liquet.

Ver. 229. Ὀτρύνεις.] "*Orationis consecutionem poscere,*" existimat vir doctissimus *Henr. Stephanus*, "*ut ὤτρυνες legatur, præcedente ἦσθα.*" Sed nihil opus. Nam, *ὀτρύνεις*, hâc quidem in sententiâ, cum præcedente, *ἦσθα*, satis aptè cohæret; non satis aptè, *ὤτρυνες*, cum subsequente *ἴδηαι*.

Συμφερτὴ δ' ἀρετὴ πέλει ἀνδρῶν, καὶ μάλα λυγρῶν·
Νῶϊ δὲ καί κ' ἀγαθοῖσιν ἐπισταίμεσθα μάχεσθαι.
Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἔβη θεὸς ἀμπόνον ἀνδρῶν·
Ἰδομενεὺς δ' ὅτε δὴ κλισίην εὔτυκτον ἵκανε,
Δύσετο τεύχεα καλὰ περὶ χροΐ, γέντο δὲ δοῦρε·
Βῆ δ' ἴμεν ἀστεροπῇ ἐναλίγκιος, ἥν τε Κρονίων
Χειρὶ λαβὼν ἐτίναξεν ἀπ' αἰγλήεντος Ὀλύμπου,
Δεικνὺς σῆμα βροτοῖσιν· ἀρίζηλοι δέ οἱ αὐγαί·
Ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος.
Μηριόνης δ' ἄρα οἱ, θεράπων ἐῢς, ἀντεβόλησεν,
Ἐγγὺς ἔτι κλισίης· μετὰ γὰρ δόρυ χάλκεον ᾔει
Οἰσόμενος· τὸν δὲ προσέφη σθένος Ἰδομενῆος·
Μηριόνη, Μόλου υἱὲ, πόδας ταχὺ, φίλταθ' ἑταίρων,
Τίπτ' ἦλθες πόλεμόν τε λιπὼν καὶ δηϊοτῆτα;
Ἠέ τι βέβληαι, βέλεος δέ σε τείρει ἀκωκή;
Ἠέ τευ ἀγγελίης μετ' ἔμ' ἤλυθες; οὐδέ τι αὐτὸς
Ἧσθαι ἐνὶ κλισίῃσι λιλαίομαι, ἀλλὰ μάχεσθαι.

" Utilis-certè-in-unum-collata virtus est virorum, etiam valdè imbellium:
" Nos autem et cum fortibus novimus pugnare."
Sic fatus, ille quidem rursùs abiit deus in pugnam virorum:
Idomeneus autem, quando jam ad tentorium benè-structum venisset,
Induit arma pulchra circa corpus, sumpsitque duo-hastilia:
Perrexitque ire fulguri similis, quod scilicèt Saturnius
Manu acceptum miserit vibratum à corusco Olympo,
Ostendens signum hominibus: praeclari utique *sunt* ejus radii:
Sic hujus aes splendebat circa pectora currentis.
Meriones autem ei, famulus bonus, occurrit,
Quum abesset propè adhuc à tentorio: nam hastam aeream ibat
Sumpturus. Hunc itaque allocuta est vis Idomenei; [*allocutus est Idomeneus:*]
" Merione, Moli fili, pedibus celer, charissime sodalium,
" Cur venisti, proelioque relicto et pugnâ?
" Nunquid vulneratus es, telique te affligit cuspis?
" An alicujus-rei nuncius ad me venisti? neque *verò* omnino ipse
" Desidere in tentoriis cupio, sed pugnare."

Ver. 238. — ἐπισταίμεσθα μάχεσθαι.] Codd. *Harleian.* à *Tho. Bentleio* collati, ἐπιστάμεθα. Undè fortè legendum, ἐπιστάμεθα μαχέεσθαι.

Ver. 240. — κλισίην — ἵκανε.] Vide suprà ad *ver.* 214.

Ver. 241. Δύσετο.] Ita *Barnesius* ex MSS. et Editt. Vett. Rectè. Nam δύσετο, primam necessariò producit. *Al.* Δύσσετο.

Ibid. —— καλὰ.] Vide suprà ad β', 43.

Ibid. —— γέντο.] *Eustathius* ad ι', 369. φίλτατος, φίντατος· ἦλθεν, ἦνθεν· ἕλετο, ἕντο, καὶ δωρικῶς, γέντο· κέλετο, κέντο. Equidem crediderim potiùs ab inusitato quodam γένω, vel γέννω, vel γείνω deductam. Nam *Dorica* ista, quæ memorat *Eustathius*, recentiora videntur, et *Homero* (ut opinor) ignota.

Ver. 242. —— ἀστεροπῇ ἐναλίγκιος.]
—— fulmina belli,
Scipiadas. ——.
Æn. VI, 842.

Ver. 246. Μηριόνης δ' ἄρα.] *Meriones autem, ut dictum est,* ——. Connectitur nimirùm cum eo quod suprà dictum est, *ver.* 167, &c.

Ibid. —— θεράπων.] Non *Servus,* sed Militum *Præfectus inferior.* Vel, *Idomenei Armiger.*

Ver. 248. Οἰσόμενος.] Vide suprà ad *ver.* 168.

Ver. 251. 252. —— βέβληαι, —— ἤλυθες.] Non ex Aoristo, ἤλυθον· sed ex Perfecto, ἤλυθα. Vide suprà ad α', 37.

Τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα·
Ἰδομενεῦ, Κρητῶν βουληφόρε χαλκοχιτώνων,
Ἔρχομαι, εἴ τι τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται,
Οἰσόμενος· τό νυ γὰρ κατεάξαμεν, ὃ πρὶν ἔχεσκον,
Ἀσπίδα Δηϊφόβοιο βαλὼν ὑπερηνορέοντος.
Τὸν δ' αὖ Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
Δούρατά γ', αἴκ' ἐθέλησθα, καὶ ἓν καὶ εἴκοσι δήεις,
Ἑσταότ' ἐν κλισίῃ πρὸς ἐνώπια παμφανόωντα,
Τρώϊα, τὰ κταμένων ἀποαίνυμαι· οὐ γὰρ ὀΐω
Ἀνδρῶν δυσμενέων ἑκὰς ἱστάμενος πολεμίζειν.
Τῷ μοι δούρατά ἐστι, καὶ ἀσπίδες ὀμφαλόεσσαι,
Καὶ κόρυθες, καὶ θώρηκες λαμπρὸν γανόωντες.
Τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα·
Καί τοι ἐμοὶ παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ
Πόλλ' ἔναρα Τρώων· ἀλλ' οὐ σχεδόν ἐστιν ἑλέσθαι·
Οὐδὲ γὰρ οὐδ' ἐμέ φημι λελασμένον ἔμμεναι ἀλκῆς,
Ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν
Ἵσταμαι, ὁππότε νεῖκος ὀρώρηται πολέμοιο.
Ἄλλον πού τινα μᾶλλον Ἀχαιῶν χαλκοχιτώνων

Hunc autem Meriones prudens vicissim allocutus est:
" Idomeneu, Cretum princeps aere-loricatorum,
" Venio, si qua tibi hasta in tentoriis relicta est,
" Sumpturus: Eam enim jam confregimus, quam priùs habebam,
" Clypeo Deïphobi percusso ferocientis."
Hunc autem Idomeneus, Cretum ductor, vicissim allocutus est:
" Hastas quidem, si volueris, et unam et viginti invenies,
" Stantes in tentorio ad parietes collucentes,
" Trojanas, quas à caesis abstuli. Non enim profiteor
" A viris hostibus longè stans pugnare.
" Ideò mihi hastae sunt, et scuta umbonibus-munita,
" Et galeae, et thoraces lucidùm renidentes."
Hunc autem Meriones prudens vicissim allocutus est:
" *Quin* et mihi apud tentoriumque et navem nigram
" Multa *sunt* spolia Trojanorum: sed non propè sunt, ut-sumere-possim:
" Neque enim nè me *quidem* puto oblitum esse fortitudinis;
" Sed inter primos in pugnâ illustres-viros-reddente
" Sto, quandò certamen exortum fuerit belli.
" Alium fortè aliquem magis Achivorum aere-loricatorum

Ver. 259. —— *αὖ.*] *Al. αὖτ'.*

Ver. 260. —— *Δούρατά γ'.*] *Al. Δούρατα δ'.*

Ver. 260—262. *Δούρατά*——*τὰ κταμένων ἀποαίνυμαι.*]

Suggere tela mihi,——
——steterunt quæ in corpore Grajûm
Iliacis campis.—— *Æn.* X, 333.

Ver. 261. —*κλισίῃ.*] *κλισίῃς*, codd. *Italic.* à *Th. Bentleio* collati.

Ibid. —— *παμφανόωντα.*] Scholiasti, *δούρατα παμφανόωντα.* *Aliis*, *ἐνώπια παμφανόωντα.*

Ver. 262. —— *ἀποαίνυμαι.*] Vide suprà ad *γ'*, 260.

Ver. 267. —— *παρά τε κλισίῃ.—Πολλ' ἔναρα Τρώων.*]

——et spolia illa tuis pendentia tectis.
Æn. V, 393.

Λήθω μαρνάμενος, σὲ δὲ ἴδμεναι αὐτὸν ὀΐω.
  Τὸν δ' αὖ Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
Οἶδ' ἀρετὴν οἷός ἐσσι· τί σε χρὴ ταῦτα λέγεσθαι;
Εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες ἄριστοι
Ἐς λόχον, (ἔνθα μάλιστ' ἀρετὴ διαείδεται ἀνδρῶν,
Ἔνθ' ὅ,τε δειλὸς ἀνὴρ, ὅς τ' ἄλκιμος, ἐξεφαάνθη·
Τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ,
Οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ' ἐν φρεσὶ θυμὸς,
Ἀλλὰ μετοκλάζει, καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει·
Ἐν δέ τέ οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει,
Κῆρας ὀϊομένῳ· πάταγος δέ τε γίνετ' ὀδόντων·
Τοῦ δ' ἀγαθοῦ οὔτ' ἂρ τρέπεται χρὼς, οὔτε τι λίην
Ταρβεῖ, ἐπειδὰν πρῶτον ἐσίζηται λόχον ἀνδρῶν,
Ἀρᾶται δὲ τάχιστα μιγήμεναι ἐν δαῒ λυγρῇ·)
Οὐδέ κεν ἔνθα τεόν γε μένος καὶ χεῖρας ὄνοιτο.
Εἴ περ γάρ κε βλεῖο πονεύμενος, ἠὲ τυπείης,
Οὐκ ἂν ἐν αὐχέν' ὄπισθε πέσοι βέλος, οὐδ' ἐνὶ νώτῳ,
Ἀλλά κεν ἢ στέρνων, ἢ νηδύος ἀντιάσειε,

"Lateo pugnans, te verò scire ipsum puto."
Hunc autem Idomeneus, Cretum ductor, vicissim allocutus est:
"Novi virtute qualis sis: quid te oportet haec dicere?
"Si enim nunc prope naves seligamur omnes fortissimi
"Ad insidias, (ubi maximè virtus dispicitur virorum:
"Ubi, quique timidus vir, quique fortis, facilè apparet:
"Quippe ignavi mutatur *subinde* color alius ex alio:
"Neque ei, sine-motando ut sedeat, continetur in praecordiis animus,
"Sed flexis-genibus-considit, et super ambos pedes sedet;
"Intúsque ei cor valdè in pectoribus palpitat,
"Mortem expectanti; stridorque insuper oritur dentium:
"*Viri* autem fortis, neque mutatur color, neque valdè
"Tremit, postquam primùm se-collocârit-in insidiis virorum;
"Optat autem quàm-citissimè misceri in proelio gravi:)
"Nè ibi quidem tuos animos et manus *quis* vituperârit.
"Si quando enim *seu* eminùs vulneratus fueris in-pugnâ-laborans, seu cominùs:
"Non in cervicem *tibi* à tergo inciderit telum, nec in dorsum,
"Sed vel pectoribus, vel ventri occurrerit,

Ver. 276. —— *παρὰ νηυσὶ λεγοίμεθα*——*Ἐς λόχον.*] In editione *Wetsteniana*, ubi Interpretatio plerumque perelegans, hæc ita redduntur:——*propè naves sedeamus in insidiis.* Pessimè.

Ver. 278. — *ὅς τ' ἄλκιμος.*] *ὅ, τι τ' ἄλκιμος*, Cod. *Ital.* à *Th. Bentleio* collatus.

Ver. 284. —— *οὔτι τι λίην Ταρβεῖ.*] Καλῶς Ὅμηρος, εἰπὼν, "Τοῦ δ' ἀγαθοῦ————, "οὔτε τι λίην Ταρβεῖ," Τὸν φόβον οὐκ ἀφεῖλεν, ἀλλὰ τὸν ἄγαν φόβον· ὅπως ἀνδρεία, μὴ ἀπόνοια, καὶ θαῤῥαλεότης μὴ θρασύτης γένηται. Plutarch. περὶ τῆς ἀρετῆς ἠθικῆς, sub finem.

Ver. 288. —— *βλεῖο.*] Codex *Harleian.* à *Th. Bentleio* collatus, *βλῆο.* Quod nescio annon magis analogum.

Ver. 289. —— *ἐν αὐχέν' ὄπισθε πέσοι.*] *Al.* *ἐπ' αὐχέν' ὄπισθε πέσῃ.*

—— at non, Evandre, pudendis
Vulneribus pulsum aspicies.——
Æn. XI, 55.

Ver. 290. — *ἀντιάσειε.*] Vide suprà ad *ά*, 67.

Πρόσσω ἱεμένοιο, μετὰ προμάχων ὀαριστύν.
Ἀλλ' ἄγε, μηκέτι ταῦτα λεγώμεθα, νηπύτιοι ὣς,
Ἑσταότες, μή πού τις ὑπερφιάλως νεμεσήσῃ·
Ἀλλὰ σύ γε κλισίηνδε κιὼν ἕλευ ὄβριμον ἔγχος.
Ὣς φάτο· Μηριόνης δὲ, θοῷ ἀτάλαντος Ἄρηϊ,
Καρπαλίμως κλισίηθεν ἀνείλετο χάλκεον ἔγχος·
Βῆ δὲ μετ' Ἰδομενῆα, μέγα πτολέμοιο μεμηλώς.
Οἷος δὲ βροτολοιγὸς Ἄρης πόλεμόνδε μέτεισι,
Τῷ δὲ Φόβος, φίλος υἱὸς, ἅμα κρατερὸς καὶ ἀταρβὴς,
Ἕσπετο, ὅστ' ἐφόβησε ταλάφρονά περ πολεμιστήν·
Τὼ μὲν ἄρ' ἐκ Θρήκης Ἐφύρους μέτα θωρήσσεσθον,
Ἠὲ μετὰ Φλέγυας μεγαλήτορας· οὐδ' ἄρα τώγε
Ἔκλυον ἀμφοτέρων, ἑτέροισι δὲ κῦδος ἔδωκαν·
Τοῖοι Μηριόνης τε καὶ Ἰδομενεὺς, ἀγοὶ ἀνδρῶν,
Ἤϊσαν ἐς πόλεμον, κεκορυθμένοι αἴθοπι χαλκῷ.
Τὸν καὶ Μηριόνης πρότερος πρὸς μῦθον ἔειπε·
Δευκαλίδη, πῆ τ' ἄρ μέμονας καταδῦναι ὅμιλον;

" Ulteriùs rectà-ruentis, inter primorum-pugnatorum turbam.
" Sed age, nè ampliùs haec interloquamur, fatui tanquam,
" *Hîc* stantes, ne fortè quis supramodum reprehendat:
" Verùm tu ad tentorium profectus sume validam hastam."
Sic dixit. Meriones autem, veloci par Marti,
Raptim è-tentorio sustulit aeream hastam;
Secutusque est Idomeneum valdè pugnae cupidus.
Qualis autem hominum-pernicies Mars ad-pugnam accedit;
Ipsumque Terror, charus filius, simul validus et impavidus,
Comitatur, qui utique terret pectoris-licèt-constantis bellatorem;
Atque hi quidem è Thraciâ in Ephyros armantur,
Vel in Phlegyas magnanimos; neque quidem iidem
Exaudierunt utrosque, alterutris autem gloriam dederunt:
Tales Merionesque, et Idomeneus, ductores virorum,
Ibant ad pugnam, armati corusco aere.
Hunc et Meriones prior verbo allocutus est:
" Deucalionide, quâ-parte fert-animus ingredi turbam?

Ver. 295. —— ἀτάλαντος.] Vide suprà ad β', 627.

Ver. 296. —— χάλκεον ἔγχος.] Vide suprà ad γ', 380.

Ver. 298. ——— Οἷος δὲ βροτολοιγὸς———, Τῷ δὲ Φόβος,———.]

Qualis apud gelidi cùm flumina concitus Hebri
Sanguineus Mavors clypeo increpat, atque furentes
Bella movens immittit equos;——
——circumque atræ Formidinis ora
Iræque, Insidiæque, Dei comitatus, aguntur. *Æn.* XII, 331.

Ver. 300. Ἕσπετο.] *Comitari solet.* Ita optimè constat *Temporum* ratio. Vide suprà ad β', 221; et ad ά, 37.

Ver. 301. Τὼ μὲν ἄρ' ἐκ Θρήκης Ἐφύρους μετὰ θωρήσσεσθον, Ἠὲ μετὰ Φλέγυας.] Hos nimirùm populos, ait, πολέμοις μάλιστα Ἑλλήνων χαίρειν. *Pausan. lib.* IX, *c.* 36. Cæterùm *Pausanias* versum priorem hoc modo citat:

Τὼ μὲν ἄρ' εἰς Ἐφύρους πόλεμον μεταθωρήσσεσθον.

Ver. 307. ——— πῆ τ' ἄρ.] *Et quânam igitur?*——

Ἠ ἐπὶ δεξιόφιν παντὸς στρατοῦ, ἢ ἀνὰ μέσσους,
Ἦ ἐπ' ἀριστερόφιν; ἐπεὶ οὔποθι ἔλπομαι οὕτω
Δεύεσθαι πολέμοιο καρηκομόωντας Ἀχαιούς.
Τὸν δ' αὖτ' Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
Νηυσὶ μὲν ἐν μέσσῃσιν ἀμύνειν εἰσὶ καὶ ἄλλοι,
Αἴαντές τε δύω, Τεῦκρός θ', ὃς ἄριστος Ἀχαιῶν
Τοξοσύνῃ, ἀγαθὸς δὲ καὶ ἐν σταδίῃ ὑσμίνῃ·
Οἵ μιν ἄδην ἐλόωσι καὶ ἐσσύμενον πολέμοιο,
Ἕκτορα Πριαμίδην, καὶ εἰ μάλα καρτερός ἐστιν.
Αἰπύ οἱ ἐσσεῖται, μάλα περ μεμαῶτι μάχεσθαι,
Κείνων νικήσαντι μένος καὶ χεῖρας ἀάπτους,
Νῆας ἐνιπρῆσαι, ὅτε μὴ αὐτός γε Κρονίων
Ἐμβάλοι αἰθόμενον δαλὸν νήεσσι θοῇσιν.
Ἀνδρὶ δέ κ' οὐκ εἴξειε μέγας Τελαμώνιος Αἴας,
Ὃς θνητός τ' εἴη, καὶ ἔδοι Δημήτερος ἀκτὴν,
Χαλκῷ τε ῥηκτὸς, μεγάλοισί τε χερμαδίοισιν·

" An ad dextram totius exercitûs, an per medios,
" An ad sinistram? quoniam nusquam existimo adeò
" Indigere certamine comantes Achivos."
Hunc autem Idomeneus, Cretum ductor, vicissim allocutus est:
" Naves quidem ad medias qui auxilientur sunt et alii,
" Ajacesque duo, Teucerque, qui praestantissimus Achivorum
" Arte-sagittandi, strenuus etiam et in statariâ pugnâ;
" Qui illum satìs exerceant, perquam-incitatum licèt ad pugnam,
" Hectorem Priamidem; etiamsi admodùm fortis sit.
" Arduum *sanè* ei erit, valdè licèt ardenti in proelium,
" Illorum superato robore et manibus invictis,
" Naves incendere; modò non ipse Saturnius
" Injecerit ardentem torrem navibus velocibus.
" Homini autem non cesserit magnus Telamonius Ajax,
" Qui mortalisque sit, et edat Cereris fruges,
" Aereque violabilis *sit*, magnisque saxis:

Ver. 309. —— *ἀριστερόφιν; ἐπεὶ.*] Quâ ratione, *ἀριστερόφιν*, hîc ultimam producat; item *τι*, *ver.* 323; et *Ἀχιλλῆϊ*, *ver.* 324; et *ὑπὸ*, *ver.* 334; vide suprà ad *ά*, 51.

Ibid. —— *ἐπεὶ οὔποθι*——*οὕτω Δεύεσθαι.*] Ne *dubitare* videatur *Meriones*, eóne versùs iret auxiliatum, ubi se *maximè* opus esset; an eò, ubi se *nihil* opus esset; quod est videlicèt absurdum: contendit *Popius* verba, *οὔποθι οὕτω δεύεσθαι*, eam vim habere, ut dicantur Græci, *omni ex parte* pulsi, auxilio *undique* ex æquo indigere. At hoc non fert linguæ Græcæ ratio. Dubitanti et quærenti, dextraene parti, an sinistræ, an mediæ demùm aciei opem ferret: succurrit, sinistram exercitûs partem auxilio maximè egere: Nec in hoc, quidquam absurdi.

Ver. 310. —— *καρηκομόωντας.*] Crinitos.
——— *Crinitus* Iopas. *Æn.* I, 744.

Ver. 312. —— *ἀμύνειν εἰσὶ καὶ ἄλλοι.*]
Sunt alii, qui tecta manu defendere possunt. *Æn.* XII, 627.

Ver. 316. *Ἕκτορα Πριαμίδην, καὶ εἰ μάλα καρτερός ἐστιν. Αἰπύ οἱ* ——.] Plerique ita distinguunt.

Ἕκτορα Πριαμίδην· καὶ εἰ μάλα καρτερός ἐστιν,
Αἰπύ οἱ———.

Sed istâ ratione, multò magis *ταυτολόγον* erit in eâdem sententiâ, *εἰ μάλα καρτερός ἐστιν·* et, *μάλα περ μεμαῶτι μάχεσθαι.*

Ibid. — *Πριαμίδην.*] Vide suprà ad *ά*, 398.

Ver. 317. —*μεμαῶτι.*] Vide suprà ad v. 46.

Ver. 320. *Ἐμβάλοι.*] *Al.* *ἐμβάλῃ.*

Ver. 321. —*Ἀνδρὶ δέ κ' οὐκ.*] *Al.* *Ἀνδρὶ δὲ οὐκ.*

Οὐδ' ἂν Ἀχιλλῆϊ ῥηξήνορι χωρήσειεν,
Ἔν γ' αὐτοσταδίῃ· ποσὶ δ' οὔπως ἔστιν ἐρίζειν.
Νῶϊν δ' ὧδ' ἐπ' ἀριστερ' ἔχε στρατοῦ, ὄφρα τάχιστα
Εἴδομεν, ἤέ τῳ εὖχος ὀρέξομεν, ἦέ τις ἡμῖν.
Ὣς φάτο· Μηριόνης δὲ, θοῷ ἀτάλαντος Ἄρηϊ,
Ἦρχ' ἴμεν, ὄφρ' ἀφίκοντο κατὰ στρατὸν, ᾗ μιν ἀνώγει.
Οἱ δ' ὡς Ἰδομενῆα ἴδον, φλογὶ εἴκελον ἀλκὴν,
Αὐτὸν καὶ θεράποντα σὺν ἔντεσι δαιδαλέοισι,
Κεκλόμενοι καθ' ὅμιλον, ἐπ' αὐτῷ πάντες ἔβησαν·
Τῶν δ' ὁμὸν ἵστατο νεῖκος, ἐπὶ πρύμνῃσι νέεσσιν.
Ὡς δ' ὅθ' ὑπὸ λιγέων ἀνέμων σπέρχωσιν ἄελλαι
Ἤματι τῷ, ὅτε τε πλείστη κόνις ἀμφὶ κελεύθους,
Οἵτ' ἄμυδις κονίης μεγάλην ἱστᾶσιν ὀμίχλην·
Ὣς ἄρα τῶν ὁμόσ' ἦλθε μάχη, μέμασαν δ' ἐνὶ θυμῷ
Ἀλλήλους καθ' ὅμιλον ἐναιρέμεν ὀξέϊ χαλκῷ.
Ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι

" Nè ipsi quidem Achilli hostium-agmina-perrumpenti cesserit,
" In statariâ quidem *pugnâ;* pedibus autem nequaquam potest contendere.
" Nobis itaque huc ad sinistram tende exercitûs, ut citissimè
" Videamus, an alicui gloriam praebituri simus, an quis nobis."
Sic dixit. Meriones autem, veloci par Marti,
Coepit ire, donec pervenissent ad exercitum, quâ eum jusserat.
Hi autem, [*hostes*] quum Idomeneum viderent, flammae similem fortitudine,
Ipsum et famulum cum armis vario-artificio-factis,
Cohortantes per turbam, in ipsum omnes irruebant;
Manibusque-utrinque-consertis, commissum-est certamen ad puppes navium.
Ut verò cùm à stridulis ventis *agitatae* ingruunt procellae,
Die illo quum plurimus pulvis *est* in viis;
Qui porrò *venti,* simul pulveris magnam stare-faciunt nebulam:
Sic utique his simul *irruentibus* inita est pugna, ardebantque animo
Invicem-se per turbam interficere acuto aere.
Horruit autem pugna mortalibus exitiosa hastis

Ver. 324. Οὐδ' ἂν Ἀχιλλῆϊ.] Notandum hîc, quanto cum artificio, (ut Poema unum sit a capite ad calcem,) quicquid rerum narretur, quisquis hominum loquatur, nusquam non spectetur et inseratur *Achilles.* Vide suprà ad β', 673, 681; ad ἰ, 788; et ad ή, 228.

Ver. 326. Νῶϊν δ' ὧδ' ἐπ' ἀριστερ'.] *Quoniam media acies Tantis Viris tuta est, ideò Nos ad sinistram*———.

Ver. 329. ——— ἀφίκοντο.] ἀφίκειτο, cod. *Harleian.* à *Th. Bentleio* collatus.

Ver. 331. —— θεράποντα.] Vide suprà ad *ver.* 246.

Ver. 334. Ὡς δ' ὅθ' ὑπὸ λιγέων ἀνέμων.]
Qualis ubi ad terras abrupto sidere nimbus
It mare per medium; miseris heu præscia longè
Horrescunt corda agricolis; dabit ille ruinas
Arboribus, stragemque satis; ruet omnia latè:
Antevolant, sonitumque ferunt ad littora venti:
Talis in adversos ductor Rhæteïus hostes
Agmen agit; densi cuneis se quisque coactis
Agglomerant.——— *Æn.* XII, 451.

Ver. 339. Ἔφριξεν δὲ μάχη———· ὄσσε δ' ἄμερδεν Αὐγὴ χαλκείη.]
— ferro ancipiti decernunt, atraque latè
Horrescit strictis seges ensibus, *æraque fulgent*
Sole lacessita, et lucem sub nubila jactant.
Æn. VII, 525.
——— tum latè ferreus hastis

Μακρῆς, ἃς εἶχον ταμεσίχροας· ὄσσε δ' ἄμερδεν
Αὐγὴ χαλκείη κορύθων ἀπὸ λαμπομενάων,
Θωρήκων τε νεοσμήκτων, σακέων τε φαεινῶν,
Ἐρχομένων ἄμυδις· μάλα κεν θρασυκάρδιος εἴη,
Ὃς τότε γηθήσειεν ἰδὼν πόνον, οὐδ' ἀκάχοιτο.
Τὼ δ' ἀμφὶς φρονέοντε δύω Κρόνου υἷε κραταιὼ
Ἀνδράσιν ἡρώεσσι τετεύχατον ἄλγεα λυγρά.
Ζεὺς μὲν ἄρα Τρώεσσι καὶ Ἕκτορι βούλετο νίκην,
Κυδαίνων Ἀχιλῆα πόδας ταχὺν, οὐδ' ὅγε πάμπαν

Longis, quas tenebant acutas; oculosque perstringebat
Splendor aereus, galeis à lucentibus,
Thoracibusque recèns-tersis, scutisque fulgentibus,
Congredientium in-unum: Valdè utique audax-animo esset,
Qui tunc gavisus esset viso labore, neque animo-turbaretur.
Porrò diversis *partibus* faventes duo Saturni filii viribus-potentes,
Viris heroibus struebant dolores graves.
Quippe Jupiter quidem Trojanis et Hectori volebat victoriam,
Gloriosum-reddens Achillem pedibus velocem; neque *tamen* ille penitùs

Horret ager, campique armis sublimibus *ardent*. *Æn.* XI, 601.
— et *luce* coruscus *ahenâ*. *Æn.* II, 470.
Ἔνια μέντοι σαφέστερον ἐν ταῖς μεταφοραῖς λέγεται καὶ κυριώτερον, ἤπερ ἐν αὐτοῖς τοῖς κυρίοις· ὡς τὸ, "Ἔφριξεν δὲ μάχη." Οὐ γὰρ ἄν τις αὐτὸ μεταλαβὼν διὰ κυρίων, οὔτ' ἀληθέστερον εἴποι, οὔτε σαφέστερον. *Demetr. Phaler.* § 82. Τὸ δὲ, "αὐγὴ χαλκείη," τολμηρὸν φασιν ἐνταῦθα εἶναι οἱ παλαιοί. Οὐ γὰρ παραβολικῶς εἶπεν, ὡς ἐν ἄλλοις, "Χαλκὸς ἐλάμπετο εἴκελος αὐγῇ πυρὸς," ἤ τι τοιοῦτον· ἀλλὰ μονονουχὶ ἐφλόγωσεν τὰ ὅπλα, ἡλίου ἤ τινα τοιαύτην λαμπηδόνα προσπλάττων αὐτοῖς. *Eustath.*

Ibid. ——— φθισίμβροτος.] Syllaba φθῖ, in vocabulis φθισίμβροτος et φθισήνωρ, non ex φθῖσις desumpta est, sed ex φθίνω. Quæ vox, apud Homerum, etiam et in *Futuris* φθίσειν et φθίσεσθαι, *primam* semper producit. At φθῖσις, φθῖτὸς, et similia, sunt ex *Aoristo* ἔφθινον. Vide suprà ad ά, 309, 314, 338; et ad β', 43, 833.

Ver. 341. —— ἀπὸ λαμπομενάων.] *Al.* ἀπολαμπομενάων.

Ver. 344. Ὃς———γηθήσειεν———, οὐδ' ἀκάχοιτο.] Ἡ ἀπόφασις τῇ καταφάσει ποτὲ μὲν τὸ ἴσον δύναται, ποτὲ δὲ τὸ πλέον——— "οὐδ' ἄρα τῶγε ἰδὼν γήθησεν Ἀχιλλεύς." *Hermogenes* περὶ μεθόδου δεινότητος, c. 37. Similitèr *Eustathius*, ad ά, 330. Μυριαχοῦ φίλον τοῖς ῥήτορσιν, ἀντὶ καταφάσεων, εὐειδεῖ χρᾶσθαι σχήματι τῷ κατὰ ἀπόφασιν· ὡς καὶ ὅτε εἴπῃ τὸ, "οὐ γάρ μιν ἀφαυρότατος βάλεν," ἀλλὰ δηλαδὴ ὁ ἰσχυρότατος. Imitatus est hanc loquendi rationem *Virgilius*:

Nec verò Alciden me *sum lætatus* euntem Accepisse.—— *Æn.* VI, 392.

Quàm *ignavitèr* igitur de hoc loco Scriptor Gallicus *Terrasson!* "*Quelque licence*" (inquit) "*qu' Homére se soit donné dans sa Poesie, la necessité ou du moins la commodité de sons Vers l' a jetté dans des confusions bien plus grandes*——, γηθήσειεν, οὐδ' ἀκάχοιτο. "*Qui est ce qui pense à* se rejoüir *en voyant un combat? Et est-ce d'un autre côté un objet de* Tristesse *proprement dite?*" Dissert. sur l'Iliade, Part IV. chap. 6.

Ver. 346. ——— τετεύχατον ἄλγεα λυγρά.] Quâ analogiâ vocabulum hoc ἅπαξ λεγόμενον ita deductum sit ex τεύχω, ut vim habeat vel *Imperfecti*, vel *Aoristi*, vel ejus *Temporis* quod Grammatici *plusquam perfectum* appellant, equidem non video. Certè *Perfectum* τέτευχα locum hîc habere non potest. Nec enim usquam in totâ, quàm longa est, Iliade, ullius Verbi *Tempus perfectum* διωρισμένον, constructum hoc modo reperias vel ἀορίστως, vel παρατατικῶς. Vide suprà ad ά, 37. Vim autem hoc in loco necesse esse ut habeat vel *Aoristi*, vel *Imperfecti*, vel ejus denique *Temporis* quod *plusquam perfectum* appellari solet, indicat tum orationis ordo atque ratio; tum in eâdem quæ sequuntur sententiâ, βούλετο, ἤθελε, κύδαινε, ὀρόθυνε, ἤχθετο, ἐνεμέσσα· tum et *Scholiastæ* et *Eustathii* interpretatio: Quorum alter istud τετεύχατον exponit, ἔτευχον, κατεσκεύαζον, (non τετεύχασι, κατεσκευάκασι) Alter dictum ait πρὸς ὁμοιότητα τοῦ,——αὐτοὺς δ' ἑλώρια "τεῦχε" κύνεσσιν. Cod. *Italic.* à *Tho. Bentleio* collatus, habet τετεύχετον.

Ver. 348. Κυδαίνων Ἀχιλῆα.] Vide suprà ad *ver.* 324.

Ἤθελε λαὸν ὀλέσσαι Ἀχαιϊκὸν Ἰλιόθι πρὸ,
Ἀλλὰ Θέτιν κύδαινε καὶ υἱέα καρτερόθυμον·
Ἀργείους δὲ Ποσειδάων ὀρόθυνε μετελθὼν,
Λάθρη ὑπεξαναδὺς πολιῆς ἁλός· ἤχθετο γάρ ῥα
Τρωσὶν δαμναμένους, Διῒ δὲ κρατερῶς ἐνεμέσσα.
Ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος, ἠδ' ἴα πάτρη·
Ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ᾔδη.
Τῷ ῥα καὶ ἀμφαδίην μὲν ἀλεξέμεναι ἀλέεινε,
Λάθρη δ' αἰὲν ἔγειρε κατὰ στρατὸν, ἀνδρὶ ἐοικώς.
Τὼ δ' ἔριδος κρατερῆς καὶ ὁμοιΐου πολέμοιο
Πεῖραρ ἐπαλλάξαντες, ἐπ' ἀμφοτέροισι τάνυσσαν,
Ἄῤῥηκτόν τ' ἄλυτόν τε, τὸ πολλῶν γούνατ' ἔλυσεν.
Ἔνθα, μεσαιπόλιός περ ἐὼν, Δαναοῖσι κελεύσας
Ἰδομενεὺς, Τρώεσσιν ἐπάλμενος ἐν φόβον ὦρσε·
Πέφνε γὰρ Ὀρθυονῆα, Καβησόθεν ἔνδον ἐόντα·
Ὅς ῥα νέον πολέμοιο μετὰ κλέος εἰληλούθει·
Ἤτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην,

Volebat populum perdere Achaïcum ad Ilium;
Sed Thetin honorabat, et filium *ejus* magnanimum:
Argivorum verò Neptunus animos-excitabat interventu *suo*,
Clam emersus è cano mari; dolebat enim
A Trojanis *illos* domari, Jovique vehementèr iratus erat.
Sanè quidem utriusque unum *erat* genus, atque unus ortus;
Sed Jupiter prior natus-fuerat, et plura noverat.
Quocirca etiam *Neptunus* palàm quidem auxiliari cavebat,
Clàm verò semper concitabat *eos* per exercitum, homini assimilatus.
Hi itaque certaminis vehementis et omnibus-aequè-gravis pugnae
Funem hinc-inde-nexum super utrosque extenderunt,
Infrangibilemque, insolubilemque, qui multorum genua solvit.
Tum, semicanus licèt existens, Danaos cohortans
Idomeneus, Trojanis insiliens fugam incussit:
Interfecit enim Othryoneum, è Cabeso qui aderat:
Qui nuper belli ad famam venerat:
Petebat autem Priami filiarum formâ praestantissimam,

Ver. 349. —— ὀλέσσαι.] Ὀλέσθαι, *perire*; Cod. *Harleian.* à *Tho. Bentleio* collatus.

Ver. 352. — ἤχθετο γάρ ῥα.] *Dolebat enim, ut dixi,* ——. Connectitur nimirùm cum eo quod suprà dictum est, *ver.* 206.

Ver. 335. ——— Ζεὺς πρότερος γεγόνει, καὶ πλείονα ᾔδη.] Οὐ γὰρ ἀργύρῳ καὶ χρυσῷ μακάριον τὸ θεῖον, οὐδὲ βρονταῖς καὶ κεραυνοῖς ἰσχυρὸν, ἀλλὰ ἐπιστήμῃ καὶ φρονήσει. Καὶ τοῦτο κάλλιστα πάντων Ὅμηρος ὧν εἴρηκε περὶ θεῶν ἀναφθεγξάμενος, ——— "Ζεὺς πρότερος γεγόνει, καὶ πλείονα ᾔδει." *Plutarch. de Iside et Osiride; sub initio.* Repperit et *Barnesius*, in duobus MSS. ᾔδει.

Ver. 357. ——— ἀνδρὶ ἐοικώς.]
Omnia Mercurio similis, vocemque coloremque. *Æn.* IV, 558

Ver. 358. Τὼ.] *Al.* Τοί.

Ver. 359. Πεῖραρ ἐπαλλάξαντες,—— τάνυσσαν.] *Utrumque exercitum, tanquam circumjecto fune, in arctum constringebant.* Ut rectè *Popius.*

Ver. 362. —— Τρώεσσιν ἐπάλμενος.] MS. *Barnesii* unus; *Th. Bentleii* tres; Τρώεσσι μετάλμενος.

Ver. 364. ——Ὅς ῥα νέον —— Κασσάνδρην.]
—— illis ad Trojam fortè diebus
Venerat insano Cassandræ incensus amore,
Et gener auxilium Priamo Phrygibusque ferebat. *Æn.* II, 342.

Κασσάνδρην, ἀνάεδνον· ὑπέσχετο δὲ μέγα ἔργον,
Ἐκ Τροίης ἀέκοντας ἀπωσέμεν υἷας Ἀχαιῶν.
Τῷ δ' ὁ γέρων Πρίαμος ὑπό τ' ἔσχετο, καὶ κατένευσε
Δωσέμεναι· ὁ δὲ μάρναθ', ὑποσχεσίῃσι πιθήσας.
Ἰδομενεὺς δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
Καὶ βάλεν ὕψι βιβάντα τυχών· οὐδ' ἤρκεσε θώρηξ
Χάλκεος, ὃν φορέεσκε, μέσῃ δ' ἐν γαστέρι πῆξε·
Δούπησεν δὲ πεσών· ὁ δ' ἐπεύξατο, φώνησέν τε·
Ὀθρυονεῦ, πέρι δή σε βροτῶν αἰνίζομ' ἁπάντων,
Εἰ ἐτεὸν δὴ πάντα τελευτήσεις, ὅσ' ὑπέστης
Δαρδανίδῃ Πριάμῳ· ὁ δ' ὑπέσχετο θυγατέρα ἥν.
Καί κέ τοι ἡμεῖς ταῦτά γ' ὑποσχόμενοι τελέσαιμεν·
Δοῖμεν δ' Ἀτρείδαο θυγατρῶν εἶδος ἀρίστην,
Ἄργεος ἐξαγαγόντες, ὀπυιέμεν· εἴκε σὺν ἄμμιν
Ἰλίου ἐκπέρσῃς εὖ ναιόμενον πτολίεθρον.
Ἀλλ' ἕπευ, ὄφρ' ἐπὶ νηυσὶ συνώμεθα ποντοπόροισιν
Ἀμφὶ γάμῳ· ἐπεὶ οὔτοι ἐεδνωταὶ κακοὶ εἰμέν.
Ὣς εἰπὼν, ποδὸς εἷλκε κατὰ κρατερὴν ὑσμίνην

Cassandram, indotatam: pollicitus nempè fuerat magnum opus,
A Trojâ *quantumvis* invitos depulsurum *se* filios Achivorum.
Illi autem senex Priamus *eam* promiserat, et annuerat
Daturum esse: ille itaque pugnabat, promissis fretus.
Idomeneus autem in illum collimabat hastâ fulgenti,
Et percussit sublimi-gradu incedentem assecutus; nec arcuit thorax
Aereus, quem gestabat; medio autem *is* in ventre fixit:
Fragorem verò edidit cadens: is autem super *eum* gloriatus est, dixitque:
" Othryoneu, te sanè supra mortales laudo omnes,
" Si utique verè omnia perficies, quae pollicitus es
" Dardanidae Priamo: is autem promisit filiam suam.
" Quin et tibi nos haec polliciti praestiterimus;
" Dederimusque Atridae filiarum formâ praestantissimam,
" Ex Argis arcessitam, quam ducas; siquidem, nobiscum
" Ilii expugnaveris benè habitatam urbem.
" Sed sequere, ut ad naves in-colloquium-veniamus pontum-transeuntes
" De nuptiis: quippe nequaquam soceri illiberales sumus."
Sic fatus, pede traxit per acre proelium

Ver. 366. — ἀνάεδνον.] Cassandram nimirùm, non muneribus, sed operâ et rebus gestis, promereri studebat. Ut notavit *Domina Dacier.*

Ibid. —— ὑπέσχετο δὲ.] Quâ ratione, δὲ hîc producatur; item Πριάμος, *ver.* 368. et θυγατέρα, *ver.* 376. vide suprà ad ά, 51. *Barnesius*, δὴ, hoc in loco scribendum voluit: Sed nihil opus.

Ver. 368. — Πρίαμος ὑπό τ' ἴσχετο.] Edidit *Barnesius* ex conjecturâ, Πρίαμος μὲν ὑπίσχετο· vel, Πρίαμος μιν ὑπίσχετο. At idem uno in MS. repperit, et *Th. Bentleius* in pluribus, Πρίαμος ὑπό τ' ἴσχετο. *Vulgg.* Πρίαμος ὑπίσχετο. Quod manifestò corruptum est.

Ver. 373. Δούπησεν.] Vide suprà ad *ver.* 181.

Ver. 376. — θυγατέρα.] Vide suprà ad ά, 398.

Ver. 382.— ἐεδνωταὶ.] Ità *Barnesius* et *Veteres.* Nempè ut ex ἥλιος, ἠέλιος· ita ex ἕδνον, ἔεδνον. *Vulgg.* ἰδνωταί. Sed leviculum hoc.

Ibid. ——— εἰμέν.] *Al.* ἰσμέν.

Ἥρως Ἰδομενεύς· τῷ δ᾽ Ἄσιος ἦλθεν ἀμύντωρ,
Πεζὸς πρόσθ᾽ ἵππων· τὼ δὲ πνείοντε κατ᾽ ὤμων
Αἰὲν ἔχ᾽ ἡνίοχος θεράπων· ὁ δὲ ἵετο θυμῷ
Ἰδομενῆα βαλεῖν, ὁ δέ μιν φθάμενος βάλε δουρὶ
Λαιμὸν ὑπ᾽ ἀνθερεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν·
Ἤριπε δ᾽, ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ἀχερωΐς,
Ἠὲ πίτυς βλωθρὴ, τήν τ᾽ οὔρεσι τέκτονες ἄνδρες
Ἐξέταμον πελέκεσσι νεήκεσι, νήϊον εἶναι·
Ὣς ὁ πρόσθ᾽ ἵππων καὶ δίφρου κεῖτο τανυσθεὶς,
Βεβρυχὼς, κόνιος δεδραγμένος αἱματοέσσης.
Ἐκ δέ οἱ ἡνίοχος πλήγη φρένας, ἃς πάρος εἶχεν,
Οὐδ᾽ ὅγε τόλμησεν, δηΐων ὑπὸ χεῖρας ἀλύξας,
Ἂψ ἵππους στρέψαι· τὸν δ᾽ Ἀντίλοχος μενεχάρμης
Δουρὶ μέσον περόνησε τυχών· οὐδ᾽ ἤρκεσε θώρηξ

Heros Idomeneus. Huic autem Asius venit vindex,
Pedes, ante equos; hos autem anhelantes in humeros *ejus*
Assiduè tenebat auriga famulus: ille verò cupiebat animo
Idomeneum percutere; is autem illum prior percussit hastâ
Ad jugulum sub mento, penitúsque hastam adegit:
Cecidit igitur, sicut quando aliqua quercus cecidit, vel populus-alba,
Vel pinus alta, quam scilicèt in montibus fabri
Exciderunt securibus recèns-exacutis, navale-lignum ut-sit:
Sic ille ante equos et currum jacebat porrectus,
Dentibus-frendens, pulvere manibus-prehenso sanguinolento.
Defectus verò est ejus auriga mente, quam antè habebat;
Neque is ausus est, hostium manus *ut*-effugeret,
Retrò equos vertere: Eum itaque Antilochus bellicosus
Hastâ medium transfodit assecutus: neque arcuit thorax

Ver. 384. —— ἦλθεν ἀμύντωρ.] *Al.* ἦλθ᾽ ἐπαμύντωρ.

Ver. 388. Λαιμὸν ὑπ᾽ ἀνθερεῶνα.]
Sternitur; hæsit enim sub gutture vulnus, et udæ
Vocis iter tenuemque inclusit sanguine vitam. *Æn.* VII, 533.

Ver. 389. —— ὡς ὅτε τις δρῦς ἤριπεν.]
Ac veluti summis antiquam in montibus ornum
Cùm ferro accisam crebrisque bipennibus instant
Eruere agricolæ certatim; illa usque minatur,
Et tremefacta comam concusso vertice nutat:
Vulneribus donec paullatim evicta, supremùm
Congemuit, traxitque jugis avulsa ruinam. *Æn.* II, 626.

Pulcherrimus sanè hic locus *Virgilianus*, eorumque ex numero est, quos (*Macrobio* judice, *lib.* 5. *c.* 11.) ita transtulit *Virgilius*, ut *Homero* superior videatur: Quippe "*magno cultu* Virgilius *difficultatem abscindendæ arboreæ molis expressit; verùm nullo negotio Homerica arbor abscinditur.*" At reverà (ut ex *Hobbesio* notavit *Popius*) inepta est omnis horum duorum locorum inter se instituta comparatio. Quippe *Homerus* et *Virgilius*, cùm res longè inter se diversas describerent; hic urbem ingentem in ignes paullatim considentem, ille hominem uno ictu occisum atque humi stratum; suam uterque materiam suo colore ac specie ornavit, suam uterque pulcherrimâ aptissimâque similitudine explicavit.

Ibid. —— ἀχερωΐς.] *Al.* ἀχελωΐς.

Ver. 392. — Ὣς ὁ — αἱματοέσσης.] Citato hoc loco, indicat *Dionysius Halicarnasseus*, quomodo συνθέσεως λύσις λύει καὶ τὸ κάλλος αὐτῆς καὶ τὸ κράτος, quamvis quis οὔτε προσθεὶς οὐδὲν, οὔτε ἀφελὼν, τὴν σύνθεσιν ἀλλάξαι μόνον. Περὶ Συνθέσεως, § 4.

Ver. 394. —— πλήγη.] Vide suprà ad γ΄, 31.

Χάλκεος, ὃν φορέεσκε, μέσῃ δ' ἐν γαστέρι πῆξεν.
Αὐτὰρ ὅγ' ἀσθμαίνων εὐεργέος ἔκπεσε δίφρου·
Ἵππους δ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱὸς,
Ἐξέλασε Τρώων μετ' ἐϋκνήμιδας Ἀχαιούς.
Δηΐφοβος δὲ μάλα σχεδὸν ἤλυθεν Ἰδομενῆος,
Ἀσίου ἀχνύμενος, καὶ ἀκόντισε δουρὶ φαεινῷ·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
Ἰδομενεύς· κρύφθη γὰρ ὑπ' ἀσπίδι πάντοσε ἴσῃ,
Τὴν ἄρ' ὅγ' ἐν ῥινοῖσι βοῶν καὶ νώροπι χαλκῷ
Δινωτὴν φορέεσκε, δύω κανόνεσσ' ἀραρυῖαν·
Τῇ ὕπο πᾶς ἐάλη, τό δ' ὑπέρπτατο χάλκεον ἔγχος·
Καρφαλέον δέ οἱ ἀσπὶς ἐπιθρέξαντος ἄϋσεν
Ἔγχεος· οὐδ' ἅλιόν ῥα βαρείης χειρὸς ἀφῆκεν,
Ἀλλ' ἔβαλ' Ἱππασίδην Ὑψήνορα, ποιμένα λαῶν,
Ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσε.
Δηΐφοβος δ' ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας·
  Οὐ μὰν αὖτ' ἄτιτος κεῖτ' Ἄσιος· ἀλλά ἑ φημὶ,
Εἰς Ἄϊδός περ ἰόντα πυλάρταο, κρατεροῖο,
Γηθήσειν κατὰ θυμόν· ἐπεί ῥά οἱ ὤπασα πομπόν.

Aereus, quem gerebat; medio autem in ventre fixit.
Atque hic quidem anhelans affabrè-factâ excidit sellâ:
Equos autem Antilochus, magnanimi Nestoris filius,
Abegit à Trojanis ad benè-ocreatos Achivos.
Deïphobus verò admodùm propè venit Idomeneum,
Propter-Asium dolens, et jaculatus est hastâ fulgenti:
At ille quidem ex-adverso conspicatus evitavit aeream hastam
Idomeneus: occultatus est enim sub clypeo undique aequali,
Quem ipse coriis boum et corusco aere
Tornatum gerebat, duobus manubriis aptatum:
Sub hoc se totum collegit, supervolavitque aerea hasta:
Aridùm verò ei clypeus in-transcursu-stringente resonuit
Hastâ: neque irritam sanè robustâ manu emisit *Deïphobus*,
Sed percussit Hippasidem Hypsenorem, pastorem populorum,
Ad hepar sub praecordiis, confestimque genua solvit.
Deïphobus igitur valdè super eum gloriatus est, altè clamans:
" Non utique inultus jacet Asius: sed ipsum puto,
" Ad Orcum licèt euntem validas-portas-habentem, durum,
" Gavisurum esse animo; quoniam ei dedi comitem, *qui deducat*."

Ver. 402. —— ἤλυθεν.] Postulat Temporum ratio, ut sit ἤλυθειν ex Aoristo ἤλυθον, non ex Perfecto ἤλυθα. Vide suprà ad ά, 37.

Ver. 403.—ἀχνύμενος.] Vide suprà ad γ', 260.

Ibid. —— ἀκόντισε.] Vide suprà ad ά, 140.

Ver. 404. —— ἄντα ἰδὼν ἠλεύατο.]
—— ille ictum venientem a vertice velox
Prævidit, celerique elapsus corpore cessit.
Æn. X, 444.

Ver. 406. —— νώροπι χαλκῷ.] Vide suprà ad β', 578.

Ver. 408. —— ἐάλη.] *Al.* ἑάλη. Quod est parvi momenti.

Ibid. —— τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος.]
—— tremebunda supervolat hasta.
Æn. X, 522.

Ver. 414. —— ἄτιτος.] Ex τίω, ἄτῐτος· eâdem analogiâ, atque ex λύω, ἄλῠτος· ex κρίνω, ἄκρῐτος· ex φθίνω, ἄφθῐτος· ex κλίνω, ἄκλῐτος· ex μαρτύρομαι, ἀμάρτῠρος· aliaque innumera. Vide suprà ad ά, 309. 314. 338. ad β', 43. et ad δ', 257.

Ὣς ἔφατ᾽· Ἀργείοισι δ᾽ ἄχος γένετ᾽ εὐξαμένοιο,
Ἀντιλόχῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·
Ἀλλ᾽ οὐδ᾽, ἀχνύμενός περ, ἑοῦ ἀμέλησεν ἑταίρου,
Ἀλλὰ θέων περίβη, καί οἱ σάκος ἀμφεκάλυψε.
Τὸν μὲν ἔπειθ᾽ ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,
Μηκιστεὺς, Ἐχίοιο πάϊς, καὶ δῖος Ἀλάστωρ,
Νῆας ἐπὶ γλαφυρὰς φερέτην, βαρέα στενάχοντε.
Ἰδομενεὺς δ᾽ οὐ λῆγε μένος μέγα· ἵετο δ᾽ αἰεὶ
Ἠέ τινα Τρώων ἐρεβεννῇ νυκτὶ καλύψαι,
Ἢ αὐτὸς δουπῆσαι, ἀμύνων λοιγὸν Ἀχαιοῖς.
Ἔνθ᾽ Αἰσυήταο διοτρεφέος φίλον υἱὸν
Ἥρω᾽ Ἀλκάθοον· (γαμβρὸς δ᾽ ἦν Ἀγχίσαο·
Πρεσβυτάτην δ᾽ ὤπυιε θυγατρῶν Ἱπποδάμειαν,
Τὴν περὶ κῆρι φίλησε πατὴρ καὶ πότνια μήτηρ
Ἐν μεγάρῳ· πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο
Κάλλεϊ, καὶ ἔργοισιν, ἰδὲ φρεσί· τοὔνεκα καί μιν
Γῆμεν ἀνὴρ ὤριστος ἐνὶ Τροίῃ εὐρείῃ·)
Τὸν τόθ᾽ ὑπ᾽ Ἰδομενῆϊ Ποσειδάων ἐδάμασσε,

Sic dixit: Argivis autem dolor datus est, eo gloriante;
Antilocho autem maximè bellicoso animum commovit;
Non tamen, dolens licèt, suum neglexit socium,
Sed accurens protexit, et ei scutum praetendit.
Hunc quidem deindè subeuntes duo chari socii,
Mecisteus, Echii filius, et nobilis Alastor,
Naves ad cavas portabant, graviter gementes.
Idomeneus autem non remittebat de animo magno; sed cupiebat assiduè
Vel aliquem Trojanorum tenebrosâ nocte tegere,
Vel ipse fragorem-edere-cadens, dum-depelleret exitium Achivis.
Tunc Aesyetae Jovis-alumni charum filium
Heroëm Alcathoum; (gener autem erat Anchisae;
Maximamque-natu duxerat filiarum Hippodamiam,
Quam ex corde dilexit pater et veneranda mater
In domo; supra totum enim aequalium-coetum eminebat
Pulchritudine, et operum peritiâ, atque prudentiâ; quare et ipsam
Duxerat vir nobilissimus in Trojâ amplâ :)
Hunc tunc sub Idomeneo Neptunus domuit,

Ver. 424. —— *οὐ λῆγε μένος.*] *Eustath.* Τὸ δὲ, "ἔληγε μένος," οἱ μεθ᾽ Ὅμηρον, "ἔληγε μένους," ἐροῦσιν ἄν.—Ἔστι δὲ τὸ μὲν, "ἔληγε μένος," ἀντὶ τοῦ "ἔπαυσε·" τὸ δὲ "ἔληγε μένους," ἀντὶ τοῦ "ἐπαύσατο." Rectissimè. Nempè λήγει μένος, is qui ipse se cohibet; λήγει μένους, is qui occisus aut vulneratus aut defatigatus deficit. Vide suprà ad γ', 141.

Ver. 426. Ἢ αὐτὸς δουπῆσαι.]

—— seu certæ occumbere morti.

Æn. II, 62.

Ver. 430. —— *περὶ κῆρι φίλησε.*] *Eustath.* περισσῶς ἐφίλησε. Unde vir doctissimus *H. Stephanus* scribit, πέρι κῆρι φίλησε.

Ver. 432. Κάλλεϊ, καὶ ἔργοισιν.] *Al.* Κάλλει ἠδ᾽ ἔργοισιν.

Ver. 433. Γῆμεν ἀνὴρ ὤριστος ἐνὶ Τροίῃ εὐρείῃ.] Post hunc versum nonnulli Antiquorum, teste *Eustathio*, tres sequentes inscruerunt:

Πρὶν Ἀντηνορίδας τραφέμεν καὶ Πανθόου υἷας,
Πριαμίδας θ᾽, οἳ Τρωσὶ μετέπρεπον ἱπποδάμοισιν.
Ἕως ἔθ᾽ ἥβην εἶχεν, ὄφελλε δὲ κούριον ἄνθος.

Homero non indignos, judice *Domina Dacier*: Mihi videntur commentitii, et recentiorem ætatem sapere.

Θέλξας ὄσσε φαεινὰ, πέδησε δὲ φαίδιμα γυῖα.
Οὔτε γὰρ ἐξοπίσω φυγέειν δύνατ᾽, οὔτ᾽ ἀλέασθαι·
Ἀλλ᾽, ὥστε στήλην, ἢ δένδρεον ὑψιπέτηλον,
Ἀτρέμας ἑσταότα, στῆθος μέσον οὔτασε δουρὶ
Ἥρως Ἰδομενεὺς, ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα
Χάλκεον, ὅς οἱ πρόσθεν ἀπὸ χροὸς ἤρκει ὄλεθρον·
Δὴ τότε γ᾽ αὖον ἄϋσεν, ἐρεικόμενος περὶ δουρί·
Δούπησεν δὲ πεσὼν, δόρυ δ᾽ ἐν κραδίῃ ἐπεπήγει,
Ἥ ῥά οἱ ἀσπαίρουσα, καὶ οὐρίαχον πελέμιζεν
Ἔγχεος· ἔνθα δ᾽ ἔπειτ᾽ ἀφίει μένος ὄβριμος Ἄρης
Ἰδομενεὺς δ᾽ ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας·
Δηΐφοβ᾽, ἦ ἄρα δή τι εἴσκομεν ἄξιον εἶναι

Caligine-offusâ oculis lucidis, praepedivit autem *quasi vinculo* pulchra membra.
Neque enim retrò fugere poterat, neque declinare:
Sed tanquam columnam, vel arborem alto-vertice-comantem,
Sine-motu stantem, pectus medium vulneravit hastâ
Heros Idomeneus, disciditque ei circum loricam
Aeream, quae ei antè à corpore arcebat perniciem;
At tunc quidem aridùm-quid resonuit, fissa ab hastâ:
Fragoremque-ille-edidit cadens, hasta verò in corde fixa erat,
Quod quidem ipsi palpitans, etiam extremum-ferrum quassabat
Hastae: tum verò deinde remisit impetum *suum* valida hasta.
Idomeneus ergò valdè super *eum* gloriatus est, altè clamans:
" Deïphobe, numquid jam *tibi* videmur-rectè-judicare aequum esse,

---

Ver. 435. —— ὄσσε φαεινὰ.] Ita *Barnesius*, et Veterum nonnulli. Rectè, ut mihi quidem videtur. Nam *Eustathius*, locis à *Barnesio* citatis, agnoscit ὄσσε tam esse *Neutrum* posse, quam *Masculinum*. Vir doctissimus *H. Stephanus* scribendum omninò contendit, ὄσσε φαεινώ. Quod tamen versum planè perimit, ita ut *nullâ licentiâ* sanari queat; nisi quis ex merâ conjecturâ, pro πέδησε, scribere velit ἴδησε. At, inquit vir doctissimus, " *quî* φαεινὰ *defendi possit, non video.*" Nec tamen causam subjicit, quare defendi non posse existimet. Certè, si ὄσσε *generis neutrius* esse potest, quod agnoscit *Eustathius*; nihil impedit quominùs cum *Substantivo Duali* conjungatur *Plurale Adjectivum*. Non quòd ἀδιαφόρως (ut ex *Eustathio Barnesius*) τὰ Δυϊκά τε πληθυντικῶς ἐκφωνεῖται, καὶ τὰ Πληθυντικὰ δυϊκῶς· quod est *perabsurdum*: Sed quòd *certâ quâdam ac constanti ratione*, (quam suprà exposuimus, ad ά, 566. ad β΄, 288. et ad ί, 487.) fieri id queat.

Ver. 438. —— οὔτασε.] Vide suprà ad δ΄, 525. et ad ά, 140.

Ver. 440. — ὅς οἱ.] Quâ ratione, ὅς, hîc producatur; item ἐταρίσσαιτο, *ver.* 456. vide suprà ad ά, 51. Cæterùm sunt qui hîc legant, ὅς ῥ᾽ οἱ.

Ver. 442. Δούπησεν δὲ πεσὼν.] Vide suprà ad *ver.* 181.

Ver. 444. —— ἀφίει μένος.] Ἤγουν ἔστη τῆς προσωτέρω ὁρμῆς ὁ σίδηρος· ἢ —— ἐποίησε τὸν τετρωμένον ἀφεῖναι τὸ ψυχικὸν μένος. *Eustath.* Priorem veram esse explicandi rationem, liquet ex π΄, 613: Ubi eadem iterùm occurrunt verba, ita disposita, ut nullus sit intellectui ambiguo locus.

Ver. 446. —— ἦ ἄρα δή τι ἐΐσκομεν ἄξιον εἶναι Τρεῖς ἑνὸς ἀντιπεφάσθαι, ἐπεὶ σύ περ εὔχεαι αὔτως; Δαιμόνι᾽, ἀλλὰ καὶ αὐτὸς ——.] *Al.* δή τοι ἐΐσκομεν. *Al.* δή τι σ᾽ ἐΐσκομεν. Vir doctissimus *Henr. Stephanus* sine interrogatione scribendum, et hoc modo distinguendum contendit:

—— ἦ ἄρα δή τοι ἐΐσκομεν ἄξιον εἶναι
Τρεῖς ἑνὸς ἀντιπεφάσθαι· ἐπεὶ σύ περ εὔχεαι
αὔτως,
Δαιμόνι᾽, ἀλλὰ καὶ αὐτὸς ——.

" *Ut hic Sensus sit: Equidem, Deïphobe, nos abundè vicem retulisse (vel injuriam ultos esse) putamus in eo quòd tres pro uno à nobis occisi sint: quid tamen te ita jactas, vir præclare, tu quoque mecum congredere; ut si non satis est tres occidisse pro uno, tu*

Τρεῖς ἑνὸς ἀντιπεφάσθαι, ἐπεὶ σύ περ εὔχεαι αὔτως;
Δαιμόνι', ἀλλὰ καὶ αὐτὸς ἐναντίος ἵστασ' ἐμεῖο,
Ὄφρα ἴδῃς, οἷος Ζηνὸς γόνος ἐνθάδ' ἱκάνω·
Ὃς πρῶτος Μίνωα τέκε Κρήτῃ ἐπίουρον·
Μίνως δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Δευκαλίωνα·
Δευκαλίων δ' ἐμὲ τίκτε, πολέσσ' ἄνδρεσσιν ἄνακτα,
Κρήτῃ ἐν εὐρείῃ· νῦν δ' ἐνθάδε νῆες ἔνεικαν,
Σοί τε κακὸν, καὶ πατρὶ, καὶ ἄλλοισι Τρώεσσιν.
  Ὣς φάτο· Δηΐφοβος δὲ διάνδιχα μερμήριξεν,
Ἤ τινά που Τρώων ἑταρίσσαιτο μεγαθύμων,
Ἂψ ἀναχωρήσας· ἢ πειρήσαιτο καὶ οἶος.
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
Βῆναι ἐπ' Αἰνείαν· τὸν δ' ὕστατον εὗρεν ὁμίλου
Ἑσταότ'· αἰεὶ γὰρ Πριάμῳ ἐπεμήνιε δίῳ,
Οὕνεκ' ἄρ', ἐσθλὸν ἐόντα μετ' ἀνδράσιν, οὔτι τίεσκεν·
Ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·

"Tres pro uno occisi ut sint, quando tu gloriaris inanitèr?
"O bone, quin et ipse adversus stato mihi,
"Ut videas, qualis Jovis soboles huc venerim;
"Qui primus Minoa genuit, Cretae custodem:
"Minos verò genuit filium eximium Deucalionem:
"Deucalion autem me genuit, multis viris regem,
"Cretâ in latâ: nunc verò huc *me* naves advexerunt,
"Tibique perniciem, et patri, et caeteris Trojanis."
Sic dixit: Deïphobus autem bifariàm deliberavit,
Utrúmne aliquem alicubi Trojanorum *sibi* adjutorem-assumeret magnanimorum,
Regressus; an experiretur etiam solus.
Sic autem ei cogitanti visum est utilius esse,
Ire ad Aeneam: eum verò postremum invenit agminis
Stantem: jugiter enim is Priamo succensebat nobili,
Quòd se, strenuum *licèt* existentem inter viros, nequaquam honorabat:
Propè itaque stans *Deïphobus* verbis alatis allocutus est:

"*quartus numerum expleas.*" Sententia elegans sanè et commoda. Veruntamen, præterquam quòd isto modo vox, ἀλλὰ, nimis duritèr sit transposita, (id quod ipsum virum doctum non fugit;) mihi porrò neque istud ἄρα, neque istud τὶ, satis rectè videntur constare, nisi εἴσκομεν intelligatur interrogativè. Cæterùm, εἴσκομεν ἄξιον εἶναι, reddi potest, vel, "*num tibi videmur rectè judicare, æquum* "*esse——?*" vel, "*num tibi videmur judi-* "*care, satis esse——?*"

Ver. 447. — ἀντιπεφάσθαι.] Vide infrà ad ξ', 471.

Ibid. —— αὔτως.] οὕτως; MSS. duo à *Th. Bentleio* collati.

Ver. 450. — πρῶτος.] *Al.* πρῶτον.

Ver. 452. — δ' ἐμὲ τίκτε.] *Barnesius* edidit, δ' ἐμ' ἔτικτε. Quod perindè est.

Ibid. —— πολέσσ' ἄνδρεσσιν.] Ita edidit *Barnesius:* Quemadmodum, ρ', 236.———ἦ τε πολέσσιν. Et *ibid.* 308. — πολέσσ' ἄνδρεσσιν ἀνάσσων. Vulgg. hîc habent, πολέεσσ' ἄνδρεσσιν. Quod et ipsum ferri possit: Ut *pronuntietur* scilicèt, πολεῖσσιν.

Ver. 458. Ὧδε δέ οἱ φρονέοντι.]

Hæc alternanti potior sententia visa est.
Æn. IV, 287.

——————— Omnia secum
Versanti, subitò vix hæc sententia sedit.
Æn. XI, 551.

Ver. 462. — ἱστάμενος ἔπεα.] Quâ ratione, ἱστάμενος, hîc ultimam producat; item, τηλύγετον, *ver.* 470; et ἐπισπόμενον, *ver.* 495; et ὤμοιϊν, *ver.* 511; et γὰρ, *ver.* 517; et αἰγυπιὸς, *ver.* 531; vide suprà ad ά, 51.

Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ
Γαμβρῷ ἀμυνέμεναι, εἴπερ τί σε κῆδος ἱκάνει·
Ἀλλ' ἕπευ, Ἀλκαθόῳ ἐπαμύνομεν, ὅς σε πάρος περ
Γαμβρὸς ἐὼν ἔθρεψε, δόμοις ἔνι, τυτθὸν ἐόντα·
Τὸν δέ τοι Ἰδομενεὺς δουρικλυτὸς ἐξενάριξεν.
Ὣς φάτο· τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε·
Βῆ δὲ μετ' Ἰδομενῆα, μέγα πτολέμοιο μεμηλώς.
Ἀλλ' οὐκ Ἰδομενῆα φόβος λάβε, τηλύγετον ὥς,
Ἀλλ' ἔμεν', ὡς ὅτε τις σῦς οὔρεσιν ἀλκὶ πεποιθὼς,
Ὅστε μένει κολοσυρτὸν ἐπερχόμενον πολὺν ἀνδρῶν
Χώρῳ ἐν οἰοπόλῳ, φρίσσει δέ τε νῶτον ὕπερθεν·
Ὀφθαλμὼ δ' ἄρα οἱ πυρὶ λάμπετον· αὐτὰρ ὀδόντας
Θήγει, ἀλέξασθαι μεμαὼς κύνας ἠδὲ καὶ ἄνδρας.
Ὣς μένεν Ἰδομενεὺς δουρικλυτὸς, (οὐδ' ὑπεχώρει,)
Αἰνείαν ἐπιόντα βοῇ θοόν· αὖε δ' ἑταίρους,
Ἀσκάλαφόν τ' ἐσορῶν, Ἀφαρῆά τε, Δηΐπυρόν τε,
Μηριόνην τε, καὶ Ἀντίλοχον, μήστωρας ἀϋτῆς·
Τοὺς ὅγ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
Δεῦτε, φίλοι, καί μ' οἴῳ ἀμύνατε· δείδια δ' αἰνῶς
Αἰνείαν ἐπιόντα πόδας ταχὺν, ὅς μοι ἔπεισιν·

" Aenea, Trojanorum princeps, nunc te omninò oportet
" Sororis-marito auxiliari, si quid te affinis-cura tangit:
" Quin sequere; Alcathoo auxilium feramus, qui te olim
" Sororis-maritus existens nutrivit, in aedibus, parvulum existentem:
" Hunc verò Idomeneus hastâ-inclytus interfecit."
Sic dixit: *Aeneae* verò animum in pectoribus commovit:
Ivit autem adversùs Idomeneum, valdè pugnae studiosus.
At non Idomeneum fuga cepit, puerulum veluti;
Sed mansit, ut quum quis aper in montibus robore fretus,
Qui expectat tumultum advenientem magnum virorum
Loco in deserto, horretque dorso supernè:
Oculi verò ei igne lucent: ac dentes
Acuit, repellere cupiens canes, atque etiam viros.
Sic manebat Idomeneus hastâ-inclytus, (neque retrocessit,)
Aeneam invadentem pugnâ celerem; inclamabat autem socios,
Ascalaphumque aspiciens, Aphareumque, Deïpyrumque,
Merionemque, et Antilochum, peritos pugnae:
Hos hic adhortans verbis alatis allocutus est:
" Adeste, amici, et mihi *jam*-soli succurrite: timeo enim valdè
" Aeneam incurrentem pedibus velocem, qui me aggreditur;

Ver. 464. Γαμβρῷ.] *Sororis marito:* Ver. 428, 429.

Ibid. — κῆδος.] *Al* κῦδος. Minùs rectè.

Ver. 468. —— ἄρα.] " *Ut par erat, ut expectandum erat.*"

Ver. 469. —— μέγα πτολέμοιο.] MSS. à *Th. Bentleio* collati, μέγα πολέμοιο. Ut et alibi saepè.

Ver. 472. Ὅστε μένει.] Qui *scilicèt* expectat ——.

Ver. 474. —— ἄρα.] " *Deinceps,*" vel " *ut fieri solet.*"

Ver. 477. — βοῇ θοόν.] *Al.* βοηθοόν. Nempe *Alcathoo* auxiliatorem, *ver.* 465.

Ver. 481. — δείδια.] *Timeo;* non, *Timui.* Vide suprà ad ά, 37; et ad θ', 322.

Ὃς μάλα καρτερός ἐστι μάχῃ ἔνι φῶτας ἐναίρειν·
Καὶ δ' ἔχει ἥβης ἄνθος, ὅ, τε κράτος ἐστὶ μέγιστον.
Εἰ γὰρ ὁμηλικίῃ γεγενοίμεθα τῷ δ' ἐνὶ θυμῷ,
Αἶψά κεν ἠὲ φέροιτο μέγα κράτος, ἠὲ φεροίμην.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες, ἕνα φρεσὶ θυμὸν ἔχοντες,
Πλησίοι ἔστησαν, σάκε' ὤμοισι κλίναντες.
Αἰνείας δ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισι,
Δηΐφοβόν τε, Πάριν τ' ἐσορῶν, καὶ Ἀγήνορα δῖον,
Οἵ οἱ ἅμ' ἡγεμόνες Τρώων ἔσαν· αὐτὰρ ἔπειτα
Λαοὶ ἕπονθ', ὡσεῖτε μετὰ κτίλον ἕσπετο μῆλα
Πιόμεν' ἐκ βοτάνης· γάνυται δ' ἄρα τε φρένα ποιμήν·
Ὣς Αἰνείᾳ θυμὸς ἐνὶ στήθεσσι γεγήθει,
Ὡς ἴδε λαῶν ἔθνος ἐπισπόμενον ἑοῖ αὐτῷ.
Οἱ δ' ἀμφ' Ἀλκαθόῳ αὐτοσχεδὸν ὡρμήθησαν
Μακροῖσι ξυστοῖσι· περὶ στήθεσσι δὲ χαλκὸς
Σμερδαλέον κονάβιζε, τιτυσκομένων καθ' ὅμιλον

" Qui perquam validus est in pugnâ ad viros interficiendos:
" Sed et obtinet juventae florem, quod utique robur est maximum.
" Si enim eâdem-aetate essemus hoc cum animo,
" Statim vel *is* referret magnam gloriam, vel *ego* referrem."
Sic dixit: hi autem omnes, unum mentibus animum habentes,
Propinqui constiterunt, scuta humeris acclinantes.
Aeneas autem ex-alterâ-parte hortabatur suos socios,
Deïphobumque, Parinque aspiciens, et Agenorem nobilem,
Qui secum duces Trojanorum erant: ac deindè
Copiae sequebantur, ut post arietem sequuntur pecudes
Potum-ductae à pastu; laetatur autem mente pastor:
Sic Aeneae animus in pectoribus laetatus est,
Ut vidit copiarum agmen sequens seipsum.
Hi itaque de Alcathoo cominùs in-pugnam-ruerunt
Longis hastilibus: circa pectora verò aes
Horrendùm resonabat, petentium per turbam

Ver. 484. —— ὅ,τε.] Fuerunt viri docti, qui legerent, ὅτε, " *quando.*" Sed multò elegantius est, ὅ,τε, " *quod scilicèt.*"

Ver. 485. Εἰ γὰρ.] Refertur istud γὰρ, non ad id quod proximè præcessit, sed ad id quod elegantiùs reticetur: " *Nè me igitur reprehendas, ignaviæve incuses: Si ENIM—.*"

Ibid. —— γεγενοίμεθα.] *Al.* γε γενοίμεθα.

Ver. 486. — κράτος.] MS. à *Th. Bentleio* collatus, κλέος.

Ver. 488. —— κλίναντες.] Vide suprà ad ά, 309, 314.

Ver. 492. —— ἕσπετο.] *Sequi solent.* Vide suprà ad ά, 37.

Ver. 493. —— γάνυται δ' ἄρα τε—ποιμήν.] " *Lætatur autem inde et Pastor.*" Vel; " *Lætatur autem, ut solet,* (vel, *ut æquum est,*) " *et Pastor.*"

Ver. 494. —— γεγήθει.] Si γέγηθε dixisset, jam non constitisset Temporum ratio. Simile enim fuisset, ac siquis Anglicè diceret, IS GLAD; pro eo quod est, WAS GLAD. Vide suprà ad ά, 37; et ad δ', 492.

Ver. 495. —— ἔθνος.] Cod. à *Th. Bentleio* collatus, πλῆθος.

Ibid. —— ἐπισπόμενον.] " Meliùs hîc" (inquit *Barnesius*) " legi potest ἐπισπομένων· " quomodo, *ver.* 472.——ἐπερχομένων." At ἐπισπομένων, *hoc* in loco, minùs erit elegans; ἐπερχομένων, *isto* in loco, propter duriorem verborum transpositionem, prorsùs infacetum.

Ἀλλήλων· δύο δ᾽ ἄνδρες ἀρήϊοι, ἔξοχοι ἄλλων,
Αἰνείας τε, καὶ Ἰδομενεὺς, ἀτάλαντοι Ἄρηϊ,
Ἱεντ᾽ ἀλλήλων ταμέειν χρόα νηλέϊ χαλκῷ.
Αἰνείας δὲ πρῶτος ἀκόντισεν Ἰδομενῆος·
Ἀλλ᾽ ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος·
Αἰχμὴ δ᾽ Αἰνείαο κραδαινομένη κατὰ γαίης
Ὤχετ᾽, ἐπεί ῥ᾽ ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.
Ἰδομενεὺς δ᾽ ἄρα Οἰνόμαον βάλε γαστέρα μέσσην·
Ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ᾽ ἔντερα χαλκὸς
Ἤφυσ᾽· ὁ δ᾽ ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
Ἰδομενεὺς δ᾽ ἐκ μὲν νέκυος δολιχόσκιον ἔγχος
Ἐσπάσατ᾽, οὐδ᾽ ἄρ᾽ ἔτ᾽ ἄλλα δυνήσατο τεύχεα καλὰ
Ὤμοιϊν ἀφελέσθαι· ἐπείγετο γὰρ βελέεσσιν.
Οὐ γὰρ ἔτ᾽ ἔμπεδα γυῖα ποδῶν ἦν ὁρμηθέντι,
Οὔτ᾽ ἄρ᾽ ἐπαΐξαι μεθ᾽ ἑὸν βέλος, οὔτ᾽ ἀλέασθαι·
Τῷ ῥα καὶ ἐν σταδίῃ μὲν ἀμύνετο νηλεὲς ἦμαρ,
Τρέσσαι δ᾽ οὐκέτι ῥίμφα πόδες φέρον ἐκ πολέμοιο.
Τοῦ δὲ βάδην ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ

Se invicem: duo autem viri bellicosi, egregii prae caeteris,
Aeneasque, et Idomeneus, pares Marti,
Cupiebant alter alterius vulnerare corpus saevo aere.
Aeneas autem primus jaculatus est *in* Idomeneum:
At is quidem ex-adverso conspicatus evitavit aeream hastam:
Cuspisque Aeneae vibrans in terram
Abiit; quippe incassùm robustâ è manu exilierat.
Idomeneus autem Oenomaum percussit, ventrem *in* medium;
Rupitque thoracis cavitatem, intestina autem aes
Penetrans-hausit: ille verò in pulvere lapsus prehendit terram palmâ.
Idomeneus autem ex mortuo quidem praelongam hastam
Evulsit; at non itidem alia potuit arma pulchra
Humeris detrahere: urgebatur enim telis.
Non enim jam firmi artus pedum erant, quum-impetum-faceret;
Neque ut irruere-posset ad *repetendam* suam hastam, nec ut *alterius* evitaret:
Ideóque in statariâ-pugnâ quidem arcebat saevum diem,
Ad fugam verò *capessendam* non jam facilè *cum* pedes ferebant ex pugnâ.
In hunc igitur lento-gradu abeuntem jaculatus est hastâ fulgenti

---

Ver. 499. ——— ἔξοχοι.] MSS. *Harleian. Vatican.* et *Florentin.* à *Tho. Bentleio* collati, ἔξοχον.

Ver. 500. ——— ἀτάλαντοι.] Vide suprà ad β′, 627.

Ver. 502. Αἰνείας δὲ πρῶτος.] *Barnesius* ex MS. quodam edidit, Αἰνείας δή. At vocula ista, δὴ, locum hîc aptum non habet. Equidem, siquid hîc mutandum, legerem Αἰνείας μὲν, "*Ac Æneas quidem*——." Sed mutato nihil est opus.

Ibid. — ἀκόντισεν.] Vide suprà ad ά, 140.

Ver. 506. ——— ἄρα.] Eam hîc vim habet vocula, ἄρα, ut dicat Idomeneum "*itidem*" "*jaculatum esse,*" ut jam fecerat Æneas.

Ver. 508. — ἐν κονίῃσι πεσών.] Latinè itidem rectè dicas, *in pulvere decidens.* Non quòd, *in pulvere*, idem ipsum sit, quod est alterum illud, *in pulverem:* sed quòd, in *pulvere decidere*, sit, *humi decidere in pulvere;* quippe cùm is, qui sit *in terram dejectus*, jaceat *in pulvere* necesse sit. Vide quæ Nos hâc de re suprà ad θ′, 156; et ad ά, 593. Item ad *Cæsaris Commentar. de bello Gallico, lib.* 4. § 9.

Ver. 510. — καλὰ.] Vide suprà ad β′, 45.

Δηΐφοβος· δὴ γάρ οἱ ἔχεν κότον ἐμμενὲς αἰεί.
Ἀλλ' ὅγε καὶ τόθ' ἅμαρτεν, ὁ δ' Ἀσκάλαφον βάλε δουρὶ,
Υἱὸν Ἐνυαλίοιο, δι' ὤμου δ' ὄβριμον ἔγχος
Ἔσχεν· ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
Οὐδ' ἄρα πώ τι πέπυστο βριήπυος ὄβριμος Ἄρης,
Υἷος ἑοῖο πεσόντος ἐνὶ κρατερῇ ὑσμίνῃ·
Ἀλλ' ὅγ' ἄρ' ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσσιν
Ἧστο, Διὸς βουλῇσιν ἐελμένος, ἔνθα περ ἄλλοι
Ἀθάνατοι θεοὶ ἦσαν ἐεργόμενοι πολέμοιο.
Οἱ δ' ἀμφ' Ἀσκαλάφου αὐτοσχεδὸν ὡρμήθησαν·
Δηΐφοβος μὲν ἀπ' Ἀσκαλάφου πήληκα φαεινὴν
Ἥρπασε· Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηϊ
Δουρὶ βραχίονα τύψεν ἐπάλμενος, ἐκ δ' ἄρα χειρὸς
Αὐλῶπις τρυφάλεια χαμαὶ βόμβησε πεσοῦσα.
Μηριόνης δ' ἐξαῦτις ἐπάλμενος, αἰγυπιὸς ὣς,
Ἐξέρυσε πρυμνοῖο βραχίονος ὄβριμον ἔγχος·
Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο· τὸν δὲ Πολίτης,

Deïphobus: quippe ei infensus erat *odio* perpetuo semper:
Sed ille et tunc aberravit; Ascalaphum autem percussit hastâ,
Filium Martis; perque humerum rapida hasta
Penetravit: hic autem in pulvere lapsus prehendit terram palmâ.
Necdum adhuc quidquam audiverat clamosus impetuosus Mars,
Filium suum cecidisse in acri proelio;
Sed ille quidem summo in Olympo sub aureis nubibus
Sedebat, Jovis consiliis conclusus, ubi caeteri
Immortales dii erant prohibiti à pugnâ.
Hi autem de Ascalapho cominùs in-pugnam-ruebant·
Ac Deïphobus quidem ab Ascalapho cassidem lucidam
Rapuit; Meriones verò veloci par Marti
Hastâ *ei* brachium feriit insiliens, è manuque
Oblonga galea humi resonuit lapsa.
Meriones autem denuò insiliens, vultur tanquam,
Extraxit ex imo brachio validam hastam;
Retróque sociorum ad agmen cessit: *Deïphobum* autem Polites,

---

Ver. 517.—— ἐμμενὲς αἰεί.] *Al.* αἰέν. Et codex *Harleian.* à *Th. Bentleio* collatus, ἔμμονον.

Ver. 518.—καὶ τόθ'.] Ita edidit *Barnesius*, ex MSS. et Editt. Vett. Rectéque annotat, *Deïphobum* jam antè aberrâsse ab *Idomeneo*, *ver.* 408. Vulgati habent, γὰρ τόθ'.

Ver. 520.—— ἐν κονίῃσι πεσών.] Vide suprà ad *ver.* 508.

Ver. 521. Οὐδ' ἄρα.] *Neque scilicèt* ——.

Ver. 523.—— ὑπὸ χρυσέοισι.] Pronuntiabatur χρυσοῖσι, quomodo et scribi posteà cœptum est. Nam *prima* necessariò producitur; neque in his ulla unquam est licentia. Sic apud *Virgilium*:

Aureâ composuit spondâ.— *Æn.* I, 702.
Aureâ percussum virgâ.—*Æn.* VII, 190.
Uno eôdemque igni.— *Eclog.* VIII, 80.
Unâ eâdemque viâ.—— *Æn.* X, 487.

Vide suprà ad β', 811.

Ver. 525. Ἀθανάτοι.] Vide suprà ad ά, 398.

Ver. 528. Ἥρπασε.] Vide suprà ad ά, 140. et ad hujus libri, *ver.* 192.

Ver. 529.—— ἐκ δ' ἄρα χειρὸς.] *Adeò ut è manu* ——.

Ver. 530.—— βόμβησε.] De hâc ὀνοματοποιΐα, vide suprà ad δ', 455.

Ver. 533.—— ἐχάζετο.] Vel *Meriones*, vel *Deïphobus*; pro eo ut interpungatur sententia.

Αὐτοκασίγνητος, περὶ μέσσω χεῖρε τιτήνας,
Ἐξῆγεν πολέμοιο δυσηχέος, ὄφρ' ἵκεθ' ἵππους
Ὠκέας, οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
Ἕστασαν, ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
Οἳ τόν γε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα,
Τειρόμενον· κατὰ δ' αἷμα νεουτάτου ἔῤῥεε χειρός.
Οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
Αἰνείας δ' Ἀφαρῆα Καλητορίδην, ἐπορούσας,
Λαιμὸν τύψ', ἐπί οἱ τετραμμένον, ὀξέϊ δουρί·
Ἐκλίνθη δ' ἑτέρωσε κάρη, ἐπὶ δ' ἀσπὶς ἑάφθη,
Καὶ κόρυς· ἀμφὶ δέ οἱ θάνατος χύτο θυμοραϊστής.
Ἀντίλοχος δὲ Θόωνα, μεταστρεφθέντα δοκεύσας,
Οὔτασ' ἐπαΐξας· ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν,
Ἥτ' ἀνὰ νῶτα θέουσα διαμπερὲς, αὐχέν' ἱκάνει·
Τὴν ἀπὸ πᾶσαν ἔκερσεν· ὁ δ' ὕπτιος ἐν κονίῃσι
Κάππεσεν, ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσσας.

Germanus-frater, medium manibus circumplexus
Eduxit è proelio horrisono, donec pervenit ad equos
Veloces, qui ei post pugnam et proelium
Stabant, aurigamque et currum ornatu-varium habentes:
Qui illum quidem ad urbem portabant gravitèr gementem,
Laborantem: sanguis verò ex recèns-vulneratâ fluebat manu.
At caeteri pugnabant, clamorque immensus exortus est.
Aeneas porrò in Aphareum Caletoridem irruens,
Ad jugulum feriit, contra se versum, acutâ hastâ:
Inclinatum est autem in-alteram-partem caput, clypeusque appensus-sequebatur,
Et galea; circaque eum mors fusa est exitialis.
Antilochus autem Thoonem, terga-vertentem observans,
Vulneravit impetu-facto; venamque totam abscidit,
Quae per dorsum currens penitùs, ad cervicem pervenit;
Hanc totam abscidit: ille autem supinus in pulvere
Decidit, ambas manus dilectis sociis extendens.

Ver. 535. Ἐξῆγεν πολέμοιο.] *Al.* Ἐξῆγε πτολέμοιο.

Ver. 536. —— μάχης ἠδὲ πτολέμοιο.]

—— ineant *pugnas, et prælia* tentent.
Æn. XI, 912.

Vide autem suprà, ad ή, 279.

Ver. 537. Ἕστασαν.] Vide suprà ad μ', 55.

Ver. 539. — νεουτάτου.] Ex οὐτάζω, non ex οὐτάω. Vide suprà ad *ver.* 192. Item ad ά, 140. et ad δ', 525.

Ver. 541. Αἰνείας δ' Ἀφαρῆα.] Apud *Eustathium* legitur, inchoatâ à novo exordio sententiâ, Ἔνθ' Αἰνείας Ἀφαρῆα. *Errore*, inquit Barnesius, *non levi*. At ita habent MSS. *Harleian.* et *Vatican.* et *Florentin.* à *Th. Bentleio* collati. Nec facilè ex nihilo irrepere potuit vox Ἔνθα. Quæ proinde si vera demùm sit lectio, Αἰνείας sive Αἰνέας in vocem dissyllabam erit contracta.

Ver. 543. —— ἑάφθη.] *Al.* ἐάφθη. Vide suprà ad *ver.* 382.

Ver. 544. —— θυμοραϊστής.] Ὁ διϊστῶν τὴν ψυχὴν τοῦ σώματος. Schol. inedita Codicis *Harleiani.*

Ver. 545.—— μεταστρεφθέντα —— Οὔτασ' ἐπαΐξας.]

—— hinc raptas fugientibus ingerit hastas
In tergum ————.
Æn. IX, 763.

De οὔτασε, vide suprà ad δ', 525. et ad ά, 140.

Ver. 546.—φλέβα.] Vide suprà ad β', 267.

Ver. 548. —— ἐν κονίῃσι Κάππεσεν.] Vide suprà ad *ver.* 508.

Ἀντίλοχος δ᾽ ἐπόρουσε, καὶ αἴνυτο τεύχε᾽ ἀπ᾽ ὤμων,
Παπταίνων· Τρῶες δὲ περισταδὸν ἄλλοθεν ἄλλος
Οὔταζον σάκος εὐρὺ παναίολον, οὐδὲ δύναντο
Εἴσω ἐπιγράψαι τέρενα χρόα νηλέϊ χαλκῷ
Ἀντιλόχου· πέρι γάρ ῥα Ποσειδάων ἐνοσίχθων
Νέστορος υἱὸν ἔρυτο, καὶ ἐν πολλοῖσι βέλεσσιν.
Οὐ μὲν γάρ ποτ᾽ ἄνευ δηΐων ἦν, ἀλλὰ κατ᾽ αὐτοὺς
Στρωφᾶτ᾽· οὐδέ οἱ ἔγχος ἔχ᾽ ἀτρέμας, ἀλλὰ μάλ᾽ αἰεὶ
Σειόμενον ἐλέλικτο· τιτύσκετο δὲ φρεσὶν ᾗσιν,
Ἤ τευ ἀκοντίσσαι, ἠὲ σχεδὸν ὁρμηθῆναι.
Ἀλλ᾽ οὐ λῆθ᾽ Ἀδάμαντα τιτυσκόμενος καθ᾽ ὅμιλον
Ἀσιάδην, ὅς οἱ οὖτα σάκος μέσον ὀξέϊ χαλκῷ,
Ἐγγύθεν ὁρμηθείς· ἀμενήνωσεν δέ οἱ αἰχμὴν
Κυανοχαῖτα Ποσειδάων, βιότοιο μεγήρας.
Καὶ τὸ μὲν αὐτοῦ μεῖν᾽, ὥστε σκῶλος πυρίκαυστος,
Ἐν σάκει Ἀντιλόχοιο, τὸ δ᾽ ἥμισυ κεῖτ᾽ ἐπὶ γαίης·

Antilochus autem insiliit, et detrahebat arma ab humeris,
Circumspectans: Trojani autem circumsistentes aliundè alius
Telis feriebant scutum latum, pulchrum; neque poterant
Intrò perstringere tenerum corpus saevo aere
Antilochi: undique enim Neptunus, quatiens-terram,
Nestoris filium tuebatur; etiam inter multa tela.
Non enim unquam *Antilochus* seorsùm ab hostibus erat, sed inter ipsos
Versabatur: nec ei hasta cessavit, sed admodùm assiduè
Quassata vertebatur; parabatque mente suâ,
Aut in aliquem eminùs-jaculari, aut cominùs irruere.
Sed non latuit Adamanta *haec* animo-meditans in turbâ
Asiadem, qui ei percussit scutum medium acuto aere,
Cominùs impetu-facto: comminuit autem ejus cuspidem
Caeruleis-crinibus Neptunus, vitam *Antilochi ei eripiendam* negans.
Et *dimidium* quidem illic mansit, tanquam sudes *praeacuta* igne-praeusta,
In scuto Antilochi; dimidiumque jacebat super terrâ:

Ver. 552. —— παναίολον.] Porphyrio, *mobile; versatile; facilè huc illuc motatum.* Vide suprà ad β′, 816.

Ver. 555. — ἔρυτο.] *Barnesius* scribendum existimat ἐρῦτο, ad analogiam τοῦ "Λῦτο."

Ver. 558. Σειόμενον ἐλέλικτο.] Vide suprà ad ά, 51. *Barnesius* edidit, Σειόμενόν ῥ᾽ ἐλέλικτο. Non malè; siquo in Codice ita scriptum repperisset.

Ver. 559. —— ἀκοντίσσαι.] Ita *Barnesius* ex uno MS. Optimè. Nam ἀκοντίσαι, penultimam necessariò corripit. Vide suprà ad *ver.* 1.

Ver. 560. —— Ἀδάμαντα —— Ἀσιάδην.] *Barnesius* omninò scribendum contendit, Ἀκάμαντα —— Ἀσιάδην· quoniam suprà legitur μ′, 140. Ἀσιάδην τ᾽ Ἀκάμαντα. At non hæc satis idonea ratio. Nam et *tertius* legitur *Asiades*, ρ′, 583. Φαίνοπι Ἀσιάδῃ. Prætereà; hoc in loco, *cæsus* narratur *Adamas:* At *Acamas* infrà memoratur *vivus*, ξ′, 476. 478. 488. et à *Merione* demùm *interfectus*, π′, 342.

Ver. 561. —— οὖτα.] Vide suprà ad *ver.* 192. Item ad δ′, 525.

Ibid. —— σάκος μέσον.] MS. à *Tho. Bentleio* collatus, μέσον σάκος.

Ver. 563. —— Κυανοχαῖτα.] Vide suprà ad ά, 43 et 175.

Ibid. —— μεγήρας.] *Al.* μεγῄρας.

Ver. 564. —— σκῶλος.] Εἶδος σκόλοπος, ὃν ἀποξύναντες ἀγρόται πυρακτοῦσιν.—— Ἕτεροι δὲ εἶδος ἀκάνθης τὸν σκῶλόν φασιν, ἥτις πυρωθεῖσα, εὔτονος γίνεται. *Eustath.*

Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, κῆρ' ἀλεείνων·
Μηριόνης δ' ἀπιόντα μεταςπόμενος βάλε δουρὶ
Αἰδοίων τε μεσηγὺ καὶ ὀμφαλοῦ· ἔνθα μάλιστα
Γίνετ' ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσιν·
Ἔνθα οἱ ἔγχος ἔπηξεν· ὁ δ' ἑσπόμενος, περὶ δουρὶ
Ἤσπαιρ', ὡς ὅτε βοῦς, τόν τ' οὔρεσι βουκόλοι ἄνδρες
Ἰλλάσιν οὐκ ἐθέλοντα βίῃ δήσαντες ἄγουσιν·
Ὣς ὁ τυπεὶς ἤσπαιρε μίνυνθά περ, οὔτι μάλα δὴν,
Ὄφρα οἱ ἐκ χροὸς ἔγχος ἀνεσπάσατ' ἐγγύθεν ἐλθὼν
Ἥρως Μηριόνης· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
Δηΐπυρον δ' Ἕλενος ξίφεϊ σχεδὸν ἤλασε κόρσην
Θρηϊκίῳ, μεγάλῳ, ἀπὸ δὲ τρυφάλειαν ἄραξεν·
Ἡ μὲν ἀποπλαγχθεῖσα χαμαὶ πέσε· καί τις Ἀχαιῶν
Μαρναμένων μετὰ ποσσὶ κυλινδομένην ἐκόμισσε·
Τὸν δὲ κάτ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν.
Ἀτρείδην δ' ἄχος εἷλε, βοὴν ἀγαθὸν Μενέλαον·
Βῆ δ' ἐπαπειλήσας Ἑλένῳ ἥρωϊ ἄνακτι,
Ὀξὺ δόρυ κραδάων· ὁ δὲ τόξου πῆχυν ἀνεῖλκε.
Τὼ δ' ἄρ' ὁμαρτήτην, ὁ μὲν ἔγχεϊ ὀξυόεντι

Retrò itaque sociorum ad agmen cessit *Adamas*, mortem evitans:
Meriones autem abeuntem insecutus percussit hastâ
Pudendaque inter et umbilicum, ubi maximè
Est Martis-plaga gravis miseris mortalibus:
Illic ei hastam infixit: is autem secutus [*decidens,*] circa hastam
Palpitabat; velut quum bos, quem utique *in* montibus bubulci viri
Vinculis-contortis invitum vi ligatum ducunt;
Sic iste vulneratus palpitabat paulisper quidem, haud admodùm diu;
Donec ei ex corpore hastam evulsit propè accedens
Heros Meriones; ei verò tenebrae oculos texerunt.
Deïpyrum autem Helenus gladio cominùs percussit tempus
Thracio, magno, galeamque perruptam abscidit:
Atque haec quidem excussa, in terram decidit; et quidam Achivorum
Pugnantium inter pedes devolutam sustulit;
Ei verò oculos tenebrosa nox cooperuit.
Atridem autem dolor cepit, pugnâ strenuum Menelaum:
Prodiit ergò minitans Heleno heröi regi,
Acutam hastam vibrans: hic verò arcûs cornu adduxit.
Ambo autem simul concurrebant; alter quidem hastâ acutâ

Ver. 566. Ἂψ δ'—ἀλεείνων.] Post hunc versum, addit Cod. *Harleian.*

Πάντοσε παπταίνων, μή τις χρόα καλὸν ἐπαύρῃ.

Ex versu (ut videtur) infrà, 649.

Ver. 569. —— ὀϊζυροῖσι βροτοῖσιν.]
—— Mortalibus ægris. *Æn.* II, 268.

Ver. 571. Ἤσπαιρ', ὡς.] Singulatim palpitantem et anhelantem pulchrè depingit hoc in loco et cæsuræ et interpuncti dispositio.

Ver. 572. Ἰλλάσιν οὐκ.] MS. à *Th. Bentleio* collati, Ἱμᾶσ' οὐκ.

Ver. 573. ——— μάλα δὴν.] Quâ ratione, μάλα, hîc ultimam producat; item ἀπὸ, *ver.* 585; et γύαλον, *ver.* 587; et ὑπὸ, *ver.* 590; et ἀντικρὺ, *ver.* 595; et χειρὸς, *ver.* 598; et εὐχόμενος, *ver.* 619. Vide suprà ad ά, 51.

Ver. 581. —— βοὴν ἀγαθὸν.] Vide suprà ad β', 408.

Ver. 584. —— ὁμαρτήτην.] *Al.* ἱμαρτήδην. *Al.* ἁμαρτήδην.

Ibid. —— ὀξυόεντι.] Vide suprà ad ί, 50.

Ἵετ' ἀκοντίσσαι, ὁ δ' ἀπὸ νευρῆφιν ὀϊστῷ·
Πριαμίδης μὲν ἔπειτα κατὰ στῆθος βάλεν ἰῷ
Θώρηκος γύαλον, ἀπὸ δ' ἔπτατο πικρὸς ὀϊστός.
Ὡς δ' ὅτ' ἀπὸ πλατέος πτυόφιν μεγάλην κατ' ἀλωὴν
Θρώσκουσιν κύαμοι μελανόχροες, ἢ ἐρέβινθοι,
Πνοιῇ ὑπὸ λιγυρῇ καὶ λικμητῆρος ἐρωῇ·
Ὣς ἀπὸ θώρηκος Μενελάου κυδαλίμοιο
Πολλὸν ἀποπλαγχθεὶς, ἑκὰς ἔπτατο πικρὸς ὀϊστός.
Ἀτρείδης δ' ἄρα χεῖρα, βοὴν ἀγαθὸς Μενέλαος,
Τὴν βάλεν, ᾗ ῥ' ἔχε τόξον ἐΰξοον· ἐν δ' ἄρα τόξῳ
Ἀντικρὺ διὰ χειρὸς ἐλήλατο χάλκεον ἔγχος.
Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, κῆρ' ἀλεείνων,
Χεῖρα παρακρεμάσας· τὸ δ' ἐφέλκετο μείλινον ἔγχος·
Καὶ τὸ μὲν ἐκ χειρὸς ἔρυσεν μεγάθυμος Ἀγήνωρ,
Αὐτὴν δὲ ξυνέδησεν ἐϋστρόφῳ οἰὸς ἀώτῳ,
Σφενδόνῃ, ἣν ἄρα οἱ θεράπων ἔχε ποιμένι λαῶν.
Πείσανδρος δ' ἰθὺς Μενελάου κυδαλίμοιο

Cupiebat jaculari; alter verò, à nervo, sagittâ:
Ac Priamides quidem deinde ad pectus percussit sagittâ
Thoracis cavam-partem, resiliit autem acerba sagitta.
Ut videlicèt cùm à lato ventilabro magnam per aream
Saliunt fabae nigrae, vel cicera,
Flatu à stridulo et ventilatoris impetu:
Sic à thorace Menelai gloriâ-sublimis
Multùm rejecta, longè volavit acerba sagitta.
Atrides autem manum, *in* proelio strenuus Menelaus,
Eam percussit, quae tenebat arcum politum; inque arcu
E-regione per manum infixa est aerea hasta.
Retrò autem sociorum in agmen cessit *Helenus,* mortem evitans,
Manu suspensâ; tractimque-unà-ferebatur fraxinea hasta;
Et hanc quidem è manu traxit magnanimus Agenor,
Ipsamque *manum* colligavit scitè-circumvolutâ ovis lanâ,
Fundâ *scilicèt,* quam ei minister tenebat pastori populorum.
Pisander autem rectà in Menelaum gloriâ-sublimem

Ver. 586. Πριαμίδης.] Vide suprà ad ά, 398.

Ver. 588. Ὡς δ' ὅτ' ἀπὸ πλατέος.] Θαυμάζουσιν ἐν τούτοις οἱ παλαιοὶ τὸν ποιητὴν, καὶ ὡς πρᾶγμα ταπεινὸν τὸ κατὰ κυάμους καὶ ἐρεβίνθους, καὶ ἔννοιαν εὐτελῆ, ἐπιθέτοις τε ὑψώσας ἐσέμνυνεν, ἐπικαλύπτων τὸ ταπεινὸν, καὶ λέξεσι μεμεγεθυσμέναις ἐπῆρε. *Eustath.*

Ibid. —— πλατέος πτυόφιν.] Reprehendit hîc *Eustathium Barnesius,* quod πτυόφιν hoc in loco *Genitivum* esse fassus ex πτύου, id tamen idem jam anteà de vocabulo νευρῆφιν negâsset. At rectè observaverat *Eustathius,* id quod non animadvertit *Barnesius,* unam in utroque horum vocabulorum *non* esse Analogiam. Nam quâ ratione ex πτύου fit πτυόφιν, et ex χαλκοῦ χαλκόφιν, non utique eâdem ratione fit ex νευρῆς νευρῆφιν. Οὐκ ἂν ἔχοι καὶ ἀπὸ γενικῆς γενέσθαι τοῦ "νευρῆς" ἀποβολῇ τοῦ σ΄. Εἴη δὲ ἂν μάλιστα ὡς ἐπίῤῥημα, ——— ὡς βίῃ βίηφι, οὕτω καὶ νευρῇ νευρῆφι.

Ver. 589. Θρώσκουσιν.] *Al.* Θρώσκωσιν.

Ver. 593. —— Ἀτρείδης δ' ἄρα.] *Atrides autem invicem* ———.

Ver. 594. —— ᾗ.] *Al.* ᾗ.

Ver. 597. ——— μείλινον.] *Al.* χάλκεον. Nempè ex *ver.* 595.

Ver. 600. ——— ἣν ἄρα.] *Quam, ut fieri solet,* ———.

Ἤϊε· τὸν δ' ἄγε μοῖρα κακὴ θανάτοιο τέλοσδε,
Σοὶ, Μενέλαε, δαμῆναι ἐν αἰνῇ δηϊοτῆτι.
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν, ἐπ' ἀλλήλοισιν ἰόντες,
Ἀτρείδης μὲν ἅμαρτε, παραὶ δέ οἱ ἐτράπετ' ἔγχος·
Πείσανδρος δὲ σάκος Μενελάου κυδαλίμοιο
Οὔτασεν, οὐδὲ διὰ πρὸ δυνήσατο χαλκὸν ἐλάσσαι·
Ἔσχετο γὰρ σάκος εὐρὺ, κατεκλάσθη δ' ἐνὶ καυλῷ
Ἔγχος· ὁ δὲ φρεσὶν ᾗσι χάρη, καὶ ἔελπετο νίκην.
Ἀτρείδης δὲ, ἐρυσσάμενος ξίφος ἀργυρόηλον,
Ἆλτ' ἐπὶ Πεισάνδρῳ· ὁ δ' ὑπ' ἀσπίδος εἵλετο καλὴν
Ἀξίνην εὔχαλκον, ἐλαΐνῳ ἀμφὶ πελέκκῳ,
Μακρῷ, ἐϋξέστῳ· ἅμα δ' ἀλλήλων ἐφίκοντο.
Ἦτοι ὁ μὲν κόρυθος φάλον ἤλασεν ἱπποδασείης
Ἄκρον ὑπαὶ λόφον αὐτόν· ὁ δὲ προσιόντα, μέτωπον,
Ῥινὸς ὕπερ πυμάτης· λάκε δ' ὀστέα, τὼ δέ οἱ ὄσσε
Πὰρ ποσὶν αἱματόεντα χαμαὶ πέσον ἐν κονίῃσιν·
Ἰδνώθη δὲ πεσών· ὁ δὲ λὰξ ἐν στήθεσι βαίνων
Τεύχεά τ' ἐξενάριξε, καὶ εὐχόμενος ἔπος ηὔδα·

Ibat: eum quippe ducebat fatum funestum, mortis ad-finem;
A te, Menelaë, ut-sterneretur in gravi pugnâ.
Hi ergò quando jam propè erant, inter se concurrentes;
Atrides quidem aberravit, ipsique aversa est hasta:
Pisander verò scutum Menelai gloriâ-sublimis
Percussit, neque penitùs potuit aes adigere:
Prohibuit enim scutum latum, fractaque est in extremâ-parte
Hasta: hic tamen mente suâ gavisus est, et sperabat victoriam.
Atrides autem, extracto ense argenteis-clavis-distincto,
Insiliit in Pisandrum; ille autem sub scuto desumpsit pulchram
Securim ex-aere-scitè-factam, oleaginum insertum-habentem manubrium,
Longum, benè politum; uno autem tempore alter alterum assecutus est.
Utique hic quidem [*Pisander*] galeae conum percussit equinis-setis-densae
Summam sub cristam ipsam: ille verò accedentem, in fronte,
Naso super extremo; crepueruntque ossa; atque ei oculi
Ad pedes sanguinolenti humi deciderunt in pulvere:
Incurvatusque est concidens; ille autem calcem in pectoribus ponens
Armaque interfecto-exuit, et glorians verbum dixit:

Ver. 602.—— τὸν δ' ἄγε μοῖρα.]
Fata vocant, metasque dati pervenit ad ævi. *Æn.* X, 472.

Ver. 605.—— ἐτράπετ' ἔγχος.] Non, à scuto *repulsa est*; sed *avertit sese*, aberravit. De primigenio hoc *vocis Mediæ* usu, vide suprà ad γ', 141.

Ver. 607. Οὔτασεν.] Vide suprà ad *ver.* 192. et ad ά, 140.

Ver. 611.—καλήν.] Vide suprà ad β', 43.

Ver. 612. Ἀξίνην—μέτωπον—λάκε δ' ὀστέα.]
—————— ille securi
Adversi frontem mediam mentumque reductâ
Disjicit, et sparso latè rigat arma cerebro, *Æn.* XII, 306.

Non unus hîc rei eventus, sed una ferè loquendi ratio.

Ver. 613.—— ἐφίκοντο.] *Al.* ἀφίκοντο.

Ver. 615.—— ὑπαὶ λόφον.] *Al.* ὑπὸ λόφον.

Ver. 617.—— αἱματόεντα.] Ita *Barnesius* ex MSS. ex Scholiis, et ex Editt. Vett. Quibuscum faciunt MSS. *Harleian.* et *Vatican.* et *Florentin.* à *Th. Bentleio* collati. Vide suprà ad *ver.* 435. *Al.* αἱματόεντι.

Ibid.—— ἐν κονίῃσιν.] Vide suprà ad *ver.* 508.

Λείψετέ θην οὕτω γε νέας Δαναῶν ταχυπώλων,
Τρῶες ὑπερφίαλοι, δεινῆς ἀκόρητοι ἀϋτῆς·
Ἄλλης μὲν λώβης τε καὶ αἴσχεος οὐκ ἐπιδευεῖς,
Ἣν ἐμὲ λωβήσασθε, κακαὶ κύνες· οὐδέ τι θυμῷ
Ζηνὸς ἐριβρεμέτεω χαλεπὴν ἐδδείσατε μῆνιν,
Ξεινίου· ὅστε πότ' ὔμμι διαφθέρσει πόλιν αἰπήν.
Οἵ μευ κουριδίην ἄλοχον καὶ κτήματα πολλὰ
Μὰψ οἴχεσθ' ἀνάγοντες, ἐπεὶ φιλέεσθε παρ' αὐτῇ·
Νῦν αὖτ' ἐν νηυσὶν μενεαίνετε ποντοπόροισι
Πῦρ ὀλοὸν βαλέειν, κτεῖναι δ' ἥρωας Ἀχαιούς·
Ἀλλά ποθι σχήσεσθε, καὶ ἐσσύμενοί περ, Ἄρηος.
Ζεῦ πάτερ, ἦτέ σέ φασι περὶ φρένας ἔμμεναι ἄλλων
Ἀνδρῶν, ἠδὲ θεῶν· σέο δ' ἐκ τάδε πάντα πέλονται·
Οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβριστῇσι
Τρωσὶν, τῶν μένος αἰὲν ἀτάσθαλον, οὐδὲ δύνανται
Φυλόπιδος κορέσασθαι ὁμοιΐου πολέμοιο.
Πάντων μὲν κόρος ἐστὶ, καὶ ὕπνου, καὶ φιλότητος,
Μολπῆς τε γλυκερῆς, καὶ ἀμύμονος ὀρχηθμοῖο,
Τῶν πέρ τις καὶ μᾶλλον ἐέλδεται ἐξ ἔρον εἶναι,
Ἢ πολέμου· Τρῶες δὲ μάχης ἀκόρητοι ἔασιν.

" Relinquetis ità demùm naves Danaorum rei-equestris-peritorum,
" Trojani foedifragi, gravis insatiabiles pugnae;
" Alio quidem flagitioque et probro non carentes *estis*,
" Quo me violâstis, improbae canes: neque quidquam animo
" Jovis altitonantis gravem veriti estis iram,
" Hospitalis; qui aliquandò vobis evertet urbem altam.
" Qui meam quam-virginem-duxi uxorem et opes multas
" Nullâ-injuriâ lacessiti abduxistis, cum hospitio-accepti-fueratis ab ipsâ:
" Nunc verò in naves cupitis pontum-transeuntes
" Ignem perniciosum jacere, occidereque heroas Achivos:
" Sed aliquando coërcebimini, impetuosi licèt, à pugnâ.
" Jupiter pater, sanè te aiunt sapientiâ superare caeteros *omnes*
" Homines atque deos; à te tamen haec omnia proficiscuntur:
" Cum ita nempè viris gratificeris injuriosis
" Trojanis, quorum animus semper vi-injustâ-gaudens, neque possunt
" Pugnâ satiari omnibus-aequè-gravis belli.
" Omnium quidem *rerum* satietas est, et somni, et amoris,
" Cantûsque dulcis, et egregiae saltationis,
" Quarum *rerum* quidem quis etiam magis appetit desiderium explere,
" Quàm belli: Trojani verò pugnae insatiabiles sunt.

Ver. 620.—— θην.] *Al.* δή.

Ver. 623.—κακαὶ κύνες.] *Al.* κακοὶ κύνες· Ut *Barnesio* videtur, rectè. Sed mutato nihil opus. Dictum est enim ad *contumeliam.*

Ver. 625.——ὅστε.] *Qui videlicèt*——.

Ver. 628. Νῦν αὖτ'.] *Nunc hanc gratiam rependentes*——.

Ver. 629.——κτεῖναι δ'.] *Barnesius* ex conjecturâ, κτεῖναί θ'. Quam et *præstabiliorem* appellat *Lectionem.* Sed κτεῖναι δὲ, perindè est.

Ver. 638. Τῶν.] *Al.* Ὧν.

Ver. 639.——μάχης ἀκόρητοι.]

Ὣς εἰπὼν, τὰ μὲν ἔντε' ἀπὸ χροὸς αἱματόεντα
Συλήσας, ἑτάροισι δίδου Μενέλαος ἀμύμων·
Αὐτὸς δ' αὖτ' ἐξαῦτις ἰὼν προμάχοισιν ἐμίχθη.
Ἔνθα οἱ υἱὸς ἐπᾶλτο Πυλαιμένεος βασιλῆος
Ἁρπαλίων, ὅ ῥα πατρὶ φίλῳ ἕπετο πτολεμίζων
Ἐς Τροίην, οὐδ' αὖτις ἀφίκετο πατρίδα γαῖαν·
Ὅς ῥα τότ' Ἀτρείδαο μέσον σάκος οὔτασε δουρὶ
Ἐγγύθεν, οὐδὲ διὰ πρὸ δυνήσατο χαλκὸν ἐλάσσαι·
Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, κῆρ' ἀλεείνων,
Πάντοσε παπταίνων, μήτις χρόα χαλκῷ ἐπαύρῃ.
Μηριόνης δ' ἀπιόντος ἵει χαλκήρε' ὀϊστόν·
Καί ῥ' ἔβαλε γλουτὸν κατὰ δεξιόν· αὐτὰρ ὀϊστὸς
Ἀντικρὺ κατὰ κύστιν ὑπ' ὀστέον ἐξεπέρησεν.
Ἑζόμενος δὲ κατ' αὖθι, φίλων ἐν χερσὶν ἑταίρων,
Θυμὸν ἀποπνείων, ὥστε σκώληξ, ἐπὶ γαίῃ
Κεῖτο ταθείς· ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
Τὸν μὲν Παφλαγόνες μεγαλήτορες ἀμφεπένοντο·
Ἐς δίφρον δ' ἀνέσαντες ἄγον προτὶ Ἴλιον ἱρὴν
Ἀχνύμενοι· μετὰ δέ σφι πατὴρ κίε, δάκρυα λείβων·

Sic locutus, arma quidem à corpore sanguinolenta
Detracta, sociis dedit Menelaus insignis:
Ipse verò iterùm reversus primis-pugnatoribus immistus est.
Tunc ei filius insiliit Pylaemenis regis
Harpalion, qui quidem patrem dilectum secutus erat, ut pugnaret
Ad Trojam; sed non rediit in patriam terram:
Qui tunc quidem Atridae medium scutum feriit hastâ
Cominùs, neque penitùs potuit aes adigere:
Retrò igitur sociorum in agmen cessit, mortem evitans;
Quoquoversùs circumspectans, nè quis *sibi* corpus aere attingeret.
Meriones autem in abeuntem misit aeratam sagittam;
Et percussit clunem ad dextrum: at sagitta
E-regione juxta vesicam sub osse penetravit.
Subsidens igitur ibidem, charorum inter manus sociorum,
Animam efflans, tanquam vermis, super terrâ
Jacebat extensus; sanguis autem niger effluebat, rigabatque terram.
Atque hunc quidem Paphlagones magnanimi circùm-occupabantur;
In currum verò collocatum ducebant ad Ilium sacram
Dolentes; interque ipsos pater ibat, lachrymas fundens:

Bellum importunum, cives, cum ——
Invictisque viris gerimus; quos nulla fatigant
Prœlia, nec victi possunt absistere ferro.
Æn. XI, 305.

Ver. 642. Αὐτὸς δ' αὖτ' ἐξαῦτις.] Cod. à *Th. Bentleio* collatus, Αὐτὸς δὲ ἐξαῦτις.

Ver. 644. —— πτολεμίζων.] πτολεμίξων. *Ibid.*

Ver. 646. —— οὔτασε.] Vide suprà ad *ver.* 192. et ad ά, 140.

Ver. 649. —— χαλκῷ.] MS. à *Th. Bentleio* collatus, χαλκός.

Ver. 652. Ἀντικρὺ.] Quâ ratione, ἀντικρὺ, hîc ultimam producat; item γὰρ, *ver.* 661 et 666. et ἀπὸ, *ver.* 672. et Διί, *ver.* 674. Vide suprà ad ά, 51.

Ver. 658. — μετὰ δέ σφι πατὴρ κίε.] *Pylæ-*

Ποινὴ δ' οὔτις παιδὸς ἐγίνετο τεθνειῶτος.
 Τοῦ δὲ Πάρις μάλα θυμὸν ἀποκταμένοιο χολώθη·
Ξεῖνος γάρ οἱ ἔην πολέσιν μετὰ Παφλαγόνεσσι.
Τοῦ ὅγε χωόμενος προΐει χαλκήρε' ὀϊστόν·
Ἦν δέ τις Εὐχήνωρ, Πολυΐδου μάντιος υἱὸς,
Ἀφνειός τ', ἀγαθός τε, Κορινθόθι οἰκία ναίων,
Ὅς ῥ' εὖ εἰδὼς κῆρ' ὀλοὴν, ἐπὶ νηὸς ἔβαινε·
Πολλάκι γάρ οἱ ἔειπε γέρων ἀγαθὸς Πολύϊδος,
Νούσῳ ὕπ' ἀργαλέῃ φθίσθαι οἷς ἐν μεγάροισιν,
Ἢ μετ' Ἀχαιῶν νηυσὶν ὑπὸ Τρώεσσι δαμῆναι·
Τῷ ῥ' ἅμα τ' ἀργαλέην θωὴν ἀλέεινεν Ἀχαιῶν,
Νοῦσόν τε στυγερὴν, ἵνα μὴ πάθοι ἄλγεα θυμῷ.
Τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυμὸς
Ὤχετ' ἀπὸ μελέων· στυγερὸς δ' ἄρα μιν σκότος εἷλεν.
 Ὣς οἱ μὲν μάρναντο, δέμας πυρὸς αἰθομένοιο·
Ἕκτωρ δ' οὐκ ἐπέπυστο Διῒ φίλος, οὐδέ τι ᾔδη,
Ὅττι ῥά οἱ νηῶν ἐπ' ἀριστερὰ δηϊόωντο

Ultio autem nulla filii contigit mortui.
Ob hunc autem Paris valdè animo interfectum iratus est;
Hospes enim ei erat multos inter Paphlagonas.
Propter hunc *igitur* is iratus emisit aeratam sagittam:
Erat autem quidam Euchenor, Polyïdi vatis filius,
Divesque, fortisque, Corinthi domos habitans,
Qui, planè admonitus de fato *suo* exitiali, navi *tamen* vectus-venit:
Saepè enim ei dixerat senex bonus [vel *peritus*] Polyïdus,
Eum morbo gravi interiturum suis in aedibus,
Aut inter Achivorum naves à Trojanis domitum-iri:
Ideò simul gravemque mulctam [*contumeliam*] evitabat Achivorum,
Morbumque tetrum, ut ne pateretur dolores animo.
Hunc percussit *Paris* sub maxillâ et aure: protinùs autem animus
Abiit à membris, horrendaque ipsum caligo occupavit.
Sic hi quidem pugnabant, instar ignis ardentis:
Hector autem non audierat Jovi dilectus, neque quid nôrat,
Quòd sibi navium ad sinistram caedebantur

menes, hîc, *Harpalionis* pater, alius est ab illo, qui suprà occisus narratur, έ, 576. *ὁμώνυμος τούτῳ*, ut ait *Eustathius*. Non enim temerè ac fortuitò, negligentérque scripsit *Homerus*; nec heroüm nomina necesque confinxit, sed ex historiâ memoravit: vide suprà ad β', 494. Quominùs duo fuerint *Pylæmenes*, *Paphlagonum* Duces; nihil sanè impedit. Utrúmne alter *Harpalionis pater*, *avus* fuerit alter, uti conjecit *Barnesius*; incertum. Qui *Harpalionis patrem* priùs occisum existimant, legendum hoc in loco volunt, — *μετὰ δ' Οὔ σφι πατὴρ κίε.* Sed sine codicibus nihil mutandum. Nec tam venustè, si ita legas, cohærebit id quod sequitur, Ποινὴ δ' οὔτις παιδὸς ——.

Ver. 659. —— *τεθνειῶτος.*] Vide suprà ad *ver.* 46.

Ver. 665. *Ὅς ῥ' εὖ εἰδὼς κῆρ' ὀλοὴν.*] Οὐχ ὅμοιος τῷ Ἀχιλλεῖ ὁ Εὐχήνωρ, εἴγε καὶ αὐτὸς, εἰδὼς ὡς θανεῖται, ἦλθεν εἰς Τροίαν· Ἐκείνῳ μὲν γὰρ μὴ ἐλθόντι, ζῆν ἦν ἐπὶ μακρόν· Εὐχήνορι δὲ, τὰ τοῦ θανάτου ἄφυκτα, κἂν οἴκοι ἔμεινεν. *Eustath.*

Ver. 670. —— *πάθοι.*] *Al. πάθῃ.*

Ver. 672. —— *ἄρα.*] *Porrò; proinde; exinde; ut solitum est.*

Ver. 673. —— *δέμας πυρὸς.*] Διὰ τὸ θερμὸν, καὶ σύντονον, καὶ εὐκίνητον τῶν μαχομένων. *Schol. inedita*, à *Tho. Bentleio communicata.*

Ver. 675. *Ὅττι.*] Vide suprà ad ά, 537.

Λαοὶ ὑπ' Ἀργείων· τάχα δ' ἂν καὶ κῦδος Ἀχαιῶν
Ἔπλετο· τοῖος γὰρ γαιήοχος Ἐννοσίγαιος
Ὤτρυν' Ἀργείους, πρὸς δὲ σθένει αὐτὸς ἄμυνεν·
Ἀλλ' ἔχεν, ᾗ τὰ πρῶτα πύλας καὶ τεῖχος ἐσᾶλτο,
Ῥηξάμενος Δαναῶν πυκινὰς στίχας ἀσπιστάων·
Ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου,
Θῖν' ἔφ' ἁλὸς πολιῆς εἰρυμέναι· αὐτὰρ ὕπερθε
Τεῖχος ἐδέδμητο χθαμαλώτατον, ἔνθα μάλιστα
Ζαχρηεῖς γίνοντο μάχῃ αὐτοί τε καὶ ἵπποι·
Ἔνθα δὲ Βοιωτοὶ, καὶ Ἰάονες ἑλκεχίτωνες,
Λοκροὶ, καὶ Φθῖοι, καὶ φαιδιμόεντες Ἐπειοὶ,
Σπουδῇ ἐπαΐσσοντα νεῶν ἔχον· οὐδ' ἐδύναντο
Ὦσαι ἀπὸ σφείων φλογὶ εἴκελον Ἕκτορα δῖον·
Οἱ μὲν Ἀθηναίων προλελεγμένοι· ἐν δ' ἄρα τοῖσιν
Ἦρχ' υἱὸς Πετεῶο, Μενεσθεύς· οἱ δ' ἅμ' ἕποντο,
Φείδας τε, Στιχίος τε, Βίας τ' ἐΰς· αὐτὰρ Ἐπειῶν
Φυλείδης τε Μέγης, Ἀμφίων τε, Δρακίος τε.
Πρὸ Φθίων δὲ, Μέδων τε, μενεπτόλεμός τε Ποδάρκης,

Copiae ab Argivis: propemodùm autem etiam victoria Achivorum
Erat; talis enim Neptunus terram-quatiens
Impellebat Argivos, insuperque et robore ipse auxiliabatur:
Sed perstabat *Hector*, ubi primùm portas et murum insiluerat,
Perruptis Danaorum densis ordinibus scutatorum;
Ubi erant Ajacisque naves et Protesilai,
Littus ad maris cani subductae; ac suprà
Murus aedificatus erat humillimus, ubi maximè
Acerrimi erant *in* pugnâ ipsique *viri* et equi:
Illic autem Boeoti, et Iaones longis-vestibus-induti,
Locri, et Phthii, et illustres Epeï,
Acritèr irruentem, à-navibus arcebant; neque *tamen* poterant
Repellere à se flammae similem Hectorem nobilem:
Atque Atheniensium quidem selecti-*stabant*-primâ-in-acie; iis autem
Praeerat filius Petei, Menestheus; unàque sequebantur
Phidasque, Stichiusque, Biasque fortis: at Epeïs *praeerat*
Phylidesque Meges, Amphionque, Draciusque.
Ante Phthios autem, Medonque, bellicosusque Podarces,

Ver. 676. —— τάχα δ' ἄν.] Εἰ μὴ ἐμεμαθήκει. *Nisi tandem admonitus fuisset Hector*, ver. 725. infrà, *Schol. inedita*, Codicis *Harleiani.*

Ver. 678. Ὤτρυν' ——, σθένει αὐτὸς ἄμυνεν.] Nempe *Mare* eos cohibuit, ne fugerent; ipsaque necessitas fortitudinem inspiravit.

Ver. 682.—εἰρυμέναι.] Ab εἰρύομαι. Quæ enim sunt ex verbis in -υμαι desinentibus, ea omnia istud ύ ubique corripiunt.

Ver. 686. Φθῖοι.] Φθιῶται μὲν, οἱ ὑπ' Ἀχιλλεῖ· Φθῖοι δὲ, οἱ ὑπὸ Πρωτεσιλάῳ καὶ Φιλοκτήτῃ. *Eustath.*

Ver. 688. —— εἴκελον.] Vide suprà ad *ver.* 53.

Ver. 689. —— προλελεγμένοι.] Ἐπιλέγδην προτεταγμένοι, ὡς πρωτοστάται. *Eustath.*

Ver. 692. Φυλείδης τε Μέγης.] *Al.* Φυλείδης τε Μέγης τε. Malè. Ut rectè annotavit *Barnesius.* Erat enim *Meges Phylei* filius; ό, 528. 535.

Ver. 693. —— μενεπτόλεμός τε Ποδάρκης.] *Al.* Μενεπτόλεμός τε ποδάρκης. Malè. Nam, ut rectè annotavit *Barnesius*, Homero et alibi memoratur Ποδάρκης, non item Μενεπτόλεμος.

(Ἦτοι ὁ μὲν, νόθος υἱὸς Ὀϊλῆος θείοιο
Ἔσκε Μέδων, Αἴαντος ἀδελφεός· αὐτὰρ ἔναιεν
Ἐν Φυλάκῃ γαίης ἄπο πατρίδος, ἄνδρα κατακτὰς,
Γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ' Ὀϊλεύς·
Αὐτὰρ ὁ, Ἰφίκλοιο πάϊς τοῦ Φυλακίδαο·)
Οἱ μὲν πρὸ Φθίων μεγαθύμων θωρηχθέντες,
Ναῦφιν ἀμυνόμενοι, μετὰ Βοιωτῶν ἐμάχοντο.
Αἴας δ' οὐκέτι πάμπαν, Ὀϊλῆος ταχὺς υἱὸς,
Ἵστατ' ἀπ' Αἴαντος Τελαμωνίου, οὐδ' ἠβαιόν·
Ἀλλ' ὥστ' ἐν νειῷ βόε οἴνοπε πηκτὸν ἄροτρον,
Ἶσον θυμὸν ἔχοντε, τιταίνετον· ἀμφὶ δ' ἄρα σφιν
Πρυμνοῖσιν κεράεσσι πολὺς ἀνακηκίει ἱδρώς·
Τὼ μέν τε ζυγὸν οἶον ἐΰξοον ἀμφὶς ἐέργει
Ἱεμένω κατὰ ὦλκα, τέμνει δέ τε τέλσον ἀρούρης·
Ὣς τὼ παρβεβαῶτε μάλ' ἕστασαν ἀλλήλοιϊν.
Ἀλλ' ἦτοι Τελαμωνιάδῃ πολλοί τε καὶ ἐσθλοὶ
Λαοὶ ἕπονθ' ἕταροι, οἵ οἱ σάκος ἐξεδέχοντο,

(Ac quidem nothus filius Oïlei divini
Erat Medon, Ajacis frater; et habitabat
In Phylace, terrâ procul à patriâ, viro interfecto,
Fratre novercæ Eriopidis, quam habebat Oïleus:
At *Podarces*, Iphicli filius Phylacidae *erat*:)
Hi quidem ante Phthios magnanimos armati,
Naves defendentes, unà-cum Boeotis pugnabant.
Ajax verò haud omninò, Oïlei velox filius,
Absistebat ab Ajace Telamonio, nè paululùm quidem;
Sed sicut in novali duo-boves nigri compactile aratrum,
Parem animum habentes, trahunt; circaque ipsorum
Ima cornua multus erumpit sudor;
Atque hos quidem jugum solum politum distinet,
Vadentes per sulcum, proscinditque fundum terrae:
Sic isti [*Ajaces*] conjuncti propè-admodùm stabant inter se.
Sed Telamonium quidem multique et strenui
Viri sequebantur socii, qui ei scutum *vicibus* excipiebant,

Ver. 702. Ἵστατ' ἀπ'.] Ἀφίστατο.

Ver. 704. —— ἄρα.] *Ut fieri solet* ——.

Ver. 707. —— τέμνει δέ τε τέλσον ἀρούρης.] Non de nihilo est, quòd codices, in hoc vocabulo "τέμνει," mendosos esse suspicetur *Barnesius*. Non quòd "*Jugum sulcos non* "*findere soleat*;" Nam et *Aratorem*, et *Boves*, et *Jugum* utique, trahendo aratrum, terram *secare* dixeris, non ineptè: Sed quòd vox τέμνει, et quæ ejusmodi sunt, in Poemate *epico*, (ubi oratio grandis plerumque et sublimis esse debet, atque à sermone vulgari quàm maximè distare,) *rarissimè* corripiantur: quódque *Eustathius*, (qui, ad θ', 87. *Homerum* non τέμνειν, sed τάμνειν, semper scripsisse docet,) hoc in loco, licèt totam Similitudinem minutatim et per verba singula expendat, de hoc tamen vocabulo nè γρὺ quidem. Non tamen ideò sequendus *Barnesius*, qui nullis allatis Codicibus, nec ullâ satis idoneâ ratione, de suo edidit, τάμον δέ τε τέλσον ἀρούρης. Nec audiendus Scholiastes, qui istud "τέμνει" inficetè admodùm exponit, τέμνεται. Codex *Harleianus*, à *Tho. Bentleio* collatus, habet τεμεῖ· et *Scholia* ibidem inedita, τὸ ἄροτρον τὴν ἐπιφάνειαν.

Ibid. ———— ἀρούρης.] Vide suprà ad ζ', 142.

Ver. 708. ——— παρβεβαῶτε.] Vide suprà ad *ver.* 46.

Ibid. —— ἕστασαν.] Vide suprà ad μ', 55. Cod. à *Tho. Bentleio* collatus, habet πὰρ βεβαῶτε παρέστασαν ἀλλήλοισι.

Ver. 710. —— ἕταροι.] *Al.* ἑτάρων.

Ὁππότε μιν κάματός τε καὶ ἱδρὼς γοῦναθ' ἵκοιτο·
Οὐδ' ἄρ' Ὀϊλιάδῃ μεγαλήτορι Λοκροὶ ἕποντο·
Οὐ γάρ σφιν σταδίῃ ὑσμίνῃ μίμνε φίλον κῆρ·
Οὐ γὰρ ἔχον κόρυθας χαλκήρεας ἱπποδασείας,
Οὐδ' ἔχον ἀσπίδας εὐκύκλους καὶ μείλινα δοῦρα·
Ἀλλ' ἄρα τόξοισιν καὶ ἐϋστρόφῳ οἰὸς ἀώτῳ
Ἴλιον εἰς ἅμ' ἕποντο πεποιθότες· οἷσιν ἔπειτα
Ταρφέα βάλλοντες Τρώων ῥήγνυντο φάλαγγας.
Δή ῥα τόθ' οἱ μὲν πρόσθε, σὺν ἔντεσι δαιδαλέοισι,
Μάρναντο Τρωσίν τε καὶ Ἕκτορι χαλκοκορυστῇ·
Οἱ δ' ὄπιθεν βάλλοντες, ἐλάνθανον· οὐδέ τι χάρμης
Τρῶες μιμνήσκοντο· συνεκλόνεον γὰρ ὀϊστοί.
Ἔνθα κε λευγαλέως νηῶν ἄπο καὶ κλισιάων
Τρῶες ἐχώρησαν προτὶ Ἴλιον ἠνεμόεσσαν,
Εἰ μὴ Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς·
Ἕκτορ, ἀμήχανός ἐσσι παραῤῥητοῖσι πιθέσθαι.
Οὕνεκά τοι πέρι δῶκε θεὸς πολεμήϊα ἔργα,
Τοὔνεκα καὶ βουλῇ ἐθέλεις περιΐδμεναι ἄλλων;

Quando ipsi defatigatioque et sudor genua occupâsset:
At non Oïliadem magnanimum Locri sequebantur:
Non enim ipsis *in* statariâ pugnâ constabat suus animus;
Non enim habebant galeas aereas equinis-setis-densas,
Neque habebant clypeos pulchrè-orbiculatos, et fraxineas hastas;
Sed arcubus et scitè-tortâ ovis lanâ,
Ad Ilium simul secuti sunt, freti; quibus deinceps
Crebrò jacientes Trojanorum rumpebant phalangas.
At tunc illi [*Ajaces*] quidem antè, cum armis vario-artificio factis,
Pugnabant contra Trojanosque et Hectorem aere-armatum:
Hi autem [*Locri*] à tergo jacientes latebant; neque omninò pugnae
Trojani *ampliùs* recordabantur; conturbabant enim *eos* sagittae.
Tum sanè magnâ-clade-acceptâ, à navibus et tentoriis
Trojani recessissent ad Ilium ventosam;
Nisi Polydamas audacem Hectorem allocutus esset adstans:
" Hector, à te impetrare-nescis, ut *aliorum* monitis obsequaris.
" Quoniam tibi excellentèr dedit Deus bellica opera,
" Ideò et consilio vis peritus esse suprà caeteros?

Ver. 713. Οὐ γάρ σφιν σταδίῃ ὑσμίνῃ μίμνε φίλον κῆρ.] Apud *Strabonem* lib. x. p. 689. *Al.* 449. Οὐ γάρ σφιν σταδίης ὑσμίνης ἔργα μέμηλεν. Cod. *Harleian.* Οὐδ' ἄρ' σφιν ——.

Ver. 716. Ἀλλ' ἄρα.] *Sed, quod inermium erat, et statariæ pugnæ imperitorum,* ——.

Ibid. ——— ἐϋστρόφῳ οἰὸς ἀώτῳ.] *Fundâ.* Ut suprà *ver.* 599. ἐϋστρόφῳ οἰὸς ἀώτῳ, Σφενδόνῃ.

Ver. 717. ——— οἷσιν ἔπειτα.] *Al.* οἷσι μάλιστα.

Ver. 719. Δή ῥα τόθ' οἱ μὲν.] *Ac tunc quidem, juxta istam consuetudinem,* ———.

Ver. 721. ——— οὐδέ τι.] *Al.* οὐδ' ἔτι.

Ver. 722. — συνεκλόνεον γὰρ ὀϊστοί.] Scholiasti, συνεκλονέοντο, συνεταράσσοντο. Ut adeò legisse videatur, συνεκλονέοντο γ' ὀϊστοῖς.

Ver. 728. ——— περιΐδμεναι.] Vel, περὶ ἴδμεναι. *Al.* περιέμμεναι. Quam Lectionem et præfert *Henric. Stephanus,* propter id quod suprà legitur, ά, 258. Οἳ περὶ μὲν βουλῇ Δαναῶν, περὶ δ' ἐστὲ μάχεσθαι.

Ἀλλ᾽ οὔπως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι·
Ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα·
Ἄλλῳ δ᾽ ὀρχηστὺν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν·
Ἄλλῳ δ᾽ ἐν στήθεσσι τίθει νόον εὐρύοπα Ζεὺς
Ἐσθλὸν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ᾽ ἄνθρωποι,
Καί τε πόλεις ἐσάωσε, μάλιστα δέ κ᾽ αὐτὸς ἀνέγνω.
Αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
Πάντη γάρ σε πέρι στέφανος πολέμοιο δέδηε·
Τρῶες δὲ μεγάθυμοι, ἐπεὶ κατὰ τεῖχος ἔβησαν,
Οἱ μὲν ἀφεστᾶσιν σὺν τεύχεσιν, οἱ δὲ μάχονται
Παυρότεροι πλεόνεσσι, κεδασθέντες κατὰ νῆας.
Ἀλλ᾽ ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους·
Ἔνθεν δ᾽ ἂν μάλα πᾶσαν ἐπιφρασσαίμεθα βουλήν·
Ἤ κεν ἐνὶ νήεσσι πολυκλήϊσι πέσωμεν,

" At nequaquam simul omnia poteris ipse-solus consequi :
" Alii enim tribuit Deus bellica opera;
" Alii autem artem-saltandi, alii citharam et cantum;
" Alii verò in pectoribus posuit mentem latè-sonans Jupiter
" Prudentem ; cujus quidem multi fructum-percipiunt homines;
" Quin et urbes servat; praecipuè autem ipse, *qui habet, ejus utilitatem* novit.
" Sed ego dicam, ut mihi videtur esse optimum.
" Undique enim te circum corona belli flagrat;
" Trojani autem magnanimi, postquam trans murum iverunt,
" Alii quidem subducunt-se cum armis, alii verò proeliantur
" Pauciores contra-plures, dissipati circa naves.
" Quin *tu* retrocedens voca huc omnes proceres :
" Deinde verò de summâ-rerum inire-poterimus consilium;
" Utrúmne in naves multa-transtra-habentes irruamus,

Ver. 729. —— *οὔπως ἅμα πάντα*——. *Ἄλλῳ μὲν γὰρ ἔδωκε θεός.*]
—— *οὐ πάντεσσι θεὸς χαρίεντα δίδωσιν*
Ἀνδράσιν, οὔτε φυὴν, οὔτ᾽ ἂρ φρένας, οὔτ᾽ ἀγορητύν.
Ἄλλος μὲν γὰρ——
—— *ἀσφαλέως ἀγορεύει.*——
Ἄλλος δ᾽ αὖ εἶδος——. *Odyss.* θ΄, 167.
Ἀλλ᾽ οὐ γὰρ ὡὐτὸς πάντ᾽ ἐπίστασθαι βροτῶν
Πέφυκεν, ἄλλῳ δ᾽ ἄλλο πρόσκειται γέρας·
Σὲ μὲν μάχεσθαι, τοὺς δὲ βουλεύειν καλῶς.
Euripid. Rhes. 106.
—— non omnia possumus omnes.
Virg. Ecl. VIII, 63.

Ver. 731. *Ἄλλῳ δ᾽ ὀρχηστὺν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν.*] Apud Lucianum *περὶ ὀρχήσεως*, c. 23.
Ἄλλῳ δ᾽ ὀρχηστύντε καὶ ἱμερόεσσαν ἀοιδήν.
Cæterùm nonnulli totum hunc versiculum *suppositum* existimant. *Δῆλον δὲ, ὡς ἀχρειοῖ τὸ ἔπος τοῦτο τὴν Ὁμηρικὴν ἔννοιαν· ἧς ὁ σκοπὸς εἷς καὶ μόνος, Ἀνδρίαν συγκρῖναι Φρονήσει.* *Eustath.*

Ver. 732. —— *τίθει.*] *Al.* *τιθεῖ.*

Ibid. —— *εὐρύοπα.*] Vide suprà ad *ά*, 175.

Ver. 734. —— *πόλεις.*] *Al.* *πολεῖς*, *multos.*

Ibid. —— *μάλιστα δέ κ᾽ αὐτὸς ἀνέγνω.*] Domina *Dacier* vocem *αὐτὸς* ad ipsum *Jovem* refert. Rectiùs, ut opinor, *Eustathius* : *Τῆς μὲν (Ἀνδρίας,) τὸ σεμνὸν ἐχούσης ἄλλως ἐν τῷ σώζειν ἑτέρους,—— τῆς δὲ Νοήσεως, κἂν μή τινας ἔχῃ σώζειν, ὅμως οὕτως αὐτάρκως ἐχούσης, διὰ τὸ αὐτῆς γνωστικόν.*

Ver. 735. —— *ἄριστα.*] *Al.* *ἄριστον.*

Ver. 736. —— *δέδηε.*] *Flagrat ;* non, *flagrabat.* Nam *præteritum* istud (quod appellant Grammatici) *perfectum*, semper indicat *præsens Tempus* rei perfectæ: Ideóque à Græcis aptè appellatur *παρακείμενος·* quia *Tempori* isti, quo aliquid rerum *fiat*, *adjacet* nimirùm *Tempus* quo id *factum* demùm *sit*. Vide suprà ad *ά*, 37.

Ver. 737. —— Τρῶες δὲ.] *Al.* Τρῶες δή. Sed nihil opus. Vide suprà ad *ά*, 51.

Ver. 741. —— Ἔνθεν δ᾽ ἄν.] Ἔνθεν δ᾽ αὖ, MS. à *Th. Bentleio* collatus.

Αἴκ' ἐθέλῃσι θεὸς δόμεναι κράτος, ἤ κεν ἔπειτα
Πὰρ νηῶν ἔλθοιμεν ἀπήμονες· ἦ γὰρ ἔγωγε
Δείδω, μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοὶ
Χρεῖος, ἐπεὶ παρὰ νηυσὶν ἀνὴρ ἆτος πολέμοιο
Μίμνει, ὃν οὐκέτι πάγχυ μάχης σχήσεσθαι ὀΐω.
  Ὣς φάτο Πουλυδάμας· ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων·
Αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε,
Καί μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδα·
  Πουλυδάμα, σὺ μὲν αὐτοῦ ἐρύκακε πάντας ἀρίστους·
Αὐτὰρ ἐγὼ κεῖσ' εἶμι, καὶ ἀντιόω πολέμοιο·
Αἶψα δ' ἐλεύσομαι αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω.

" Si quidem velit Deus largiri victoriam; an verò jam deinceps
" A navibus abeamus illaesi: Certè enim equidem
" Timeo, ne hesternum rependant Achivi
" Debitum; quoniam apud naves vir insatiabilis pugnae
" Manet, quem non ampliùs omninò à pugnâ cessaturum puto."
Sic dixit Polydamas: Placuit autem Hectori consilium tutum:
Continuò igitur è curribus cum armis desiliit in terram,
Et eum editâ-voce verbis velocibus allocutus est:
" Polydama, tu quidem hîc retine omnes fortissimos:
" At ego illuc ibo, et occurram proelio:
" Protinùs autem revertar, postquam diligentèr illis mandata-dedero."

Ver. 745. — *μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοὶ Χρεῖος.*] Vulgati habent *ἀποτίσωνται.* Sed *Barnesius* ex *Eustathio* edidit, *ἀποστήσωνται·* ejusque rei rationem itâ reddit. " *Editiones Basileensis et Romana Eustathii, τὸ* " *ἀποστήσωνται apertè præferunt, in Textu* " *paritèr et in παρεκβολαῖς. Eustathius,* " fol. 937, lin. 16; et fol. 938, lin. 48; " Τὸ δὲ, ἀποστήσωνται τὸ χθιζὸν χρέος, τινὲς " μὲν γράφουσιν ἀποτίσωνται· οὐκ ἀρέσκονται " δὲ οἱ σοφοὶ, ἀλλὰ θέλουσιν εἶναι ἀποστήσωνται, ἀντὶ τοῦ ἀποσταθμήσωσιν, ἤγουν σταθμῷ " ἀποδώσουσιν ἢ λήψονται. *Eandem lectionem* " *τοῦ ἀποστήσωνται repetit,* fol. 950, lin. 18. " *Ita Iliad. χ',* 350. Στήσωσ' ἐνθάδ' ἄγοντες ἄποινα. *Ita ώ,* 232. Χρυσοῦ δὲ στήσας " ἔφερεν δέκα πάντα τάλαντα. *Ubi Eustathius,* " fol. 1479, lin. 29. Τὸ δὲ στήσας, ἀντὶ τοῦ " σταθμήσας, ὡς πρὸς ἀκρίβειαν, ἵνα μὴ " ψεύσηται τὸν σταθμὸν τυχὸν ἐρωτηθείς. Ἐκ " τούτου δὲ, καὶ πρὸ τούτων, τὸ, χθιζὸν ἀποστήσωνται χρέος, ὡς προηρμήνευται. Καὶ, μεταστῆσαι, ἐν Ὀδυσσείᾳ, τὸ μεταλλάξαι εἴρηται μεταφορικῶς, Odyss. δ', 612. *Hesychius,* Ἀποστήσωνται, ἀποκομίσωνται· σταθμῷ γὰρ ἀπεδίδοσαν. —— *Harpocration,* Ἀποστησάμενον, ἀντὶ τοῦ, πρὸς σταθμὸν παραλαβόντα· Δημοσθένης. *Idem ferè Brev.* " *Scholia,* [ὥσπερ σταθμῷ δεδανεικότες.] *Et* " *Etymolog. magn.* voce Στατήρ· ——— τὸ " γὰρ ἀποστήσωνται, ἀντὶ τοῦ, ἀπολάβωσιν." His adde *Porphyrium.* Ζητήμ. Ὁμηρικ. 25. Κέχρηται τῇ ἀπὸ τῶν σταθμῶν διαμετρήσει, καὶ ἐπὶ τοῦ, " Δείδω μὴ τὸ χθιζὸν ἀποτίσωνται " [ita *Editi,* sed necesse est scripserit *Porphyrius* ἀποστήσωνται] Ἀχαιοὶ χρεῖος—."— ὡς ἐν ζυγῷ ἴσον στήσαντες, καὶ ἀπομετρούμενοι ὄφλημα,—στήσαντες τὸ χρέος. Porrò, *medio in vocabulo ἀποτίσωνται,* non rectè producitur istud ό. Denique, licèt eandem in sententiâ vim habeat horum vocabulorum utrumque; tamen facilius creditu est, verbum usitatius *ἀποτίσωνται,* ex inusitatiori *ἀποστήσωνται* ortum esse, quàm è contrario ex usitatiori inusitatius. Veruntamen judicet Lector eruditus.

Ver. 746. ——— *παρὰ νηυσὶν ἀνὴρ ἆτος.*] Vide suprà ad *ver.* 324.

Ver. 748. ——— *ἅδε.*] *Al.* *ἆδε.* Sed hoc, leviculum.

Ver. 749. —— *ἐξ ὀχέων.*] Sunt qui Poetam hîc reprehendant, tanquam oblitum mandatorum quæ suprà memoraverat, *μ',* 81—85. Sed facilè intelligi potest, *Hectoris* currum, post effractas fores, exuperatumque murum atque vallum, cum interjecto aliquo intervallo ita secutum ut tamen plerumque staret *ὄπισθε μάχης ἠδὲ πτολέμοιο,* ξ', 430. Reliqui certè currus extra murum atque vallum usque permanebant, (ό, 3.) Ut rectè annotavit *Popius.*

Ibid. — *ἆλτο χαμᾶζε.*] Vide suprà ad *γ',* 29.

Ἦ ῥα, καὶ ὡρμήθη, ὄρεϊ νιφόεντι ἐοικὼς,
Κεκληγὼς, διὰ δὲ Τρώων πέτετ' ἠδ' ἐπικούρων.
Οἱ δ' ἐς Πανθοΐδην ἀγαπήνορα Πουλυδάμαντα
Πάντες ἐπεσσεύοντ', ἐπεὶ Ἕκτορος ἔκλυον αὐδήν.
Αὐτὰρ ὁ Δηΐφοβόν τε, βίην θ' Ἑλένοιο ἄνακτος,
Ἀσιάδην τ' Ἀδάμαντα, καὶ Ἄσιον Ὑρτάκου υἱὸν,
Φοίτα ἀνὰ προμάχους διζήμενος, εἴ που ἐφεύροι·
Τοὺς δ' εὗρ' οὐκέτι πάμπαν ἀπήμονας οὐδ' ἀνολέθρους·
Ἀλλ' οἱ μὲν δὴ, νηυσὶν ἐπὶ πρύμνῃσιν Ἀχαιῶν,
Χερσὶν ὑπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες·
Οἱ δ' ἐν τείχει ἔσαν βεβλημένοι, οὐτάμενοί τε.
Τὸν δὲ τάχ' εὗρε μάχης ἐπ' ἀριστερὰ δακρυοέσσης
Δῖον Ἀλέξανδρον, Ἑλένης πόσιν ἠϋκόμοιο,
Θαρσύνονθ' ἑτάρους, καὶ ἐποτρύνοντα μάχεσθαι·
Ἀγχοῦ δ' ἱστάμενος προσέφη αἰσχροῖς ἐπέεσσι·
  Δύσπαρι, εἶδος ἄριστε, γυναιμανὲς, ἠπεροπευτὰ,
Ποῦ τοι Δηΐφοβός τε, βίη θ' Ἑλένοιο ἄνακτος,

Dixit, et impetu-facto-abiit, monti nivoso similis,
Inclamans, perque Trojanos volabat et *per* socios.
Hi autem ad Panthoïdem fortitudinis-amantem Polydamanta
Omnes ocyùs-accurrebant, simulac Hectoris audierunt vocem.
At *Hector* Deïphobumque, vimque Heleni regis,
Asiademque Adamanta, et Asium Hyrtaci filium,
Itabat per primos-pugnatores quaerens, sicubi invenire-posset.
Hos autem invenit non jam prorsùs illaesos neque inextinctos:
Sed hi quidem jam, navium ad puppes Achivorum,
Sub manibus Argivorum jacebant animabus deperditis:
Alii autem in muro erant eminùs cominúsque vulnerati.
Verùm statim invenit pugnae ad sinistram lachrymosae
Nobilem Alexandrum, Helenae maritum pulchrae-comas,
Animos-addentem sociis, et incitantem ad pugnam:
Propè autem stans *eum* allocutus est probrosis verbis:
" Infauste-Pari, formâ praestantissime, mulierose, deceptor,
" Ubi tibi Deïphobusque, visque Heleni regis,

Ver. 754. ——— ὄρεϊ νιφόεντι.]
——— Tanaimque nivalem.
Virg. Georg. IV, 517.

Similitudo hîc desumpta, partim ex corporis proceritate et robore, partim ex galeæ splendore, et albitudine cristæ. Cæterùm, quâ ratione ὄρεϊ hîc ultimam producat; item Ἀλέξανδρον, *ver.* 766; vide suprà ad ά, 51. Denique, quâ analogiâ vox νιφόεντι, quæ primam corripit, deducta sit ex νίφειν, quæ primam *produoit;* vide suprà ad ά, 338; et ad μ', 280.

Ver. 757. ——— αὐδήν.] *Al.* αὐδῆς.

Ver. 758. (et infrà, *ver.* 770,) βίην θ' Ἑλένοιο.] Simili planè loquendi ratione, ac in linguis recentioribus, *regia majestas* ipse scilicèt *Rèx* est, et *divinitas* ipse *Deus.*

Ver. 759. ——— Ἀδάμαντα.] Vide suprà ad *ver.* 560.

Ver. 761. — οὐδ' ἀνολέθρους.] Ἡ ἀπόφασις τῇ καταφάσει ποτὲ μὲν τὸ ἶσον δύναται, ποτὲ δὲ τὸ πλέον. *Hermogenes* περὶ μεθόδου δεινότητος, c. 37. Vide suprà ad ά, 330.

Ver. 766. — Ἑλένης πόσιν ἠϋκόμοιο.] Vide suprà ad ή, 355.

Ver. 767. Θαρσύνονθ'.] Vide infrà ad *ver.* 823.

Ver. 769. Δύσπαρι.] Vide suprà ad γ', 39.

Ἀσιάδης τ' Ἀδάμας, ἠδ' Ἄσιος Ὑρτάκου υἱός;
Ποῦ δέ τοι Ὀθρυονεύς; νῦν ὤλετο πᾶσα κατ' ἄκρης
Ἴλιος αἰπεινή· νῦν τοι σῶς αἰπὺς ὄλεθρος.
Τὸν δ' αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής·
Ἕκτορ, ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάασθαι,
Ἄλλοτε δήποτε μᾶλλον ἐρωῆσαι πτολέμοιο
Μέλλω, ἐπεὶ οὐδ' ἐμὲ πάμπαν ἀνάλκιδα γείνατο μήτηρ·
Ἐξ οὗ γὰρ παρὰ νηυσὶ μάχην ἤγειρας ἑταίρων,
Ἐκ τοῦδ' ἐνθάδ' ἐόντες ὁμιλέομεν Δαναοῖσι
Νωλεμέως· ἕταροι δὲ κατέκταθεν, οὓς σὺ μεταλλᾷς.
Οἴω Δηΐφοβός τε, βίη θ' Ἑλένοιο ἄνακτος
Οἴχεσθον, μακρῇσι τετυμμένω ἐγχείῃσιν
Ἀμφοτέρω κατὰ χεῖρα· φόνον δ' ἤμυνε Κρονίων.
Νῦν δ' ἄρχ', ὅππῃ σε κραδίη θυμός τε κελεύει·

"Asiadesque Adamas, atque Asius Hyrtaci filius?
"Ubi verò et Othryoneus? nunc periit tota à culmine
"Ilios alta; nunc te certa *manet* gravis pernicies."
Illum autem vicissim allocutus est Alexander divinâ-formâ-praeditus:
"Hector, quoniam tibi animus *est* insontem culpare,
"Aliàs fortè magis cessare à proelio
"Potuerim, cùm neque me prorsùs imbellem genuerit mater:
"Ex quo enim apud naves pugnam suscitâsti sociorum,
"Ex eo hìc permanentes congredimur cum Danaïs
"Indesinentèr: socii autem caesi sunt *ii*, quos tu requiris.
"Duo-soli Deïphobusque, visque Heleni regis
"Abierunt, longìs saucii hastis
"Ambo manum; caedem autem arcebat Saturnius.
"Nunc verò duc, quò te cor animusque jubeat:

Ver. 771. — Ἀδάμας.] Vide suprà ad *ver.* 560.

Ver. 772. —— νῦν ὤλετο πᾶσα κατ' ἄκρης.] *Al.* κατὰ κρῆς.

—— ruit alto à culmine Troja.
Æn. II, 290.

—— sternitque à culmine Trojam.
Ibid. 603.

Ver. 775. —— ἀναίτιον αἰτιάασθαι.] Malè hìc *Eustathius:* Σημείωσαι, ὅτι οὐδὲ τὸ τοῦ Ἀχιλλέως ἦθος ἀνόμοιον πρὸς Ἕκτορα, εἴγε καὶ αὐτὸς "τάχα κεν ἀναίτιον αἰτιόῳτο." λ', 653. Istud enim reverà erat *Achillis* ἦθος· "Οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν, οὐδ' ἀγανό-"φρων, Ἀλλὰ μάλ' ἐμμεμαώς." ύ, 467. At *Hector* ubique indole atque ingenio *mansuetus*, et γλυκύθυμος describitur; licèt *Paridem*, in re et loco opportuno, acriùs nonnunquam, non sine causâ reprehenderit. Quare multò adhuc pejùs Domina *Dacier*, et *Popius;* qui *Hectorem* hìc *injustum*, *violentum*, et *iracundum* depingunt: Ac si ipse, suâ in oppugnandis Achivorum munitionibus temeritate et pertinaciâ, fortissimos suorum perdidisset; quorum mortem *Paridi*, non tam ut ignavo quidem et imbelli, (quanquam is et hâc in parte à reprehensione non abfuit,) quàm ut primæ malorum causæ atque auctori, exprobraret.

Ver. 776.———ἐρωῆσαι πτολέμοιο.] MS. à *Th. Bentleio* collatus, ἐρωήσειν πτολέμοιο. Vir doctissimus *Hen. Stephanus*, propter præcedentem syllabam longam, scribendum hìc contendit πολέμοιο. Ipse tamen, ut rectè observavit *Berglerus*, edidit, ὁμοιΐου πτολέμοιο, ό, 670. Atque in πτόλις, πτολίεθρον, et similibus, post syllabam alioqui positione longam, saepè abundat litera, gravioris soni causâ. Quod idem in προτὶ pro ποτὶ frequentèr factum, *Stephanus* ipse judicio candido hunc ad locum observavit.

Ver. 777. Μέλλω, ἐπεὶ οὐδ'.] Pronuntiabatur ἐπ' οὐδ' vel ἐπεὐδ', duabus syllabis. Vide suprà ad έ, 349; et ad ί, 533.

Ver. 778. Ἐξ οὗ γάρ.] Refertur istud, γάρ, ad id quod elegantissimè reticetur. *Aliàs fortè culpandus fuerim; At Nunc certè in reprehensionem non incurri: NAM ex quo*——.

Ver. 781. —— βίη θ' Ἑλένοιο.] Vide suprà ad *ver.* 758.

Ἡμεῖς δ' ἐμμεμαῶτες ἅμ' ἑψόμεθ', οὐδέ τι φημὶ
Ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστι·
Πὰρ δύναμιν δ' οὐκ ἔστι καὶ ἐσσύμενον πτολεμίζειν.
Ὣς εἰπὼν παρέπεισεν ἀδελφειοῦ φρένας ἥρως·
Βὰν δ' ἴμεν, ἔνθα μάλιστα μάχη καὶ φύλοπις ἦεν,
Ἀμφί τε Κεβριόνην, καὶ ἀμύμονα Πουλυδάμαντα,
Φάλκην, Ὀρθαῖόν τε, καὶ ἀντίθεον Πολυφοίτην,
Πάλμυν τ', Ἀσκάνιόν τε, Μόρυν θ' υἷ' Ἱπποτίωνος·
Οἵ ῥ' ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοὶ
Ἠοῖ τῇ προτέρῃ· τότε δὲ Ζεὺς ὦρσε μάχεσθαι.
Οἱ δ' ἴσαν, ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ,
Ἥ ῥά θ' ὑπὸ βροντῆς πατρὸς Διὸς εἶσι πέδονδε,
Θεσπεσίῳ δ' ὁμάδῳ ἁλὶ μίσγεται, ἐν δέ τε πολλὰ

" Nos enim paratissimis-animis sequemur, neque omninò puto
" Virtutem *te* desideraturum, quantùm quidem *in nobis* virium fuerit:
" Ultra vires autem non licet, quantumvis cupido, pugnare."
Sic fatus, flexit fratris animam heros:
Perrexerunt autem ire, ubi maximè pugna et proelium erat;
Ubi erat Cebrionesque, et eximius Polydamas,
Phalces, Orthaeusque, et divinus Polyphoetes,
Palmysque, Ascaniusque, Morysque, filii [*vel* filius] Hippotionis;
Qui ex Ascaniâ glebosâ venerant suis-vicibus
Die praecedenti; tunc verò Jupiter *eos* impulit ad pugnam.
Hi autem ibant, vehementium ventorum similes turbini,
Qui ex tonitru patris Jovis ingruit in campum,
Immanique cum tumultu mari miscetur, in*surgunt*que multi

Ver. 785. —— ἐμμεμαῶτες.] Vide suprà ad *ver.* 46. Item ad ά, 265. ad β', 818. ad ζ', 464.

Ibid. —— οὐδέ τι.] *Al.* οὐδέ τε. *Al.* οὐδ' ἔτι.

Ver. 787. ——— πτολεμίζειν.] *Stephanus*, πολεμίζειν. Vide suprà ad *ver.* 776.

Ver. 789. —— Βὰν δ' ἴμεν, ἔνθα μάλιστα.]
—— ruit ad ——— ubi plurima fuso
Sanguine terra madet, stridentque hastilibus auræ. *Æn.* XII, 690.

Ver. 792. ——— υἷ' Ἱπποτίωνος.] Vulgati habent, υἷε Ἱπποτίωνος. Sed scribendum, ut opinor, cum *Barnesio*, aut υἷ', aut υἱέ· nè syllaba videlicèt circumflexa corripiatur. *Strabo* citat,

——— υἱὸν Ἱπποτίωνος,
Μυσῶν ἀγχεμάχων ἡγήτορα ———.
Lib. 12. *p.* 847. al. 565.

Quo magis mireris *Barnesii* levitatem, qui, quoniam alibi legerat Μόρυν τε καὶ Ἱπποτίωνα κατέκτα, ξ, 514. " *in eodem* Versu et " Fato, *ut* Fratres *potiùs quàm ut* Filium *et* " Patrem" conjunctos; ideò et hîc, pro Μόρυν θ' υἷ' Ἱπποτίωνος, scribendum existimavit Μόρυν τε καὶ Ἱπποτίωνα. Quasi verò *Pater* et *Filius* non tam *interfici simul* potuerint, quàm *bini Fratres*.

Ver. 793. Οἵ ῥ' ἐξ.] *Strabo*, loco jam citato, legit Οἵ γ' ἐξ. Quæ, quantum ex analogiâ quidem judico, et probabilior est Lectio.

Ibid. —— ἀμοιβοὶ.] Διαδοχῇ τινι βοηθείας· ——— πολέμου διάδοχοι, τοῖς προτέροις ἴσοι. ———"Η ἀμειβόμενοι Πρίαμον, ὑπὲρ ὧν αὐτὸς ἐπεκούρησε τοῖς Φρυξί ποτε, ὡς ἐν τῇ γ'. ῥαψῳδίᾳ εἴρηται. *Eustath.*

Ver. 795. —— ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ, ———.] Ἐπαινεῖται καὶ ἐνταῦθα παραβολὴ ἐν τοῖς μάλιστα. ——— δηλοῖ δὲ —— τὴν πολλὴν, καὶ σφοδρὰν, καὶ συνεχῆ, καὶ μετὰ ἤχου τῶν πολεμίων ἐπέλευσιν. *Eustath.*

Ver. 796. Ἥ ῥά θ' ὑπὸ βροντῆς.] Σὺν ἀερίᾳ βροντῇ. *Eustath.* Ἀντὶ τοῦ, μετὰ βροντῆς. *Schol.* Quod si verum est, quidni (obsecro) et *scribere* potuisset Homerus, Ἥ ῥα μετὰ βροντῆς—? At, ὑπο βροντῆς, indicat turbinem (secundùm Poetæ sententiam) vel ex tonitru, vel ex nube atque eâdem utique origine ac tonitru ipsum, natum.

Ver. 797. —— ἐν δέ τε πολλὰ.] *Al.* ἔνθα τε πολλά. Quod et laudat *Barnesius*. Sed minùs rectè. Meliùs enim indicat vulgata Lectio fluctus ex turbine, qui hîc *jam* describitur, oriundos.

Κύματα παφλάζοντα πολυφλοίσβοιο θαλάσσης,
Κυρτὰ, φαληριόωντα, πρὸ μέν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα·
Ὣς Τρῶες πρὸ μὲν ἄλλοι ἀρηρότες, αὐτὰρ ἐπ' ἄλλοι
Χαλκῷ μαρμαίροντες ἅμ' ἡγεμόνεσσιν ἕποντο·
Ἕκτωρ δ' ἡγεῖτο, βροτολοιγῷ ἶσος Ἄρηϊ,
Πριαμίδης· πρὸ ἕθεν δ' ἔχεν ἀσπίδα πάντοσε ἴσην,
Ῥινοῖσιν πυκινήν· πολλὸς δ' ἐπελήλατο χαλκός·
Ἀμφὶ δέ οἱ κροτάφοισι φαεινὴ σείετο πήληξ.
Πάντη δ' ἀμφὶ φάλαγγας ἐπειρᾶτο προποδίζων,
Εἴπως οἱ εἴξειαν ὑπασπίδια προβιβῶντι·
Ἀλλ' οὐ σύγχει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
Αἴας δὲ πρῶτος προκαλέσσατο, μακρὰ βιβάσθων·
Δαιμόνιε, σχεδὸν ἐλθέ· τίη δειδίσσεαι οὕτως
Ἀργείους; οὔτοι τι μάχης ἀδαήμονες εἰμὲν
Ἀλλὰ Διὸς μάστιγι κακῇ ἐδάμημεν Ἀχαιοί.
Ἦ θήν πού τοι θυμὸς ἐέλπεται ἐξαλαπάξειν
Νῆας, ἄφαρ δέ τε χεῖρες ἀμύνειν εἰσὶ καὶ ἡμῖν.

Fluctus aestuantes multo-strepitu-resonantis maris,
Tumidi, spumâ-albescentes, antè quidem alii, ac deinceps alii :
Sic Trojani, antè quidem alii stipati, pòst etiam alii
Aere coruscantes cum ducibus sequebantur :
Hector verò praeibat, hominum-perniciei par Marti,
Priamides ; et ante se tenebat scutum undique aequale,
Pellibus densum ; multum autem super-inductum-erat aes :
Circumque ejus tempora fulgens quassabatur cassis.
Quoquoversùm verò circum phalangas tentabat pedem-inferens,
Si quo-modo sibi cederent sub-clypeo progredienti :
Sed non conturbabat animum in pectoribus Achivorum.
Ajax autem primus provocavit, magnis-passibus gradiens :
" O bone, propiùs accede : cur territas ità
" Argivos ? nequaquam pugnae imperiti sumus,
" Sed Jovis flagello pernicioso domiti sumus Achivi.
" Sanè quidem tibi animus sperat direpturum *te* esse
" Naves ; in-promptu autem manus ad repellendum sunt et nobis.

Ver. 798. Κύματα παφλάζοντα, ——— φαληριόωντα, πρὸ μέν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα.] Ἐν πᾶσι, τὸ ἐνέργειαν ποιεῖν, εὐδοκιμεῖ· —— ποιεῖ δὲ ἐν τοῖς εὐδοκιμούσαις εἰκόσιν ἐπὶ τῶν ἀψύχων ταῦτα·

Κυρτὰ, φαληριόωντα, πρὸ μὲν τἄλλ', αὐτὰρ ἐπ' ἄλλα.

Κινούμενα γὰρ, καὶ ζῶντα, ποιεῖ πάντα. [ubi notandum *Aristotelem* voce mediâ, κινούμενα, eas propriè dixisse res, quæ *se* ipsæ *moveant* :] *Rhetoric. lib.* 3. *c.* 11. Cæterùm de eo artificio, quo Poeta versûs sui numeros, verborumque ipsorum sonum, ad rei dicendæ naturam exegerit ; vide suprà ad γ', 363.

Ver. 803. Πριαμίδης.] Vide suprà ad ά, 398.

Ibid. —— πρὸ ἕθεν.] *Al.* πρόσθεν.

Ver. 805. —— κροτάφοισι φαεινὴ σείετο πήληξ.] Ὅθεν ἴσως καὶ "κορυθαίολος" καὶ "κορυθάϊξ" λέγεται. *Eustath.* Id quod cum *Porphyrio* facit, qui αἰόλον non *varium*, sed *mobile*, semper significare contendit. Vide suprà ad β', 816.

Ver. 809. —— βιβάσθων.] *Al.* βιβάζων.

Ver. 811. —— οὔτοι τι μάχης ἀδαήμονες εἰμὲν, Ἀλλὰ Διὸς μάστιγι.]

——— non me tua fervida terrent
Dicta, ferox : Dii me terrent, et Jupiter hostis.

Æn. XII, 894.

Ver. 814. —— ἄφαρ δέ τε χεῖρες ἀμύνειν εἰσὶ καὶ ἡμῖν.

Ἦ κε πολὺ φθαίη εὖ ναιομένη πόλις ὑμὴ
Χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσά τε, περθομένη τε.
Σοὶ δ' αὐτῷ φημὶ σχεδὸν ἔμμεναι, ὁππότε φεύγων
Ἀρήσῃ Διῒ πατρὶ καὶ ἄλλοις ἀθανάτοισι,
Θάσσονας ἰρήκων ἔμεναι καλλίτριχας ἵππους,
Οἵ σε πόλινδ' οἴσουσι, κονίοντες πεδίοιο.
Ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις,
Αἰετὸς ὑψιπέτης· ἐπὶ δ' ἴαχε λαὸς Ἀχαιῶν,
Θάρσυνος οἰωνῷ· ὁ δ' ἀμείβετο φαίδιμος Ἕκτωρ·
Αἶαν ἁμαρτοεπὲς, βουγάϊε, ποῖον ἔειπες;
Αἲ γὰρ ἐγὼν οὕτω γε Διὸς πάϊς αἰγιόχοιο
Εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη,
Τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων·
Ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισι
Πᾶσι μάλ'· ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴκε ταλάσσῃς
Μεῖναι ἐμὸν δόρυ μακρὸν, ὅ τοι χρόα λειριόεντα
Δάψει· ἀτὰρ Τρώων κορέεις κύνας ἠδ' οἰωνοὺς
Δημῷ καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν.
Ὣς ἄρα φωνήσας ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο

" Ac sanè longè antè benè habitata urbs vestra
" Manibus nostris captaque, excisaque erit.
" Tibi verò ipsi aio *tempus* instare, quando fugiens
" Supplicabis Jovi patri et aliis immortalibus,
" Velociores accipitribus ut sint *tui* jubis-pulchris-comantes equi,
" Qui te ad urbem ferant, pulverem-excitantes per campum."
Sic ei locuto supervolavit dextra avis,
Aquila altivolans; acclamavit autem populus Achivorum,
Confirmatus augurio: At respondit tamen illustris Hector:
" Ajax blatero, ingens-et-hebes, quid dixisti?
" Utinam enim ego ità sanè Jovis filius Aegiochi
" Essem dies omnes, peperissetque me veneranda Juno,
" Honorarer autem sicut honoratur Minerva et Apollo:
" Ut jam dies haec malum fert Argivis
" Omnibus prorsùs: tuque inter illos occidêris, si ausus fueris
" Manere meam hastam longam, quae tibi corpus tenerum
" Lacerabit: Ac Trojanorum saturabis canes et alites
" Pinguedine et carnibus, prostratus ad naves Achivorum."
Sic utique locutus praeibat: illi verò simul sequebantur

—— totidem nobis animæque manusque.
Æn. X, 376.

Ver. 815. —— ὑμὴ.] *Al.* ὔμμιν.

Ver. 818. —— ἀθανάτοισι.] Vide suprà ad ά, 398.

Ver. 819. — ἰρήκων.] Vide suprà ad *ver.* 62.

Ver. 823. Θάρσυνος οἰωνῷ.] Quâ analogiâ vox θάρσυνος, quæ mediam *corripit*, deducta sit ex θαρσύνω, quæ eandem *producit*; vide suprà ad ά, 338. et ad μ', 280.

Ver. 824. — ἁμαρτοεπὲς.] *Impropria et supervacua effutiens.* Cujus contrarium, οὐδ' ἀφαμαρτοεπὴς, γ', 215. ita reddit Quintilianus; *propriam, (id enim est, non errare verbis,) et carentem supervacuis eloquentiam.* Lib. 12. cap. 10.

Ver. 828. —— φέρει.] *Al.* φέροι.

Ver. 831. — Τρώων κορέεις κύνας ἠδ' οἰωνοὺς.] *Al.* κορέσεις.

—— canibus data præda Latinis,
Alitibusque jaces. —— *Æn.* IX, 485.

Ἠχῆ θεσπεσίη, ἐπὶ δ' ἴαχε λαὸς ὄπισθεν.
Ἀργεῖοι δ' ἑτέρωθεν ἐπίαχον, οὐδ' ἐλάθοντο
Ἀλκῆς, ἀλλ' ἔμενον Τρώων ἐπιόντας ἀρίστους·
Ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα, καὶ Διὸς αὐγάς.

Clamore *cum* immenso, acclamabant autem *et* copiae à-tergo.
Sed et Argivi ex-alterâ-parte acclamabant, neque obliviscebantur
Fortitudinis, sed manebant Troüm invadentes fortissimos:
Clamor autem utrorumque pervenit-ad-aethera, et Jovis lucidas-domos.

Ver. 837. —— Διὸς αὐγάς.] *Barnesius* scribendum conjicit, αὐλάς· quia nimirùm, *Odyss.* δ', 74. legitur Ζηνὸς —— αὐλή. Sed αὐλαὶ, in plurali, apud *Homerum* non occurrit.

ΤΗΣ

ΟΜΗΡΟΥ ΙΛΙΑΔΟΣ

ῬΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ Ξ′.

Ὑπόθεσις τῆς ὉΜΗΡΟΥ ῥαψῳδίας Ξ′.

ἈΓΑΜΈΜΝΩΝ συμπαραλαβὼν τοὺς τραυματίας, καὶ Νέστορα σὺν αὐτοῖς, ἔξεισιν ἐπὶ τὸν πόλεμον· Ἥρα δὲ, τὸν κεστὸν λαβοῦσα παρὰ τῆς Ἀφροδίτης, κατέρχεται· καὶ, τὸν Ὕπνον πείσασα, κοιμίζει τὸν Δία. Ποσειδῶν δὲ τοῖς Ἕλλησι βοηθεῖ, καὶ πολὺς φόνος γίνεται τῶν Τρώων. Αἴας δὲ λίθῳ βαλὼν Ἕκτορα πλήσσει· ὁ δὲ ἀναγαγὼν αἷμα λειποψυχεῖ. Ἀριστεύει δὲ καὶ Αἴας, ὁ Λοκρός.

Ἐπιγραφαί.

Διὸς ἀπάτη.

Ἄλλως.

Ξῖ, Κρονίδην λεχέεσσι παρήπαφεν Ὕπνος, ἰδ' Ἥρη.

ΝΕΣΤΟΡΑ δ' οὐκ ἔλαθεν ἰαχὴ, πίνοντά περ ἔμπης,
Ἀλλ' Ἀσκληπιάδην ἔπεα πτερόεντα προσηύδα·
Φράζεο, δῖε Μαχᾶον, ὅπως ἔσται τάδε ἔργα·
Μείζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
Ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος αἴθοπα οἶνον,
Εἰσόκε θερμὰ λοετρὰ ἐϋπλόκαμος Ἑκαμήδη
Θερμήνῃ, καὶ λούσῃ ἀπὸ βρότον αἱματόεντα·
Αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι ἐς περιωπήν.

NESTOREM autem non fugit clamor, bibentem licèt;
Sed Asclepiadem verbis alatis allocutus est:
" Vide, nobilis Machaon, quomodo futura sint haec opera;
" *Solito*-major sanè ad naves clamor florentium-aetate juvenum.
" Verùm tu quidem nunc bibe sedens nigrum vinum,
" Dum calida lavacra comas-pulchra Hecamede
" Calefaciat, et abluat tabum sanguinolentum:
" At ego conscensâ actutùm cognoscam speculâ."

Ver. 1. Νέστορα δ' — πίνοντά.] Connectitur cum eo quod suprà narratum est, λ′, 617, &c.

Ibid — ἔλαθεν ἰαχὴ.] Quâ ratione, ἔλαθεν, hìc ultimam producat; item ἐϋπλόκαμος, *ver.* 6. et παμφαῖνον, *ver.* 11. vide suprà ad ά, 51. n. 8.

Ver. 3. —— τάδε ἔργα.] Cod. *Harleian.* à *Tho. Bentleio* collatus, τόδε ἔργον.

Ver. 5. —— καθήμενος.] *Al.* παρήμενος.

Ibid. —— αἴθοπα οἶνον.] Vide suprà ad ά, 462.

Ὣς εἰπὼν, σάκος εἷλε τετυγμένον υἷος ἑῆος,
Κείμενον ἐν κλισίῃ, Θρασυμήδεος ἱπποδάμοιο,
Χαλκῷ παμφαῖνον· ὁ δ' ἔχ' ἀσπίδα πατρὸς ἑοῖο.
Εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῷ·
Στῆ δ' ἐκτὸς κλισίης, τάχα δ' εἴσιδεν ἔργον ἀεικὲς,
Τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθε
Τρῶας ὑπερθύμους· ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν.
Ὡς δ' ὅτε πορφύρῃ πέλαγος μέγα κύματι κωφῷ,
Ὀσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
Αὔτως, οὐδ' ἄρα τε προκυλίνδεται οὐδετέρωσε,
Πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς οὖρον·
Ὣς ὁ γέρων ὥρμαινε, δαϊζόμενος κατὰ θυμὸν
Διχθάδι'· ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν ταχυπώλων,
Ἦε μετ' Ἀτρείδην Ἀγαμέμνονα, ποιμένα λαῶν.
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,

Sic fatus, scutum sumpsit affabrè-factum filii sui,
Jacens in tentorio, Thrasymedis equûm-domitoris,
Aere collucens; ille autem habebat clypeum patris sui.
Sumpsit porrò et validam hastam, praefixam acuto aere:
Stetitque extra tentorium; protinúsque inspexit rem indignam,
Hos quidem turbatos, illos verò turbantes à-tergo,
Trojanos *utique* ferocientes: dirutus autem erat murus Achivorum.
Ut verò quum nigrescit pelagus magnum undâ tacitâ,
Praesentiens stridulorum ventorum celeres motus
Nullo-effectu, neque videlicèt provolvitur in-hanc-vel-illam-partem,
Antequam aliquis certus descenderit à Jove ventus:
Sic senex *secum* agitabat, distractus animo
Bifariàm; utrùm in agmen iret Danaorum equitum-velocium,
An ad Atridem Agamemnonem, pastorem populorum.
Sic autem ei cogitanti visum est utilius esse,

Ver. 9. —— ἑῆος.] *Al.* ἑοῖο. Nempe ex *ver.* 11. infrà. Haud satis venustè: Non enim auribus placent tres versus perpetui ὁμοιοτέλευτοι.

Ver. 11. ὁ δ' ἔχ' ἀσπίδα πατρὸς ἑοῖο.] Πιθανῶς ὁ νέος εἴσηκται, κεχρημένος τῇ χρυσῇ ἀσπίδι· προείρηκε γὰρ περὶ αὐτῆς ὁ Ποιητὴς, Θ', 191.

Ἀλλ' ἐφομαρτεῖτον, καὶ σπεύδετον· αἴκε λάβωμεν
Ἀσπίδα Νεστορέην, τῆς νῦν κλέος οὐρανὸν ἥκει,
Πᾶσαν χρυσείην ἔμεναι, κανόνας τε καὶ αὐτήν. *Schol.*

Ubi notandum, αἴκε et ἥκει scriptum, pro eo quod vulgò legitur, ὄφρα et ἵκει.

Ver. 16. —— ὅτε πορφύρῃ πέλαγος —— κύματι κωφῷ, —— Αὔτως.] De prosodiâ vocabulorum πορφύρειν et πορφύρεος, vide suprà ad ά, 338. Κύματι κωφῷ; illud est quod dicunt Latini, *cæco volvente fluctu.* Cæterùm de toto hoc loco, *Scaliger*, erga Homerum plerumque iniquior: "Mirificè sanè Homerus *surdum* "fluctum dicit, et colorem tantùm assignat "mari *purpureum*, non autem μαρμαρυγὰς, "aut φλοῖσβον, aut σφαραγὸν, ut alibi. Et "dixit, αὔτως· Latinè dicas eleganter, *Tan*-"*tum*; id est, *nihil præterea.*" Poetic. *lib.* 5. *cap.* 3.

Ver. 18. — οὐδετέρωσε.] *Al.* οὐδ' ἑτέρωσε.

Ver. 19. — κεκριμένον.] Vide suprà ad ά, 309. 314.

Ver. 20. —— δαϊζόμενος κατὰ θυμὸν Διχθάδι'·]

—— animum nunc huc celerem, nunc dividit illuc. *Æn.* IV, 285.

Ver. 23. Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι.]

Hæc alternanti potior sententia visa est. *Æn.* IV, 287.

Βῆναι ἐπ' Ἀτρείδην· οἱ δ' ἀλλήλους ἐνάριζον,
Μαρνάμενοι· λάκε δέ σφι περὶ χροῒ χαλκὸς ἀτειρὴς
Νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι.
Νέστορι δὲ ξύμβληντο διοτρεφέες βασιλῆες
Πὰρ νηῶν ἀνιόντες, ὅσοι βεβλήατο χαλκῷ,
Τυδείδης, Ὀδυσεύς τε, καὶ Ἀτρείδης Ἀγαμέμνων.
Πολλὸν γάρ ῥ' ἀπάνευθε μάχης εἰρύατο νῆες
Θῖν' ἐφ' ἁλὸς πολιῆς· τὰς γὰρ πρώτας πεδίονδε
Εἴρυσαν, αὐτὰρ τεῖχος ἐπὶ πρύμνῃσιν ἔδειμαν.
Οὐδὲ γὰρ οὐδ', εὐρύς περ ἐὼν, ἐδυνήσατο πάσας
Αἰγιαλὸς νῆας χαδέειν· στείνοντο δὲ λαοί.
Τῷ ῥα προκρόσσας ἔρυσαν, καὶ πλῆσαν ἁπάσης
Ἠϊόνος στόμα μακρὸν, ὅσον συνεέργαθον ἄκραι.
Τῷ ῥ' οἵγ' ὀψείοντες ἀϋτῆς καὶ πολέμοιο,
Ἔγχει ἐρειδόμενοι κίον ἀθρόοι· ἄχνυτο δέ σφιν
Θυμὸς ἐνὶ στήθεσσιν· ὁ δὲ ξύμβλητο γεραιὸς
Νέστωρ, πτῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν·
Τὸν καὶ φωνήσας προσέφη κρείων Ἀγαμέμνων·
Ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
Τίπτε λιπὼν πόλεμον φθισήνορα δεῦρ' ἀφικάνεις;

Proficisci ad Atridem. Illi interim alii alios interficiebant,
Pugnantes: resonabat autem eis circa corpus aes solidum,
Dum ferirentur ensibusque et hastis utrinque-acutis.
Nestori autem obviam-facti-sunt Jovis-alumni reges
A navibus ascendentes, quotquot vulnerati fuerant aere,
Tydides, Ulyssesque, et Atrides Agamemnon.
Longè enim seorsùm à pugnâ subductae erant naves *ipsorum*,
Littore in maris cani: nam primas usque-in-planitiem
Traxerant, et murum ad puppes aedificârant.
Haud enim, quamvis latum esset, potuit omnes
Littus naves capere: arctabantur autem copiae.
Ideò alias-antè-alias-more-scalarum subduxerant, et implêrant totius
Littoris fauces longas, quantum complectebantur promontoria.
Itaque hi cupientes-videre tumultum et pugnam,
Hastâ nixi ibant conferti: tristabatur autem ipsis
Animus in pectoribus: *iis* verò obviam-factus-est senex
Nestor, perterrefecitque animum in pectoribus Achivorum:
Quem et voce-editâ allocutus est rex Agamemnon:
" O Nestor, Neleïde, magna gloria Achivorum,
" Cur relicto proelio viros-perdente huc venis?

Ver. 30.——ῥ'.] Deest in MSS. *Harleianis* duobus.

Ibid.——νῆες.] *Naves* ipsorum; Nempe *Diomedis*, *Ulyssis*, et *Agamemnonis*.

Ver. 31.—— τὰς γὰρ πρώτας.] *Primas* hîc dicit à parte *Terræ*; nempe à *Mari* maximè *remotas*. *Primas* infrà, *ver.* 75. dicit à parte *Maris*; nempe *Mari* maximè *propinquas*.

Ver. 37. —— ὀψείοντες.] *Al.* Apud *Eustathium*, οὐ ψαύοντες. Satìs invenustè.

Ver. 40.——πτῆξε.] *Al.* πῆξε.

Ver. 43. —— φθισήνορα.] Vide suprà ad ν' 339.

Δείδω, μὴ δή μοι τελέσῃ ἔπος ὄβριμος Ἕκτωρ,
Ὥς ποτ' ἐπηπείλησεν ἐνὶ Τρώεσσ' ἀγορεύων,
Μὴ πρὶν πὰρ νηῶν προτὶ Ἴλιον ἀπονέεσθαι,
Πρὶν πυρὶ νῆας ἐνιπρῆσαι, κτεῖναι δὲ καὶ αὐτούς.
Κεῖνός θ' ὣς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
Ὢ πόποι, ἦ ῥα καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ
Ἐν θυμῷ βάλλονται ἐμοὶ χόλον, ὥσπερ Ἀχιλλεύς·
Οὐδ' ἐθέλουσι μάχεσθαι ἐπὶ πρύμνῃσι νέεσσι.
 Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Ἦ δὴ ταῦτά γ' ἑτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλως
Ζεὺς ὑψιβρεμέτης αὐτὸς παρατεκτήναιτο.
Τεῖχος μὲν γὰρ δὴ κατερήριπεν, ᾧ ἐπέπιθμεν,
Ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι·
Οἱ δ' ἐπὶ νηυσὶ θοῇσι μάχην ἀλίαστον ἔχουσι
Νωλεμές· οὐδ' ἂν ἔτι γνοίης, μάλα περ σκοπιάζων,
Ὁπποτέρωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται·
Ὣς ἐπιμὶξ κτείνονται, αὐτὴ δ' οὐρανὸν ἵκει.
Ἡμεῖς δὲ φραζώμεθ', ὅπως ἔσται τάδε ἔργα,
Εἴ τι νόος ῥέξει· πόλεμον δ' οὐκ ἄμμε κελεύω

" Metuo utique ne jam mihi perficiat verbum impetuosus Hector,
" Ut quondam minatus est inter Trojanos concionans,
" Non priùs *se* à navibus ad Ilium rediturum esse,
" Quàm igne naves incendisset, interfecissetque et *nos* ipsos.
" Is utique sic concionabatur: illa *autem* sanè nunc omnia perficiuntur.
" O dii-immortales! certè igitur et caeteri benè-ocreati Achivi
" In animo reponunt adversus me iram, sicut Achilles;
" Neque volunt pugnare ad puppes navium."
Huic autem respondit deinde Gerenius eques Nestor:
" Certè *jam* haec ipsâ-re advenerunt, nec sane alio-modo
" Jupiter altitonans ipse *haec jam* moliri-potuerit.
" Murus enim jam corruit, cui confidebamus,
" Inviolabile naviumque et *nostrûm* ipsorum munimen fore:
" Hi autem ad naves veloces pugnam animo-obstinato sustinent
" Indesinentèr: neque jam ampliùs noveris, diligentèr licèt speculans,
" Utrâ-ex-parte Achivi agitati turbentur:
" Adeò promiscuè caeduntur, clamorque ad coelum it.
" Nos verò deliberemus, quomodò futura sint haec opera:
" Siquid consilium proficiet: Pugnam verò non nos suadeo

Ver. 45. Ὥς ποτ'.] *Al.* Ὅς ποτ'.

Ver. 46.——ἀπονέεσθαι.] Vide suprà ad ά, 398.

Ver. 48.—θ' ὥς.] Cod. *Harleianus*, τώς.

Ver. 50.—ὥσπερ Ἀχιλλεύς.] Vide suprà ad ν', 324.

Ver. 52.——ἱππότα Νέστωρ.] Vide suprà ad ά, 175.

Ver. 53.—τετεύχαται.] *Jam adsunt.* Vide suprà ad ά, 37.

Ver. 55.—ᾧ ἐπέπιθμεν.] *Barnesius* ex *Eustathio* citat, ὡς ἐπέπιθμεν. At non ita scripsit *Eustathius.*

Ver. 61.———τάδε ἔργα.] Cod. *Harleian.* τόδε ἔργον.

Ver. 62.—οὐκ ἄμμε—· οὐ γάρ πως βεβλημένον.] De voce ἄμμε, vide suprà ad ά, 59. *Barnesius* (quocum faciunt et Codd. *Harleiani* bini) edidit, οὐκ ὔμμε· quia *Nestor* scilicèt, " *cùm ipse minimè vulneretur, non rectè vi-*

Δύμεναι· οὐ γάρ πως βεβλημένον ἐστὶ μάχεσθαι.
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Νέστορ, ἐπειδὴ νηυσὶν ἐπὶ πρύμνῃσι μάχονται,
Τεῖχος δ' οὐκ ἔχραισμε τετυγμένον, οὐδέ τι τάφρος,
Ἧ ἔπι πόλλ' ἔπαθον Δαναοὶ, ἔλποντο δὲ θυμῷ
Ἄῤῥηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι·
Οὕτω που Διῒ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
Νωνύμους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς.
Ἤδεα μὲν γὰρ, ὅτε πρόφρων Δαναοῖσιν ἄμυνεν·
Οἶδα δὲ νῦν, ὅτι τοὺς μὲν ὁμῶς μακάρεσσι θεοῖσι
Κυδάνει, ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδησεν.
Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
Νῆας, ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης,
Ἕλκωμεν, πάσας δὲ ἐρύσσομεν εἰς ἅλα δῖαν·
Ὕψι δ' ἐπ' εὐνάων ὁρμίσσομεν, εἰσόκεν ἔλθῃ
Νὺξ ἀβρότη, ἢν καὶ τῇ ἀπόσχωνται πολέμοιο
Τρῶες, ἔπειτα δέ κεν ἐρυσαίμεθα νῆας ἁπάσας·

"Ingredi: nullo enim modo vulneratum licet pugnare."
Hunc autem rursùs allocutus est rex virorum Agamemnon:
"Nestor, quoniam jam navium ad puppes pugnant,
"Murus verò non profuit structus, neque quid fossa,
"Quâ faciendâ multa passi sunt Danaï, sperabantque animo
"Inviolabile naviumque et *sui* ipsorum munimentum fore,
"Ita sanè videtur Jovi praepotenti gratum fore;
"Inglorios perire longè ab Argis hîc Achivos.
"Equidem nôram enim, quando lubens Danaïs auxiliabatur;
"Scio autem nunc, quod illos [*Trojanos*] quidem aequè ac beatos deos
"Gloriâ-insignit, nostros verò animos et manus quasi-vinculo-ligavit.
"Verùm agite, quemadmodum ego dixero, obsequamur omnes:
"Naves, quaecunque primae subductae sunt prope mare,
"Trahamus, omnesque deducamus in mare vastum:
"In alto verò anchoris stabiliamus, donec venerit
"Nox intempesta, si vel in eâ abstineant à pugnâ
"Trojani; deinde verò deducere-poterimus naves omnes.

"*detur numerare se inter vulneratos.*" Attamen satìs rectè se habet et istud, ἄμμε: Refertur enim ad *Nestorem* et *Agamemnonem*, qui hîc *interloquuntur*. Sententia autem est: "*Pugnam ut nos ineamus, equidem auctor non* "*sum; quum Tu vulneratus sis.*" Quod idem similitèr et ad *Diomedem* et ad *Ulyssem* (*ver.* 28, 29.) dictum intelligi potest.

Ver. 69. — ὑπερμενέϊ φίλον.] Quâ ratione, ὑπερμενέϊ hîc ultimam producat; item κεν, *ver.* 79. vide suprà ad ά, 51. n. 8.

Ver. 70. Νωνύμους.] Vide suprà ad ν', 227.

Ver. 72. Οἶδα—ὅτι.] Vide suprà ad ά, 537.

Ver. 74.—ἐγὼν εἴπω.] *Al.* ἐγὼ εἴπω.

Ver. 75. — ὅσαι πρῶται.] *Primas* hîc dicit à parte *Maris*; nempe *Mari* maximè *propinquas*. *Primas* anteà, *ver.* 31. dixerat à parte *Terræ*; nempè à *Mari* maximè *remotas*.

Ver. 76. —— πάσας δὲ ἐρύσσομεν εἰς ἅλα.] Ἐπιτρέπει αὐτοῖς φεύγειν· ἵνα μὴ δόξῃ, παρὰ δύναμιν κατέχων αὐτοὺς ἕνεκα τοῦ καθ' ἑαυτὸν χρησίμου, αἴτιος γενέσθαι τοῦ πάντας ἀπολέσθαι. *Schol.*

—— fugam Danaï Trojâ cupiere relictâ,
Moliri, et longo fessi discedere bello.
Æn. II, 108.

Ver. 77. ——— ἐπ'.] *Al.* ἀπ'.

Ver. 79. —— ἔπειτα δέ κεν ἐρυσαίμεθα νῆας ἁπάσας.]

Οὐ γάρ τις νέμεσις φυγέειν κακὸν, οὐδ' ἀνὰ νύκτα.
Βέλτερον, ὃς φεύγων προφύγῃ κακὸν, ἠπερ ἁλώῃ.
  Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Ἀτρείδη, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
Οὐλόμεν', αἴθ' ὤφελλες ἀεικελίου στρατοῦ ἄλλου
Σημαίνειν, μηδ' ἄμμιν ἀνασσέμεν· οἷσιν ἄρα Ζεὺς
Ἐκ νεότητος ἔδωκε καὶ ἐς γῆρας τολυπεύειν
Ἀργαλέους πολέμους, ὄφρα φθιόμεσθα ἕκαστος.
Οὕτω δὴ μέμονας Τρώων πόλιν εὐρυάγυιαν
Καλλείψειν, ἧς εἵνεκ' ὀϊζύομεν κακὰ πολλά;
Σίγα, μήτις τ' ἄλλος Ἀχαιῶν τοῦτον ἀκούσῃ
Μῦθον, ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο,
Ὅστις ἐπίσταιτο ᾗσι φρεσὶν ἄρτια βάζειν,
Σκηπτοῦχός τ' εἴη, καί οἱ πειθοίατο λαοὶ

"Non enim reprehensione dignum est fugere malum, nè per noctem quidem.
"Melius *fecerit*, qui fugiens effugerit malum, quàm *qui* captus fuerit."
Illum autem torvè intuens allocutus est consiliis-abundans Ulysses:
"Atrida, quale tibi verbum fugit ex septo dentium?
"Perdite, utinam ignavo exercitui alii
"Praeesses, non autem nobis imperares; quibus utique Jupiter
"A juventute dedit etiam usque-ad senium conficere
"Ardua bella, donec perierimus singuli.
"Siccine verò tibi-fert-animus Trojanorum urbem latas-vias-habentem
"Derelinquere, cujus gratiâ perpetimur-aerumnosi mala multa?
"Tace, nequis alius utique Achivorum hunc audiat
"Sermonem, quem haudquaquam vir quidem in ore omninò habuerit,
"Quicunque nôrit suo *in* animo sana loqui,
"Sceptriferque fuerit, et ei paruerint copiae

Etiam illas, quæ longiùs à Mari in planitiem usque protrusæ essent; *ver.* 31, 32.

Ver. 80. — *οὐδ' ἀνὰ νύκτα.*] Οὐδ' ὑπαλύξαι· Apud *Maxim. Tyrium,* § 25. Ut notavit *Barnesius.*

Ver. 81. —— *ἤπερ ἁλώῃ.*] *Al.* *ἠὲ ἁλώῃ.*

Ver. 84. —— Οὐλόμεν', *αἴθ' ὤφελλες.*] Αἰδοῦνται τοὺς παῤῥησιαζομένους, καὶ θαυμάζουσι· τοῖς δὲ μεμφομένοις ἀντεγκαλοῦσι, καὶ καταφρονοῦσιν. Ὥσπερ ὁ Ἀγαμέμνων τὸν Ἀχιλλέα, παῤῥησιάζεσθαι δοκοῦντα μετρίως, οὐχ ὑπέμεινε· τοῦ δ' Ὀδυσσέως καθαπτομένου πικρῶς, καὶ λέγοντος,

"Οὐλόμεν', αἴθ' ὤφελλες ἀεικελίου στρατοῦ
"ἄλλου
"Σημαίνειν,"

εἴκει καὶ καρτερεῖ. ——— Οὗτος μὲν γὰρ οὐκ ἔχων ἰδίαν πρόφασιν ὀργῆς, ἐπαῤῥησιάζετο πρὸς αὐτὸν ὑπὲρ τῆς Ἑλλάδος. Ἐκεῖνος δὲ δι' αὐτὸν ἐδόκει μάλιστα χαλεπαίνειν. *Plutarch.* de *Adulat. et Amici discrim.*

Ver. 85. — *οἷσιν ἄρα.*] *Quibus utique* ——; *Quibus, ut scis,* ———.

Ver. 86. Ἐκ νεότητος—.] Aptè et appositè hæc ad *Romanorum* Antiquiores transduxit *Plutarchus* in *Marcello:* Εἰ γὰρ ἄλλοις τισὶν ἀνθρώποις ὁ θεὸς, ὥσπερ Ὅμηρος εἴρηκεν,

"Ἐκ νεότητος ἔδωκε καὶ εἰς γῆρας τολυπεύειν
"Ἀργαλέους πολέμους,"

καὶ τοῖς τότε πρωτεύουσι Ῥωμαίων, *sub initio.*

Ver. 88. ——— Οὕτω δὴ.] *Siccine verò quæso* ———.

Ver. 89. Καλλείψειν.] *Al.* Καλλιπέειν.

Ver. 90. Σίγα, *μήτις τ' ἄλλος.*] Ita edidit *Barnesius,* ex duobus MSS. et ex *Odyss.* τ', 486. Quibuscum faciunt et Codd. *Harleiani.* Rectè, ut opinor. *Al.* Σίγα, *μήτις ἄλλος.*

Ver. 92. — *ἐπίσταιτο ᾗσι φρεσὶν.*] Vide ad ά, 51. n. 8. 10. Cæterùm *Barnesius* hîc, ex *Scholiis Aldinis* ad *Odyss.* θ', 240. edidit, *ἐπισταίη ᾗσι φρεσίν.* *Eustathius,* quocum facit unus apud *Barnesium* MS. legit *ἐπίσταται·* Quæ si vera sit lectio, credibile erit (quod conjicit *Barnesius*) scripsisse *Homerum,* *ἐπίσταται ᾗσιν ἐνὶ φρεσίν.* Nec invenusta denique est altera ejusdem conjectura; *ἐπίσταιθ' ᾗσιν ἐνὶ φρεσίν.*

Τόσσοιδ', ὅσσοισιν σὺ μετ' Ἀργείοισιν ἀνάσσεις.
Νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες·
Ὃς κέλεαι, πολέμοιο συνεσταότος καὶ ἀϋτῆς,
Νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν, ὄφρ' ἔτι μᾶλλον
Τρωσὶ μὲν εὐκτὰ γένηται, ἐπικρατέουσί περ ἔμπης·
Ἡμῖν δ' αἰπὺς ὄλεθρος ἐπιῤῥέπῃ· οὐ γὰρ Ἀχαιοὶ
Σχήσουσιν πόλεμον, νηῶν ἅλαδ' ἑλκομενάων,
Ἀλλ' ἀποπαπτανέουσιν, ἐρωήσουσι δὲ χάρμης.
Ἔνθα κε σὴ βουλὴ δηλήσεται, ὄρχαμε λαῶν.
  Τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Ὦ Ὀδυσεῦ, μάλα πώς με καθίκεο θυμὸν ἐνιπῇ
Ἀργαλέῃ· ἀτὰρ οὐ μὲν ἐγὼν ἀέκοντας ἄνωγα
Νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν υἷας Ἀχαιῶν·
Νῦν δ' εἴη, ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι,

" Tantae, quantis tu inter Argivos imperas.
" Nunc autem tuam improbo omninò sententiam, quam dixisti :
" Qui jubes, proelio jam-conserto et pugnâ,
" Naves bonis-transtris-instructas in mare deducere, ut adhuc magis
" Trojanis quidem optata contingant, *jam* superioribus licèt *pridem :*
" In nos autem gravis pernicies ingruat: non enim Achivi
" Sustinebunt bellum, dum naves in mare deducuntur ;
" Sed respicient, cedentque pugnâ.
" Tunc sanè tuum consilium nocebit, princeps populorum."
Huic autem respondit deinde rex virorum Agamemnon :
" O Ulysse, valdè quidem meum attigisti animum increpatione
" Gravi ; sed neutiquam ego invitos jubeo
" Naves bonis-transtris-instructas in mare deducere filios Achivorum :
" Nunc verò *utinam* sit, qui isto melius consilium dicat,

Ver. 97. —— ἑλκέμεν.] *Al.* ἕλκειν· Apud *Platonem* de Legibus, *lib.* 4.

Ver. 98. — ἐπικρατέουσι.] *Al.* ἐελδομένοισι. *Ibid.*

Ver. 101. Ἀλλ' ἀποπαπτανέουσιν.] Vulgg. Ἀλλὰ ἀποπτανέουσιν. *Barnesius*, intolerandâ audaciâ atque etiam inscitiâ, edidit de suo, Αὐτὰρ ἀποπτανέουσιν· ac si αὐτὰρ, quod ordine disposita atque sequentia connectit, idem esset atque ἀλλὰ, quod inter se opposita disjungit. *Eustathius* edidit, Ἀλλ' ἀποπτανέουσιν· Ubi liquet syllabam aliquam intercidisse. *Hesychius* habet, ἀποπαττανεύουσι, (περιβλέπουσιν ὅπως φύγωσι·) Quem ad locum annotat *Gesnerus*, "*fortè legendum* ἀποπτανεύουσιν." et *Jos. Hill.* ἀποπαπτανεύουσιν. Ex his celeberrimus *Richardus Bentleius* olim viderat scribendum, ἀποπαπτανέουσιν. Atque eam demùm veram esse lectionem ostendunt MSS. *Vatican.* et *Florentin.* in quorum utroque ita scriptum repperit Vir doctissimus *Thomas Bentleius.*

Ver. 102. Ἔνθα κε σὴ βουλή.] *Barnesius* mallet legendum, Ἔνθα σε σὴ βουλή. Sed mutato nihil opus. Non enim *Agamemnoni soli*, sed et *toti exercitui* perniciosum fore ait *Ulysses* consilium *Agamemnonis.*

Ibid. —— ὄρχαμε λαῶν.] *Al.* οἷ' ἀγορεύεις Apud *Platonem*, loco jam suprà citato.

Ver. 105. —— ἄνωγα.] Vide suprà ad Θ', 322. et ad ά, 37.

Ver. 107. Νῦν δ' εἴη, ὃς ——.] Pulchrè hos versus παραφράζει *M. Antoninus*, *lib.* 6. § 21. Εἴτις με ἐλέγξαι, καὶ παραστῆσαί μοι, ὅτι οὐκ ὀρθῶς ὑπολαμβάνω ἢ πράσσω δύναται· χαίρων μεταθήσομαι. Ζητῶ γὰρ τὴν ἀλήθειαν, ὑφ' ἧς οὐδεὶς πώποτε ἐβλάβη. Et § 30. Τὸ ἀνέχεσθαι ἀντιβαινόντων παῤῥησιαστικῶς ταῖς γνώμαις αὐτοῦ, καὶ χαίρειν εἴτις δεικνύοι κρεῖττον. Et *lib.* 1. § 16. Τὸ ἀκουστικὸν τῶν ἐχόντων τι κοινωφελὲς εἰσφέρειν. Quem ad locum quæ ex *Sophocle* attulit doctissimus *Gatakerus*, lectu sunt dignissima. Cæterùm istud, νῦν δ' εἴη, exponunt *Scholia inedita* in Codice *Harleiano*, ἴτω, "*prodeat.*"

Ἢ νέος, ἠὲ παλαιός· ἐμοὶ δέ κεν ἀσμένῳ εἴη.
Τοῖσι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
Ἐγγὺς ἀνὴρ, οὐ δηθὰ ματεύσομεν, αἴκ' ἐθέλητε
Πείθεσθαι· καὶ μήτι κότῳ ἀγάσησθε ἕκαστος,
Οὕνεκα δὴ γενεῆφι νεώτατός εἰμι μεθ' ὑμῖν·
Πατρὸς δ' ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένος εὔχομαι εἶναι
Τυδέος, ὃν Θήβῃσι χυτὴ κατὰ γαῖα κάλυψε.
Πορθεῖ γὰρ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο,
Ὤικεον δ' ἐν Πλευρῶνι, καὶ αἰπεινῇ Καλυδῶνι,
Ἄγριος, ἠδὲ Μέλας, τρίτατος δ' ἦν ἱππότα Οἰνεὺς,
Πατρὸς ἐμεῖο πατήρ· ἀρετῇ δ' ἦν ἔξοχος αὐτῶν.
Ἀλλ' ὁ μὲν αὐτόθι μεῖνε, πατὴρ δ' ἐμὸς Ἄργεϊ νάσθη,
Πλαγχθείς· ὣς γάρ που Ζεὺς ἤθελε καὶ θεοὶ ἄλλοι.
Ἀδρήστοιο δ' ἔγημε θυγατρῶν, ναῖε δὲ δῶμα
Ἀφνειὸν βιότοιο, ἅλις δέ οἱ ἦσαν ἄρουραι
Πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφίς·
Πολλὰ δέ οἱ πρόβατ' ἔσκε, κέκαστο δὲ πάντας Ἀχαιοὺς
Ἐγχείῃ· τὰ δὲ μέλλετ' ἀκουέμεν, ὡς ἐτεόν περ.

"Vel juvenis, vel senex: mihi autem lubenti adfuerit."
Inter hos verò et locutus est pugnâ strenuus Diomedes:
"Propè *adest* vir, non diu inquiremus; siquidem velitis
"Obsequi; et haud prae irâ *sententiam meam* vituperetis unusquisque,
"Eò quòd natu minimus sim inter vos:
"Patre tamen ex nobili et ego genere glorior esse
"Tydeo, quem Thebis ingesta terra cooperuit.
"Portheo enim tres filii egregii procreati sunt,
"Habitabant autem in Pleurone, et excelsâ Calydone,
"Agrius, et Melas, tertius verò erat eques Oeneus,
"Patris mei pater; virtute autem praestabat inter illos.
"Ast hic quidem ibidem vixit; pater verò meus Argis habitavit,
"Actus-erroribus; ita enim Jupiter voluit, et Dii caeteri.
"Adrasti autem duxit *unam* è filiabus, habitabatque domum
"Divitem opum, abundéque ei erant arva
"Tritici-feracia, multique plantarum erant horti seorsùm;
"Multa etiam ei pecora erant; excelluit autem supra omnes Achivos
"Hastae-peritiâ: haec verò audienda erant vobis, ut verum est.

Ver. 109. ——— *βοὴν ἀγαθὸς.*] Vide suprà ad β', 408.

Ver. 110. — *ματεύσομεν.*] *Al.* *μαστεύσομεν.*

Ver. 111. ——— *κότῳ.*] *Al.* *χόλῳ.*

Ver. 112. —— *νεώτατός.*] *Al.* *νεώτερος.*

Ver. 114. ——— *κάλυψε.*] Codd. *Harleian.* *καλύπτει.*

Ver. 116. — *Ὤκεον.*] Pronuntiabatur *ᾤκουν*, vel *ᾤκευν*· quomodo et scribi posteà cœptum est.

Ver. 117. —— *ἱππότα.*] Vide suprà ad ά, 175.

Ver. 118. — *ἐμεῖο.*] Codd. *Harleian.* *ἐμοῖο.*

Ver. 119. —— *μεῖνε.*] *Al.* *μίμνε.*

Ibid. —— *νάσθη.*] *Al.* *ναῖε.*

Ver. 122. — *ἄρουραι.*] Vide suprà ad ζ', 142.

Ver. 123. —— *ὄρχατοι.*] *Schol. Vulgg.* Αἱ ἐπίστιχοι φυτεῖαι, κῆποι. *Schol. inedita* in Codd. *Harleiano;* *ὄρχατος, ἡ εὔρυθμος τάξις τῶν φυτῶν.*

Ver. 125. — *τὰ δὲ μέλλετ' ἀκουέμεν.*] *Hæc benignè audietis. Hæc benignè vobis audienda erant.* Ταῦτα εἰκὸς ὑμᾶς ἀκηκοέναι. *Schol.*

Τῷ οὐκ ἄν με γένος γε κακὸν καὶ ἀνάλκιδα φάντες,
Μῦθον ἀτιμήσητε πεφασμένον, ὅν κ' εὖ εἴπω.
Δεῦτ' ἴομεν πόλεμόνδε, καὶ οὐτάμενοί περ, ἀνάγκῃ·
Ἐνθάδ' ἔπειτ' αὐτοὶ μὲν ἐχώμεθα δηϊοτῆτος,
Ἐκ βελέων, μή πού τις ἐφ' ἕλκεϊ ἕλκος ἄρηται·
Ἄλλους δ' ὀτρυνέοντες ἐνήσομεν, οἳ τοπάρος περ,
Θυμῷ ἦρα φέροντες ἀφεστᾶσ', οὐδὲ μάχονται.
  Ὡς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο·
Βὰν δ' ἴμεν, ἦρχε δ' ἄρα σφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
  Οὐδ' ἀλαοσκοπιὴν εἶχε κλυτὸς Ἐννοσίγαιος,
Ἀλλὰ μετ' αὐτοὺς ἦλθε, παλαιῷ φωτὶ ἐοικώς·
Δεξιτερὴν δ' ἕλε χεῖρ' Ἀγαμέμνονος Ἀτρείδαο,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
  Ἀτρείδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ
Γηθεῖ ἐνὶ στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν

" Ideò non me genere quidem ignavum et imbellem putantes,
" Sententiam spreveritis liberè-prolatam, quam quidem rectè dixero.
" Agite, eamus ad pugnam, etsi vulnerati, prae-necessitate:
" Ibi deinde ipsi quidem propinqui-stemus proelio,
" Extra tela, ne fortè quis super vulnere vulnus accipiat:
" Caeteros verò adhortantes immittemus, qui jam pridem,
" Animo gratificantes, seorsùm stant, nec pugnant."
Sic dixit: Illi verò ei omninò quidem auscultabant, atque obsecuti sunt:
Perrexerunt itaque ire, praeibatque ipsis rex virorum Agamemnon.
Neque verò caecam-speculationem habuit inclytus terrae-quassator [*Neptunus,*]
Sed ad ipsos accessit, seni viro similis:
Dexteram autem prehendit manum Agamemnonis Atridae,
Et eum editâ-voce verbis alatis allocutus est:
" Atride, nunc utique Achillis perniciosum cor
" Laetatur in pectoribus, caedem et fugam Achivorum

Ver. 127. —— *ἀτιμήσητε.*] Cod. *Harleian.* *ἀτιμήσαιτε.*

Ibid. —— *ὅν κ' εὖ εἴπω.*] *Al.* *ὅν κεν εὖ εἴπω.*

Ver. 128. —— *καὶ οὐτάμενοί περ.*] *Ver.* 28. 29. et 63.

Ver. 129. —— *ἐχώμεθα δηϊοτῆτος.*] *Schol.* *ἀπεχώμεθα.* Quod rectè reprehendit *Barnesius;* citatis ex *Thucydide,* *πολέμου ἔχεσθαι,* et *ἔργου ἔχεσθαι,* quæ contrarium ferè sonant ac *ἀπέχεσθαι.* *Eustathius,* *τὸ δὲ ἐχώμεθα δηϊοτῆτος,* inquit, *ἢ ἀντὶ τοῦ ἐπεχώμεθα,—ἢ μᾶλλον ἀντὶ τοῦ ἁπτώμεθα μάχης, ὡς ἐγχωρεῖ, ἐκ βελέων· τουτέστιν, ἀπόμαχοι μὲν ὄντες, κοιρανέοντες δέ.*

Ver. 131. —— *ὀτρυνέοντες.*] *Al.* *ὀτρύνοντες.* Utrumque salvâ prosodiâ. Vide ad *ά,* 338.

Ver. 132. *Θυμῷ ἦρα φέροντες.*] *Schol.* *Χαριζόμενοι τῇ ψυχῇ τὴν ἀργίαν·* Rectè. *Barnesius* *Θυμῷ* exponit, *Iræ;* ut de iis scilicèt intelligatur, qui *Achillis* partibus faverent. Quod, hoc quidem in loco, importunum est.

Ver. 134. — *ἦρχε δ' ἄρα.*] *Præibatque, ut par erat.* — *Præibatque, ut solitus est*——.

Ver. 136. — *μετ' αὐτοὺς.*] *Schol.* *Ἀντὶ τοῦ, πρὸς αὐτούς.* Quod admodùm invenustè est dictum et jejunè. Nam *πρὸς αὐτοὺς ἐλθεῖν,* est *advenire* solummodò: At *μετ' αὐτοὺς ἐλθεῖν,* est *ita advenire,* ut iis, ad quos adveneris deinceps *intersis.* Haud multùm dissimili ratione, apud Latinos; aliud est, si dicas, *Hæc Romæ acta sunt;* aliud, si dicas, *Hæc ad Romam acta sunt.* Prius nimirùm iis de rebus, quæ tam *intra* quàm *extra* urbem sint actæ, rectè dicas: Posterius, ni fallor, non nisi de iis quæ *extra* urbem.

Ibid. —— *φωτὶ ἐοικώς.*]

Omnia Mercurio similis, vocemque coloremque. *Æn.* IV, *558.*

Ver. 139. ——*Ἀχιλλῆος.*] Vide suprà ad *ν',* 324. Et, de prosodiâ; ad *ά,* 51.

Ver. 140. *Γηθεῖ ἐνὶ.*] *Al.* *Γηθέει ἐν.*

Δερκομένῳ· ἐπεὶ οὔ οἱ ἔνι φρένες, οὐδ' ἠβαιαί.
Ἀλλ' ὁ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειε·
Σοὶ δ' οὔπω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν·
Ἀλλ' ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες,
Εὐρὺ κονίσσουσιν πεδίον· σὺ δ' ἐπόψεαι αὐτοὺς
Φεύγοντας προτὶ ἄστυ, νεῶν ἄπο καὶ κλισιάων.
Ὣς εἰπὼν, μέγ' ἄϋσεν, ἐπεσσύμενος πεδίοιο.
Ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον, ἢ δεκάχιλοι
Ἀνέρες ἐν πολέμῳ, ἔριδα ξυνάγοντες Ἄρηος·
Τόσσην ἐκ στήθεσφιν ὄπα κρείων Ἐνοσίχθων
Ἧκεν· Ἀχαιοῖσιν δὲ μέγα σθένος ἔμβαλ' ἑκάστῳ
Καρδίῃ, ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
Ἥρη δ' εἰσεῖδε χρυσόθρονος ὀφθαλμοῖσι,
Στᾶσ', ἐξ Οὐλύμποιο ἀπὸ ῥίου· αὐτίκα δ' ἔγνω

" Aspicientis: quoniam non ei inest mens, nè exigua quidem.
" Verùm ille quidem sic pereat, deusque illum ignominiâ-afficiat;
" Tibi verò nondum prorsùs omninò dii beati irati sunt:
" Sed adhuc sanè Trojanorum duces atque principes,
" Latum pulvere-implebunt campum; tuque videbis ipsos
" Fugientes ad urbem, à navibus et tentoriis."
Sic locutus, altùm exclamavit, cursu-concitus per campum.
Quantum utique novies-mille exclamant; vel decies-mille
Viri in pugnâ, certamen committentes Martis;
Tantam ex pectoribus vocem rex quassator-terrae
Emisit: Achivis autem ingens robur immisit unicuique
In cor, ut indesinentèr pugnarent et proeliarentur.
Juno autem inspexit, aureum-solium-habens, oculis;
Stans, ex Olympo à vertice; statimque agnovit

Ver. 141. Δερκομένῳ.] Ita edidit *Barnesius* rectè et venustè, ex MS. et ex *Eustathio.* Quamvis enim apud *Eustathium* hoc quidem in loco corruptè legatur, quod habent Vulgati, δερκομένου· hoc tamen alibi ita citat *Eustathius,* ut non potuerit non legisse, δερκομένῳ. Nempe, ad *Odyss.* ί, 256. "Ἡμῖν—δεισάντων," (cujus constructionis ratio non multùm abludit ab istâ quæ occurrit apud Latinos, "*nostros vidisti flentis ocellos:*") annotat *Eustathius,* syntaxin istam, ex aliorum locorum non absimilium analogiâ, concinnam esse et elegantem. Sic enim, *inquit ille,* ἐν τῷ,

Ὣς τῶν νήδυμος ὕπνος ἀπὸ βλεφάροιϊν ὀλώλει,
Νύκτα φυλασσομένοισι.— *Iliad.* κ', 187.

Καὶ,

——— Ἀχιλλῆος ὀλοὸν κῆρ
Γηθεῖ——φόνον——Ἀχαιῶν
Δερκομένῳ· ——— *Iliad.* ξ', 139. 141.

ὤφειλε γὰρ "δερκομένου" εἰπεῖν. Καὶ,

—— τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ
Σήματ' ἀναγνούσῃ.— *Odyss.* ψ', 205. 206.

——τοίνυν—οὐκ ἂν εἴη—σόλοικον—διότι ἀσφαλεῖς οἱ πλαγιασμοὶ πρὸς σύνταξιν, καὶ ἀσόλοικοι. Ad hæc addit *Barnesius,* τὸ,

——— σφίσι θυμὸς
Λευσσόντων.——— *Odyss.* ζ', 155. 157.

Mirâ tamen ἀσυστασίᾳ, in versu isto, jam citato, *Odyss.* ψ', 206; quam lectionem qui præferrent, *elegantiæ imperitos* appellaverat, in *Notis* ad *Odyss.* ί, 256; eandem ipse prætulit, suoque in loco scripsit, scribendumque contendit, Σήματ' ἀναγνούσης, *Odyss.* ψ', 206.

Ver. 146. —— προτὶ.] *Al.* ποτί.

Ver. 148. Ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον.] Ingens nimirùm è *littore* oriebatur militum ad pugnam invicem se hortantium clamor. Cæterùm *Aristarchi* hoc in loco sive emendationem, sive interpretationem, ἐννεάχειλοι, ἄνδρες ἐννέα χείλη ἔχοντες, rectè damnat *Eustathius.*

Ver. 152. ——— πολεμίζειν ἠδὲ μάχεσθαι.] Vide suprà ad ή, 232 et 279.

Ver. 154. —— ἀπὸ ῥίου.] Quâ ratione, ἀπὸ,

Τὸν μὲν ποιπνύοντα μάχην ἀνὰ κυδιάνειραν
Αὐτοκασίγνητον καὶ δαέρα, χαῖρε δὲ θυμῷ·
Ζῆνα δ' ἐπ' ἀκροτάτης κορυφῆς πολυπίδακος Ἴδης
Ἥμενον εἰσεῖδε· στυγερὸς δέ οἱ ἔπλετο θυμῷ.
Μερμήριξε δ' ἔπειτα βοῶπις πότνια Ἥρη,
Ὅππως ἐξαπάφοιτο Διὸς νόον αἰγιόχοιο·
Ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλὴ,
Ἐλθεῖν εἰς Ἴδην, εὖ ἐντύνασαν ἓ αὐτὴν,
Εἴ πως ἱμείραιτο παραδραθέειν φιλότητι
Ἧ χροιῇ, τῷ δ' ὕπνον ἀπήμονά τε λιαρόν τε
Χεύῃ ἐπὶ βλεφάροισιν, ἰδὲ φρεσὶ πευκαλίμῃσι.
Βῆ δ' ἴμεν εἰς θάλαμον, τόν οἱ φίλος υἱὸς ἔτευξεν
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσε
Κληῖδι κρυπτῇ· τὸν δ' οὐ θεὸς ἄλλος ἄνῳγεν.
Ἔνθ' ἥγ' εἰσελθοῦσα, θύρας ἐπέθηκε φαεινάς·
Ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος

Satagentem quidem, pugnam per gloriosam,
Fratrem-germanum et levirum, gaudebatque animo;
Jovem verò in summo cacumine fontibus-irriguae Idae
Sedentem vidit; odiosus autem ei erat animo.
Anxiè igitur cogitavit deinde magnis-oculis veneranda Juno,
Quomodò deciperet Jovis animum Aegiochi:
Hoc autem ei in animo optimum visum est consilium,
Ire ad Idam, postquam scitè ornâsset se ipsam,
Si fortè *ille* cuperet juxta-dormire amore
Propter ejus pulchritudinem, illi autem somnum jucundumque dulcemque
Funderet in palpebras atque praecordia prudentia.
Perrexit igitur ire in thalamum, quem ei charus filius struxerat
Vulcanus, solidas autem fores postibus aptaverat
Cum clave arcanâ: quem porrò *thalamum* haud deus alius aperire poterat.
Illuc haec ingressa, fores clausit fulgentes:
Atque ambrosiâ quidem primùm à corpore amabili

---

hîc ultimam producat; item τι, *ver.* 164; et τὸν, *ver.* 166, etiam extra cæsuram; et δὲ, *ver.* 171; vide suprà ad ά, 51. n. 8.

Ver. 159. ——— βοῶπις.] Vide suprà ad ά, 43. 58. et 551.

Ver. 161. Ἥδε δέ——ἀρίστη.]

Hæc alternanti potior sententia visa est.
Æn. IV, 287.

Ver. 162. —— ἐντύνασαν.] Vide suprà ad έ, 720; et ad ί, 203.

Ibid. —— ἓ αὐτὴν.] Ita *Barnesius*; Rectè. Ἑαυτὴν, ἢ μᾶλλον διαλελυμένως, ἓ αὐτὴν· ὡς Ὁμήρῳ γράφειν σύνηθες. *Eustath.* ad ρ́, 551.

Ver. 168. Κληῖδι κρυπτῇ.] Laudatissimè hunc ad locum Scholiastes: Οὕτω, *inquit*, καλοῦνται κληῖδες κρυπταί.

Ibid. —— τὸν δ'.] Nempe θάλαμον. Nonnulli MSS. et Editi, τὴν δ'.

Ibid. ——— ἄνῳγεν.] Editi habent, ἀνῷγεν· ut sit contractum ex *Præterito*, quod vocant, ἀνέῳγεν. Sed isto pacto non constat Temporum ratio. Quare necessariò scribendum, ἄνῳγεν, ex Imperfecto vel Aoristo ἄνῳγον. Vide suprà ad ά, 37.

Ver. 170. Ἀμβροσίῃ μὲν πρῶτον.] Περιεργίαν οἶμαι πάμπολυ διαφέρειν καθαρότητος. Καὶ γὰρ αἱ γυναῖκες φυκούμεναι καὶ μυριζόμεναι καὶ χρυσὸν φοροῦσαι καὶ πορφύραν, περίεργοι δοκοῦσι· λοῦτρον δὲ, καὶ ἄλειμμα, καὶ κόμης θρύψιν, οὐδεὶς αἰτιᾶται. Χαριέντως δὲ τὴν διαφορὰν ὁ ποιητὴς ἐπιδείκνυσιν ἐπὶ τῆς κοσμουμένης Ἥρας "Ἀμβροσίῃ μὲν πρῶτον——." *Plutarch. Symposiac. Lib.* 6. *Probl.* 7.

Λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ' ἐλαίῳ,
Ἀμβροσίῳ, ἑδανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν·
Τοῦ καὶ κινυμένοιο Διὸς προτὶ χαλκοβατὲς δῶ,
Ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀϋτμή.
Τῷ ῥ' ἥγε χρόα καλὸν ἀλειψαμένη, ἰδὲ χαίτας
Πεξαμένη, χερσὶ πλοκαμοὺς ἔπλεξε φαεινοὺς,
Καλοὺς, ἀμβροσίους, ἐκ κράατος ἀθανάτοιο.
Ἀμφὶ δ' ἄρ' ἀμβρόσιον ἑανὸν ἕσαθ', ὅν οἱ Ἀθήνη
Ἔξυσ' ἀσκήσασα, τίθει δ' ἐνὶ δαίδαλα πολλά·
Χρυσείης δ' ἐνετῇσι κατὰ στῆθος περονᾶτο.
Ζώσατο δὲ ζώνην ἑκατὸν θυσάνοις ἀραρυῖαν,
Ἐν δ' ἄρα ἕρματα ἧκεν ἐϋτρήτοισι λοβοῖσι,
Τρίγληνα, μορόεντα· χάρις δ' ἀπελάμπετο πολλή.
Κρηδέμνῳ δ' ἐφύπερθε καλύψατο δῖα θεάων,
Καλῷ, νηγατέῳ· λευκὸν δ' ἦν, ἠέλιος ὥς.
Ποσσὶ δ' ὑπαὶ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα.

Sordes omnes purgavit, unxitque se pingui oleo,
Divino, suavi, quod utique sibi odoriferum erat;
Cujus, si modò agitaretur in Jovis solidâ domo,
Etiam ad terramque et coelum pervenit halitus.
Eo utique illa corpus pulchrum cùm unxisset, atque capillos
Pexuisset, manibus cincinnos composuit nitentes,
Pulchros, divinos, à capite *fluentes* immortali.
Circùm porrò divinum peplum induit, quod ei Minerva
Expoliverat elaboratè-concinnatum, intexueratque artificii-plena multa:
Aureisque *hoc* fibulis ad pectus *suum* nectebat.
Cinxit autem se zonâ, centum fimbriis concinnatâ;
Inauresque immisit in scitè-perforatas auriculas,
Tribus-gemmarum-oculis-insignes, elaboratas: gratiaque effulgebat multa.
Calyptrâ porrò desuper velavit se augustissima dearum,
Pulchrâ, recens-factâ; candida autem erat, sol veluti.
Pedibus demùm sub nitidis ligavit pulchros calceos.

Ver. 171. Λύματα.] Vide suprà ad ά, 314.

Ibid. —— ἀλείψατο.] Notandus hîc *primigenius* et maximè propriùs *vocis mediæ* Usus, ἀλείψατο, *unxit se.* Vide suprà ad γ', 141.

Ver. 173. —— προτὶ.] *Al.* ποτί.

Ver. 174. Ἔμπης.] Νῦν, inquit Scholiastes, ὁμοίως. Languidè admodùm, et importunè. Sententia est: *Si vel tantillum agitaretur, tamen, &c.*

Ibid. —— ἵκετ' ἀϋτμή.]

Ambrosiæque comæ divinum vertice odorem
Spiravere. —— *Æn.* I, 407.

Ver. 175. 177. —— καλὸν—Καλοὺς.] Vide suprà ad β', 43.

Ver. 177. —— ἀθανάτοιο.] Vide suprà ad ά, 308.

Ver. 178. —— ἀμβρόσιον ἑανὸν ἕσαθ', ὅν οἱ Ἀθήνη.] Ἑανὸς, *peplum*, est ab ἕννυμι· Ἑανὸς, *tenuis*, est, (ni fallor) ex ἑάω. Nam κασσιτερὸς ἑανὸς, idem est quod εὔρυτος καὶ εὐδιάχυτος. Unde *Eustathius* conjecit, ἑανὸν dictum, quasi ῥεανόν. Quod est valdè inficetum. In utroque horum vocabulorum, mirè cæcutierunt et *Grammatici* et de re *prosodiacâ* Scriptores. Vide suprà ad γ', 385. Cæterùm quâ ratione ἀμβρόσιον, et ἑανὸν, et ὅν, hîc ultimam producant; item τρίγληνα, *ver.* 183; et ἠέλιος, *ver.* 185; vide suprà ad ά, 51.

Ver. 179. Ἔξυσ'.] *Tenue texuerat*——.

Ver. 182. —— ἄρα.] *Ut solita erat; Ut æquum erat*——.

Ver. 184. —— καλύψατο.] Vide suprà ad *ver.* 171; item ad γ', 141.

Ver. 185, 186. Καλῷ,——καλὰ.] Vide suprà ad β', 43.

Αὐτὰρ ἐπειδὴ πάντα περὶ χροῒ θήκατο κόσμον,
Βῆ ῥ' ἴμεν ἐκ θαλάμοιο· καλεσσαμένη δ' Ἀφροδίτην,
Τῶν ἄλλων ἀπάνευθε θεῶν, πρὸς μῦθον ἔειπεν·
Ἦ ῥά νύ μοί τι πίθοιο, φίλον τέκος, ὅ,ττι κεν εἴπω;
Ἠέ κεν ἀρνήσαιο, κοτεσσαμένη τόγε θυμῷ,
Οὕνεκ' ἐγὼ Δαναοῖσι, σὺ δὲ Τρώεσσιν ἀρήγεις;
Τὴν δ' ἠμείβετ' ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
Ἥρη, πρέσβα θεά, θυγάτηρ μεγάλοιο Κρόνοιο,
Αὔδα ὅ,τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
Εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστί.
Τὴν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
Δὸς νῦν μοι φιλότητα καὶ ἵμερον, ᾧ τε σὺ πάντας
Δαμνᾷ ἀθανάτους, ἠδὲ θνητοὺς ἀνθρώπους·
Εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθὺν,
Οἵ μ' ἐν σφοῖσι δόμοισιν ἐΰ τρέφον ἠδ' ἀτίταλλον,

Tum postquam omnem circum corpus adposuerat ornatum,
Perrexit ire ex thalamo; advocatamque Venerem,
Ab aliis seorsùm diis, verbis *ita* allocuta est:
" Nunquid mihi obsequi voles, dilecta filia, *in eo* quod dixero?
" An recusaveris; irata ob id animo,
" Quòd ego Danais, tu autem Trojanis auxiliaris?"
Huic autem respondit dein Jovis filia Venus:
" Juno, veneranda Dea, filia magni Saturni,
" Eloquere quod in-animo-habes: perficere enim me animus jubet,
" Si possum quidem perficere, et si perfici potest."
Hanc autem dolos-struens allocuta est veneranda Juno:
" Da nunc mihi amabilitatem et desiderium, quo utique tu omnes
" Domas immortales, atque mortales homines:
" Vado enim visura almae fines terrae,
" Oceanumque, deorum parentem, et matrem Tethyn;
" Qui me in suis aedibus magnâ-cum-curâ-nutrierunt et educârunt,

---

Ver. 191. ——— κεν ἀρνήσαιο.] *Al.* ἀπαρνήσαιο.

Ver. 195. Αὔδα ὅ,τι φρονέεις· ——— τετελεσμένον ἐστί.] *Plebeia sanè omnia,* (inquit Scaliger, Poëtic. Lib. 5. cap. 3.) *atque quovis ingenio parabilia.* At Quintilianus: *Homerum nemo in Magnis sublimitate, in Parvis proprietate superaverit.* Lib. 10. cap. 1. Et Scholia Victorian. ad ί, 212; Εἰς ταπεινὴν ἀπαγγελίαν οὐδεὶς τοσαύτην ἐπέθηκε σεμνότητα.

——— Tuus, ô regina, quid optes,
Explorare labor; mihi jussa capessere fas est. *Æn.* I, 80.

Ibid. —— ἄνωγεν.] Vide suprà ad Θ', 322. et ad ά, 37.

Ver. 197. —— δολοφρονέουσα προσηύδα.]
——— simulatâ mente locutam. *Æn.* IV, 105.

Ver. 198. — σὺ πάντας Δαμνᾷ ἀθανάτους.]
——— affatur *Amorem:*
Nate, meæ vires, mea magna potentia; solus,
Nate, patris summi qui tela Typhoëa temnis. *Æn.* I, 667.

Ver. 201. Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθὺν.]
Oceanumque patrem rerum ———. *Georgic.* IV, 382.

Ὅμηρος εἰπὼν "Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθὺν," πάντα εἴρηκεν ἔκγονα ῥοῆς τε καὶ κινήσεως. *Plato in Theæteto.*

Ve. 202. —— ἐῢ τρέφον.] *Al.* ἐΰτρεφον, et ἐΰτροφον.

Δεξάμενοι Ῥείης, ὅτε τε Κρόνον εὐρύοπα Ζεὺς
Γαίης νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης.
Τοὺς εἶμ' ὀψομένη, καὶ σφ' ἄκριτα νείκεα λύσω·
Ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
Εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
Εἰ κείνω γ' ἐπέεσσι παραιπεπιθοῦσα φίλον κῆρ
Εἰς εὐνὴν ἀνέσαιμι ὁμωθῆναι φιλότητι,
Αἰεί κέ σφι φίλη τε καὶ αἰδοίη καλεοίμην.
Τὴν δ' αὖτε προσέειπε φιλομμειδὴς Ἀφροδίτη·
Οὐκ ἔστ', οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι·
Ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνῃσιν ἰαύεις.
Ἦ, καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα,
Ποικίλον· ἔνθα δέ οἱ θελκτήρια πάντα τέτυκτο·
Ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστὺς,
Πάρφασις, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων·
Τόν ῥά οἱ ἔμβαλε χερσὶν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τῆ νῦν τοῦτον ἱμάντα, τεῷ δ' ἐγκάτθεο κόλπῳ,

" Excipientes à Rheâ, quandò nempe Saturnum latè-sonans Jupiter
" Terram subter dejecit et infructuosum mare.
" Hos vado visura, et ipsis acerbas lites dirimam:
" Jam enim diuturno tempore inter se abstinent
" Cubili et amore, quoniam ira *eis* invasit animum.
" Quod-si illos quidem verbis *meis* persuasos suo-sibi animo
" In lectum reduxero, ut-jungantur amore;
" Semper sanè eis dilectaque et veneranda vocabor."
Hanc autem rursùs allocuta est amans-risum Venus:
" Non licet, neque decet, tu-quod-petîsti, recusare:
" Jovis enim potentissimi in ulnis dormis."
Dixit, et à pectoribus solvit acu-pictum cingulum,
Varium; in eo autem sibi delinimenta omnia inclusa erant:
Ibi inerat quidem amor, inerat desiderium, inerat et amantium-colloquium,
Blandiloquentia scilicèt, quae furtim-surripit mentem etiam prudentium:
Hoc utique ei imposuit manibus, verbaque fecit, dixitque:
" Accipe nunc hoc cingulum, tuoque reconde sinu,

Ver. 203. — ὅτε τε.] *Quando videlicèt* —.
Ibid. ——— εὐρύοπα.] Vide suprà ad ά, 175. 498.
Ver. 204. —— ἀτρυγέτοιο.] Ἀκαταπονήτου, πολλῆς· ἢ, ὡς ἔνιοι φασὶ, τῆς ἀκάρπου. *Schol.* ad ά, 316.
Ver. 205. ——— ἄκριτα.] Vide suprà ad ά, 309. 314.
Ver. 212. Οὐκ ἔστ', οὐδὲ ἔοικε.] Οὔτε πρέπον, οὔτε δυνατόν. *Schol. Al.* οὐδ' ἐπέοικε.
——— Quis talia demens
Abnuat? ——— *Æn.* IV, 107.
Ibid. ——— τεὸν ἔπος.] Quâ ratione τεὸν, hîc ultimam producat; item ὅρια, *ver.* 227. Vide suprà ad ά, 51.

Ver. 216. —— ἐν δ' ἵμερος.] Apud *Sextum Empiricum*, ἔνι δ' ἵμερος.
Ver. 217. —— φρονεόντων.] Apud *Aristotelem*, φρονέοντος· *Ethic. Eudem. lib.* 6. *cap.* 6. et *Ethic. Nicomach. lib.* 7. *cap.* 7. Ἀλλὰ καὶ περὶ Ποιητικῆς ἐστιν εἰπεῖν, ὅτι "Ἔνθ' ἔνι μὲν φιλότης, ἔνθ' ἵμερος."——*Plutarch. de audiend. Poëtis*, sub initio.
Ver. 218. Τόν ῥα.] *Hoc, inquam.* —— *Hoc utique* ——.
Ver. 219. Τῆ ——, τεῷ δ' ἐγκάτθεο κόλπῳ.] Cod. *Harleian.* Τῆ ——. τεῷ ἐγκάτθεο κόλπῳ. Atque ita quidem istud Τῆ semper usurpat *Homerus* ἀσυνδέτως.

Ποικίλον, ᾧ ἔνι πάντα τετεύχαται· οὐδέ σε φημὶ
Ἄπρηκτόν γε νέεσθαι, ὅ,τι φρεσὶ σῇσι μενοινᾷς.
Ὣς φάτο· μείδησεν δὲ βοῶπις πότνια Ἥρη·
Μειδήσασα δ' ἔπειτα ἑῷ ἐγκάτθετο κόλπῳ.
Ἡ μὲν ἔβη πρὸς δῶμα Διὸς θυγάτηρ Ἀφροδίτη·
Ἥρη δ' ἀΐξασα λίπεν ῥίον Οὐλύμποιο,
Πιερίην δ' ἐπιβᾶσα, καὶ Ἠμαθίην ἐρατεινὴν,
Σεύατ' ἐφ' ἱπποπόλων Θρηκῶν ὄρεα νιφόεντα,
Ἀκροτάτας κορυφὰς, οὐδὲ χθόνα μάρπτε ποδοῖϊν.
Ἐξ Ἀθόω δ' ἐπὶ πόντον ἐβήσατο κυμαίνοντα·
Λῆμνον δ' εἰσαφίκανε, πόλιν θείοιο Θόαντος,
Ἔνθ' Ὕπνῳ ξύμβλητο, κασιγνήτῳ Θανάτοιο,
Ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Ὕπνε, ἄναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων,
Εἰ μὲν δή ποτ' ἐμεῦ ἔπος ἔκλυες, ἠδ' ἔτι καὶ νῦν

" Varium, in quo omnia inclusa sunt: neque te puto
" Re-infectâ redituram, quicquid mentibus tuis concupieris."
Sic dixit: Subrisit autem magnos-oculos-habens veneranda Juno;
Subridensque, deinde suo recondidit sinu.
Ac tum quidem ivit ad domum, Jovis filia, Venus:
Juno autem festinans reliquit verticem Olympi,
Pieriamque supergressa, et Emathiam amoenam,
Ferebatur super equestrium Thracum montes nivosos,
Summa cacumina; neque terram carpebat pedibus.
Ex Atho autem ad pontum descendit fluctuantem:
Lemnumque pervenit, *in* urbem divini Thoantis,
Ubi Somnum convenit, fratrem Mortis,
Inque ejus haesit manu, verbaque fecit, dixitque:
" Somne, rex omniumque deorum omniumque hominum,
" Si quidem unquam-anteà meo verbo auscultâsti, etiam nunc

Τῇ δὲ τόδε κρήδεμνον ὑπὸ στέρνοιο τάνυσσαι.
Odyss. έ, 346.
Κῆρυξ, τῇ δὴ τοῦτο πόρε κρέας, ὄφρα φάγῃσι.
Odyss. θ', 477.
Κύκλωψ, τῆ, πίε οἶνον.— *Odyss.* ί, 347.
Τῆ, τόδε φάρμακον ἐσθλὸν ἔχων, ἐς δώματα Κίρκης
Ἔρχευ.——————— *Odyss.* κ', 287.

Ita nimirùm ultimum hunc versum scribit *Eustathius* in *commentario*; cùm Editi habeant, ἔχων δ' ἐς δώματα Κίρκης Ἔρχευ.

Ver. 220.—— τετεύχαται.] Vide suprà ad ά, 37.

Ver. 221. Ἄπρηκτόν.] Vide suprà ad ν', 192.

Ver. 222.—βοῶπις.] Vide suprà ad ά, 551.

Ver. 223.—ἑῷ.] *Al.* μέσῳ.

Ver. 225.—— ἀΐξασα.]
Illa viam celerans ——————
———— cito decurrit tramite virgo.
Æn. V, 609.

Ver. 227.—— νιφόεντα.] Quâ analogiâ vox νιφοέντα, quæ primam *corripit*, deducta sit ex νίφειν, quæ primam *producit*; vide suprà ad ά, 338. et ad μ', 280.

Ver. 228.——— οὐδὲ χθόνα μάρπτε ποδοῖϊν.] Vide suprà ad έ, 769. Et de proprio significatu temporis istius imperfecti, μάρπτε, vide ad ν', 84.

Ver. 229.——Ἀθόω.] Ita *Barnesius*: Rectè, ut opinor. *Al.* Ἄθοω.

Ibid. —— ἐβήσατο.] *Al.* ἐβήσετο. Vide suprà ad β', 35, et ad έ, 109.

Ver. 231.—Ὕπνῳ— κασιγνήτῳ Θανάτοιο.]
Tum consanguineus Leti Sopor ———.
Æn. VI, 278.

Ver. 232.——ἄρα.] *Ut solent amici obviam facti*, ————.

Ver. 234. Εἰ μὲν.] *Al.* apud *Eustathium*, Ἦ μέν. Non malè; inquit *Barnesius*. At *Eustathius*, γράφεται, inquit, καὶ " Εἰ μέν" ὃ καὶ κρεῖττον.

Πείθευ· ἐγὼ δέ κέ τοι εἰδέω χάριν ἤματα πάντα·
Κοίμησόν μοι Ζηνὸς ὑπ' ὀφρύσιν ὄσσε φαεινὼ,
Αὐτίκ', ἐπεί κεν ἐγὼ παραλέξομαι ἐν φιλότητι.
Δῶρα δέ τοι δώσω, καλὸν θρόνον, ἄφθιτον αἰεὶ,
Χρύσεον· Ἥφαιστος δέ κ' ἐμὸς πάϊς ἀμφιγυήεις
Τεύξει ἀσκήσας, ὑπὸ δὲ θρῆνυν ποσὶν ἥσει,
Τῷ κεν ἐπισχοίης λιπαροὺς πόδας εἰλαπινάζων.
Τὴν δ' ἀπαμειβόμενος προσεφώνεε νήδυμος Ὕπνος·
Ἥρη, πρέσβα θεὰ, θύγατερ μεγάλοιο Κρόνοιο,
Ἄλλον μέν κεν ἔγωγε θεῶν αἰειγενετάων
Ῥεῖα κατευνήσαιμι, καὶ ἂν ποταμοῖο ῥέεθρα
Ὠκεανοῦ, ὅσπερ γένεσις πάντεσσι τέτυκται·
Ζηνὸς δ' οὐκ ἂν ἔγωγε Κρονίονος ἆσσον ἱκοίμην,
Οὐδὲ κατευνήσαιμ', ὅτε μὴ αὐτός γε κελεύοι.
Ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμὴ,
Ἤματι τῷ, ὅτ' ἐκεῖνος ὑπέρθυμος Διὸς υἱὸς
Ἔπλεεν Ἰλιόθεν, Τρώων πόλιν ἐξαλαπάξας.
Ἤτοι ἐγὼ μὲν ἔθελξα Διὸς νόον αἰγιόχοιο

"Obsequere; ego autem tibi habeo gratias dies omnes:
"Sopito mihi Jovis sub palpebris oculos fulgentes,
"Statim, postquam ego accubuero in amore.
"Dona autem tibi dabo, pulchrum solium, incorruptum in-perpetuum,
"Aureum; Vulcanus nempè meus filius utroque-pede-claudus
"Fabricabit elaboratum; sub pedibusque scabellum mittet,
"Cui utique imponas nitidos pedes dum-convivaris."
Hanc autem respondens allocutus est suavis Somnus:
"Juno, veneranda dea, filia magni Saturni,
"Alium quidem ego deorum sempiternorum
"Facilè sopiverim; etiam torrentis fluenta
"Oceani, qui quidem parens omnibus est;
"Jovem autem non ego Saturnium propè adiero,
"Neque sopivero, quandò non ipse quidem jusserit.
"Jam enim me et aliàs tuum sapere-fecit mandatum,
"Die isto, quandò ille magnanimus Jovis filius [*Hercules*]
"Navigabat ex Ilio, Trojanorum urbe direptâ.
"Tum ego sanè demulsi Jovis mentem Aegiochi

Ibid. —— ἐμεῦ ἔπος.] Cod. *Harleian.* ἐμὸν ἔπος. Quod et ferri potest.

Ver. 235. —— εἰδέω χάριν.] Cod. *Harleian.* ἰδίω χάριν, "*gratias habebo.*"

Ver. 236. Κοίμησόν.] Cod. *Harleian.* Κοίμισσον.

Ver. 237. —— παραλέξομαι ἐν φιλότητι.] *Al.* παραλέξωμαι φιλότητι. Vide autem suprà ad β', 515.

Ver. 238. —— καλὸν.] Vide suprà ad β', 43.

Ibid. —— ἄφθιτον.] De hujus vocis prosodiâ, vide suprà ad ν', 339.

Ver. 246. Ὠκεανοῦ, ὅσπερ γένεσις.] Vide suprà ad *ver.* 201.

Ibid. —— τέτυκται.] Vide suprà ad ά, 37.

Ver. 247. ——Κρονίονος.] De prosodiâ vocis Κρονῖονος et Κρονἴωνος, vide suprà ad ά, 397; ad ζ', 464; et ad ν', 46.

Ver. 249. — ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμὴ.] *Al.* ἄλλοτε ᾗ (vel ἄλλοθ' ἐῇ) ἐπίνυσσεν ἐφετμῇ. Tumque vox ἐπίνυσσεν referenda ad præcedentem Ζεύς. Sed præstat vulgata Lectio.

Ver. 250. — ὅτ' ἐκεῖνος.] *Al.* ὅτε κεῖνος.

Ver. 252. — ἔθελξα.] *Eustathius*, et MSS. et Editi plurimi, et Scholiastes habet, ἔλεξα.

Νήδυμος ἀμφιχυθείς· σὺ δέ οἱ κακὰ μήσαο θυμῷ,
Ὄρσασ' ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτας·
Καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας,
Νόσφι φίλων πάντων· ὁ δ' ἐπεγρόμενος χαλέπαινε,
Ῥιπτάζων κατὰ δῶμα θεούς· ἐμὲ δ' ἔξοχα πάντων
Ζήτει, καί κέ μ' ἄϊστον ἀπ' αἰθέρος ἔμβαλε πόντῳ,
Εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν,
Τὴν ἱκόμην φεύγων· ὁ δ' ἐπαύσατο, χωόμενός περ·
Ἅζετο γάρ, μὴ Νυκτὶ θοῇ ἀποθύμια ἕρδοι.
Νῦν αὖ τοῦτό μ' ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι.
  Τὸν δ' αὖτε προσέειπε βοῶπις πότνια Ἥρη·
Ὕπνε, τίη δὲ σὺ ταῦτα μετὰ φρεσὶ σῇσι μενοινᾷς;
Ἦ φῂς, ὣς Τρώεσσιν ἀρηγέμεν εὐρύοπα Ζῆν',
Ὡς Ἡρακλῆος πέρι χώσατο, παιδὸς ἑοῖο;
Ἀλλ' ἴθ', ἐγὼ δέ κέ τοι Χαρίτων μίαν ὁπλοτεράων
Δώσω ὀπυιέμεναι, καὶ σὴν κεκλῆσθαι ἄκοιτιν,
Πασιθέην, ἧς αἰὲν ἐέλδεαι ἤματα πάντα.

" Suavis circumfusus: tu autem ei mala struebas animo,
" Excitatis saevorum ventorum in pontum flatibus;
" Et eum deinde ad Coon benè habitatam de-cursu-detulisti,
" Seorsùm ab amicis omnibus: *Jupiter* autem experrectus indignabatur,
" Proturbans per domum deos; me autem maximè omnium
" Quaerebat, et me perditum ab aethere injecisset ponto,
" Nisi Nox domitrix deorum servâsset et hominum,
" Quam adivi fugiens: ille autem cohibuit-se, iratus licèt;
" Verebatur enim, ne Nocti celeri ingrata-animo faceret.
" Jamque rursùs hoc me jubes periculosissimum aliud perficere."
Hunc autem rursùs allocuta est magnis-oculis veneranda Juno:
" Somne, quid verò tu haec in mentibus tuis cogitas?
" Putasne ità Trojanis favere latè-sonantem Jovem,
" Sicut propter Herculem iratus est, filium suum?
" Quin ito *mecum*; ego autem tibi Gratiarum unam juniorum
" Dabo ducendam, et tuam vocandam conjugem,
" Pasitheam, quam semper cupis dies omnes."

Quæ si vera sit Lectio, erit (ut opinor) non à λέγω, sed ab inusitato λέχω. Vide suprà ad β', 515.

Ver. 253. —— *οἱ.*] *Herculi.*

Ver. 256. Νόσφι.] Vide suprà ad ά, 349.

Ibid. —— ἐπεγρόμενος.] *Al.* ἀνεγρόμενος.

Ver. 259. —— δμήτειρα.] *Al.* μήτειρα. Sed præstat vulgata Lectio.

Ver. 262. —— ἄνωγας.] Vide suprà ad θ', 322.

Ver. 265. —— ἀρηγέμεν.] *Al.* ἀρηξέμεν.

Ver. 266. —— πέρι χώσατο.] *Al.* περιχώσατο.

Ver. 267. — ἐγὼ δέ κέ τοι Χαρίτων μίαν —.]
Sunt mihi bis septem præstanti corpore Nymphæ:
Quarum, quæ formâ pulcherrima, Deïopeiam
Connubio jungam stabili, propriamque dicabo;
Omnes ut tecum meritis pro talibus annos
Exigat, et pulchrâ faciat te prole parentem.
Æn. I, 75.

Ver. 269. —— ἧς αἰὲν ἐέλδεαι.] Ita edidit *Barnesius*, ex *ver.* 276. infrà. Alii omnes legunt, ἱμείρεαι. Quæ si vera sit Lectio, scribendum aut ἧς αὖθ' ἱμείρεαι, aut siquid simile. Nam ἱμείρεσθαι, ut rectè observavit *Barnesius*, primam producit. Porrò, totum hunc versum omittunt Codd. *Harleiani* bini, à *Th. Bentleio* collati.

Ὣς φάτο· χήρατο δ' Ὕπνος, ἀμειβόμενος δὲ προσηύδα·
Ἄγρει νῦν μοι ὄμοσσον ἀάατον Στυγὸς ὕδωρ,
Χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλε χθόνα πουλυβότειραν,
Τῇ δ' ἑτέρῃ ἅλα μαρμαρέην· ἵνα νῶϊν ἅπαντες
Μάρτυροι ὦσ' οἱ ἔνερθε Θεοὶ Κρόνον ἀμφὶς ἐόντες·
Ἦ μὲν ἐμοὶ δώσειν Χαρίτων μίαν ὁπλοτεράων,
Πασιθέην, ἧς τ' αὐτὸς ἐέλδομαι ἤματα πάντα.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
Ὤμνυε δ', ὡς ἐκέλευε, θεοὺς δ' ὀνόμηνεν ἅπαντας
Τοὺς ὑποταρταρίους, οἳ Τιτῆνες καλέονται.
Αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε, τελεύτησέν τε τὸν ὅρκον,
Τὼ βήτην, Λήμνου τε καὶ Ἴμβρου ἄστυ λιπόντε,
Ἠέρα ἑσσαμένω, ῥίμφα πρήσσοντε κέλευθον·
Ἴδην δ' ἱκέσθην πολυπίδακα, μητέρα θηρῶν,
Λεκτόν· ὅθι πρῶτον λιπέτην ἅλα· τὼ δ' ἐπὶ χέρσου
Βήτην· ἀκροτάτη δὲ ποδῶν ὕπ' ἐσείετο ὕλη.
Ἔνθ' Ὕπνος μὲν ἔμεινε, πάρος Διὸς ὄσσε ἰδέσθαι,

Sic dixit: Gavisus est autem Somnus, respondensque allocutus est:
" Age, nunc mihi jura inviolabilem Stygis aquam,
" Manuque alterâ quidem tange terram almam,
" Alterâ verò mare marmoreum; ut nobis omnes
" Testes sint inferi dii, Saturnium circa existentes;
" Omninò *te* mihi daturam-esse Gratiarum unam juniorum,
" Pasitheam, quam et ego cupio dies omnes."
Sic dixit: Neque non obsecuta-est dea ulnas-candida Juno;
Jurabat autem ut *is* jubebat, deosque nominabat omnes
Subtartareos, qui Titanes appellantur.
Tum postquàm juraveratque, absolveratque juramentum,
Ipsi *simul* ibant, Lemnique et Imbri urbe relictâ,
Caligine induti, celeritèr conficientes iter:
Ad Idam autem pervenerunt fontibus-irriguam, matrem ferarum,
Ad Lecton; ubi primùm liquerunt mare: hique super terrâ
Ibant: summa autem sub pedibus quassabatur sylva.
Atque illic Somnus quidem mansit, antequam Jovis oculi viderent *eum*,

---

Ver. 271. —— ἀάατον Στυγὸς ὕδωρ.] Vide suprà ad θ', 369.

Ver. 274. Μάρτυροι.] Vide suprà ad α', 338.

Ibid. —— ὦσ' οἱ.] *Al.* ὦσιν. *Al.* ὅσσοι.

Ibid. —— ἔνερθε θεοὶ.] *Titanes*, ver. 279.

Ver. 279. —— οἳ Τιτῆνες καλέονται.] Ἐν δὲ τῷ, "Οἳ Τιτῆνες καλέονται," προσγράφουσί τινες ἕτερον στίχον τοῦτον,

Ὤμνυε δ' ἐκ πέτρης κατειβόμενον Στυγὸς ὕδωρ. *Eustath.*

Quem quidem versum hoc modo citat *Barnes.*

Ὤμνυε δ' ἐκ πέτρηφι κατειβόμενον Στυγὸς ὕδωρ.

Forsitan scripserit *Eustathius*,

Ὤμνυε δ' ἐκ πέτρης τὸ κατειβόμενον Στυγὸς ὕδωρ.

Vide suprà ad ν', 588.

Ver. 282. —— πρήσσοντε.] Vide suprà ad ν', 192.

Ver. 284. Λεκτόν.] Vide suprà ad β', 515.

Ver. 285. —— ἀκροτάτη δὲ ποδῶν ὕπ' ἐσείετο ὕλη.] Ita edidit *Barnesius.* *Al.* ὑπεσείετο.

—— —— dat euntibus ingens
Sylva locum. ——
Æn. VII, 676.

Ibid. —— ὕλη.] Vide suprà ad γ', 151.

Ver. 286. —— ἔμεινε, —— ὄσσε ἰδέσθαι.] *Al.* ἔμιμνε, —— ἄσσον ἰκέσθαι.

Εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ' ἐν Ἴδῃ
Μακροτάτη πεφυυῖα δι' ἠέρος αἰθέρ' ἵκανεν·
Ἔνθ' ἧστ' ὄζοισιν πεπυκασμένος εἰλατίνοισιν,
Ὄρνιθι λιγυρῇ ἐναλίγκιος, ἥν τ' ἐν ὄρεσσι
Χαλκίδα κικλήσκουσι θεοὶ, ἄνδρες δὲ Κύμινδιν.
  Ἥρη δὲ κραιπνῶς προσεβήσατο Γάργαρον ἄκρον
Ἴδης ὑψηλῆς· ἴδε δὲ νεφεληγερέτα Ζεύς.
Ὡς δ' ἴδεν, ὥς μιν ἔρως πυκινὰς φρένας ἀμφεκάλυψεν,
Οἷον ὅτε πρώτιστον ἐμισγέσθην φιλότητι,
Εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας·
Στῆ δ' αὐτῆς προπάροιθεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
  Ἥρη, πῆ μεμαυῖα κατ' Οὐλύμπου τόδ' ἱκάνεις;
Ἵπποι δ' οὐ παρέασι καὶ ἅρματα, τῶν κ' ἐπιβαίης.

Abiete conscensâ admodum-procerâ, quae tunc in Idâ
Altissima enata per aërem ad aethera ibat:
Illic *is* sedit ramis densè-opertus abiegnis,
Avi argutae similis, quam utique in montibus
Chalcidem nominant dii, homines autem Cymindin.
Juno autem celeritèr conscendebat *in* Gargarum summum
Idae excelsae: vidit autem *eam* nubes-cogens Jupiter.
Ut verò vidit, continuò illum amor prudentia praecordia cooperuit,
Perinde-ac quandò primùm congressi sunt amore,
Cubili inito suis clàm parentibus:
Stetit autem ipsam ante, verbaque fecit, dixitque:
" Juno, quò festinans ab Olympo huc venis?
" Equi autem non adsunt et currus, quos conscendas."

Ver. 287. — ἣ τότ' ἐν Ἴδῃ.] Nugatur hîc planè Scholiastes: Διὰ τοῦτο "Τότε," inquit, ἀνήρηκε τὸ ψεῦδος, ὥστε μὴ ζητεῖν αὐτήν.

Ver. 290. Ὄρνιθι λιγυρῇ ἐναλίγκιος.]
Alitis in parvæ subitò collecta figuram.
Æn. XII, 862.

Cæterùm quâ ratione, ὄρνιθι, hîc ultimam producat; item δὲ, *ver.* 293; vide suprà ad ά, 51.

Ver. 291. Χαλκίδα κικλήσκουσι θεοὶ, ἄνδρες δὲ Κύμινδιν.] De hâc loquendi ratione, mihi id veri simillimum videtur; quæ *Eruditioribus* usitata fuerint nomina, *Diis* tributa; quæ vulgò magis trita, *Hominibus.* Nimirùm, quam *Chalcidem* appellabant *Græci eruditiores* avem; ei, apud *vulgus Ionicum*, nomen erat *Cymindi.* Ἡ Χαλκὶς ὀλιγάκις μὲν φαίνεται· οἰκεῖ γὰρ ὄρη·——κύμινδιν δὲ καλοῦσιν Ἴωνες αὐτήν. *Aristot. de Histor. Animal. lib.* 9. *cap.* 12. *Plato* in eâ erat sententiâ; quæ *Rei naturam* quodammodo vi et significatu suo exprimerent *Nomina*, illa utique Diis tributa. Δῆλον γὰρ δὴ, ὅτι οἵγε θεοὶ αὐτὰ καλοῦσι πρὸς ὀρθότητα, ἅπερ ἐστὶ φύσει ὀνόματα.———Τὸν "Ἀστυάνακτα" ἄρα ὀρθότερον ᾤετο κεῖσθαι τῷ παιδὶ [τοῦ Ἕκτορος,] ἢ τὸν Σκαμάνδριον· "Οἶος γάρ σφιν ἔρυτο πόλιν καὶ τείχεα μακρά." Διὰ ταῦτα δὴ, ὡς ἔοικεν, ὀρθῶς ἔχει καλεῖν τὸν τοῦ σωτῆρος υἱὸν, Ἀστυάνακτα τούτου ὃ ἔσωζεν ὁ πατὴρ αὐτοῦ. *Plat. in Cratylo.* De aliorum hâc in re sententiâ, vide quæ suprà ad ά, 403.

Ver. 292. —— προσεβήσατο.] *Al.* προσεβήσετο.] Vide suprà ad β', 35. et ad έ, 109.

Ver. 293. — νεφεληγερέτα.] Vide suprà ad ά, 175.

Ver. 294. Ὡς δ' ἴδεν, ὥς μιν ἔρως.] Scholiasti, ἔρος· Ut infrà, *ver.* 315.

Ὡς ἴδον, ὡς ἐμάνην.——— *Theocrit.*
Ut vidi, ut perii!———
Virgil. Ecl. VIII, 41

——— ille repentè
Accepit solitam flammam, notusque medullas
Intravit calor, et labefacta per ossa cucurrit.———
Sensit læta dolis, et formæ conscia conjux.
Æn. VIII, 388.

Ver. 295. — πρώτιστον ἐμισγέσθην.] Cod. *Harleian.* πρῶτον παρεμισγέσθην.

Ver. 299. — τῶν κ' ἐπιβαίης.] *Quos utique*

Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
Ἔρχομαι ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε, θεῶν γένεσιν, καὶ μητέρα Τηθὺν,
Οἵ μ' ἐν σφοῖσι δόμοισιν ἐῢ τρέφον ἠδ' ἀτίταλλον·
Τοὺς εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω.
Ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
Εὐνῆς καὶ φιλότητος· ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
Ἵπποι δ' ἐν πρυμνωρείῃ πολυπίδακος Ἴδης
Ἑστᾶσ', οἵ μ' οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν.
Νῦν δέ σευ εἵνεκα δεῦρο κατ' Οὐλύμπου τόδ' ἱκάνω,
Μήπως μοι μετέπειτα χολώσεαι, αἴκε σιωπῇ
Οἴχωμαι πρὸς δῶμα βαθυῤῥόου Ὠκεανοῖο.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἥρη, κεῖσε μέν ἐστι καὶ ὕστερον ὁρμηθῆναι,
Νῶϊ δ', ἄγ', ἐν φιλότητι τραπείομεν εὐνηθέντε·
Οὐ γάρ πώποτέ μ' ὧδε θεᾶς ἔρος, οὐδὲ γυναικὸς,
Θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν·
Οὐδ' ὁπότ' ἠρασάμην Ἰξιονίης ἀλόχοιο,

Hunc autem dolos-struens allocuta est veneranda Juno:
" Eo visura almae fines terrae,
" Oceanumque deorum parentem, et matrem Tethyn,
" Qui me in suis aedibus magnâ-cum-curâ nutriêrunt et educârunt:
" Hos vado visura, et ipsis acerbas lites dirimam.
" Jam enim diuturno tempore inter se abstinent
" Cubili et amore: quoniam ira eis invasit animum.
" Equi autem in radicibus fontibus-irriguae Idae
" Stant, qui me ferent supra aridumque et humidum.
" Nunc verò tui gratiâ huc ab Olympo ob hoc venio,
" Ne-fortè mihi posthàc irascaris, si silentio
" Abeam ad domum profundè-fluentis Oceani."
Hanc autem respondens allocutus est nubes-cogens Jupiter:
" Juno, illuc quidem licet et posthàc proficisci;
" Nos autem age amore congrediamur concumbentes:
" Non enim unquam mihi sic deae amor, neque mulieris,
" Animum in pectoribus circumfusus domuit;
" Neque quandò captus-fui amore Ixioniae uxoris,

---

conscendas. Rectè hîc notavit *Barnesius*, ad sententiam *aliquid*, ad versum explendum *nihil* conferre istud κί. Quod et in solutâ oratione, apud *Platonem* aliosque, facile est observatu.

Ver. 302. Ὠκεανόν τε, θεῶν γένεσιν.] Vide suprà ad *ver.* 201.

Ver. 303. —— ἐῢ τρέφον.] *Al.* ἐΰτρεφον.

Ver. 307. —— πολυπίδακος.] *Al.* πολυπιδάκου.

Ver. 310. —— μετέπειτα χολώσεαι.] *Al.* μετόπισθε κοτέσσεαι. Ut, ά, 82. — μετόπισθεν ἔχει κότον. Et *Odyss.* ί, 147. Μήπως τοι μετόπισθε κοτεσσάμενος ———.

Ver. 312. —— νεφεληγερέτα.] Vide suprà ad ά, 175.

Ver. 314. Νῶϊ δ', ἄγ',—.] Rectè hæc reprehendit *Plato de Republ. lib.* 3. Οὐ, μὰ τὸν Δία, οὔ μοι φαίνεται ἐπιτήδεια. Ἀλλ' εἴ που τινὲς καρτερίαι πρὸς ἅπαντα καὶ λέγονται καὶ πράττονται ὑπὸ ἐλλογίμων ἀνδρῶν, θεατέον τε καὶ ἀκουστέον. Optimè etiam *Cicero*, de his quæ *ad Deos Humana transtulit* Homerus; *Mallem*, inquit, *Divina ad Nos.*

Ibid. —— εὐνηθέντε.] *Al.* εὐνηθέντες.

Ver. 317. — ἠρασάμην.] Vocabulum hoc, quoniam *secundam* corripit, nequit deductum

Ἣ τέκε Πειρίθοον, θεόφιν μήστωρ' ἀτάλαντον·
Οὐδ' ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης,
Ἣ τέκε Περσῆα, πάντων ἀριδείκετον ἀνδρῶν·
Οὐδ' ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο,
Ἣ τέκε μοι Μίνω τε καὶ ἀντίθεον Ῥαδάμανθυν·
Οὐδ' ὅτε περ Σεμέλης, οὐδ' Ἀλκμήνης ἐνὶ Θήβῃ,
Ἥ ῥ' Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα·
Ἡ δὲ Διώνυσον Σεμέλη τέκε, χάρμα βροτοῖσιν.
Οὐδ' ὅτε Δήμητρος, καλλιπλοκάμοιο ἀνάσσης.
Οὐδ' ὁπότε Λητοῦς ἐρικυδέος, οὐδὲ σεῦ αὐτῆς·
Ὡς σέο νῦν ἔραμαι, καί με γλυκὺς ἵμερος αἱρεῖ.
Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
Εἰ νῦν ἐν φιλότητι λιλαίεαι εὐνηθῆναι
Ἴδης ἐν κορυφῇσι, τὰ δὲ προπέφανται ἅπαντα,
Πῶς κ' ἔοι, εἴ τις νῶϊ θεῶν αἰειγενετάων
Εὕδοντ' ἀθρήσειε, θεοῖσι δὲ πᾶσι μετελθὼν
Πεφράδοι; οὐκ ἂν ἔγωγε τεὸν πρὸς δῶμα νεοίμην,
Ἐξ εὐνῆς ἀνστᾶσα· νεμεσσητὸν δέ κεν εἴη.

" Quae peperit Pirithoum, diis consiliarium parem :
" Neque quandò Danaës pedibus-elegantis Acrisii-filiae,
" Quae peperit Perseum, omnium clarissimum virorum :
" Neque quandò Phoenicis filiae percelebris,
" Quae peperit mihi Minoaque et diis-parem Rhadamanthyn :
" Neque quandò Semeles, neque Alcmenes in Thebis ;
" *Quarum* haec quidem Herculem fortissimum peperit filium ;
" At Bacchum Semele peperit, gaudium mortalibus.
" Neque quandò Cereris, comas-pulchrae reginae :
" Nec quandò Latonae gloriosae, neque *quando* tui ipsius :
" Ut tui nunc amore-teneor, et me dulce desiderium capit.'
Hunc autem dolos-struens allocuta est veneranda Juno :
" Importunissime Saturnie, quale verbum dixisti ?
" Si nunc in amore cupis dormire
" Idae in verticibus, haec autem *loca* propatula-sunt omnia ;
" Quomodò esset, si quis nos deorum sempiternorum
" Dormientes videret, diisque omnibus interveniens
" Indicaret ? non equidem tuam ad domum redirem,
" E cubili cùm consurrexero : vituperabile certè esset.

---

esse ex ἐράομαι, sed omninò ex ἔραμαι vel ἐράζομαι. Vide suprà ad ά, 67.

Ver. 318. —— ἀτάλαντον.] Vide suprà ad β', 627.

Ver. 320. —— Περσῆα.] Quâ ratione, Περσῆα, hîc ultimam producat; item ὁπότε, *ver.* 327. et μαλάκον, *ver.* 349. et δέ, *ver.* 350. et ἱστάμενος, *ver.* 356. vide suprà ad ά, 51. n. 8.

Ver. 322. —— Μίνω τε.] *Al.* Μίνωα.

Ver. 325. —— Διώνυσον — χάρμα βροτοῖσιν.]

—— Διωνύσου πολυγηθέος. *Hesiod.*

—— Διώνυσον πολυγαθῆ. *Pindar.*

Adsit lætitiæ Bacchus dator.—*Æn.* I, 738.

Munera lætitiamque Dei.— *Ibid.* 640.

Ver. 327. —— ὁπότε.] *Al.* ὅτε περ. Ut *ver.* 219 et 323.

Ver. 329. —— δολοφρονέουσα —— Ἥρη.]

— læta dolis — conjux. *Æn.* VIII, 393.

— simulatâ mente locutam. *Æn.* IV, 105.

Ver. 335. —— ἔγωγε.] *Al.* ἔπειτα.

Ἀλλ' εἰ δή ῥ' ἐθέλεις, καί τοι φίλον ἔπλετο θυμῷ,
Ἔστιν τοι θάλαμος, τόν τοι φίλος υἱὸς ἔτευξεν
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσεν·
Ἔνθ' ἴομεν κίοντες, ἐπεί νύ τοι εὔαδεν εὐνή.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἥρη, μήτε θεῶν τόγε δείδιθι, μήτε τιν' ἀνδρῶν
Ὄψεσθαι· τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω,
Χρύσεον· οὐδ' ἂν νῶϊ διαδράκοι Ἠέλιός περ,
Οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι.
Ἦ ῥα, καὶ ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἣν παράκοιτιν·
Τοῖσι δ' ὑπὸ Χθὼν δῖα φύεν νεοθηλέα ποίην,
Λωτόν θ' ἑρσήεντα, ἰδὲ κρόκον, ἠδ' ὑάκινθον
Πυκνὸν καὶ μαλακόν· ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργε.
Τῷ ἔνι λεξάσθην, ἐπὶ δὲ νεφέλην ἕσσαντο,
Καλὴν, χρυσείην· στιλπναὶ δ' ἀπέπιπτον ἔερσαι.

" Sed si reverà vis, et tibi *hoc* gratum est animo;
" Est tibi thalamus, quem tibi dilectus filius fabricatus est
" Vulcanus, solidasque fores postibus aptavit:
" Illuc eamus dormituri, quandoquidem tibi placet concubitus."
Hanc autem respondens allocutus est nubes-cogens Jupiter:
" Juno, nec *tu* deorum hoc metue, nec quenquam hominum
" Visurum esse: talem tibi ego nubem circumfundam,
" Auream: neque nos per-*eam*-viderit nè Sol quidem,
" Cujus et acutissimum est lumen ad inspiciendum."
Dixit, et ulnis complexus est Saturni filius suam uxorem:
His autem subter Tellus divina summisit recentem herbam,
Lotumque roscidum, et crocum, et hyacinthum
Densum et mollem; qui à terrâ *eos* altè elevabat.
Hoc in *toro* cubârunt, insupérque nubem sibi-induerunt
Pulchram, auream; lucidique decidebant rores.

Ver. 337. —— ῥ'.] *Ut dixisti,* ——.

Ver. 340. — εὔαδεν.] Vide suprà ad ά, 37.

Ver. 341. —— νεφεληγερέτα.] Vide suprà ad ά, 175.

Ver. 346. —— ἀγκὰς ἔμαρπτε.] *Al.* ἀγκὰς ἔλαζε.

—— niveis hinc atque hinc — lacertis
Cunctantem amplexu molli fovet.——
Æn. VIII, 387.

Fuerunt inter Grammaticos, qui ἀγκὰς, ita acceperint, ac si *Accusativus* esset ab ἀγκαί. Sed hoc nullo modo ferri potest. Nam Accusativum istum pluralem *primæ* (quam vocant) *Declinationis,* qui in linguâ *Doricâ* syllabam ας corripit, ignoravit planè *Homerus.* Vide suprà ad β', 43.

Ver. 347. ——— φύεν νεοθηλέα ποίην ——.] Hîc liquet præcedentem totam fabulam, *VERIS* esse videlicèt descriptionem; quo tempore *Idam* videre erat herbis florentem, et nubibus aureis identidem obductam. De cujusmodi ἀλληγορίαις, consulatur (si lubet) *Heraclides Ponticus.*

Vere tument terræ, et genitalia semina poscunt.
Tum *Pater* omnipotens fœcundis imbribus *Æther*
Conjugis in *gremium* lætæ descendit, et omnes
Magnus alit, magno commixtus corpore, fœtus.——
Parturit almus ager. *Georgic.* II, 324.

Ἥρα μὲν νοεῖται ὁ ἀὴρ, ἥπερ ἐστὶν ὑγρὰ οὐσία. ——Ζεὺς δὲ ὁ αἰθὴρ, τουτέστιν ἡ πυρώδης καὶ ἔνθερμος οὐσία·——Καὶ ἡ γῆ αὐτοῖς φύει τὰς πόας καὶ τὰ ἄνθη. *Dion. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 11.

Ver. 350. —— λεξάσθην.] Vide suprà ad β', 515.

Ver. 351. — Καλὴν.] Vide suprà ad β', 43.

Ὣς ὁ μὲν ἀτρέμας εὗδε πατὴρ ἀνὰ Γαργάρῳ ἄκρῳ,
Ὕπνῳ καὶ φιλότητι δαμείς· ἔχε δ' ἀγκὰς ἄκοιτιν.
Βῆ δὲ θέειν ἐπὶ νῆας Ἀχαιῶν νήδυμος Ὕπνος,
Ἀγγελίην ἐρέων γαιηόχῳ Ἐννοσιγαίῳ·
Ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
  Πρόφρων νῦν Δαναοῖσι, Ποσείδαων, ἐπάμυναι,
Καί σφιν κῦδος ὄπαζε, μίνυνθά περ, ὄφρ' ἔτι εὕδει
Ζεύς· ἐπεὶ αὐτῷ ἐγὼ μαλακὸν περὶ κῶμα κάλυψα·
Ἥρη δ' ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι.
  Ὣς εἰπὼν, ὁ μὲν ᾤχετ' ἐπὶ κλυτὰ φῦλ' ἀνθρώπων·
Τὸν δ' ἔτι μᾶλλον ἀνῆκεν ἀμυνέμεναι Δαναοῖσιν.
Αὐτίκα δ' ἐν πρώτοισι μέγα προθορὼν ἐκέλευσεν·
  Ἀργεῖοι, καὶ δ' αὖτε μεθίεμεν Ἕκτορι νίκην
Πριαμίδῃ, ἵνα νῆας ἕλῃ, καὶ κῦδος ἄρηται;
Ἀλλ' ὁ μὲν οὕτω φησὶ, καὶ εὔχεται, οὕνεκ' Ἀχιλλεὺς
Νηυσὶν ἐπὶ γλαφυρῇσι μένει κεχολωμένος ἦτορ·
Κείνου δ' οὔτι λίην ποθὴ ἔσσεται, εἴ κεν οἱ ἄλλοι
Ἡμεῖς ὀτρυνώμεθ' ἀμυνέμεν ἀλλήλοισιν.
Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
Ἀσπίδας, ὅσσαι ἄρισται ἐνὶ στρατῷ ἠδὲ μέγισται,

Sic quidem quietè dormiebat pater in Gargaro summo,
Somno et amore domitus, tenebatque in ulnis uxorem.
Perrexit verò currere ad naves Achivorum dulcis Somnus,
Nuncium allaturus terram-cingenti Neptuno:
Propè autem stans, verbis alatis *eum* allocutus est:
" Alacris nunc Danais, Neptune, auxiliare;
" Et ipsis gloriam praebe, parumper saltem, dum adhuc dormit
" Jupiter: quoniam ipsi ego mollem soporem circumfudi:
" Juno autem in amore *eum* decepit ut-dormiret."
Sic fatus, hic quidem abiit ad inclytas nationes hominum:
Neptunum autem adhuc magis impulit ad auxiliandum Danais.
Statim itaque *is* inter primos longè-prosiliens hortabatur:
" Argivi, etiamne rursùs concedimus Hectori victoriam
" Priamidae, ut naves capiat, et gloriam referat?
" At is quidem sic existimat, et gloriatur, quia Achilles
" Navibus in cavis manet iratus corde:
" Illius tamen non magnum desiderium erit, si quidem caeteri
" Nos *fortitèr*-excitemur ad defendendum invicem.
" Sed agite, sicut ego dixero, obsequamur omnes:
" Clypeos, quotquot optimi *sunt* in exercitu et maximi,

Ver. 352. —— ἀτρέμας εὗδε —— Ὕπνῳ —— δαμείς.]

—————— placidumque petivit
——— per membra soporem.
Æn. VIII, 405.

Ver. 361. —— ἐπὶ κλυτὰ φῦλ' ἀνθρώπων.] *Ad Lemnios*, interpretatur Domina *Dacier*. Sed rationibus haud satis idoneis.

Ver. 364. —— μεθίεμεν.] Cod. *Harleian.* μεθίετε.

Ver. 365—375. Πριαμίδῃ —— Πριαμίδην.] Vide suprà ad ά, 398.

Ver. 366. —— οὕνεκ' Ἀχιλλεύς.] Vide suprà ad γ', 524.

Ver. 368. —— ποθή.] *Al.* ποθάς.

Ver. 370. —— ἐγών.] *Al.* ἐγώ.

Ἑσσάμενοι, κεφαλὰς δὲ παναίθησιν κορύθεσσι
Κρύψαντες, χερσίν τε τὰ μακρότατ' ἔγχε' ἑλόντες,
Ἴομεν· αὐτὰρ ἐγὼν ἡγήσομαι· οὐδέ τι φημὶ
Ἕκτορα Πριαμίδην μενέειν, μάλα περ μεμαῶτα.
Ὃς δέ κ' ἀνὴρ μενέχαρμος, ἔχει δ' ὀλίγον σάκος ὤμῳ,
Χείρονι φωτὶ δότω, ὁ δ' ἐν ἀσπίδι μείζονι δύτω.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
Τοὺς δ' αὐτοὶ βασιλῆες ἐκόσμεον, οὐτάμενοί περ,
Τυδείδης, Ὀδυσεύς τε, καὶ Ἀτρείδης Ἀγαμέμνων·
Οἰχόμενοι δ' ἐπὶ πάντας, ἀρήϊα τεύχε' ἄμειβον,
Ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε, χέρεια δὲ χείρονι δόσκον.
Αὐτὰρ ἐπεί ῥ' ἕσσαντο περὶ χροΐ νώροπα χαλκὸν,
Βάν ῥ' ἴμεν· ἦρχε δ' ἄρα σφι Ποσειδάων ἐνοσίχθων,
Δεινὸν ἄορ τανύηκες ἔχων ἐν χειρὶ παχείῃ,
Εἴκελον ἀστεροπῇ· τῷ δ' οὐ θέμις ἐστὶ μιγῆναι
Ἐν δαΐ λευγαλέῃ, ἀλλὰ δέος ἰσχάνει ἄνδρας.
Τρῶας δ' αὖθ' ἑτέρωθεν ἐκόσμεε φαίδιμος Ἕκτωρ.
Δή ῥα τότ' αἰνοτάτην ἔριδα πτολέμοιο τάνυσσαν

" *Nos* induti, capitaque fulgentibus galeis
" Tecti, manibusque longissimas hastas tenentes,
" Eamus: ac ego quidem praeibo; nec omninò opinor
" Hectorem Priamidem mansurum, admodùm licèt animo-incitatum.
" Quicunque autem vir strenuus *est*, gestatque parvum scutum humero,
" Imbelliori viro det, ipse verò scutum majus subeat."
Sic dixit: hi autem ei maximè auscultàrunt, atque obsecuti sunt.
Atque hos *quidem* ipsi reges instruebant, vulnerati licèt,
Tydides, Ulyssesque, et Atrides Agamemnon:
Obeuntes autem *copias* omnes, martia arma commutabant;
Fortia quidem fortis induebat, deteriora autem imbelliori dabant.
Tum postquam induissent sibi circum corpus coruscum aes,
Perrexerunt ire: praeibat verò eis Neptunus quassator-terrae,
Horrendum ensem longum habens in manu robustâ,
Similem fulguri: ei autem [*vel*, eo cum gladio] non fas est congredi
In pugnâ perniciosâ, sed metus *ejus solummodò* reprimit viros.
Trojanos verò ex-alterâ-parte instruebat illustris Hector.
Tum verò gravissimum certamen pugnae intenderunt

Ver. 373. —— χερσίν τε.] *Al.* χερσὶν δέ.

Ver. 375. —— μεμαῶτα.] Vide suprà ad ν', 46.

Ver. 378. — ἄρα.] *Ut solent, ut par erat,*—.

Ver. 382. —— χέρεια.] *Al.* χέρηα.

Ibid. —— δόσκον.] *Eustath.* Δόσκον, γράφουσιν οἱ ἀκριβέστεροι· τουτέστιν, ἐδίδουν οἱ βασιλεῖς. *Al.* δόσκεν.

Ver. 383. —— νώροπα χαλκὸν.] Vide suprà ad β', 578.

Ver. 384. —— ἄρα.] *Ut promiserat,* —— *ver.* 374.

Ver. 386. Εἴκελον.] Ita *Barnesius.* Alii ἴκελον· quod primam corripit.

Ibid. — τῷ δ' οὐ θέμις ἐστὶ μιγῆναι Ἐν δαΐ.]
Non ut tela tamen, non ut contenderet arcum. *Æn.* XII, 815.

Ver. 387. ——— ἀλλὰ δέος ἰσχάνει ἄνδρας.] Maris nimirùm murmurantis Strepitus milites terrefecit. Ἐκλύσθη δὲ θάλασσα ποτὶ κλισίας τε νέας τε, *ver.* 392. Cæterùm quâ ratione, ἀλλὰ, hîc ultimam producat; item δὲ, *ver.* 402. et σάκεος, *ver.* 405. vide suprà ad ά. 51. n. 8.

Κυανοχαῖτα Ποσειδάων, καὶ φαίδιμος Ἕκτωρ,
Ἤτοι ὁ μὲν Τρώεσσιν, ὁ δ' Ἀργείοισιν ἀρήγων.
Ἐκλύσθη δὲ θάλασσα ποτὶ κλισίας τε νέας τε
Ἀργείων· οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.
Οὔτε θαλάσσης κῦμα τόσον βοάα προτὶ χέρσον,
Ποντόθεν ὀρνύμενον πνοιῇ Βορέω ἀλεγεινῇ·
Οὔτε πυρὸς τόσσος γε ποτὶ βρόμος αἰθομένοιο,
Οὔρεος ἐν βήσσῃς, ὅτε τ' ὤρετο καιέμεν ὕλην·
Οὔτ' ἄνεμος τόσσον γε ποτὶ δρυσὶν ὑψικόμοισιν
Ἠπύει, ὅστε μάλιστα μέγα βρέμεται χαλεπαίνων·
Ὅσση ἄρα Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνὴ,
Δεινὸν ἀϋσάντων, ὅτ' ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Αἴαντος δὲ πρῶτος ἀκόντισε φαίδιμος Ἕκτωρ
Ἔγχει, ἐπεὶ τέτραπτο πρὸς ἰθύ οἱ, οὐδ' ἀφάμαρτε·
Τῇ ῥα δύω τελαμῶνε περὶ στήθεσσι τετάσθην,
Ἤτοι ὁ μὲν σάκεος, ὁ δὲ φασγάνου ἀργυροήλου·
Τώ οἱ ῥυσάσθην τέρενα χρόα· χώσατο δ' Ἕκτωρ,

Caeruleus-crines Neptunus, et illustris Hector;
Hic quidem Trojanis, ille verò Achivis auxilians.
Inundavit autem mare ad tentoriaque navesque
Argivorum: hi autem congrediebantur ingenti *cum* clamore.
Neque maris unda tantum boat ad terram,
Ex ponto impulsa flatu Boreae gravi:
Neque ignis tantus ad*fremit* crepitus ardentis,
Montis in saltibus, quandò concitus-exardescit crematurus sylvam:
Neque ventus tantùm in quercubus altè-comantibus
Insonat, qui maximè rapidùm fremit saeviens:
Quantus quidem Trojanorum et Achivorum erat clamor,
Horrendè vociferantium, quandò in se invicem ruerent.
In Ajacem verò primus jaculatus est illustris Hector
Hastâ, quippe conversus erat rectà in ipsum; neque aberravit;
Sed eum percussit quà duo baltei circa pectora extensi erant,
Alter quidem scuti, alter verò ensis argenteis-clavis-distincti:
Atque hi *quidem* ei tutati sunt tenerum corpus: iratus est autem Hector,

---

Ver. 390. Κυανοχαῖτα.] Vide suprà ad α', 175.

Ver. 394, &c. Οὔτε θαλάσσης ——· Οὔτε πυρὸς ——· Οὔτ' ἄνεμος.]

Frigidus ut quondam sylvis immurmurat *Auster*,
Ut *mare* sollicitum stridet refluentibus undis,
Æstuat ut clausis rapidus fornacibus *ignis*.
Georgic. IV, 261.

Ibid. —— προτὶ —— ποτὶ.] Variat in codicibus, harum vocularum scribendi ratio.

Ver. 395. —— ὀρνύμενον.] Vide suprà ad γ', 260.

Ver. 397. — ὕλην.] Vide suprà ad γ', 151.

Ver. 398. —— ὑψικόμοισιν.] *Al.* ἐξοφόροισιν· notante *Eustathio*.

Ibid. —— ποτὶ.] Cod. *Harleian.* περί.

Ver. 399. —— ὅστε μάλιστα.] *Qui etiam maximè* ——.

Ver. 400. Ὅσση.] *Al.* Τόσση.

Ibid. —— ἄρα.] "*Ut jam dictum est,*" — scilicèt *ver.* 393.

Ver. 402. — δὲ.] "At δὴ," inquit *Barnesius*, hîc potior Lectio." Conjecturâ malè admodùm feriatâ.

Ibid. —— ἀκόντισε.] Vide suprà ad α', 140.

Ver. 404. Τῇ.] *Al.* Τοῦ, et Τῷ.

Ὅττι δή οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός·
Ἂψ δ' ἑτάρων ἐς ἔθνος ἐχάζετο, κῆρ' ἀλεείνων.
Τὸν μὲν ἔπειτ' ἀπιόντα μέγας Τελαμώνιος Αἴας
Χερμαδίῳ, τά ῥα πολλὰ, θοάων ἔχματα νηῶν,
Πὰρ ποσὶ μαρναμένων ἐκυλίνδετο· τῶν ἓν ἀείρας,
Στῆθος βεβλήκει ὑπὲρ ἄντυγος, ἀγχόθι δειρῆς·
Στρόμβον δ' ὣς, ἔσσευε βαλὼν, περὶ δ' ἔδραμε πάντη.
Ὡς δ' ὅθ' ὑπαὶ ῥιπῆς πατρὸς Διὸς ἐξερίπῃ δρῦς
Πρόῤῥιζος, δεινὴ δὲ θεείου γίνεται ὀδμὴ
Ἐξ αὐτῆς· τὸν δ' οὔπερ ἔχει θράσος, ὅσκεν ἴδηται
Ἐγγὺς ἐὼν, χαλεπὸς δὲ Διὸς μεγάλοιο κεραυνός·
Ὣς ἔπεσ' Ἕκτορος ὦκα χαμαὶ μένος ἐν κονίῃσι·
Χειρὸς δ' ἔκβαλεν ἔγχος, ἐπ' αὐτῷ δ' ἀσπὶς ἐάφθη,
Καὶ κόρυς, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον υἷες Ἀχαιῶν.

Quòd sibi telum velox irritum evolâsset è manu;
Retróque sociorum in agmen cessit, mortem evitans.
Hunc quidem deinde abeuntem magnus Telamonius Ajax
Saxo, quae sanè multa, velocium retinacula navium,
Ad pedes pugnantium passim-jacebant; horum uno sublato,
In pectus percussit super scuti-orbem, prope collum:
Turbinis autem instar, concitum misit, rotatumque est circumcircà.
Ut verò quum violento-ictu patris Jovis procidit quercus
Radicitùs, teter autem sulfuris oritur odor
Ex eâ; isque nullius ampliùs est animi, qui viderit
Propè existens; durum quippe Jovis magni fulmen:
Sic cecidit Hectoris celeritèr humi robur in pulveribus:
Manu autem demisit hastam, insuperque scutum secutum est,
Et galea; circáque ipsum sonitum-dedere arma varia aere.
Tum verò magno cum clamore accurrebant filii Achivorum,

Ver. 407. Ὅττι δή.] *Quòd adeo, Quòd videlicèt* ——. Cod. *Harleian.* Ὅττι ῥά.

Ver. 410. Χερμαδίῳ.] De hoc saxo Epigramma non illepidum citat *Barnesius* ex Anthologiâ, *lib.* 1. *cap.* 5.

Μή με τὸν Αἰάντειον ἀνοχμάσσειας, ὁδῖτα,
Πέτρον ἀκοντιστὴν στήθεος Ἑκτορέου.
Εἰμὶ μέλας τρηχύς τε· σὺ δ' εἴρεο θεῖον Ὅμηρον,
Πῶς τὸν Πριαμίδην ἐξεκύλισσα πέδῳ.
Νῦν δὲ μόλις βαιόν με παροχλίζουσιν ἀρούρης
Ἄνθρωποι, γενεῆς αἴσχεα λευγαλέης.
Ἀλλά μέ τις κρύψειεν ὑπὸ χθονός· αἰδέομαι γὰρ
Παίγνιον οὐτιδανοῖς ἀνδράσι γιγνόμενος.

Ver. 412. — βεβλήκει.] Vide suprà ad δ, 492. et ad ά, 57.

Ver. 413. Στρόμβον δ' ὡς, ἔσσευε.]

Ceu quondam torto volitans sub verbere *turbo*,
Quem pueri magno in gyro vacua atria circum
Intenti ludo exercent: Ille actus habenâ
Curvatis fertur spatiis; stupet inscia turba,
Impubesque manus, mirata volubile buxum. *Æn.* VII, 378.

Στρόμβου δὲ δίκην ἐκίνησεν ὁ Αἴας, ἢ τὸν βληθέντα Ἕκτορα, —— ἢ μᾶλλον τὸν λίθον. *Eustath.* Mihi et στρόμβον, et ἔσσευε, et περιέδραμε, et πάντη, (quæ omnia cum præcedente isto ἐκυλίνδετο conveniunt;) de *Saxo projecto* videntur multò aptiùs dicta, quàm de *Hectore* jam humi delabente.

Ver. 414. —— ὑπαὶ.] *Al.* ὑπό.

Ver. 416. —— οὔπερ.] *Al.* οὔ κεν.

Ver. 418. —— Ἕκτορος — μένος ἐν κονίῃσι.] Vide suprà ad ν', 508. et 758.

Ver. 419. — ἐάφθη.] Vide suprà ad ν', 543.

Ver. 420. — βράχε.] Vide suprà ad ν', 181.

Ver. 421. — μέγα ἰάχοντες.] Vide suprà ad δ', 456.

Ἐλπόμενοι ἐρύεσθαι, ἀκόντιζον δὲ θαμειὰς
Αἰχμάς· ἀλλ' οὔτις ἐδυνήσατο ποιμένα λαῶν
Οὐτάσαι, οὐδὲ βαλεῖν· πρὶν γὰρ περίβησαν ἄριστοι,
Πουλυδάμας τε, καὶ Αἰνείας, καὶ δῖος Ἀγήνωρ,
Σαρπηδών τ' ἀρχὸς Λυκίων, καὶ Γλαῦκος ἀμύμων·
Τῶν δ' ἄλλων οὔτις εὗ ἀκήδησ', ἀλλὰ πάροιθεν
Ἀσπίδας εὐκύκλους σχέθον αὐτοῦ· τὸν δ' ἄρ' ἑταῖροι
Χερσὶν ἀείραντες φέρον ἐκ πόνου, ὄφρ' ἵκεθ' ἵππους
Ὠκέας, οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
Ἕστασαν, ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
Οἳ τόν γε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα.
  Ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋῤῥεῖος ποταμοῖο
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεὺς,
Ἔνθα μιν ἐξ ἵππων πέλασαν χθονὶ, καδδέ οἱ ὕδωρ
Χεῦαν· ὁ δ' ἀμπνύνθη, καὶ ἀνέδρακεν ὀφθαλμοῖσιν·
Ἑζόμενος δ' ἐπὶ γοῦνα, κελαινεφὲς αἷμ' ἀπέμεσσεν·

Sperantes trahere *ad se;* jaculabanturque crebra
Spicula; at nemo potuit pastorem populorum
Nec cominùs, nec eminùs-ferire: priùs enim circumjecerunt-se fortissimi,
Polydamasque, et Aeneas, et nobilis Agenor,
Sarpedonque princeps Lyciorum, et Glaucus eximius:
Caeterorumque nullus ipsum neglexit, sed ante
Clypeos probè-orbiculatos tenebant ipsum; eumque socii
Manibus sublatum asportabant ex pugnâ, donec pervenit ad equos
Veloces, qui ei post pugnam et proelium
Stabant, aurigamque et currum varium habentes:
Qui porrò eum urbem versùs portabant gravitèr gementem.
Sed quandò jam ad vadum pervenerunt pulchrè-fluentis fluvii
Xanthi vorticosi, quem immortalis genuit Jupiter;
Ibi illum è curru admoverunt terrae, eique aquam
Affuderunt: ille itaque spiritum-recepit, et suspexit oculis;
Sedensque in genua, nigrum sanguinem evomuit:

Ver. 423. —— οὔτις ἐδυνήσατο.] *Barnesius* edidit, οὔτις ῥ' ἐδυνήσατο.

Ver. 424. Οὐτάσαι.] Vide suprà ad ν', 192. et ad ά, 140.

Ver. 427. Τῶν δ' ἄλλων οὔτις εὗ ἀκήδησ'.] *Al* Τῶν τ' ἄλλων οὔτις εὗ ἀκήδεσεν· et, οὗ ἀκήδεσεν. Cæterùm quâ ratione, οὔτις, et *hîc* et *ver.* 423. ultimam producat; item ἄρα, *ver.* 444. et κατὰ, *ver.* 447. et Αἴαντι, *ver.* 459. vide suprà ad ά, 51. n. 8.

Ver. 428. — ἄρ'.] *Proinde, deinceps,* ——.

Ver. 430. —— μάχης ἠδὲ πτολέμοιο.] Vide suprà ad ή, 232. 279.

Ver. 431. Ἕστασαν.] Vide suprà ad μ', 55.

Ver. 433. Ἀλλ' ὅτε δὴ πόρον ἷξον.] Τοῖς παραπληρωματικοῖς συνδέσμοις χρηστέον, οὐχ' ὡς προσθήκαις κεναῖς, —— ὥσπερ τινὲς τῷ "Δὴ" χρῶνται πρὸς οὐδὲν, —— ἀλλ' ἐὰν συμβάλλωνταί τι τῷ μεγέθει τοῦ λόγου. Καθάπερ παρὰ Πλάτωνι· "Ὁ μὲν δὴ μέγας ἡγεμὼν ἐν "οὐρανῷ Ζεύς." Καὶ παρ' Ὁμήρῳ, "Ἀλλ' ὅτε "δὴ πόρον ἷξον ἐϋῤῥεῖος ποταμοῖο." Ἀρκτικὸς γὰρ τεθεὶς ὁ σύνδεσμος, καὶ ἀποσπασθεὶς τῶν προτέρων τὰ ἐχόμενα, μεγαλεῖόν τι εἰργάσατο — σεμνότητα ἐργάζονται. Εἰ δ' ὧδε εἶπεν—[ἄνευ τοῦ Δὴ,]—μικρολογοῦντι ἐῴκει. *Demetr. Phaler.* περὶ ἑρμηνείας, § 55, 56. Vide infrà ad *ver.* 504.

Ver. 434. —— ἀθάνατος.] Vide suprà ad ά, 398.

Ver. 435. —— πέλασαν.] Vide suprà ad ά, 140.

Αὖτις δ' ἐξοπίσω πλῆτο χθονὶ, κὰδ δέ οἱ ὄσσε
Νὺξ ἐκάλυψε μέλαινα· βέλος δ' ἔτι θυμὸν ἐδάμνα.
Ἀργεῖοι δ', ὡς οὖν ἴδον Ἕκτορα νόσφι κιόντα,
Μᾶλλον ἐπὶ Τρώεσσι θόρον, μνήσαντο δὲ χάρμης.
Ἔνθα πολὺ πρώτιστος Ὀϊλῆος ταχὺς Αἴας
Σάτνιον οὔτασε, δουρὶ μετάλμενος ὀξυόεντι,
Ἠνοπίδην, ὃν ἄρα νύμφη τέκε Νηῒς ἀμύμων
Ἤνοπι βουκολέοντι παρ' ὄχθας Σατνιόεντος.
Τὸν μὲν Ὀϊλιάδης δουρικλυτὸς, ἐγγύθεν ἐλθὼν,
Οὖτα κατὰ λαπάρην· ὁ δ' ἀνετράπετ', ἀμφὶ δ' ἄρ' αὐτῷ
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.
Τῷ δ' ἐπὶ Πουλυδάμας ἐγχέσπαλος ἦλθεν ἀμύντωρ
Πανθοΐδης· βάλε δὲ Προθοήνορα δεξιὸν ὦμον,
Υἱὸν Ἀρηϊλύκοιο· δι' ὤμου δ' ὄβριμον ἔγχος
Ἔσχεν· ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ·
Πουλυδάμας δ' ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας·
Οὐ μὰν αὖτ' ὀΐω μεγαθύμου Πανθοΐδαο
Χειρὸς ἄπο στιβαρῆς ἅλιον πηδῆσαι ἄκοντα,
Ἀλλά τις Ἀργείων κόμισε χροΐ· καί μιν ὀΐω
Αὐτῷ σκηπτόμενον κατίμεν δόμον Ἄϊδος εἴσω.

Iterùm verò retrò lapsus est in terram, eique oculos
Nox obtexit nigra; ictus enim adhuc animum domabat.
Argivi autem, ut viderunt Hectorem seorsùm euntem,
Alacriùs in Trojanos irruerunt, memineruntque pugnae.
Tunc longè primus Oïlei *filius* velox Ajax
Satnium vulneravit, cum-hastâ insiliens acutâ,
Enopidem, quem nympha peperit Naïs eximia
Enopi armenta-pascenti ad ripas Satnioëntis.
Hunc quidem Oïliades hastâ-inclytus, propè accedens,
Vulneravit ad ile: itaque cecidit-resupinus; de eo verò
Trojani et Danai commiserunt acrem pugnam.
Ad eum verò Polydamas hastam-vibrans accessit ultor
Panthoedes; percussitque Prothoënorem dextrum *in* humerum,
Filium Areïlyci; per humerum autem valida hasta
Penetravit: hic itaque in pulveribus lapsus prehendit terram palmâ:
Polydamas autem vehementèr super-eum-gloriatus-est, altâ-voce clamans:
" Non equidem puto magnanimi Panthoedae
" Manu è robustâ vanum exiliisse telum,
" Sed *id* aliquis Argivorum recepit corpore; et ipsum puto
" Ei *baculo* innitentem, descensurum domum Plutonis intra."

Ver. 438. —— καδδέ οἱ ὄσσε.] *Al.* τῷ δέ οἱ ὄσσε.

Ver. 440. —— νόσφι κιόντα.] Vide suprà ad ά, 349. Cod. *Harleian.* νόσφιν ἰόντα.

Ver. 443. — οὔτασε.] Similitèr, *ver.* 447. Οὖτα κατὰ. Vide suprà ad ν', 192. et ad ά, 140.

Ibid. —— μετάλμενος.] *Al.* μετάλμενον.

Ibid. —— ὀξυόεντι.] Vide suprà ad έ, 50.

Ver. 447. Οὖτα κατὰ λαπάρην.] *Al.* Οὔτασε καλλαπάρην.

Ibid. —— ἄρ'.] *Ut fit; Ut fieri solet,* ——.

Ver. 452. —— ἐν κονίῃσι πεσὼν.] Vide suprà ad ν', 508.

Ver. 456. 463. —— κόμισε.] Vide suprà ad ά, 140.

Ὣς ἔφατ'· Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο·
Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε
Τῷ Τελαμωνιάδῃ· τοῦ γὰρ πέσεν ἄγχι μάλιστα·
Καρπαλίμως δ' ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ.
Πουλυδάμας δ' αὐτὸς μὲν ἀλεύατο κῆρα μέλαιναν,
Λικριφὶς ἀΐξας· κόμισεν δ' Ἀντήνορος υἱὸς
Ἀρχίλοχος· τῷ γάρ ῥα θεοὶ βούλευσαν ὄλεθρον·
Τόν ῥ' ἔβαλεν, κεφαλῆς τε καὶ αὐχένος ἐν συνεοχμῷ,
Νείατον ἀστράγαλον· ἀπὸ δ' ἄμφω κέρσε τένοντε·
Τοῦ δὲ πολὺ πρότερον κεφαλὴ, στόμα τε, ῥῖνές τε
Οὔδεϊ πλῆντ', ἤπερ κνῆμαι καὶ γοῦνα πεσόντος.
Αἴας δ' αὖτε γέγωνεν ἀμύμονι Πουλυδάμαντι·
Φράζεο, Πουλυδάμα, καί μοι νημερτὲς ἔνισπε,
Ἦ δὴ οὐχ οὗτος ἀνὴρ Προθοήνορος ἀντιπεφάσθαι
Ἄξιος· οὐ μέν μοι κακὸς εἴδεται, οὐδὲ κακῶν ἔξ·

Sic dixit: Argivis autem dolor exortus est, eo gloriante;
Ajaci autem maximè bellicoso animum commovit
Telamoniadae: hunc enim *Prothoënor* cecidit proximè:
Statim igitur in *Polydamanta* abeuntem jaculatus est hastâ fulgenti.
Polydamas autem ipse quidem evitavit mortem nigram,
In obliquum absiliens: excepit autem *ictum* Antenoris filius
Archilochus; huic enim dii destinaverant perniciem:
Hunc percussit, capitisque et cervicis in commissurâ,
Extremam *ad* vertebram; ambosque discidit nervos:
Hujus autem multò priùs caput, osque, naresque
Solo allapsa sunt, quàm tibiae et genua cadentis.
Ajax itaque vicissim inclamavit eximio Polydamanti:
" Perpende, Polydama, et mihi verum dic;
" Annon hic vir pro Prothoënore *vicissim* occidi
" Dignus: non quidem mihi ignavus videtur, neque ex ignavis;

Ver. 459, 460. Αἴαντι ——— Τῷ Τελαμωνιάδῃ.] Τί οὖν; (φήσαι τις ἄν,) οὐθὲν ταῦτα [τὰ Ἄρθρα] συμβάλλεται πρὸς λόγον; Ἔγωγε φήσαιμ' ἄν, ὥσπερ ἅλας συμβάλλεσθαι πρὸς ὄψον, ὕδωρ δὲ πρὸς μάζαν. —— Καὶ Ὅμηρος, ἐπέων κόσμῳ περιγενόμενος, ὀλίγοις τῶν ὀνομάτων Ἄρθρα ὥσπερ λαβὰς ἐκπώμασι δεομένοις, ἢ λόφους κράνεσιν, ἐπιτίθησι. Διὸ καὶ παράσημα τῶν ἐπῶν, ἐν οἷς ταῦτα ποιεῖ, γέγονεν· Ὡς τὸ, " Αἴαντι " δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε Τῷ Τελαμω-" νιάδῃ." *Plutarch. Quæst. Platonicæ*, sub finem.

Ver. 461. — ἀκόντισε.] Vide suprà ad ά, 140.

Ver. 464. Ἀρχίλοχος.] *Al.* Ἀρχέλοχος. Vide suprà ad μ', 100.

Ver. 465. Τόν ῥ'.] *Hunc, inquam*, ——.

Ver. 466. —— ἀστράγαλον· ἀπὸ.] Quâ ratione, ἀστράγαλον, hîc ultimam producat; item τε, *ver.* 467. et κασίγνητος, *ver.* 473. et ἐνὶ, *ver.* 485. Vide suprà ad ά. 51.n. 8.

Ver. 467. —— πολὺ πρότερον κεφαλὴ.]
——————— pronusque magister
Volvitur in caput ———. *Æn.* I, 119.

Ver. 469. —— γέγωνεν.] Non ex præterito (quod vocant) γέγωνα· quo pacto non constaret *Temporum* ratio; Vide suprà ad ά, 37. Sed ex verbo γεγώνω· unde et alibi, γεγωνέμεν.

Ver. 471. Ἦ δὴ οὐχ.] Pronuntiabatur, Ἦ δηὐχ. Vide suprà ad έ, 349. et ad ί, 533. *Al.* Ἦ ῥ' οὐχ.

Ibid. —— ἀντιπεφάσθαι.] *Al.* ἀντιπεφᾶσθαι. Sed omninò scribendum, ἀντιπεφάσθαι. Nam istud ά, (ut liquet ex analogo πέφᾰται,) cùm sit naturâ *breve*, syllabam *positione solummodò* longam efficit, sicuti in τάγμα, τετάχθαι, τάξις, τάξαι, et similibus; non *ipsum* enuntiatur *productè*, sicuti in πρᾶγμα, πεπρᾶχθαι, πρᾶξις, πρᾶξαι, et quæ ejusmodi sunt. Vide suprà ad ν', 192.

Ἀλλὰ κασίγνητος Ἀντήνορος ἱπποδάμοιο,
Ἢ πάϊς· αὐτῷ γὰρ γενεὴν ἄγχιστα ἐῴκει.
Ἦ ῥ', εὖ γινώσκων· Τρῶας δ' ἄχος ἔλλαβε θυμόν.
Ἔνθ' Ἀκάμας Πρόμαχον Βοιώτιον οὔτασε δουρὶ,
Ἀμφὶ κασιγνήτῳ βεβαώς· ὁ δ' ὕφελκε ποδοῖϊν.
Τῷ δ' Ἀκάμας ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας·
Ἀργεῖοι ἰόμωροι, ἀπειλάων ἀκόρητοι,
Οὔ θην οἴοισίν γε πόνος τ' ἔσεται καὶ ὀϊζὺς
Ἡμῖν, ἀλλά ποθ' ὧδε κατακτανέεσθε καὶ ὕμμες.
Φράζεσθ', ὡς ὑμῖν Πρόμαχος δεδμημένος εὕδει
Ἔγχει ἐμῷ, ἵνα μή τι κασιγνήτοιό γε ποινὴ
Δηρὸν ἔῃ ἄτιτος· τῷ καί κέ τις εὔχεται ἀνὴρ
Γνωτὸν ἐνὶ μεγάροις ἄρεως ἀλκτῆρα λιπέσθαι.

" Sed frater Antenoris equum-domitoris,
" Vel filius: ipsi enim genere proximè similis-videbatur *mihi*."
Sic dixit, benè cognoscens: Trojanos autem dolor cepit animo.
Tunc Acamas Promachum Boeotium vulneravit hastâ,
Fratrem *suum* circumeundo-protegens: *Promachus* enim *eum* trahebat pedibus.
Super hunc itaque Acamas vehementèr gloriabatur, altè clamans:
" Argivi, sagittarii-infausti, minarum insatiabiles,
" Haud sanè solis laborque erit et luctus
" Nobis, sed aliquando sic occidemini et vos.
" Videte, ut vobis Promachus domitus dormit
" Hastâ meâ; ut nequaquam fratris ultio
" Diù insoluta sit: quare et quivis optet vir
" Fratrem in aedibus belli [*vel* caedis] vindicem sibi-relinqui."

Ver. 475. — εὖ γινώσκων.] *Probè quum nôrat, quis esset.*

Ibid. — θυμόν.] Ita Cod. *Harleian.* Optimè, ut mihi quidem videtur. *Al.* θυμοῦ, et θυμῷ.

Ver. 476. 489. —— οὔτασε.] Vide suprà ad ά, 140.

Ver. 478. —— μακρὸν ἀΰσας.] Cod. *Harleian.* μακρὰ βιβάσθων.

Ver. 479. —— ἰόμωροι.] Vide suprà ad δ', 242.

Ver. 480. Οὔ θην οἴοισίν γε —— Ἡμῖν.]

—————— Nec soli pœnas dant sanguine Teucri:
Quondam etiam victis redit in præcordia virtus,
Victoresque cadunt Danai ————.
Æn. II, 366.

Ver. 484. Δηρὸν ἔῃ ἄτιτος.] Editi habent, Δηρὸν ἄτιτος ἔῃ. Sed voculas istas transponere non dubitavi. Quamvis enim τίνειν, et τίσειν, et τίσεσθαι, apud Homerum *semper*; atque etiam τίω, *quoties lubet*, priorem *producat*; attamen ἄτιτος, et ἄντιτος, et παλίντιτος, et τίσις, *et corripiuntur semper*, et omni ex analogiâ *semper corripiantur* necesse est. Vide suprà ad ν', 414.

Οὐ μὰν αὖτ' ἄτιτος ——. *Iliad.* ν', 414.
—— τότ' ἄντιτα ἔργα γένοιτο. ώ, 215.
—— Ζεὺς ἄντιτα ἔργα τελέσσῃ.
Odyss. ρ', 51. et 60.
—— παλίντιτα ἔργα γενέσθαι.
Odyss. ά, 379. et β', 144.
—— ἐπεὶ οὔτι τίσιν γ' ἔδδεισας ὀπίσσω.
Iliad. χ', 19.
—— τίσις ἔσσεται Ἀτρεΐδαο.
Odyss. ά, 40.
—— καὶ τίσις εἴη. *Odyss.* β', 76.
—— ἐξοπίσω τίσις αἰεί. *Odyss.* ν', 144.

Ver. 485. — ἐνὶ μεγάροις ἄρεως ἀλκτῆρα λιπέσθαι.] *Al.* ἐνὶ μεγάροισιν ἀρῆς ἀλκτῆρα γενέσθαι. Ut infrà, ——— ἐμεῖο δὲ δῆσιν ἀρῆς ἀλκτῆρα γενέσθαι· σ', 100. Et, Μέντορ ἄμυνον ἀρήν· ———. *Odyss.* χ', 208. Nisi fortè et istis in locis scribendum sit, δῆσιν Ἄρεως sive Ἄρευς, et ἄμυνον Ἄρην. Cod. *Harleian.* à *Tho. Bentleio*, et Cod. *Oxon.* à *Barnesio*, collatus, habent Ἄρεος. Nec ita malè.

Ὣς ἔφατ᾽· Ἀργείοισι δ᾽ ἄχος γένετ᾽ εὐξαμένοιο·
Πηνέλεῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·
Ὡρμήθη δ᾽ Ἀκάμαντος· ὁ δ᾽ οὐχ ὑπέμεινεν ἐρωὴν
Πηνελέοιο ἄνακτος· ὁ δ᾽ οὔτασεν Ἰλιονῆα,
Υἱὸν Φόρβαντος πολυμήλου, τόν ῥα μάλιστα
Ἑρμείας Τρώων ἐφίλει, καὶ κτῆσιν ὄπασσε·
Τῷ δ᾽ ἄρ᾽ ὑπὸ μήτηρ μοῦνον τέκεν Ἰλιονῆα·
Τὸν τόθ᾽ ὑπ᾽ ὀφρύος οὖτα κατ᾽ ὀφθαλμοῖο θέμεθλα,
Ἐκ δ᾽ ὦσε γλήνην· δόρυ δ᾽ ὀφθαλμοῖο διὰ πρὸ,
Καὶ διὰ ἰνίου ἦλθεν· ὁ δ᾽ ἕζετο χεῖρε πετάσσας
Ἄμφω· Πηνέλεως δὲ, ἐρυσσάμενος ξίφος ὀξὺ,
Αὐχένα μέσσον ἔλασσεν· ἀπήραξεν δὲ χαμᾶζε,
Αὐτῇ σὺν πήληκι, κάρη· ἔτι δ᾽ ὄβριμον ἔγχος
Ἦεν ἐν ὀφθαλμῷ· ὁ δὲ φῆ, κώδειαν ἀνασχὼν,
Πέφραδέ τε Τρώεσσι, καὶ εὐχόμενος ἔπος ηὔδα·
Εἰπέμεναί μοι, Τρῶες, ἀγαυοῦ Ἰλιονῆος

Sic dixit: Argivis autem dolor obortus est, eo gloriante;
Peneleo autem maximè bellicoso animum commovit;
Ruit itaque in Acamantem: ille verò non sustinuit impetum
Penelei regis; *Peneleus* autem vulneravit Ilioneum,
Filium Phorbantis divitis-pecorum, quem maximè
Mercurius Trojanorum diligebat, et possessiones *ei* dederat:
Ex hoc autem mater unicum peperit Ilioneum;
Quem tunc sub supercilio vulneravit *Peneleus* ad oculi radices,
Excussitque pupillam; hasta verò per oculum penitùs,
Et per occipitium transiit: Hic itaque *in terram* desedit, manibus porrectis
Ambabus: Peneleus autem, stricto ense acuto,
Cervicem mediam feriit; deturbavitque humi,
Ipsâ cum casside, caput: adhuc verò valida hasta
Erat in oculo: *Peneleus* autem dixit, *capite tanquam* papaveris-capite sublato,
Denunciavitque Trojanis, et glorians verba fecit:
" Renunciate mihi, Trojani, illustris Ilionei

Ver. 489. Πηνελέοιο.] *Al.* Πηνελεῷο.

Ver. 490. —— τόν ῥα.] *Quem utique*, ——; *Quem videlicet* ——. Est enim *causa allata*, quare πολύμηλος fuerat *Phorbas*.

Ver. 492. —— ὑπὸ μήτηρ.] Quâ ratione, ὑπὸ, hîc ultimam producat; item εὐχόμενος, *ver.* 500. et δάμαρ, *ver.* 503. et κατὰ, *ver.* 517. et γὰρ, etiam extra cæsuram, *ver.* 521. vide suprà ad ά, 51. n. 8. 10.

Ver. 493. — οὖτα.] Vide suprà ad ν', 192.

Ver. 497. —— ἀπήραξεν δὲ χαμᾶζε, Αὐτῇ σὺν πήληκι, κάρη.]

—— huic uno dejectum cominùs ictu
Cum galeâ longè jacuit caput. ——
Æn. IX, 770.

Ver. 499. — ὁ δὲ φῆ —— πέφραδέ τε ——, καὶ — ηὔδα.] Καὶ εἴη κατὰ παραλληλίαν ταυτολογία ἐν τῷ, "φῆ καὶ πέφραδε καὶ ηὔδα." Τοῦτο δὲ —— οὐδὲ ἔξω πάθους. Ἠρκέσθη γὰρ ὁ ἥρως τῷ ἔργῳ, εἰς λύπην τῶν Τρώων. Ὃ πάνυ παροξυντικόν ἐστιν εἰς θυμὸν, εἰ οὕτως ἀνατείνας παραδειγματίζει τοῦ πεσόντος τὴν κεφαλήν. *Eustath.*

Ver. 500. Πέφραδέ.] De hujusmodi vocabulorum formatione, quâ nimirùm analogiâ ex φράζω oriatur πέφρᾰδα, ex κράζω autem κεκρᾱγα· ex τάττω similitèr τέτᾰγα, ex πράττω autem πέπρᾱγα· vide suprà ad β', 314. et ad ν', 192. Cæterùm πέφραδε, hoc in loco, non est ex ipso πέφραδα· quo pacto non constaret Temporum ratio: Sed ex Poëtico, πεφράδω, imperfectum vel aoristus ἐπέφραδον· sicuti in σ', *ver.* 9. et ύ, 340. διεπέφραδε.

Ver. 501. Εἰπέμεναί μοι.] *Renuntiate, quæso*, ——.

Πατρὶ φίλῳ καὶ μητρὶ, γοήμεναι ἐν μεγάροισιν·
Οὐδὲ γὰρ ἡ Προμάχοιο δάμαρ Ἀλεγηνορίδαο,
Ἀνδρὶ φίλῳ ἐλθόντι γανύσσεται, ὁππότε κεν δὴ
Ἐκ Τροίης σὺν νηυσὶ νεώμεθα κοῦροι Ἀχαιῶν.
Ὣς φάτο· τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος εἷλε·
Πάπτηνεν δὲ ἕκαστος, ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
Ἔσπετε νῦν μοι, Μοῦσαι, ὀλύμπια δώματ' ἔχουσαι,
Ὅστις δὴ πρῶτος, βροτόεντ' ἀνδράγρι', Ἀχαιῶν
Ἤρατ', ἐπεί ῥ' ἔκλινε μάχην κλυτὸς Ἐννοσίγαιος.
Αἴας ῥα πρῶτος Τελαμώνιος Ὕρτιον οὖτα
Γυρτιάδην, Μυσῶν ἡγήτορα καρτεροθύμων·
Φάλκην δ' Ἀντίλοχος, καὶ Μέρμερον ἐξενάριξε·
Μηριόνης δὲ Μόρυν τε, καὶ Ἱπποτίωνα κατέκτα·
Τεῦκρος δὲ Προθόωνά τ' ἐνήρατο, καὶ Περιφήτην·
Ἀτρείδης δ' ἄρ' ἔπειθ' Ὑπερήνορα, ποιμένα λαῶν,

"Patri charo et matri, ut-lugeant in aedibus:
"Neque enim Promachi uxor Alegenoridae,
"Viro charo reverso se-laeto-vultu-offeret, quando demùm
"Ex Trojâ cum navibus reverterimus filii Achivorum."
Sic dixit: Illos autem omnes pallidus timor cepit;
Circumspectabatque unusquisque, quà effugere-posset gravem perniciem.
Dicite nunc mihi, Musae, coelestes domos tenentes,
Quisnam primus, cruentas exuvias, Achivorum
Sustulerit, postquam inclinavit pugnam inclytus Neptunus.
Ajax quidem primus Telamonius Hyrtium percussit
Gyrtiadem, Mysorum ductorem magnanimorum:
Phalcem autem Antilochus, et Mermerum interfectos-spoliavit;
Meriones autem Morymque, et Hippotionem interfecit:
Teucer verò Prothoonaque peremit, et Periphetem:
Atridesque deinde Hyperenorem, pastorem populorum,

Ver. 503. Οὐδὲ γὰρ.] *Nam, ut vos dudum gloriati estis, neque apud Nos* ———.

Ver. 504. —— ὁππότε κεν δὴ —— νεώμεθα.] "*Quandocunque erit futurum, ut*" ———. Spem et expectationem *longam* pulcherrimè depingunt Explementa ista, κεν δή. Quæ siquis vocabulo quovis dissyllabo mutaverit, statim sentiet quanto languidiorem effecerit sententiam. Vide infrà ad χ', 365. Haud dissimilitèr, etiam in soluto scribendi genere; *negantis* est, οὐδέποτε· *pernegantis*, οὐδεπώποτε. Quæ quidem voculæ optimè reddi possunt latinè; *nequaquam*, et *neque adhuc quaquam*; Vel, *nunquam*, et *neque adhuc unquam*. Ad vim et elegantiam hujusmodi explementorum, videatur et *Platonis* locus suprà citatus, *ver.* 433. *hujus libri.*

Ver. 506. ——— ἄρα.] *Ut fit; Ut par erat,* ———.

Ibid. ——— χλωρὸν δέος εἷλε.] *Al.* χλωρὸν δέος ᾕρει. *Al.* τρόμος ἔλλαβε γυῖα. Ex versibus nimirùm sæpiùs memoritèr citatis.

Ver. 507. —— ὅπη, et φύγοι.] *Al.* ὅποι, et φύγῃ.

Ver. 508. —— Ἔσπετε νῦν μοι, Μοῦσαι.]
Vos, ô Calliope, precor, aspirate canenti;
Quas ibi tunc ferro strages, quæ funera Turnus
Ediderit, quem quisque virum demiserit Orco:
Et mecum ingentes oras evolvite belli.
Æn. IX, 525.

Ver. 509. Ὅστις δὴ πρῶτος, ———. Αἴας ῥα.] Notandum quàm aptè et *significantèr* hîc sibi invicem *respondeat*, δὴ, et ῥα.

Ver. 510. Ἤρατ'.] *Al.* Ἧρει.

Ibid. —— ῥ'.] *Ut diximus,* ———

Ibid. ——— ἔκλινε.] Vide suprà ad ά, 309. 314.

Ver. 512. —— καρτεροθύμων.] *Al.* καρτερόθυμον.

Ver. 514. — Μόρυν τε καὶ Ἱπποτίωνα.] Vide suprà ad ν', 792.

Ver. 516. Ἀτρείδης.] *Menelaus.* Nam

Οὖτα κατὰ λαπάρην, διὰ δ' ἔντερα χαλκὸς ἄφυσσε
Δηώσας· ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν
Ἔσσυτ' ἐπειγομένη· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
Πλείστους δ' Αἴας εἷλεν, Ὀϊλῆος ταχὺς υἱός·
Οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν,
Ανδρῶν τρεσσάντων, ὅτε τε Ζεὺς ἐν φόβον ὦρσεν.

Vulneravit ad ile; intestina autem aes penitùs-hausit
Dilacerans: animaque per inflictum vulnus
Erupit exacta; illum autem tenebrae oculos texerunt.
Plurimos verò Ajax interfecit, Oileï velox filius:
Non enim ei quisquam par ad insequendum pedibus erat
Viros fugientes, quandò utique Jupiter fugam immitteret.

Agamemnon jam vulneratus, à pugnâ abstinuit; suprà *ver.* 28, 29, 63, 130, 379, 380. Et *Menelaus* infrà ϱ΄, 24. à se occisum memorat *Hyperenora*. Ut rectè annotavit *Barnesius*.

Ver. 517. Οὖτα κατὰ λαπάρην.] *Al.* Οὔτασε καλλαπάρην.

Ver. 518.—ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν.]

Ille rapit calidum frustrà de vulnere telum;
Unâ eâdemque viâ sanguisque animusque sequuntur.
Æn. X, 486.

Ver. 522. ——— ὅτε τε.] *Quando utique; Quando videlicet,* ———.

Ibid. ——— ὦρσεν.] *Al.* ὄρσῃ.

ΤΗΣ

ΟΜΗΡΟΥ ΙΛΙΑΔΟΣ

ῬΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ Ο'.

Ὑπόθεσις τῆς ὉΜΗΡΟΥ ῥαψῳδίας Ο.

ΖΕΥΣ ἐγερθεὶς, καὶ θεασάμενος τοὺς Τρῶας νικωμένους, Ἥρᾳ ἐπιπλήσσει, καὶ Ἶριν μὲν μεταπέμπει πρὸς Ποσειδῶνα, κελεύων ἀφίστασθαι τοῦ πολέμου· Ἀπόλλωνα δὲ, ὅπως ἀναῤῥώσῃ * τὸν Ἕκτορα· ὃς ἀναλαβὼν Αἰγίδα, τοὺς Ἕλληνας εἰς φυγὴν τρέπει· καὶ μέχρι τῶν νεῶν συνδιωχθέντων, Αἴας ὁ Τελαμώνιος πολλοὺς ἀναιρεῖ τῶν πολεμίων, τοὺς ταῖς ναῦσι πῦρ ἐπιφέροντας.

Ἐπιγραφαί.

Παλίωξις.

Ἄλλως.

Οὗ, Κρονίδης κεχόλωτο Ποσειδάωνι, καὶ Ἥρῃ.

ΑΥ̓ΤᾹΡ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
Φεύγοντες, πολλοὶ δὲ δάμεν Δαναῶν ὑπὸ χερσὶν,
Οἱ μὲν δὴ παρ' ὄχεσφιν ἐρητύοντο μένοντες,
Χλωροὶ ὑπαὶ δείους, πεφοβημένοι· ἔγρετο δὲ Ζεὺς

AT postquam vallosque et fossam transcendissent
Fugientes, multique domiti essent Danaorum manibus,
Trojani quidem jam ad currus repressâ-*fugâ* manebant,
Pallidi prae metu, exterriti: experrectus verò est Jupiter

Ver. 1. —— διά τε —— ἔβησαν.] Τὸ ἑξῆς, "διέβησαν." Ὑπερβατὸν γὰρ (inquit *Scholiastes*) ὁ τρόπος. Quod nihili est. *Eustathius* meliùs: Οἱ μὲν γραμματικοὶ σχῆμα λέγουσιν Ὑπερβατόν. Οἱ δὲ ῥήτορες οὐκ ἀξιοῦσιν οὕτω καλεῖν αὐτό. Διακεκόφθαι δέ φασι τὴν σύνταξιν ἐπίτηδες, ἵνα ἡ διακοπὴ τῆς λέξεως, τὸ ταλαιπωρὸν καὶ δυσδιόδευτον ἐμφήνῃ τῶν τὴν τάφρον διαβαινόντων. Similitèr *Hermogenes*: Οὐκ ἔστιν, ὥς δοκεῖ τίσιν, Ὑπερβατόν. ———— Ἀλλ' ὡς ἐγίνετο ἡ δυσκολία τῆς ὁδοῦ διὰ σκολόπων καὶ τάφρου, εἶτα ὁμαλὴ ἔξοδος ἐν τῇ φυγῇ· οὕτω καὶ ἡ ἑρμηνεία ἔχει, τὸ πάθος τῶν φευγόντων τῆς λέξεως μιμουμένης. *Hermogen.* περὶ μεθόδου δεινότητος, *cap.* 14.

Ver. 3. Οἱ μὲν δή.] *Trojani quidem sanè* ————.

Ibid. —— παρ' ὄχεσφιν.] Ad currus ultra fossam jam ab initio oppugnationis relictos; μ', 75—85.

Ver. 4. —— ἔγρετο δὲ — Στῆ δ' ἄρ' ἀναΐξας, ἴδε δὲ ——.]

Prospiciens, summâ placidum *caput extulit* undâ:
Disjectam Æneæ toto *videt* æquore classem,
Fluctibus oppressos Troas, cœlique ruinâ:
Nec latuere doli fratrem Junonis et iræ.
Æn. I, 131.

* *Al.* ἀνδρώσῃ.

Ἴδης ἐν κορυφῇσι παρὰ χρυσοθρόνου Ἥρης·
Στῆ δ' ἄρ' ἀναΐξας, ἴδε δὲ Τρῶας καὶ Ἀχαιοὺς,
Τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν
Ἀργείους· μετὰ δέ σφι Ποσειδάωνα ἄνακτα.
Ἕκτορα δ' ἐν πεδίῳ ἴδε κείμενον· ἀμφὶ δ' ἑταῖροι
Εἵαθ'· ὁ δ' ἀργαλέῳ ἔχετ' ἄσθματι, κῆρ ἀπινύσσων,
Αἷμ' ἐμέων· ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' Ἀχαιῶν.
Τὸν δὲ ἰδὼν ἐλέησε πατὴρ ἀνδρῶν τε θεῶν τε,
Δεινὰ δ' ὑπόδρα ἰδὼν Ἥρην πρὸς μῦθον ἔειπεν·
Ἦ μάλα δὴ κακότεχνος, ἀμήχανε, σὸς δόλος, Ἥρη,
Ἕκτορα δῖον ἔπαυσε μάχης, ἐφόβησε δὲ λαούς.
Οὐ μὰν οἶδ', εἰ αὖτε κακοῤῥαφίης ἀλεγεινῆς
Πρώτη ἐπαύρηαι, καί σε πληγῇσιν ἱμάσσω.
Ἦ οὐ μέμνῃ, ὅτε τ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖϊν
Ἄκμονας ἧκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἴηλα

Idae in verticibus, ex aureum-solium-habentis Junonis *amplexu*:
Stetitque raptim-exurgens, viditque Trojanos et Achivos,
Trojanos quidem turbatos, turbantes autem *eos* à-tergo
Argivos; intérque hos Neptunum regem.
Hectorem verò in campo vidit jacentem; circúmque socii
Sedebant; is autem gravi angebatur anhelitu, mente-et-viribus defectus,
Sanguinem vomens: eum quippe non imbecillimus vulneravit Achivorum.
Hunc autem intuitus, misertus est pater hominumque deûmque;
Ac terribili-modo torvùm intuens, Junonem verbo allocutus est:
" Certo-certiùs mali-artifex, ô fraudulenta, tuus dolus, Juno,
" Hectora nobilem cessare-fecit à pugnâ, fugavitque *ejusdem* copias.
" Haud equidem scio, annon rursùs machinationum perniciosarum
" Prima fructum-sis-perceptura, et te verberibus caedam.
" An non meministi, quandò pependisti ab-alto, à pedibus autem
" Incudes-*suspensas* demisi duas, circum manus autem vinculum misi

Ver. 11. Αἷμ' ἐμέων.]
Purpuream vomit ille animam.——
Æn. IX, 349.

Ibid. —— οὔ μιν ἀφαυρότατος βάλ' Ἀχαιῶν.] Ἡ ἀπόφασις τῇ καταφάσει ποτὲ μὲν τὸ ἶσον δύναται, ποτὲ δὲ τὸ πλέον.——Ὅταν λέγῃ, " ἐπεὶ " οὔ μιν ἀφαυρότατος βάλ' Ἀχαιῶν," μεῖζον ἡ ἀπόφασις δηλοῖ τῆς καταφάσεως· τὸν γὰρ πάνυ ἰσχυρὸν δεῖξαι θέλει. *Hermogenes* περὶ μεθόδου δεινότητος, *cap.* 37.

Ver. 12. —— πατὴρ ἀνδρῶν τε θεῶν τε.]
—— Divûm pater, atque hominum Rex.
Æn. I, 69.
—— hominem sator, atque Deorum.
Æn. XI, 725.

Ver. 18. Ἦ οὐ μέμνῃ.] *Al.* Ἦ οὐ μέμνη', et Ἦ οὐ μέμνησ'. Pronuntiabatur autem ἦὑ μέμνῃ· Non utique licentiâ aliquâ *Poeticâ*, sed quia vulgò etiam in *solutâ* (ut opinor) oratione ita pronuntiabatur. Non enim id semel iterúmve, sed perpetuò ferè, et consultò fecit Poeta. Vide suprà ad έ, 349. et ad ί, 533.

Ibid. —— ὅτε τ' ἐκρέμω.] *Quando utique; Quando nimirùm* ——. Cæterùm de hujus versiculi numeris, vide suprà ad ν', 36. et ad γ', 363.

Ibid. —— ἐκ δὲ ποδοῖϊν Ἄκμονας ἧκα δύω.] Non hæc ab *Homero* conficta, sed ab antiquis desumpta Philosophis; qui elementorum mutationes, rerumque naturalium formandarum rationem, sub hujusmodi fabulis soliti sunt docere. Quarum tamen fabularum subtilior et enucleatior explicatio, ad Poetici Ornatûs intelligentiam parùm facit. Ἔοικεν ὁ Ποιητὴς μύθου παλαιοῦ παραφέρειν τοῦτο, καθ' ὃν Ζεὺς ἐμυθεύετο κεκρεμακέναι τὴν Ἥραν ——. *Phurnutus* de Naturâ Deorum, *capite* de Fabulis antiquitùs traditis. Ἐκ μηδενὸς δὲ ἀληθοῦς, ἀνάπτειν κενὴν τερατολογίαν, οὐχ Ὁμηρικόν.—Τὸ δὲ πάντα πλάττειν, οὐχ Ὁμηρικόν. *Strabo, lib.* 1. *pag.* 38. et 45. *Al.* 20. et 25.

Χρύσεον, ἄῤῥηκτον; σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν
Ἐκρέμω, ἠλάστεον δὲ Θεοὶ κατὰ μακρὸν Ὄλυμπον·
Λῦσαι δ' οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι,
Ῥίπτασκον τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ' ἂν ἵκηται
Γῆν ὀλιγηπελέων· ἐμὲ δ' οὐδ' ὧς θυμὸς ἀνίει
Ἀζηχὴς ὀδύνη Ἡρακλῆος θείοιο,
Τὸν σὺ ξὺν Βορέῃ ἀνέμῳ πεπιθοῦσα θυέλλας,
Πέμψας ἐπ' ἀτρύγετον πόντον, κακὰ μητιόωσα,
Καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας.
Τὸν μὲν ἐγὼν ἔνθεν ῥυσάμην, καὶ ἀνήγαγον αὖτις
Ἄργος ἐς ἱππόβοτον, καὶ πολλά περ ἀθλήσαντα.
Τῶν σ' αὖτις μνήσω, ἵν' ἀπολλήξῃς ἀπατάων·
Ὄφρ' εἰδῇς, ἤν τοι χραίσμῃ φιλότης τε καὶ εὐνὴ,
Ἣν ἐμίγης ἐλθοῦσα θεῶν ἄπο, καί μ' ἀπάτησας.

"Aureum, infrangibile? tu autem in aethere et nubibus
"Pependisti; moerore-afficiebantur autem Dii per excelsum Olympum:
"Solvere autem non poterant circumstantes: quemcunque autem prehenderem,
"Projiciebam correptum de limine *coeli*, donec perveniret
"In terram vix-spirans: me verò nè sic quidem ira missum-faciebat
"Vehemens *ob* dolorem Herculis divini;
"Quem tu cum Boreâ vento inductis procellis,
"Misisti per infructuosum pontum, mala machinans,
"Et eum deinde ad Coon benè habitatam de-cursu-detulisti.
"*Ac* eum quidem ego inde liberavi, et reduxi iterùm
"In Argos equis-aptum, multis licèt malis-exercitum.
"Haec tibi rursùs-in-memoriam-reducam, ut desistas à fallaciis:
"Ut scias, an tibi profuerit congressusque et cubile,
"Quo mista es, veniens seorsùm-à diis, et me decepisti."

Ver. 21. — ἠλάστεον] Pronuntiabatur ἠλάστουν, vel ἠλάστευν. Vide suprà ad β′, 811.

Ver. 22. —— οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι, ———.] Scholiastes legit, οὐκ ἐδύναντο· παρασταδὸν ὃν δὲ λάβοιμι ——. Multò minùs venustè. In vulgatis istud, ὃν δὲ λάβοιμι, id ipsum est, quod quæritabat Scholiastes, ὃν δὲ ἂν λάβοιμί σοι παριστῶτα. Deinceps autem quod adjicit, δῆλον δὲ, ὅτι λέγει τὸν Ἥφαιστον· rectè se habet: Ut liquet ex sequente, ῥίπτασκον τεταγὼν, comparato cum, ῥίψε ποδὸς τεταγὼν, suprà ά, 591.

Ver. 24. — ἐμὲ δ' οὐδ' ὧς θυμὸς ἀνίει Ἀζηχὴς ὀδύνη.] *Al.* ἐμὲ δ' οὐδ' ὧς θυμὸν ἀνίει Ἀζηχὴς ὀδύνη. Utravis lectio ferri possit. Quod autem conjicit *Barnesius*, scribendum hîc ἀνήει, propterea quod ἀνίει aliis in locis mediam *corripiat*; planè nihili est. Quod enim in *omnibus* sit vocabulis, ut *ultimâ* in syllabâ Vocalis *longa*, sequente aliâ Vocali, *dimidiâ ex parte elidi*, hoc est, *corripi* possit; vide suprà ad ά, 51: id *nonnullis* in vocabulis, etiam in syllabis *non ultimis*, fieri itidem potest: Ut in τίω, ἰὸς, υἱὸς, ἤϊα, ἀνίει, et similibus *permultis*. Vide suprà ad ν′, 103.

Ver. 26. —— ἀνέμῳ.] *Al.* ἀνέμων.

Ver. 27. —— ἀτρύγετον.] Ἀκαταπόνητον, πολύν· ἤ, ὡς ἔνιοι φασὶ, τὸν ἄκαρπον. *Schol.* ad ά, 316.

Ver. 28. — Κόωνδ' — ἀπένεικας.] Ut et ibi eum videlicèt novis periculis objiceres.

Ver. 30. —— ἀθλήσαντα.] Εἰς δὲ τὸν τόπον τοῦτον προσγράφουσί τινες καὶ τούτους τοὺς στίχους·

Πρίν γ' ὅτε δή σ' ἀπέλυσα ποδῶν· μύδρους δ' ἐνὶ Τροίῃ
Κάββαλον· ὄφρα πέλοιτο καὶ ἐσσομένοισι πυθέσθαι. *Eustath.*

Ver. 32. Ὄφρ' εἰδῇς.] *Al.* Ὄφρα ἴδῃς· Et, Ὄφρα ἴδῃ. Ἐν δὲ τοῖς περὶ τῆς Ἥρας· ἄριστα τὴν —— μετὰ δόλου πρὸς τοὺς ἄνδρας ὁμιλίαν καὶ χάριν ἔδειξεν· ——— Τοιαῦτα γὰρ ὁ Ζεὺς ἀπειλεῖ καὶ λέγει πρὸς αὐτήν· "Ὄφρα ἴδῃς," &c. *Plutarch. de audiend. Poetis.*

Ὣς φάτο· ῥίγησεν δὲ βοῶπις πότνια Ἥρη,
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
Ἴστω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν,
Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅστε μέγιστος
Ὅρκος, δεινότατός τε πέλει μακάρεσσι θεοῖσι·
Σή θ' ἱερὴ κεφαλὴ, καὶ νωΐτερον λέχος αὐτῶν
Κουρίδιον, τὸ μὲν οὐκ ἂν ἐγώ ποτε μὰψ ὀμόσαιμι·
Μὴ δι' ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων
Πημαίνει Τρῶάς τε καὶ Ἕκτορα, τοῖσι δ' ἀρήγει·
Ἀλλά που αὐτὸν θυμὸς ἐποτρύνει καὶ ἀνώγει·
Τειρομένους δ' ἐπὶ νηυσὶν ἰδὼν ἐλέησεν Ἀχαιούς.
Αὐτάρ τοι κἀκείνῳ ἐγὼ παραμυθησαίμην,
Τῇ ἴμεν, ᾗ κεν δὴ σὺ, Κελαινεφὲς, ἡγεμονεύοις.
Ὣς φάτο· μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,

Sic dixit: Cohorruit autem magnis-oculis veneranda Juno,
Et eum compellans verbis alatis allocuta est:
" Sciat nunc hoc Terra et Coelum latum supernè,
" Et subterlabens Stygis aqua, quod utique maximum
" Juramentum, gravissimumque est beatis diis;
" Tuumque sacrum caput, et noster torus ipsorum
" Nuptialis, quem quidem non ego unquam temerè jurârim;
" Non meo hortatu Neptunus terrae-quassator
" Cladem-infert Trojanis et Hectori, *Argivis* autem auxiliatur:
" Sed nimirùm ipsum *suus* animus incitat jubetque;
" Afflictos autem ad naves videns miseratus est Achivos.
" Atquin et ei ego consuluerim,
" Eò ire, quò quidem tu, ô *Jupiter*, atras-nubes-cogens, imperaveris."
Sic dixit: Subrisit autem pater hominumque deûmque,

Ver. 34. ——— βοῶπις.] Vide suprà ad ά, 551.

Ver. 36. Ἴστω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς.]
Esto nunc Sol testis, et hæc mihi terra precanti. *Æn.* XII, 176.
Fontesque fluviosque voco, quæque ætheris alti
Religio, et quæ cæruleo sunt numina ponto. *Ibid.* 181.

Ver. 37. Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅστε μέγιστος Ὅρκος, δεινότατός τε—θεοῖσι.]
——— idque ratum, Stygii per flumina fratris,
Per pice torrentes atrâque voragine ripas,
Annuit. ———
Æn. IX, 104. et X, 113.
Adjuro Stygii caput implacabile fontis,
Una superstitio superis quæ reddita Divis.
Æn. XII, 816.

Μάλιστα δὲ τῆς Στυγὸς τὸ ὄνομα ἐς τὴν ποίησιν ἐπεισηγάγετο Ὅμηρος· Ἐν μέν γ' Ἥρας ἐποίησεν ὅρκῳ. " Ἴστω νῦν ——— τὸ κατειβόμενον " Στυγὸς ὕδωρ." Ταῦτα μὲν δὲ ἐποίησεν ὡς ἂν ἴδων ἐς τὸ ὕδωρ τῆς Στυγὸς στάζον. —— Τὸ δὲ ὕδωρ τὸ ἀπὸ τοῦ κρημνοῦ τοῦ παρὰ τὴν Νώνακριν στάζον, ἐμπίπτει μὲν πρῶτον ἐς πέτραν ὑψηλήν· διεξελθὸν δὲ διὰ τῆς πέτρας, ἐς τὸν Κρᾶθιν ποταμὸν κάτεισι. Θάνατον δὲ τὸ ὕδωρ φέρει τοῦτο, καὶ ἀνθρώπῳ, καὶ ἄλλῳ ζώῳ παντί. *Pausanias, lib.* 8. *cap.* 18.

Ver. 39. —— καὶ νωΐτερον λέχος αὐτῶν Κουρίδιον.]
Per connubia nostra, per inceptos Hymenæos;
Si benè quid de te merui, fuit aut tibi quicquam
Dulce meum. ——— *Æn.* IV, 316.

Ver. 44. Τειρομένους.] *Al.* Κτεινομένους.

Ver. 46. — ᾗ κεν δὴ.] *Quocunque demum* —.

Ibid. —— ἡγεμονεύοις.] *Al.* ἡγεμονεύῃς.

Ver. 47. ——— πατὴρ ἀνδρῶν τε θεῶν τε.] Vide suprà ad *ver.* 12.

Καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
Εἰ μὲν δὴ σύ γ' ἔπειτα, βοῶπις πότνια Ἥρη,
Ἶσον ἐμοὶ φρονέουσα μετ' ἀθανάτοισι καθίζοις,
Τῷ κε Ποσειδάων γε, καὶ εἰ μάλα βούλεται ἄλλῃ,
Αἶψα μεταστρέψειε νόον, μετὰ σὸν καὶ ἐμὸν κῆρ·
Ἀλλ' εἰ δή ῥ' ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις,
Ἔρχεο νῦν μετὰ φῦλα θεῶν, καὶ δεῦρο κάλεσσον
Ἶρίν τ' ἐλθέμεναι, καὶ Ἀπόλλωνα κλυτότοξον,
Ὄφρ' ἡ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
Ἔλθῃ, καὶ εἴπῃσι Ποσειδάωνι ἄνακτι,
Παυσάμενον πολέμοιο, τὰ ἃ πρὸς δώμαθ' ἱκέσθαι·
Ἕκτορα δ' ὀτρύνῃσι, μάχην ἐς, Φοῖβος Ἀπόλλων,
Αὖτις δ' ἐμπνεύσῃσι μένος, λελάθῃ δ' ὀδυνάων,
Αἳ νῦν μιν τείρουσι κατὰ φρένας· αὐτὰρ Ἀχαιοὺς
Αὖτις ἀποστρέψῃσιν, ἀνάλκιδα φύζαν ἐνόρσας·
Φεύγοντες δ' ἐν νηυσὶ πολυκλήϊσι πέσωσι
Πηλείδεω Ἀχιλῆος· ὁ δ' ἀνστήσει ὃν ἑταῖρον
Πάτροκλον, τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμος Ἕκτωρ
Ἰλίου προπάροιθε, πολεῖς ὀλέσαντ' αἰζηοὺς

Et eam respondens verbis alatis allocutus est:
" Si quidem tu jam deinceps, magnis-oculis veneranda Juno,
" Idem mecum sentiens inter immortales sederis;
" *Tum* eodem sanè Neptunus, etiam si maximè velit aliò,
" Confestim *et suam* converterit mentem, ad tuam et meam voluntatem.
" Quin, si jam quidem ex-animo et verè loqueris,
" Vade nunc ad coetus deorum, et huc vocatos-jube
" Irimque accedere, et Apollinem inclytum-arcu;
" Ut illa quidem ad exercitum Achivorum aere-loricatorum
" Eat, et dicat Neptuno regi,
" Ut, relictâ pugnâ, suas ad aedes redeat:
" Hectorem verò excitet ad pugnam Phoebus Apollo,
" Iterúmque inspiret robur, oblivisciquc-faciat dolorum
" Qui nunc ei premunt praecordia: Achivos autem
" Iterùm avertat, imbelli fugâ immissâ:
" Fugientes autem, in naves multa-transtra-habentes incidant
" Pelidae Achillis: Is verò excitabit suum socium
" Patroclum, illumque interficiet hastâ illustris Hector
" Ilium ante; multos ubi-*ille*-peremerit juvenes

Ver. 48. ——— ἀμειβόμενος ἔπεα.] Quâ ratione, ἀμειβόμενος, hic ultimam producat; vide suprà ad ά, 51. n. 8.

Ver. 49. Εἰ μὲν δὴ σύ.] *Siquidem tu reverà* ——.

Ver. 50. —— ἀθανάτοισι.] Vide suprà ad ά, 398.

Ver. 56—77. Ὄφρ' ἡ μὲν ——— Ἀχιλλῆα πτολίπορθον.] Versus hosce *viginti duos*, tanquam suppositos, repudiârunt Veterum nonnulli: Rationibus, ut mihi quidem videtur, haud satis idoneis. Quâ de re videatur *Eustathius*.

Ver. 58. Παυσάμενον.] *Al.* Παυσαμένῳ.

Ver. 64. — Ἀχιλῆος.] Vide suprà ad ν', 324.

Ibid. —— ἀνστήσει.] *Al.* ἀνστήσῃ.

Ver. 66. Ἰλίου.] De hujusmodi vocabulorum *prosodiâ*, vide suprà ad *ver.* 24. Ineptè admodùm *Barnesius*, " *Producitur* (inquit) " εἰς ἀναγκαῖον ἀπαρτισμὸν τοῦ Σπονδείου." Quasi scilicèt vox, Ἰλίου, locum non haberet, sexcenties *pes dactylus*.

Τοὺς ἄλλους, μετὰ δ', υἱὸν ἐμὸν Σαρπηδόνα δῖον·
Τοῦ δὲ χολωσάμενος κτενεῖ Ἕκτορα δῖος Ἀχιλλεύς.
Ἐκ τοῦδ' ἄν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν
Αἰὲν ἐγὼ τεύχοιμι διαμπερὲς, εἰσόκ' Ἀχαιοὶ
Ἴλιον αἰπὺ ἕλοιεν, Ἀθηναίης διὰ βουλάς.
Τοπρὶν δ' οὔτ' ἄρ' ἐγὼ παύσω χόλον, οὔτέ τιν' ἄλλων
Ἀθανάτων Δαναοῖσιν ἀμυνέμεν ἐνθάδ' ἐάσω,
Πρίν γε τὸ Πηλείδαο τελευτηθῆναι ἐέλδωρ·
Ὥς οἱ ὑπέστην πρῶτον, ἐμῷ δ' ἐπένευσα κάρητι
Ἤματι τῷ, ὅτ' ἐμεῖο θεὰ Θέτις ἥψατο γούνων,
Λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον.
  Ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη·
Βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον.
Ὡς δ' ὅτ' ἀναΐξῃ νόος ἀνέρος, ὅστ' ἐπὶ πολλὴν
Γαῖαν ἐληλουθὼς, φρεσὶ πευκαλίμῃσι νοήσῃ,
Ἔνθ' εἴην, ἢ ἔνθα, μενοινήσειέ τε πολλά·
Ὣς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη·
Ἵκετο δ' αἰπὺν Ὄλυμπον, ὁμηγερέεσσι δ' ἐπῆλθεν
Ἀθανάτοισι θεοῖσι Διὸς δόμῳ· οἱ δὲ ἰδόντες,

" *Cùm* alios, tum filium meum Sarpedona nobilem :
" *Ob Patroclum* autem iratus interficiet Hectorem nobilis Achilles.
" Ex eo deinceps tempore ut-iterum-in-fugam-avertantur-*Trojani* à navibus,
" Semper ego efficiam perpetuò ; usque-dum Achivi
" Ilium excelsum ceperint, Minervae consiliis.
" Priùs autem neque ego cessabo ab irâ, neque quempiam aliorum
" Immortalium Danais auxiliari hìc sinam,
" Quàm Pelidae expletum fuerit desiderium ;
" Sicut ei promisi primùm, meoque annui capite
" Die illo, quandò mihi Dea Thetis tetigit genua,
" Supplicans, ut honorarem Achillem urbium-vastatorem."
Sic dixit : Neque non-obsecuta-est dea ulnas-candida Juno ;
Discessit itaque ab Idaeis montibus, *ut iret* ad excelsum Olympum.
Sicut verò cùm se arrigit mens viri, qui per multas
Terras profectus, praecordiis *in* prudentibus secum-cogitat,
" Huc iverim, vel illuc," animoque-versat multa :
Sic celeritèr viam-carpens pervolavit veneranda Juno ;
Pervenitque in excelsum Olympum : Congregatis autem supervenit
Immortalibus diis, Jovis in domo : Illi verò conspicati,

Ver. 72. —— οὔτ' ἄρ'.] *Al.* οὔτ' ἄν.
Ibid. —— παύσω.] *Al.* παύω.
Ibid. —— ἄλλων.] ἄλλον· MSS. à viro erudito, *Th. Bentleio*, collati. Quæ et proba Lectio.
Ver. 73. Ἀθανάτων.] Vide suprà ad ά, 398.
Ibid. ——ἐάσω.] *Barnesius* pessimè, ἐάσσω. Vide suprà ad δ', 42.
Ver. 77. —— πτολίπορθον.] Vide suprà ad β', 278.
Ver. 78. —— θεὰ λευκώλενος Ἥρη.] Βοῶπις πότνια Ἥρη, MSS. duo à *Th. Bentleio* collati. Quæ si vera sit lectio ; erit prior illa ex *ver.* 92. jam infrà, desumpta.
Ver. 79. Βῆ δὲ κατ'.] Βῆ δ' ἐξ. MS. *Harleian.* à *Th. Bentleio* collatus.
Ver. 80. —— ὅτ' ἀναΐξῃ.] *Al.* ὅταν ἀΐξῃ.
Ver. 81. —— νοήσῃ.] *Al.* νοήσει.
Ver. 82. —— εἴην.] *Al.* ἤειν.
Ver. 85. —Ἀθανάτοισι.] Vide supra ad ά, 398.

Πάντες ἀνήϊξαν, καὶ δεικανόωντο δέπασσιν.
Ἡ δ' ἄλλους μὲν ἔασε, Θέμιστι δὲ καλλιπαρῄῳ
Δέκτο δέπας, πρώτη γὰρ ἐναντίη ἦλθε θέουσα,
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
"Ἥρη, τίπτε βέβηκας, ἀτυζομένῃ δὲ ἔοικας;
Ἦ μάλα δή σε φόβησε Κρόνου πάϊς, ὅς τοι ἀκοίτης;
Τὴν δ' ἠμείβετ' ἔπειτα θεὰ λευκώλενος Ἥρη·
Μή με, θεὰ Θέμι, ταῦτα διείρεο· οἶσθα καὶ αὐτὴ,
Οἷος ἐκείνου θυμὸς ὑπερφίαλος καὶ ἀπηνής·
Ἀλλὰ σύ γ' ἄρχε θεοῖσι δόμοις ἔνι δαιτὸς ἐΐσης·
Ταῦτα δὲ καὶ μετὰ πᾶσιν ἀκούσεαι ἀθανάτοισιν,
Οἷα Ζεὺς κακὰ ἔργα πιφαύσκεται· οὐδέ τι φημὶ
Πᾶσιν ὁμῶς θυμὸν κεχαρησέμεν, οὔτε βροτοῖσιν,
Οὔτε θεοῖς, εἴπερ τις ἔτι νῦν δαίνυται εὔφρων.
Ἡ μὲν ἄρ' ὣς εἰποῦσα καθέζετο πότνια Ἥρη·
Ὤχθησαν δ' ἀνὰ δῶμα Διὸς, θεοί· ἡ δ' ἐγέλασσε

Omnes celeritèr-adsurrexerunt, et excipiebant poculis.
Atque haec alios quidem omisit, à Themide verò genas-pulchrâ
Accepit poculum: prima enim *illa* obvia venit currens,
Et eam compellans verbis alatis allocuta est:
" Juno, cur *huc* ascendisti; metu utique perculsae similis-videris?
" Annè valde scilicèt te territavit Saturni filius, qui tibi maritus?"
Huic autem respondit deinde dea ulnas-candida Juno:
" Nè me, dea Themi, haec interroga: scis et ipsa,
" Qualis illius animus superbus et inclemens:
" At tu quidem praesis inter-Deos, in aedibus, convivio aequali:
" Haec autem et inter omnes audies immortales,
" Qualia Jupiter mala opera denunciet: neque omninò puto
" Omnibus unà animum gavisurum, neque mortalibus,
" Neque diis; etiamsi quis usque nunc convivetur hilaris."
Ac quidem sic locuta consedit veneranda Juno:
Molestè autem ferebant per domum Jovis, dii: Illa verò risit

Ver. 86. ——— δεικανόωντο δέπασσιν.] Vide suprà ad δ′, 4.

Ver. 87. —— ἔασε.] Vide suprà ad δ′, 42.

Ver. 88. —— θέουσα.] φέρουσα Cod. *Harleian.* à *Tho. Bentleio* collatus.

Ver. 90. — βέβηκας.] Vide suprà ad ά, 37.

Ibid. —— ἀτυζομένῃ δὲ ἔοικας.] Scholiastes cum cod. *Harleiano* legit, atque exponit, ἀτυζομένη. Sed ἔοικας, apud Homerum, rariùs respondet Latino, *videris;* sæpiùs, τῷ *similis-videris.*

Ver. 91. —— σε φόβησε.] *Al.* σ' ἐφόβησε.

Ver. 92. —— θεὰ λευκώλενος.]

——— niveis ——— diva lacertis.
Æn. VIII, 387.

Ver. 93. Μή με, θεά Θέμι, ταῦτα.] Vir eruditus *Th. Bentleius*, uno in MS. *Italico* scriptum repperit, Μή με, θεὰ, μήτι ταῦτα. Unde fortassè legendum, eodem conjectante; Μή με, θεὰ, μὴ ταῦτα ———.

Ver. 95. — δαιτὸς ἐΐσης.] Vide suprà ad ά, 468.

Ver. 96 et 107. ——— ἀθανάτοισιν.] Vide suprà ad ά, 398.

Ver. 97. —— οὐδέ τι.] *Al.* οὐδ' ἔτι.

Ver. 98. —— κεχαρησέμεν.] Vide suprà ad *ver*. 11.

Ver. 99. —— τις ἔτι νῦν.] Quâ ratione, ἔτι hîc ultimam producat; item Ζηνὶ, *ver*. 104. et σθένεϊ, *ver*. 108. et γὰρ, *ver*. 111. et κέλετο *ver*. 119. vide suprà ad ά, 51. n. 8. 10.

Ibid. — δαίνυται.] Vide suprà ad γ′, 260.

Ver. 101. Ὤχθησαν.] Cod. *Harleian.* Ὄχθησαν.

Ibid. —— ἐγέλασσε —— οὐδέ —— Ἰάνθη.]

——— curisque ingentibus aeger
Spem vultu simulat, premit altum corde dolorem.
Æn. I, 212.

Χείλεσιν, οὐδὲ μέτωπον ἐπ' ὀφρύσι κυανέῃσιν
Ἰάνθη· πᾶσιν δὲ νεμεσσηθεῖσα μετηύδα·
Νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν ἀφρονέοντες,
Ἢ ἔτι μιν μέμαμεν καταπαυσέμεν, ἆσσον ἰόντες,
Ἢ ἔπει, ἠὲ βίῃ· ὁ δ' ἀφήμενος οὐκ ἀλεγίζει,
Οὐδ' ὄθεται· φησὶν γὰρ ἐν ἀθανάτοισι θεοῖσι
Κάρτεΐ τε σθένεΐ τε διακριδὸν εἶναι ἄριστος.
Τῷ ἔχεθ', ὅ,ττι κεν ὔμμι κακὸν πέμπῃσιν ἑκάστῳ·
Ἤδη γὰρ νῦν ἔλπομ' Ἄρηΐ γε πῆμα τετύχθαι·
Υἱὸς γάρ οἱ ὄλωλε μάχῃ ἔνι, φίλτατος ἀνδρῶν,
Ἀσκάλαφος, τὸν φησὶν ὃν ἔμμεναι ὄβριμος Ἄρης.
Ὣς ἔφατ'· αὐτὰρ Ἄρης θαλερὼ πεπλήγετο μηρὼ
Χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δὲ προσηύδα·
Μὴ νῦν μοι νεμεσήσετ', Ὀλύμπια δώματ' ἔχοντες,
Τίσασθαι φόνον υἷος, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
Εἴπερ μοι καὶ μοῖρα, Διὸς πληγέντι κεραυνῷ,
Κεῖσθαι, ὁμοῦ νεκύεσσι μεθ' αἵματι καὶ κονίῃσιν.
Ὣς φάτο· καί ῥ' ἵππους κέλετο Δεῖμόν τε Φόβον τε

Labiis *tenus*, non autem frons super supercilia nigra
Exhilarata est: inter omnes autem, indignata locuta est:
" Dementes, qui Jovi irascimur insipientes;
" *Qui*que adhuc ipsum cupimus compescere, propiùs accedentes,
" Vel suasu, vel vi: is verò è-longinquo-sedens nostrî-rationem-non-habet,
" Neque movetur: ait enim inter immortales deos
" Viribusque potentiâque eximiè *se* esse optimum.
" Quare tolerate, quodcunque vobis malum immittat unicuique:
" Jam enim nunc opinor Marti utique damnum illatum esse:
" Filius enim ei interiit in pugnâ, charissimus hominum,
" Ascalaphus, quem ait suum esse impetuosus Mars."
Sic dixit: Mars autem robusta-feriebat-sibi femora
Manibus pronis, lugens autem allocutus est:
" Ne nunc mihi succenseatis, coelestes domos incolentes,
" Quòd-ulcisci-velim caedem filii, profectus ad naves Achivorum,
" Etiam si mihi *sit* fatale, Jovis percussum fulmine
" Jacere, unà-cum mortuis, in sanguine et pulvere."
Sic dixit: et equos jussit Terroremque Horroremque

Ver. 102. —— κυανέῃσιν.] Vide suprà ad ά, 528.

Ver. 105. Ἢ ἔτι μιν.] *Al.* Ἠέ τί μιν.

Ver. 106. Ἢ ἔπει, ἠὲ βίῃ.] Vide suprà ad ά, 395.

Ver. 108. —— διακριδὸν.] Vide suprà ad ά, 509.

Ver. 113. —— πεπλήγετο μηρῶ.] Notandus hìc primigenius et maximè proprius *Formæ Mediæ* usus; *sua sibi percussit femora.*

Ver. 114. —— δὲ προσηύδα.] *Al.* δ' ἔπος ηὔδα.

Ver. 115. — νεμεσήσετ'.] *Al.* νεμεσήσατ'.

Ver. 116. Τίσασθαι.] Τίσασθαι et τίσεσθαι primam Homero *semper* producunt; sicuti φθίνω et φθίσεσθαι. Vide suprà ad ν', 339. et ad β', 43. et ad δ', 257.

Ver. 117. —— πληγέντι.] Vide suprà ad γ', 31.

Ver. 119. —— καὶ ῥ'.] *Et proinde, ut comminatus erat,* ——.

Ibid. —— Δεῖμόν τε Φόβον τε.] Filios Martis, quibus equos sibi jungendos jussit.

Ζευγνύμεν· αὐτὸς δ' ἔντε' ἐδύσετο παμφανόωντα.
Ἔνθα κέ τις μείζων τε καὶ ἀργαλεώτερος ἄλλος
Πὰρ Διὸς ἀθανάτοισι χόλος καὶ μῆνις ἐτύχθη,
Εἰ μὴ Ἀθήνη, πᾶσι περιδδείσασα θεοῖσιν,
Ὦρτο διὲκ προθύρου, λίπε δὲ θρόνον, ἔνθα θάασσε.
Τοῦ δ' ἀπὸ μὲν κεφαλῆς κόρυθ' εἵλετο, καὶ σάκος ὤμων,
Ἔγχος δ' ἔστησε στιβαρῆς ἐκ χειρὸς ἑλοῦσα
Χάλκεον· ἡ δ' ἐπέεσσι καθάπτετο θοῦρον Ἄρηα·
  Μαινόμενε, φρένας ἠλὲ, διέφθορας· ἦ νύ τοι αὔτως
Οὔατ' ἀκουέμεν ἐστὶ, νόος δ' ἀπόλωλε καὶ αἰδώς;
Οὐκ ἀΐεις, ἅτε φησὶ θεὰ λευκώλενος Ἥρη;
Ἣ δὴ νῦν πὰρ Ζηνὸς Ὀλυμπίου εἰλήλουθεν·
Ἦ ἐθέλεις αὐτὸς μὲν ἀναπλήσας κακὰ πολλὰ,
Ἄψ ἴμεν Οὔλυμπόνδε καὶ ἀχνύμενός περ ἀνάγκῃ,
Αὐτὰρ τοῖς ἄλλοισι κακὸν μέγα φᾶσι φυτεῦσαι;
Αὐτίκα γὰρ Τρῶας μὲν ὑπερθύμους καὶ Ἀχαιοὺς
Λείψει, ὁ δ' ἡμέας εἶσι κυδοιμήσων ἐς Ὄλυμπον·

Jungere: ipse autem arma induebat collucentia.
Tum sanè quaedam majorque et gravior alia
A Jove in immortales ita et indignatio exorta fuisset,
Nisi Minerva, cunctis metuens diis,
Prosiluisset extra vestibulum, liquissetque solium ubi sedebat.
Atque *Martis* quidem à capite galeam dempsit, et scutum humeris;
Hastamque seposuit-erectam, robustâ è manu raptam,
Aeream; ipsa verò verbis *hisce* corripuit impetuosum Martem:
" Furiose, vecors, periisti; an verò tibi frustrà
" Aures ad-audiendum sunt, mensque etiam periit et pudor?
" Non audis, quae dicit dea ulnas-candida Juno?
" Quae jam nunc à Jove Olympio venit:
" An velis ipse quidem, perpessus mala multa,
" Reverti ad-Olympum, dolens utique, necessitate;
" Atque etiam caeteris malum magnum omnibus creare?
" Continuò enim Trojanos quidem magnanimos et Achivos
" Linquet *Jupiter*, ad nos autem veniet turbas-excitaturus in Olympum:

Ver. 120. Ζευγνύμεν'.] Vide suprà ad γ', 260.

Ibid. —— ἐδύσετο.] *Al.* ἐδύσατο. Vide suprà ad β', 35. et ad ί, 109.

Ver. 121. — κέ τις.] Cod. *Harleian.* κέ τι.

Ver. 122. —— ἀθανάτοισι.] Vide suprà ad ά, 398.

Ver. 123. — Ἀθήνη.] *Consilium prudentius.* Vide suprà ad ά, 194. ad β', 169. et ad δ', 92.

Ver. 124. —— δι' ἐκ.] *Al.* μὲν ἐκ.

Ver. 126. —— ἐκ.] Cod. *Harleian.* ἀπό.

Ver. 128. —— φρένας ἠλὲ, διέφθορας.] Notandus hîc proprius et primigenius vocis *Mediæ* usus: *Te ipse perdidisti: periisti.* Vide suprà ad γ', 141. Alii *activè* accipiunt; φρένας, ἠλὲ, διέφθορας.

Ibid. —— αὔτως.] Schol. inedita, in Cod. *Harleiano*; ἀδιακρίτως.

Ver. 131.—εἰλήλουθεν.] Vide suprà ad ά, 37.

Ver. 134. —— τοῖς ἄλλοισι κακὸν μέγα πᾶσι φυτεῦσαι.] Vir eruditus, *Tho. Bentleius*, in Codice *Harleiano* et in duobus MSS. *Italicis* scriptum repperit, τοῖς ἄλλοισι θεοῖς, sicuti in ά, 597. Quæ si fortè vera fuerit Lectio, tum ex ejusdem *conjecturâ* scribendum erit;—τοῖς ἄλλοισι θεοῖς μέγα πῆμα φυτεῦσαι; Sed expectandi Codices.

Ver. 136. —— ἡμέας εἶσι.] Pronuntiabatur, ἡμᾶς εἶσι· Nam ἡμέας ultimam producit.

Μάρψει δ' ἑξείης, ὅστ' αἴτιος, ὅστε καὶ οὐκί.
Τῷ σ' αὖ νῦν κέλομαι μεθέμεν χόλον υἷος ἑῆος·
Ἤδη γάρ τις, τοῦδε βίην καὶ χεῖρας ἀμείνων,
Ἢ πέφατ', ἢ καὶ ἔπειτα πεφήσεται· ἀργαλέον δὲ
Πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε.
Ὣς εἰποῦσ', ἵδρυσε θρόνῳ ἔνι θοῦρον Ἄρηα.
Ἥρη δ' Ἀπόλλωνα καλέσσατο δώματος ἐκτὸς,
Ἶρίν θ', ἥ τε θεοῖσι μετάγγελος ἀθανάτοισι,
Καί σφεας φωνήσασ', ἔπεα πτερόεντα προσηύδα·
Ζεὺς σφῶ εἰς Ἴδην κέλετ' ἐλθέμεν ὅττι τάχιστα·
Αὐτὰρ ἐπὴν ἔλθητε, Διός τ' εἰς ὦπα ἴδησθε,
Ἔρδειν, ὅ,ττι κε κεῖνος ἐποτρύνῃ καὶ ἀνώγῃ.
Ἡ μὲν ἄρ' ὡς εἰποῦσα, πάλιν κίε πότνια Ἥρη·
Ἕζετο δ' εἰνὶ θρόνῳ· τὼ δ' ἀΐξαντε πετέσθην,
Ἴδην δ' ἵκανον πολυπίδακα, μητέρα θηρῶν·
Εὗρον δ' εὐρύοπα Κρονίδην ἀνὰ Γαργάρῳ ἄκρῳ
Ἥμενον, ἀμφὶ δέ μιν θυόεν νέφος ἐστεφάνωτο·
Τὼ δὲ πάροιθ' ἐλθόντε Διὸς νεφεληγερέταο,
Στήτην· οὐδὲ σφῶϊν ἰδὼν ἐχολώσατο θυμῷ,
Ὅττι οἱ ὦκ' ἐπέεσσι φίλης ἀλόχοιο πιθέσθην·

" Corripiet autem alium-post-alium, quique in-culpâ *sit*, quique etiam non.
" Quare te nunc jubeo missam-facere iram de filio tuo:
" Jam enim aliquis, eo *et* vi et manibus fortior,
" Vel interfectus est, vel etiam posthàc interficietur: difficile quippe *est*,
" Omnium hominum liberare *à morte* progeniemque partumque."
Sic locuta, collocavit in solio impetuosum Martem.
Juno autem Apollinem vocavit domum extra,
Irimque, quae diis internuncia *est* immortalibus;
Et eos compellans, verbis alatis allocuta est:
" Jupiter vos in Idam jubet venire quàm celerrimè;
" Ac postquam veneritis, Jovisque vultum aspexeritis,
" Facite, quicquid ille hortatus fuerit et jusserit."
Ac quidem sic locuta, retrò cessit veneranda Juno;
Conseditque in solio: ii verò properantes volabant,
Idamque pervenerunt fontibus-irriguam, matrem ferarum.
Invenerunt autem latè-sonantem Saturnium in Gargaro summo
Sedentem, circumque ipsum odorata nubes circumfusa erat:
Hi autem ut coram venerunt Jove nubes-cogente,
Steterunt; neque iis visus iratus est animo,
Quoniam sibi celeritèr verbis suae uxoris paruerant:

Ver. 144.—ἥ τε.] *Quæ utique; Quæ scilicèt* ——.

Ibid. — μετάγγελος.] *Al.* μετ' ἄγγελος.

Ibid. — ἀθανάτοισι.] Vide suprà ad ά, 398.

Ver. 147. — ἴδησθε.] *Al.* ἵκησθε. *Al.* ἴδητε.

Ver. 148. —— ὅ,ττι κε κεῖνος.] *Al.* ὅττι κ' ἐκεῖνος.

Ver. 152. —— εὐρύοπα.] Vide suprà ad ά, 175. 498. et ad θ', 206.

Ver. 153. —— ἐστεφάνωτο.] Si ἐστεφάνωται dixisset, jam non constitisset Temporum ratio. Vide suprà ad ά, 37.

Ver. 155. —— οὐδὲ σφῶϊν ἰδὼν ἐχολώσατο.] Vide suprà ad *ver* 11

Ἶριν δὲ προτέρην ἔπεα πτερόεντα προσηύδα·
Βάσκ' ἴθι, Ἶρι ταχεῖα, Ποσειδάωνι ἄνακτι
Πάντα τάδ' ἀγγεῖλαι, μηδὲ ψευδάγγελος εἶναι·
Παυσάμενόν μιν ἄνωχθι μάχης ἠδὲ πτολέμοιο,
Ἔρχεσθαι μετὰ φῦλα θεῶν, ἢ εἰς ἅλα δῖαν.
Εἰ δέ μοι οὐκ ἐπέεσσ' ἐπιπείσεται, ἀλλ' ἀλογήσει,
Φραζέσθω δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν,
Μή μ' οὐδὲ, κρατερός περ ἐὼν, ἐπιόντα ταλάσσῃ
Μεῖναι· ἐπεὶ ἕο φημὶ βίῃ πολὺ φέρτερος εἶναι,
Καὶ γενεῇ πρότερος· τοῦ δ' οὐκ ὄθεται φίλον ἦτορ
Ἶσον ἐμοὶ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε ποδήνεμος ὠκέα Ἶρις·
Βῆ δὲ κατ' Ἰδαίων ὀρέων εἰς Ἴλιον ἱρήν.
Ὡς δ' ὅταν ἐκ νεφέων πτῆται νιφὰς, ἠὲ χάλαζα
Ψυχρὴ ὑπαὶ ῥιπῆς αἰθρηγενέος Βορέαο·
Ὣς κραιπνῶς μεμαυῖα διέπτατο ὠκέα Ἶρις,

Irim autem priorem verbis alatis allocutus est:
" Vade, age, Iri velox, Neptuno regi
" Omnia haec nuncia, neque falsa-nuncia sis:
" Relictâ illum jube pugnâ atque proelio,
" Ire ad coetus deorum, vel in mare vastum.
" Si verò meis non verbis parebit, sed aspernabitur,
" Perpendat deinde mente et animo,
" Ne me nequaquam, fortis ut sit, invadentem valeat
" Sustinere; quoniam eo profiteor viribus multò praestantiorem *me* esse,
" Et natu majorem: illius autem non veretur cor
" Aequalem mihi se-profiteri, quem metuunt etiam caeteri."
Sic dixit: neque non-obsecuta est alis-ventosis velox Iris:
Descendit autem ab Idaeis montibus Ilium versùs sacram.
Ut verò cùm ex nubibus volat nix, aut grando
Gelida, *acta* impetu serenitatem-inducentis Boreae:
Sic festinantèr viam-carpens pervolavit velox Iris,

Ver. 158. Βάσκ' ἴθι.]
Vade, age, nate; —— *Æn.* IV, 223.
" Cæterùm, quis tam obtuso ingenio est, " quin intelligat, βάσκ' ἴθι, verba duo idem " significantia, non frustrà posita esse ἐκ " παραλλήλου, ut quidam putant: sed horta-" mentum esse acre imperatæ celeritatis." *Gell. lib.* 13. *cap.* 23.

Ver. 160. —— μάχης ἠδὲ πτολέμοιο.] Vide suprà ad ή, 232. 279.

Ver. 161. Ἔρχεσθαι μετὰ.] Ἔρχεσθ' ἢ μετὰ, *ver.* 177.

Ver. 162. — ἐπέεσσ' ἐπιπείσεται. *Al.* ἐπέεσσι πεπείσεται· notante *Henr. Stephano.*

Ver. 163. —— δὴ ἔπειτα.] *Al.* δὴ ἔπειτα. Quod ferri potest. *Vulgg.* δ' ἤπειτα· Quod ex analogiâ minùs est accuratum.

Ver. 164. Μή μ' οὐδὲ, κρατερός περ ἐὼν, —— ταλάσσῃ.] *Barnesius*, et Editio *Wetsteniana*, aliique, pessimè hoc ita vertunt, ac si *Homerus* contrà planè, quàm voluerit, scripsisset; Μή μ', οὐδὲ κρατερός περ ἐὼν —— ταλάσσῃ.

Ver. 167. Ἶσον ἐμοὶ φάσθαι.] Notandus hîc primigenius et maximè proprius *Vocis Mediæ* usus: *Æqualem SE mihi dicere.* Vide suprà ad γ', 141.

Ibid. —— τόν τε στυγέουσι καὶ ἄλλοι.] *Quem utique* —. *Al.* καὶ ὁμοιωθήμεναι ἄντην. Nempe ex ά, 187. Sed priorem Lectionem firmat infrà *ver.* 183.

Ver. 170. —— νιφὰς.] Quâ analogiâ ex νίφειν deducta sit νιφὰς, vide suprà ad ά, 338. et ad μ', 280.

Ἀγχοῦ δ' ἱσταμένη προσέφη κλυτὸν Ἐννοσίγαιον·
  Ἀγγελίην τινά τοι, Γαιήοχε κυανοχαῖτα,
Ἦλθον δεῦρο φέρουσα παραὶ Διὸς αἰγιόχοιο·
Παυσάμενόν σ' ἐκέλευσε μάχης ἠδὲ πτολέμοιο,
Ἔρχεσθ' ἢ μετὰ φῦλα θεῶν, ἢ εἰς ἅλα δῖαν.
Εἰ δέ οἱ οὐκ ἐπέεσσ' ἐπιπείσεαι, ἀλλ' ἀλογήσεις,
Ἠπείλει κἀκεῖνος ἐναντίβιον πολεμίζων
Ἐνθάδ' ἐλεύσεσθαι· σὲ δ' ὑπεξαλέασθαι ἀνώγει
Χεῖρας, ἐπεὶ σέο φησὶ βίῃ πολὺ φέρτερος εἶναι,
Καὶ γενεῇ πρότερος· σὸν δ' οὐκ ὄθεται φίλον ἦτορ
Ἶσόν οἱ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι.
  Τὴν δὲ μέγ' ὀχθήσας προσέφη κλυτὸς Ἐννοσίγαιος·
Ὢ πόποι, ἦ ῥ', ἀγαθός περ ἐὼν, ὑπέροπλον ἔειπεν,
Εἴ μ' ὁμότιμον ἐόντα βίῃ ἀέκοντα καθέξει.
Τρεῖς γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοὶ, οὓς τέκε Ῥείη,
Ζεὺς καὶ ἐγὼ, τρίτατος δ' Ἀΐδης ἐνέροισιν ἀνάσσων·
Τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς.
Ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ,

Propè autem stans allocuta est inclytum Neptunum:
" Nuncium quendam tibi, Neptune crines-caerulee,
" Veni huc ferens à Jove Aegiocho:
" Relictâ te jubet pugnâ atque proelio,
" Ire vel ad coetus deorum, vel in mare vastum.
" Si verò ejus non verbis parebis, sed aspernaberis,
" Minatus est et ipsum-se ex-adverso pugnaturum
" Huc venturum: te autem vitare jubet *suas*
" Manus, quia, *quàm* tu *sis*, ait viribus multò *se* praestantiorem esse,
" Et natu majorem: tuum autem non veretur cor
" Aequalem *te* ei profiteri, quem metuunt etiam caeteri."
Hanc autem valdè indignatus allocutus est inclytus Neptunus:
" Eheu; certè, potens licèt existens, superbè locutus est,
" Si me, pari honore praeditum, vi invitum coërcebit.
" Tres enim ex Saturno sumus fratres, quos peperit Rhea,
" Jupiter et ego, tertius autem Pluto inferis imperans:
" Trifariàm autem omnia divisa-sunt, quisque verò *suam* sortitus est dignitatem.
" Meae sanè sortis-erat canum mare habitare perpetuò,

Ver. 174. — κυανοχαῖτα.] Vide suprà ad ά, 43, 58, 528.

Ver. 177. Ἔρχεσθ' ἢ μετὰ.] Ἔρχεσθαι μετὰ, *ver.* 161. Aut locus iste ex hoc, aut hic ex isto, corrigendus.

Ver. 179.—πολεμίζων.] *Al.* πολεμίξων.

Ver. 180. —— ἀνώγει.] Cod. *Harleian.* ἄνωγε. Quod et ipsum rectè dicitur de præsenti: Vide suprà ad θ', 322.

Ver. 183. Ἶσόν οἱ φάσθαι.] Quâ ratione, ἶσον, ultimam hîc, etiam extra cæsuram, producat; item κακὸν, *ver.* 196. et χολωτοῖσιν, *ver.* 210. vide suprà ad ά, 51. Scribi hoc quidem in loco poterat, Ἶσόν σ', οἱ φάσθαι. Sed venustiùs abest istud σέ. Vide suprà ad *ver.* 166; ubi itidem scribi potuisset, Ἶσόν ἕ μοι φάσθαι· sed minùs elegantèr.

Ver. 187. Τρεῖς γάρ τ' ἐκ Κρόνου.] *Etenim tres* ——; *Nam tres videlicèt* ——. *Al.* Τρεῖς γάρ τε Κρόνου.

Ibid. —— οὓς τέκε Ῥείη.] *Al.* οὓς τέκε Ῥείη. Et, οὓς τέκετο Ῥέα.

Ver. 189. —— δέδασται —— ἔμμορε.] Conjuncta sunt cum præcedente εἰμέν. Vide suprà ad ά, 37.

Ver. 190. —— ἐγὼν ἔλαχον πολιὴν ἅλα.]

Παλλομένων, Ἀΐδης δ' ἔλαχε ζόφον ἠερόεντα·
Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσι.
Γαῖα δ' ἔτι ξυνὴ πάντων, καὶ μακρὸς Ὄλυμπος·
Τῷ ῥα καὶ οὔτι Διὸς βέομαι φρεσίν· ἀλλὰ ἕκηλος,
Καὶ κρατερός περ ἐὼν, μενέτω τριτάτῃ ἐνὶ μοίρῃ.
Χερσὶ δὲ μήτι με πάγχυ, κακὸν ὣς, δειδισσέσθω.
Θυγατέρεσσιν γάρ τε καὶ υἱάσι κέρδιον εἴη
Ἐκπάγλοις ἐπέεσσιν ἐνισσέμεν, οὓς τέκεν αὐτὸς,
Οἵ ἕθεν ὀτρύνοντος ἀκούσονται καὶ ἀνάγκῃ.
Τὸν δ' ἠμείβετ' ἔπειτα ποδήνεμος ὠκέα Ἶρις·
Οὕτω γὰρ δή τοι, Γαιήοχε κυανοχαῖτα,
Τόνδε φέρω Διῒ μῦθον ἀπηνέα τε, κρατερόν τε;
Ἦ τι μεταστρέψεις; στρεπταὶ μέν τε φρένες ἐσθλῶν.

"Motis-sortibus: Plutoni autem sorte-obvenere tenebrae caliginosae;
"Jovis verò obvenit coelum latum, in aethere et nubibus.
"Terra autem etiamnum communis *est* omnium, et excelsus Olympus:
"Quare sanè nequaquam Jovis degam ex voluntate; sed quietus,
"Potens licèt existens, maneat *suâ* tertiâ in portione.
"Manibus verò nequid me omninò, ignavum veluti, territet.
"Filias enim et filios satius esset
"Terrificis verbis incessere, quos genuit ipse;
"Qui et imperitanti auscultabunt, etiam necessitate."
Huic autem respondit deindè pedibus-ventos-aequans velox Iris:
"Itane verò à te, Neptune crines-caerulee,
"Hunc fero Jovi sermonem durumque asperumque?
"An quid mutabis? Flexibiles sanè mentes prudentium.

——— imperium pelagi, sævumque tridentem,
——— *mihi* sorte datum; tenet *ille* immania saxa. *Æn.* I, 142.
——— Hæc——— manebat
Sors rerum.——— X, 29.

Ver. 191. —— ἔλαχε ζόφον.] Ita MSS. à *Th. Bentleio* collati. *Vulgg.* ἔλαχεν ζόφον· minùs numerosè.

Ver. 197. Θυγατέρεσσιν γάρ τε.] *Etenim filias* ——. De prosodiâ autem, vide suprà ad ά, 398.

Ibid. —— κέρδιον εἴη.] *Al.* βέλτερον εἴη.

Ver. 199. —— ἀκούσονται.] *Al.* ἀκούσωνται.

Ver. 201. Οὕτω γὰρ δή.] *Siccinè autem, quæso? Siccinè enim reverà* ——? Nempe refertur istud, γὰρ, ad id quod elegantissimè reticetur; "*Hæreo de responso renuntiando:*" Vel, "*Metuo tibi; Nam* —:" Vel, siquid simile. Vide suprà ad ί, 22. Quare inficetè admodum *Spondanus*; "*Illud,* γὰρ, *vide* "*nè superfluum sit.*" Atque etiam *Eustathius*; Σκοπητέον εἰ μὴ παρέλκει ὁ "γὰρ" σύνδεσμος· οὐδὲν γὰρ αἰτιολογεῖ. *Virgilius* elegantissimè, constructione non multùm dissimili:

——— tandem ore locutus;
Nam quis te, juvenum confidentissime, nostras
Jussit adire domos? ———
Georg. IV, 455.

Ubi istud, *Nam*, in ipso statim orationis initio, vim habet recentioribus linguis prorsùs incognitam. Cæterùm de *totâ* hâc *Iridis* oratione, ita *Dionysius Halicarnasseus:* Λέγειν μὲν βούλεται, εὐπρεπῶς δὲ λέγει. —— Τὸν λέγοντα, ζητεῖν εὐπρεπῶς λέγειν, δείκνυσιν ἐπὶ τῆς Ἴριδος· —— Παραινεῖ αὐτῷ ἡ Ἶρις εὐπρεπέστερον λέγειν, ἵν' ἀκινδυνότερος ὁ λόγος ᾖ. —— "Οὕτω γὰρ δή τοι ——;" Καὶ τὴν ἀπειλὴν αὐτῷ ἐπάγει, ὀνόματι ἑνὶ λέγουσα, "Διῒ "μῦθον." *Dion. Halicarn.* Τέχνη, § 9.

Ibid. —— κυανοχαῖτα.] Vide suprà ad ά, 43, 58, 528.

Ver. 203. —— στρεπταὶ μέν τε φρένες ἐσθλῶν.] *Al.* στρεπταὶ γάρ τοι φρένες.
—— στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί. ί, 493.
—— ἀκεσταί τοι φρένες ἐσθλῶν. ν', 115.

Οἶσθ᾽, ὡς πρεσβυτέροισιν Ἐριννύες αἰὲν ἕπονται.
Τὴν δ᾽ αὖτε προσέειπε Ποσειδάων ἐνοσίχθων·
Ἶρι θεὰ, μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες·
Ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ᾽ ἄγγελος αἴσιμα εἰδῇ·
Ἀλλὰ τόδ᾽ αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
Ὁππόταν ἰσόμορον καὶ ὁμῇ πεπρωμένον αἴσῃ
Νεικείειν ἐθέλῃσι χολωτοῖσιν ἐπέεσσιν.
Ἀλλ᾽ ἤτοι νῦν μέν κε νεμεσσηθεὶς ὑποείξω·
Ἄλλο δέ τοι ἐρέω, καὶ ἀπειλήσω τόγε θυμῷ,
Αἴκεν ἄνευ ἐμέθεν καὶ Ἀθηναίης ἀγελείης,
Ἥρης, Ἑρμείω τε, καὶ Ἡφαίστοιο ἄνακτος,
Ἰλίου αἰπεινῆς πεφιδήσεται, οὐδ᾽ ἐθελήσει
Ἐκπέρσαι, δοῦναι δὲ μέγα κράτος Ἀργείοισιν·
Ἴστω τοῦθ᾽, ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται.
Ὣς εἰπὼν, λίπε λαὸν Ἀχαιϊκὸν Ἐννοσίγαιος·
Δῦνε δὲ πόντον ἰὼν, πόθεσαν δ᾽ ἥρωες Ἀχαιοί.
Καὶ τότ᾽ Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς·
Ἔρχεο νῦν, φίλε Φοῖβε, μεθ᾽ Ἕκτορα χαλκοκορυστήν·

" Nôsti, quòd majoribus-natu Erinnyes semper asseclae sunt."
Hanc autem vicissim allocutus est Neptunus terrae-quassator:
" Iri dea, valdè hoc verbum rectè dixisti:
" Bonum et illud est, quandò nuncius utilia nôrit:
" Sed hic gravis dolor cor et animum *meum* occupat,
" Cùm parem-sorte et pari destinatum fato
" Objurgare vult iracundis verbis.
" At sanè nunc quidem, indignatus licèt, cedam:
" Aliud verò tibi dicam, et minabor illud animo;
" Si quidem invitis me et Minervâ praedatrice,
" Junone, Mercurioque, et Vulcano rege,
" Ilio excelso parcet, neque volet
" Evertere, dareque magnam victoriam Argivis;
" Sciat hoc, nobis insanabilem iram fore."
Sic fatus, liquit exercitum Achaicum Neptunus:
Subiitque pontum profectus; desiderabant verò *eum* heroës Achivi.
Et tunc Apollinem allocutus est nubes-cogens Jupiter:
" Vade nunc, dilecte Phoebe, ad Hectorem aere-armatum:

Ver. 204. Οἶσθ, ὡς.] Vide suprà ad ά, 537.

Ver. 206. —— ἔειπες.] *Al.* ἔειπας· ut et alibi sæpè.

Ver. 207. —— τέτυκται.] Vide suprà ad ά, 37.

Ver. 211. — νεμεσσηθεὶς.] Schol. inedita, in cod. *Harleiano*, à *Tho. Bentleio* communicata: τὴν νέμεσιν εὐλαβηθείς. Vide infrà, *ver.* 227.

Ver. 212 —— 217. Ἄλλο δέ —— χόλος ἔσται.] Hosce sex versiculos rejecerunt nonnulli: Rationibus admodùm ineptis; ut ostendit *Eustathius.*

Ver. 213. —— ἄνευ ἔμεθεν καὶ Ἀθηναίης.] *Al.* ἄνευθεν ἐμεῖο, Ἀθηναίης τ᾽.

Ibid. —— ἀγελείης.] Vide suprà ad δ΄, 128.

Ver. 214. —— Ἑρμείω τε.] *Al.* Ἑρμείεω τε. Quod pronuntiatu idem est.

Ver. 218. Ὣς εἰπὼν, λίπε λαὸν —— Δῦνε δὲ πόντον.]

Tantum effata, caput glauco contexit amictu,
Multa gemens, et se fluvio Dea condidit alto. *Æn.* XII, 855.

Ver. 220. —— νεφεληγερέτα.] Vide suprà ad ά, 175.

Ἤδη μὲν γάρ τοι γαιήοχος Ἐννοσίγαιος
Οἴχεται εἰς ἅλα δῖαν, ἀλευάμενος χόλον αἰπὺν
Ἡμέτερον· μάλα γάρ κε μάχης ἐπύθοντο καὶ ἄλλοι,
Οἵπερ νέρτεροί εἰσι θεοὶ, Κρόνον ἀμφὶς ἐόντες.
Ἀλλὰ τόδ' ἠμὲν ἐμοὶ πολὺ κέρδιον, ἠδέ οἱ αὐτῷ
Ἔπλετο, ὅττι πάροιθε νεμεσσηθεὶς ὑπόειξε
Χεῖρας ἐμάς· ἐπεὶ οὔ κεν ἀνιδρωτί γ' ἐτελέσθη.
Ἀλλὰ σύ γ' ἐν χείρεσσι λάβ' Αἰγίδα θυσσανόεσσαν,
Τὴν μάλ' ἐπισσείων, φοβέειν ἥρωας Ἀχαιούς.
Σοὶ δ' αὐτῷ μελέτω, Ἑκατηβόλε, φαίδιμος Ἕκτωρ·
Τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα, ὄφρ' ἂν Ἀχαιοὶ
Φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκωνται·
Κεῖθεν δ' αὐτὸς ἐγὼ φράσομαι ἔργον τε ἔπος τε,
Ὥς κε καὶ αὖτις Ἀχαιοὶ ἀναπνεύσωσι πόνοιο.
Ὣς ἔφατ'· οὐδ' ἄρα πατρὸς ἀνηκούστησεν Ἀπόλλων·
Βῆ δὲ κατ' Ἰδαίων ὀρέων, ἴρηκι ἐοικὼς
Ὠκέϊ, φασσοφόνῳ, ὅστ' ὤκιστος πετεηνῶν·
Εὗρ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,

" Jam enim terram-cingens terrae-quassator
" Abiit in mare vastum, evitans iram gravem
" Nostram: nam omninò alioqui pugnam audiissent et alii,
" Etiam qui inferi sunt dii, Saturnum circa existentes.
" Sed hoc et mihi multò satius, et illi ipsi
" Est; quòd antè veritus cessit
" Manus meas: quippe haud sine-sudore perfecta-fuisset-*res*.
" Sed tu quidem manibus accipe Aegidem fimbriatam,
" Quâ admodùm incussâ terreas heroas Achivos.
" Tibi verò ipsi curae sit, ô *Apollo* è-longinquo-feriens, illustris Hector:
" Tantisper enim ei excita robur magnum, dum Achivi
" Fugientes ad navesque et Hellespontum pervenerint:
" Exindè verò ipse ego consultabo opereque verbisque,
" Ut et vicissim Achivi respirent à labore."
Sic dixit: neque sanè patri non-obsequutus est Apollo:
Descendit verò ab Idaeis montibus, accipitri similis
Celeri, columbarum-occisori, qui celerrimus volucrum:
Invenit filium Priami bellicosi Hectorem nobilem

Ver. 225. —— νέρτεροι.] *Al.* ἐνέρτεροι.

Ver. 226. ——— ἐμοὶ ———, ἠδέ οἱ αὐτῷ.] Ἐμοὶ μὲν, διὰ τὸ μὴ τιμωρήσασθαι· ἐκείνῳ δὲ, διὰ τὸ μὴ βληθῆναι. Τὸ γὰρ " ἀνιδρωτὶ," ἐπὶ Ποσειδῶνος κεῖται. Schol. inedita, in Cod. *Harleiano*, à *Th. Bentleio* communicata.

Ver. 227. ——— νεμεσσηθεὶς ὑπόειξε Χεῖρας ἐμάς.] Νεμεσσηθεὶς, —— εὐλαβηθεὶς τὴν νέμεσιν. Τὸ δὲ, χεῖρας ἐμὰς, μετὰ τοῦ νεμεσσηθεὶς συντακτέον μᾶλλον, ἤπερ μετὰ τοῦ ὑπόειξεν. *Eustath.*

Ver. 230. Τὴν μάλ'.] Cod. *Harleian.* Τῇ μάλ'· Scholia ibidem, inedita; Διὰ ταύτης.

Ver. 232. —— οὖν.] *Ut dixi; Ut decrevi; Ut statui* ———.

Ver. 234. —— φρασόμαι.] Vide suprà ad ά, 140.

Ibid. —— ἔργον τε ἔπος τε.] Vide suprà ad ά, 395.

Ver 235. Ὥς κε.] *Al.* Ὥστε.

Ver. 236. —— ἄρα.] *Ut solitus erat; Ut æquum erat; Ut par erat* ———.

Ver. 238. —— ὅστ'.] *Qui utique*, ———.

Ver. 239. Εὗρ' υἱὸν.] Constructio hæc asyndetos, *celeritatem* optimè depingit proficiscentis.

Ἥμενον, οὐδ᾽ ἔτι κεῖτο· νέον δ᾽ ἐσαγείρατο θυμὸν,
Ἀμφὶ ἓ γινώσκων ἑτάρους· ἀτὰρ ἆσθμα καὶ ἱδρὼς
Παύετ᾽, ἐπεί μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο.
Ἀγχοῦ δ᾽ ἱστάμενος προσέφη ἑκάεργος Ἀπόλλων·
Ἕκτορ, υἱὲ Πριάμοιο, τίη δὲ σὺ νόσφιν ἀπ᾽ ἄλλων
Ἧσ᾽ ὀλιγηπελέων; ἦ πού τί σε κῆδος ἱκάνει;
Τὸν δ᾽ ὀλιγοδρανέων προσέφη κορυθαίολος Ἕκτωρ·
Τίς δὲ σύ ἐσσι, φέριστε θεῶν, ὅς μ᾽ εἴρεαι ἄντην;
Οὐκ ἀΐεις, ὅ με νηυσὶν ἐπὶ πρύμνῃσιν Ἀχαιῶν,
Οὓς ἑτάρους ὀλέκοντα, βοὴν ἀγαθὸς βάλεν Αἴας
Χερμαδίῳ πρὸς στῆθος, ἔπαυσε δὲ θούριδος ἀλκῆς;
Καὶ δὴ ἔγωγ᾽ ἐφάμην νέκυας καὶ δῶμ᾽ Ἀΐδαο
Ἤματι τῷδ᾽ ὄψεσθαι, ἐπεὶ φίλον ἄϊον ἦτορ.
Τὸν δ᾽ αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·
Θάρσει νῦν, τοῖόν τοι ἀοσσητῆρα Κρονίων
Ἐξ Ἴδης προέηκε παρεστάμεναι καὶ ἀμύνειν,
Φοῖβον Ἀπόλλωνα χρυσάορον· ὅς σε πάρος περ

Sedentem; neque ampliùs jacebat; modò autem collegerat animum,
Circum se agnoscens socios: anhelitus verò et sudor
Cessârat, quandò ipsum reficiebat Jovis voluntas Aegiochi.
Propè autem stans allocutus est longè-jaculans Apollo:
" Hector, fili Priami, curnam tu seorsùm ab aliis
" Sedes viribus-defectus? nunquid aliquis te dolor invasit?"
Hunc autem languidus allocutus est pugnam-expeditè-ciens Hector:
" Quisnam verò tu es, optime deorum, qui me interrogas coram?
" Non audis, quòd me navium ad puppes Achivorum,
" Suos socios perdentem, pugnâ strenuus percussit Ajax
" Saxo in pectus, cessareque *me* fecit ab animosâ fortitudine?
" Et sanè ego putabam *me* mortuos et domum Plutonis
" Die hoc visurum; quippe charam expirabam animam."
Hunc autem vicissim allocutus est rex è-longinquo-feriens Apollo:
" Confide nunc, talem tibi adjutorem Saturnius
" Ex Idâ misit, astare *tibi* et auxiliari,
" Phoebum Apollinem aureo-gladio-conspicuum; qui te etiam anteà

Εὗρε Λυκάονος υἱὸν ——— δ΄, 89.
Εὗρ᾽ υἱὸν Πετεῶο ——— δ΄, 327.
Εὗρε Λυκάονος ——— ε΄, 169.

Ver. 240. —— ἐσαγείρατο.] Cod. *Harleian.* ἐσαγείρετο.

Ver. 243. —— ἑκάεργος.] Vide suprà ad α΄, 43 et 58.

Ver. 244. —— νόσφιν.] Vide suprà ad α΄, 349.

Ver. 245. Ἧσ᾽.] Vide suprà ad α΄, 565. et ad β΄, 191.

Ver. 248. — ὅ με.] Vide suprà ad α΄, 537.

Ver. 249. —— βοὴν ἀγαθὸς.] Vide suprà ad β΄, 408.

Ver. 252. —— ἄϊον ἦτορ.] "*Doricè,*" inquit *Barnesius,* "*pro* ἤϊον· *unde et Prior* "*longa, aliàs brevis.*" At *Dorica* ista, Homero prorsùs ignota. Ἀΐω, vocalem primam habet *longam;* ut liquet ex versu quem citat ipse Barnesius:

Τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐω.
Sophocl. Aj. 1283.

Syllaba tamen ista prima *corripi* potest, propter sequentem Vocalem: Quâ de re, vide suprà ad *ver.* 24.

Ver. 256. Φοῖβον Ἀπόλλωνα χρυσάορον.] Vide suprà ad α΄, 43. et 58.

Armatumque auro ——. *Æn.* III, 517.

Ibid. ——— πάρος περ.] Cod. *Harleian.* πάρος γε.

Ῥύομ᾽, ὁμῶς αὐτόν τε καὶ αἰπεινὸν πτολίεθρον.
Ἀλλ᾽ ἄγε, νῦν ἱππεῦσιν ἐπότρυνον πολέεσσι,
Νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν ὠκέας ἵππους·
Αὐτὰρ ἐγὼ προπάροιθε κιὼν, ἵπποισι κέλευθον
Πᾶσαν λειανέω, τρέψω δ᾽ ἥρωας Ἀχαιούς.
Ὣς εἰπὼν, ἔμπνευσε μένος μέγα ποιμένι λαῶν.
Ὡς δ᾽ ὅτε τις στατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνῃ,
Δεσμὸν ἀποῤῥήξας θείει πεδίοιο κροαίνων,
Εἰωθὼς λούεσθαι ἐϋῤῥεῖος ποταμοῖο,
Κυδιόων, ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
Ὤμοις αΐσσονται· ὁ δ᾽ ἀγλαΐηφι πεποιθὼς,
Ῥίμφα ἑ γοῦνα φέρει μετά τ᾽ ἤθεα καὶ νομὸν ἵππων·
Ὣς Ἕκτωρ λαιψηρὰ πόδας καὶ γούνατ᾽ ἐνώμα,
Ὀτρύνων ἱππῆας, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν.
Οἱ δ᾽ ὥστ᾽ ἢ ἔλαφον κεραὸν, ἢ ἄγριον αἶγα
Ἐσσεύοντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται·

" Tueri-soleo, simul ipsumque et excelsam urbem.
" Sed age, nunc equites exhortare numerosos,
" Naves ad cavas ut agant veloces equos:
" At ego antè iens, equis viam
" Omnem complanabo, et vertam-in-fugam heroas Achivos."
Sic locutus, inspiravit robur magnum pastori populorum.
Ut verò cum stabulatus equus, hordeo-pastus ad praesepe,
Vinculo rupto currit per campum terram-pedibus-pulsans,
Consuetus lavari *in* pulchrè-fluenti fluvio,
Superbiens; altè verò caput fert, circúmque jubae
Humeros motantur; ipse autem pulchritudine-*corporis* fretus,
Facile ipsum genua ferunt ad loca-consueta et pascua equarum:
Sic Hector celeritèr pedes et genua movebat,
Concitans equites, postquam dei audivit vocem.
Sicuti verò vel in cervum cornutum, vel sylvestrem capram,
Incitatè-feruntur canesque et viri rustici;

Ver. 260. — *ἐγὼ —— κέλευθον Πᾶσαν λειανέω.*] Sol nimirùm verno tempore vias exsiccat et reficit.

Ver. 262. —— *ἔμπνευσε μένος μέγα.*] Vide suprà ad ν΄, 44. et ad κ΄, 482. et ad ί, 185.

Ver. 263—268. *Ὡς δ᾽ ὅτε τις —— Δεσμὸν ἀποῤῥήξας θείει —, καὶ νομὸν ἵππων.*] Pro *δεσμὸν ἀποῤῥήξας*, et *θείει*, alii habent, *δεσμὰ διαῤῥήξας*, et *θείοι* vel *θείῃ*. Cæterùm de toto hoc loco, vide suprà ad ζ΄, 506—511. Ubi iidem sex versus repetuntur, *Paridemque* luxuriantem et jactabundum illic paulò etiam aptiùs describunt, quàm *Hectorem* hîc ex vulnere gravissimo nuperrimè refectum. Quam ob causam, *οἱ παλαιοὶ*, inquit *Eustathius*, *δύο στίχους ἐνταῦθα μόνους ἐκ τῆς παραβολῆς δέχονται, τοὺς ἐν τῇ ἀρχῇ· τοὺς δὲ τέσσαρας ὀβελίζουσι, παρατιθέντες τῷ ὀβελῷ καὶ Ἀστερίσκον, ὡς ἀλλαχοῦ κάλλιστα κειμένων τῶν τοιούτων ἐπῶν, καὶ μὴ ἐνταῦθα.* Atquè hæc quidem rectè ex *Eustathio* exhibuit *Gallicè* Domina *Dacier*. Eadem autem deinceps ex sermone *Gallico*, propter clausulam errore Typographi malè interpunctam, *Anglicè* ita vertit *Popius*, ut dicat ex hisce *sex* versiculis Antiquos, hoc quidem in loco, *duos* tantùm *et quatuor* retinuisse.

Ver. 271. *Οἱ δ᾽ ὥστ᾽.*] Ita Vulgati. *Mihi* ad orationis elegantiam spectandam pertinere videtur, ut scribatur Οἱ δ᾽, *ὥστ᾽* ——. Nempè ut vox *Δαναοὶ*, *ver.* 277. repetitio intelligatur hujus Οἱ δ᾽. Quod proinde hoc in loco rectè verti poterit, *Danai autem*, ——.

Ibid. — *κεραὸν, ἤ.*] Vide suprà ad ά, 51.

Ver. 272. *Ἐσσεύοντο.*] *Irruere solent; Persequi solent* ——. Vide suprà ad ν΄, 84. et ad ά, 37.

Τὸν μέν τ' ἠλίβατος πέτρη καὶ δάσκιος ὕλη
Εἰρύσατ', οὐδ' ἄρα τέ σφι κιχήμεναι αἴσιμον ἦεν·
Τῶν δέ θ' ὑπαὶ ἰαχῆς ἐφάνη λῖς ἠϋγένειος
Εἰς ὁδὸν, αἶψα δὲ πάντας ἀπέτραπε καὶ μεμαῶτας·
Ὣς Δαναοὶ, εἵως μὲν, ὁμιλαδὸν αἰὲν ἕποντο,
Νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν·
Αὐτὰρ ἐπεὶ ἴδον Ἕκτορ' ἐποιχόμενον στίχας ἀνδρῶν,
Τάρβησαν, πᾶσιν δὲ παραὶ ποσὶ κάππεσε θυμός.
  Τοῖσι δ' ἔπειτ' ἀγόρευε Θόας, Ἀνδραίμονος υἱὸς,
Αἰτωλῶν ὄχ' ἄριστος, ἐπιστάμενος μὲν ἄκοντι,
Ἐσθλὸς δ' ἐν σταδίῃ· ἀγορῇ δέ ἑ παῦροι Ἀχαιῶν
Νίκων, ὁππότε κοῦροι ἐρίσσειαν περὶ μύθων·
Ὅς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
  Ὦ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
Οἷον δ' αὖτ' ἐξαῦτις ἀνέστη, κῆρας ἀλύξας,
Ἕκτωρ· ἦ θήν μιν μάλα ἔλπετο θυμὸς ἑκάστου,
Χερσὶν ὑπ' Αἴαντος θανέειν Τελαμωνιάδαο·
Ἀλλά τις αὖτε θεῶν ἐρρύσατο καὶ ἐσάωσεν
Ἕκτορ', ὃ δὴ πολλῶν Δαναῶν ὑπὸ γούνατ' ἔλυσεν·
Ὡς καὶ νῦν ἔσσεσθαι ὀΐομαι· οὐ γὰρ ἄτερ γε
Ζηνὸς ἐριγδούπου πρόμος ἵσταται, ὧδε μενοινῶν.

Atque hunc quidem excelsa petra et densè-umbrosa sylva
Servat, neque enim ipsis *eum* prehendere in-fatis erat;
Horum autem clamore-*excitatus* apparet leo maxillis-terribilibus
Ad viam, statimque omnes avertit, ardentèr licèt persequentes;
Sic Danai, hactenùs quidem, catervatim perpetuò sequebantur,
Ferientes ensibusque et hastis utrinque-acutis:
Sed postquam viderunt Hectorem obeuntem ordines virorum,
Metu-perculsi sunt, omnibusque in pedes decidit animus.
Iis autem dein concionatus est Thoas, Andraemonis filius,
Aetolorum longè praestantissimus, peritus quidem jaculo-*pugnandi*,
Strenuusque etiam in statariâ *pugnâ*; concione verò ipsum pauci Achivorum
Vincebant, quandò juvenes contenderent de eloquentiâ:
Qui *utique* inter illos prudens concionatus est et dixit:
" O dii, profectò ingens miraculum hoc oculis video:
" Cùm ita jam de integro exsurrexit, morte evitatâ,
" Hector: Atqui ipsum omninò sperabat animus cujusque,
" Manibus sub Ajacis mortuum esse Telamoniadae:
" Sed aliquis rursùs deorum liberavit et servavit
" Hectorem, qui profectò multorum Danaorum genua solvit:
" Quemadmodum et nunc itidem-fore puto; non enim sine
" Jove altitonante primus-inter-pugnatores stat, adeò animo-incitatus.

Ver. 273. — ὕλη.] Vide suprà ad γ', 151.

Ver. 274. ——— οὐδ' ἄρα τέ.] *Ac proinde non* ———.

Ver. 276. —— μεμαῶτας.] Vide suprà ad γ', 46.

Ver. 290. — ἐρρύσατο.] *Al.* ἐῤῥύσσατο, *vel* εἰρύσσατο.

Ver. 291. — ὃ δή.] *Qui sane; qui profectò*, —.

Ibid. — Δαναῶν.] Ἀνδρῶν, MSS. *Florentin.* et *Vatican.* à *Tho. Bentleio* collati.

Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
Πληθὺν μὲν προτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι·
Αὐτοὶ δ', ὅσσοι ἄριστοι ἐνὶ στρατῷ εὐχόμεθ' εἶναι,
Στείομεν, εἴ κε πρῶτον ἐρύξομεν ἀντιάσαντες,
Δούρατ' ἀνασχόμενοι· τὸν δ' οἴω καὶ μεμαῶτα
Θυμῷ δείσεσθαι Δαναῶν καταδῦναι ὅμιλον.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.
Οἱ μὲν ἄρ' ἀμφ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα,
Τεῦκρον, Μηριόνην τε, Μέγην τ' ἀτάλαντον Ἄρηϊ,
Ὑσμίνην ἤρτυνον, ἀριστῆας καλέσαντες,
Ἕκτορι καὶ Τρώεσσιν ἐναντίον· αὐτὰρ ὀπίσσω
Ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο.
Τρῶες δὲ προὔτυψαν ἀολλέες· ἦρχε δ' ἄρ' Ἕκτωρ
Μακρὰ βιβάς· πρόσθεν δὲ κί' αὐτοῦ Φοῖβος Ἀπόλλων,
Εἱμένος ὤμοιϊν νεφέλην, ἔχε δ' αἰγίδα θοῦριν,
Δεινὴν, ἀμφιδάσειαν, ἀριπρεπέ', ἣν ἄρα χαλκεὺς
Ἥφαιστος Διῒ δῶκε φορήμεναι ἐς φόβον ἀνδρῶν·
Τὴν ἄρ' ὅγ' ἐν χείρεσσιν ἔχων, ἡγήσατο λαῶν.

"Sed agite, sicut ego dixero, pareamus omnes:
"Multitudinem quidem ad naves jubeamus redire:
"Ipsi verò, quotquot fortissimos in exercitu profitemur *nos* esse,
"Stemus; si quâ primùm arcere poterimus, occurrentes
"Hastis cum elevatis; hunc autem puto, ardentem licèt,
"Animo veriturum Danaorum ingredi multitudinem."
Sic dixit: Illique ei maximè quidem auscultârunt et paruerunt.
Itaque Ajax et Idomeneus rex,
Teucer, Merionesque, Megesque par Marti,
Ad pugnam copias-instruebant, proceribus convocatis,
Hectorem et Trojanos contra: sed retrò
Multitudo-*imbecillior* ad naves Achivorum redibant.
Trojani verò priores in-eos-impetum-fecerunt conferti; praeibat autem Hector
Passibus-magnis gradiens; anteibat autem ipsum Phoebus Apollo,
Indutus humeros nube, tenebatque aegidem impetuosè-versatilem,
Horrendam, undique-hirtam, insignem, quam faber
Vulcanus Jovi dederat gestandam, ad fugandos-*in-pugnâ* viros:
Hanc ille in manibus tenens, praeibat copiis.

Ver. 294. —— ἐγὼν.] *Al.* ἐγώ.
Ver. 295. —— προτὶ.] *Al.* ποτί.
Ibid. —— ἀπονέεσθαι.] Vide suprà ad ά, 398.
Ver. 297. —— ἀντιάσαντες.] Vide suprà ad ά, 67.
Ver. 298. —— μεμαῶτα.] Vide suprà ad ν', 46.
Ver. 300. —— ἄρα.] *Ut fit* ——.
Ver. 301. —— Οἱ —— ἀμφ' Αἴαντα.] Vide suprà ad γ', 146. *Al.* Αἴαντι.
Ver. 302. —— ἀτάλαντον.] Vide suprà ad β, 627.
Ver. 305. — ἀπονέοντο.] Vide suprà ad ά, 398.
Ver. 306. — ἄρ'.] *Ut par erat; Ut solebat,* —.
Ver. 307. —— βιβάς· —— δὲ κί'.] *Al.* βιβῶν· —— δ' ἔκι'.
Ver. 308. —— αἰγίδα.] *Al.* ἀσπίδα. Quod videtur esse commentum.
Ver. 309. — ἣν ἄρα.] *Quippe quam; Quam utique,* ——.
Ver. 311. τὴν ἄρ'.] *Hanc, inquam,* ——.

Ἀργεῖοι δ' ὑπέμειναν ἀολλέες· ὦρτο δ' ἀϋτὴ
Ὀξεῖ' ἀμφοτέρωθεν· ἀπὸ νευρῆφι δ' ὀϊστοὶ
Θρῶσκον· πολλὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν,
Ἄλλα μὲν ἐν χροῒ πήγνυτ' ἀρηϊθόων αἰζηῶν·
Πολλὰ δὲ καὶ μεσσηγὺ, πάρος χρόα καλὸν ἐπαυρεῖν,
Ἐν γαίῃ ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι.
Ὄφρα μὲν αἰγίδα χερσὶν ἔχ' ἀτρέμα Φοῖβος Ἀπόλλων,
Τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πίπτε δὲ λαός·
Αὐτὰρ ἐπεὶ κατενῶπα ἰδὼν Δαναῶν ταχυπώλων
Σεῖσ', ἐπὶ δ' αὐτὸς ἄϋσε μάλα μέγα, τοῖσι δὲ θυμὸν
Ἐν στήθεσσιν ἔθελξε, λάθοντο δὲ θούριδος ἀλκῆς.
Οἱ δ' ὥστ' ἠὲ βοῶν ἀγέλην, ἢ πῶϋ μέγ' οἰῶν
Θῆρε δύω κλονέουσι, μελαίνης νυκτὸς ἀμολγῷ,
Ἐλθόντ' ἐξαπίνης, σημάντορος οὐ παρεόντος·
Ὣς ἐφόβηθεν Ἀχαιοὶ ἀνάλκιδες· ἐν γὰρ Ἀπόλλων
Ἧκε φόβον, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζεν.

Argivi verò, impetum-sustinuerunt conferti; excitatus est autem clamor
Acutus utrinque: à nervis verò sagittae
Exiliebant; multaque hastilia fortibus è manibus,
Alia quidem in corpore figebantur bellicosorum juvenum;
Multa verò et in-medio, antequam corpus pulchrum attingerent,
In terrâ stabant-*fixa*, cupientia corpore se saturare.
Ac quamdiù quidem aegida manibus tenebat immotam Phoebus Apollo,
Tamdiù valdè utrosque tela attingebant, cadebatque populus:
Sed postquam in-vultum rectà-intuens Danaorum equitum-pernicium
Aegidem concussit, ipseque insuper clamavit *voce* admodum ingenti; tum illis animos
In pectoribus debilitavit, oblitique sunt strenuae fortitudinis.
Sicuti autem vel boum armentum, vel gregem magnum ovium
Ferae duae turbant, nigrâ in nocte intempestâ,
Adventu repentino, custode non praesente:
Sic fugati sunt Achivi imbelles: Iis enim Apollo
Immisit terrorem, Trojanis autem et Hectori gloriam dedit.

Ver. 313. —— ἀπὸ νευρῆφι.] Vide suprà ad ν′, 588. Cæterùm quâ ratione hîc, ἀπὸ, ultimam producat; item μάλα, *ver.* 321; vide suprà ad ά, 51. n. 8.

Ver. 316. —— καλὸν.] Vide suprà ad β′, 43. Alii autem hîc scribunt, λευκόν.

Ver. 317. —— λιλαιόμενα χροὸς ἆσαι.] Ἐν πᾶσι δὲ τὸ Ἐνέργειαν ποιεῖν, εὐδοκιμεῖ· οἷον ἐν τοῖσδε, —— "ἐπιπτέσθαι μενεαίνων" —— καὶ "λιλαιόμενα χροὸς ἆσαι." Ἐν πᾶσι γὰρ τούτοις, διὰ τὸ ἔμψυχα εἶναι, ἐνεργοῦντα φαίνεται. *Aristot. Rhetoric. lib.* 3. *cap.* 11. Οἱ ποιηταὶ, —— πρὸς τὰς ἐμφάσεις καὶ τὰς μιμήσεις καὶ ὀνοματοποιΐας, χρῶνται καὶ μεταφοραῖς· —— λέγοντες καὶ τὰ βέλη φέρεσθαι "λιλαιόμενα χροὸς ἆσαι." *Plutarch. Symposiac. lib.* 9. *Probl.* 15.

Hasta —— altè *bibit* acta cruorem.
Æn. XI, 804.

Ver. 320. —— κατενῶπα ἰδὼν Δαναῶν.] Sol nimirùm Achivis tum fortè oculos perstrinxit.

Ver. 321. —— τοῖσι δὲ.] *Tum verò illis* —. Vide suprà ad ά, 57. ad γ′, 200. et ad θ′, 160.

Ver. 323. Οἱ δ' ὥστ'.] Οἱ δ', ὥστ'. Vide suprà ad *ver.* 271.

Ver. 324. —— δύω.] Ut intelligantur videlicèt comparatè *Hector* et *Apollo*.

Ibid. —— κλονέουσι.] *Al.* κλονέωσι.

Ver. 326. —— Ὣς ἐφόβηθεν Ἀχαιοὶ ——· ἐν γὰρ Ἀπόλλων Ἧκε φόβον.]

———— hæc cernens, arcum intendebat Apollo
Desuper: omnis eo terrore ———
———, omnes vertebant terga Sabaei.
Æn. VIII, 704.

Ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα, κεδασθείσης ὑσμίνης·
Ἕκτωρ μὲν Στιχίον τε καὶ Ἀρκεσίλαον ἔπεφνε,
Τὸν μὲν, Βοιωτῶν ἡγήτορα χαλκοχιτώνων·
Τὸν δὲ, Μενεσθῆος μεγαθύμου πιστὸν ἑταῖρον.
Αἰνείας δὲ Μέδοντα καὶ Ἴασον ἐξενάριξεν·
Ἤτοι ὁ μὲν, νόθος υἱὸς Ὀϊλῆος θείοιο
Ἔσκε Μέδων, Αἴαντος ἀδελφεός· αὐτὰρ ἔναιεν
Ἐν Φυλάκῃ, γαίης ἄπο πατρίδος, ἄνδρα κατακτὰς
Γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ' Ὀϊλεύς·
Ἴασος αὖτ', ἀρχὸς μὲν Ἀθηναίων ἐτέτυκτο,
Υἱὸς δὲ Σφήλοιο καλέσκετο Βουκολίδαο.
Μηκιστῆ δ' ἕλε Πουλυδάμας, Ἐχίον δὲ Πολίτης
Πρώτῃ ἐν ὑσμίνῃ, Κλονίον δ' ἕλε δῖος Ἀγήνωρ.
Δηΐοχον δὲ Πάρις βάλε νείατον ὦμον ὄπισθε,
Φεύγοντ' ἐν προμάχοισι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν.
Ὄφρ' οἱ τοὺς ἐνάριζον ἀπ' ἔντεα, τόφρα δ' Ἀχαιοὶ
Τάφρῳ, καὶ σκολόπεσσιν, ἐνιπλήξαντες ὀρυκτῇ,
Ἔνθα καὶ ἔνθα φέβοντο· δύοντο δὲ τεῖχος ἀνάγκῃ.

Tum verò vir interfecit virum, dissipatâ acie:
Hector quidem Stichiumque et Arcesilaum occidit;
Hunc quidem, Boeotorum ductorem aere-loricatorum;
Illum verò, Menesthei magnanimi fidum socium.
Aeneas autem Medonta et Iasum interfecit:
Ac quidem nothus filius Oïlei divini
Erat Medon, Ajacis frater; habitabat autem
In Phylace terrâ, procul à patriâ, virum cùm occidisset
Fratrem novercae Eriopidis, quam habebat Oïleus:
Iasus verò, dux quidem Atheniensium erat,
Filius autem Spheli vocabatur Bucolidae.
Mecisteum autem occidit Polydamas, Echiumque Polites
Primâ in acie, Cloniumque interemit nobilis Agenor.
Deïochum porrò Paris percussit extremum in humerum à-tergo,
Fugientem inter propugnatores; penitùs autem aes adegit.
Dum *autem* hi illos spoliabant armis, interim Achivi
In fossam et palos delapsi profundam,
Huc et illuc fugiebant, introibantque murum, necessitate-*adacti*.

Ver. 336. —— ἣν ἔχ' Ὀϊλεύς.] Cod. *Harleian.* ἣν εἶχ' Οἰλεὺς, vel, (ut alii scripserunt, notante *Eustathio*,) Ἰλεύς.

Ver. 338. —— Σφήλοιο καλέσκετο.] Quoniam *Homerus* aliàs scribit καλέεσκον, et καλέεσκε, ideò *Barnesius* et hîc edidit, Σφήλου καλέεσκετο. Quod etsi analogiâ non improbabili, sine codicibus tamen factum non oportuit. Nam quâ ratione οἴχνεσκον, ί, 790. et οἴχνεσκε, hujus libri *ver.* 640. scriptum legimus; eâdem ratione κάλεσκε, et κάλεσκετο, scribi potuit. Non, quod commentus est *Barnesius*, ex καλίσκω et οἰχνίσκω, quae nulla sunt; sed ex καλέω et οἰχνέω.

Ver. 339. Μηκιστῆ.] Fortè scripserit *Homerus* Μηκιστέα· Quod et ipsum pronuntiabatur Μηκιστῆ. Attamen Τυδῆ eâdem formâ occurrit, δ', 384; nisi et ibi fortè scribendum Τυδέα, pronuntiandum Τυδῆ. Nam Τυδέα, Θησέα, Πηλέα, et similia, ultimam semper *producunt* necessariò. Vide suprà ad ά, 265.

Ver. 343. —— τόφρα δ'.] *Barnesius* edidit, τοφράδ'. Nam, τὸ "Δὲ," *inquit*, παρέλκει. Quod est ineptissimum. Vide suprà ad ά, 57. ad γ', 200. et ad θ', 160.

Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο, μακρὸν ἀΰσας,
Νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ' ἔναρα βροτόεντα·
Ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω,
Αὐτοῦ οἱ θάνατον μητίσσομαι, οὐδέ νυ τόν γε
Γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα,
Ἀλλὰ κύνες ἐρύουσι πρὸ ἄστεος ἡμετέροιο.
Ὣς εἰπὼν, μάστιγι κατωμαδὸν ἤλασεν ἵππους,
Κεκλόμενος Τρώεσσι κατὰ στίχας· οἱ δὲ, σὺν αὐτῷ
Πάντες ὁμοκλήσαντες, ἔχον ἐρυσάρματας ἵππους,
Ἠχῇ θεσπεσίῃ· προπάροιθε δὲ Φοῖβος Ἀπόλλων
Ῥεῖ' ὄχθας καπέτοιο βαθείης ποσσὶν ἐρείπων

Hector autem Trojanos hortabatur, altùm clamans,
In naves ut irruerent, omitterentque spolia sanguinolenta:
" Quem autem, *inquiebat*, ego seorsùm à navibus alibi animadvertero,
" Ibi ei mortem moliar, neque sanè eum
" Fratresque sororesque rogi participem-facient mortuum,
" Sed canes *eum* distrahent ante urbem nostram."
Sic fatus, scuticâ super-humeros feriens-impulit equos,
Adhortans Trojanos per ordines: illi verò, cum ipso
Omnes-minacitèr-clamantes, dirigebant trahentes-currum equos,
Clamore immenso: ante autem Phoebus Apollo
Facile labra fossae profundae pedibus proruens

Ver. 348. Ὃν δ' ἂν ἐγὼν.] Γίνεται δὲ —— καὶ κατὰ πρόσωπα μεταβολὴ, ——— ὅταν, τὸ νῦν ἐάσας, ἀφ' ἑτέρου ἐφ' ἕτερον πρόσωπον μεταβῇ· —— Τῷ δὲ μιμητικῷ, κινεῖ καὶ ἄγει τὸν ἀκροώμενον. Οἷόν ἐστιν, —— " Ἕκτωρ δὲ, — Ὃν " δ' ἂν ἐγὼν —." Ἀπὸ γὰρ τοῦ διηγηματικοῦ μετέβαλεν εἰς τὸ μιμητικόν. *Dion. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 8. Ἔτί γε μὴν ἔσθ' ὅτε περὶ προσώπου διηγούμενος ὁ συγγραφεὺς, ἐξαίφνης παρενεχθεὶς, εἰς τὸ αὐτὸ πρόσωπον [*al.* αὐτοπρόσωπον] ἀντιμεθίσταται· καὶ ἔστι τὸ τοιοῦτον εἶδος, ἐμβολή τις πάθους. " Ἕκτωρ δὲ, — " Ὃν δ' ἂν ἐγὼν —" Οὐκοῦν τὴν μὲν διήγησιν, ἅτε πρέπουσαν, ὁ ποιητὴς προσῆψεν ἑαυτῷ· τὴν δ' ἀπότομον ἀπειλὴν, τῷ θυμῷ τοῦ ἡγεμόνος ἐξαπίνης, οὐδὲν προδηλώσας, περιέθηκεν. Ἐψύχετο γὰρ, εἰ παρενετίθει, " Ἔλεγε δὲ τοῖά τινα, " καὶ τοῖα ὁ Ἕκτωρ." Νυνὶ δὲ ἔφθακεν ἄφνω τὸν μεταβαίνοντα, ἡ τοῦ λόγου μετάβασις. Διὸ καὶ ἡ πρόσχρησις τοῦ σχήματος τότε, ἡνίκα ὀξὺς ὁ καιρὸς ὢν, διαμέλλειν [*al.* διαμένειν] τῷ γράφοντι μὴ διδῷ, ἀλλ' εὐθὺς ἐπαναγκάζῃ μεταβαίνειν ἐκ προσώπων εἰς πρόσωπα. *Longin.* § 27. " Hæc schemata — et convertunt in " se auditorem, nec languere patiuntur, sub" inde aliquâ notabili figurâ excitatum." *Quintilian. lib.* 9. *cap.* 3. Imitatus est hoc schema *Virgilius:*

——— et cava tempora ferro
Trajicit: " I, verbis virtutem illude su-
" perbis." *Æn.* IX, 634.

Ubi (ut rectè notavit *Tollius*) si, quod reticetur, [" *et subjicit,*"] adjeceris; totus ille indignantis animi impetus, velut injectis pedicis retinebitur infringeturque, omnisque decor sententiæ corrumpetur. Est et aliud (notante eodem *Tollio* ad locum jam è *Longino* citatum,) apud *Horatium:*

——— conspexit, ut aiunt,
Adrasum quendam, vacuâ tonsoris in umbrâ
Cultello proprios purgantem leniter ungues;
" Demetri, puer ———
" —— abi, quære, et refer; unde domo,
" quis?" *Lib.* 1. *Epist.* 7.

Ubi, si itidem illa quæ subintelliguntur, [" *et* " *vocans puerum suum Demetrium, dixit,*"] addideris; quantum sententiæ venustati decessurum sit, facilè advertes.

Ibid. — ἑτέρωθι νοήσω.] *Dionys. Halicarn.* loco jam suprà citato, legit, ἑτέρωσε νοήσω. *Tollius* in *Vaticanis* duobus *Longini* MSS. repperit, ἐθέλοντα νοήσω. " Quod, *inquit*, mi" hi diutiùs considerandum videtur." At hoc unde acciderit, videre est suprà ad β', 391.

Ver. 351. —— κύνες ἐρύουσι.] *Al.* ἐρύσουσι. Cæterùm quâ ratione, κύνες, hîc ultimam producat; item ἔχον, *ver.* 354. et ὥστε, *ver.* 381. vide suprà ad ά, 51. n. 8.

Ver. 353. —— Τρώεσσι κατὰ.] *Al.* Τρώεσσιν ἐπί.

Ἐς μέσσον κατέβαλλε· γεφύρωσεν δὲ κέλευθον
Μακρὴν, ἠδ' εὐρεῖαν, ὅσον τ' ἐπὶ δουρὸς ἐρωὴ
Γίγνεται, ὁππότ' ἀνὴρ σθένεος πειρώμενος ἥσει.
Τῇ ῥ' οἵγε προχέοντο φαλαγγηδὸν, πρὸ δ' Ἀπόλλων,
Αἰγίδ' ἔχων ἐρίτιμον· ἔρειπε δὲ τεῖχος Ἀχαιῶν
Ῥεῖα μάλ', ὡς ὅτε τις ψάμαθον πάϊς ἄγχι θαλάσσης,
Ὅστ' ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπιέῃσιν,
Ἂψ αὖτις συνέχευε ποσὶν καὶ χερσὶν, ἀθύρων.
Ὣς ῥα σὺ, ἤϊε Φοῖβε, πολὺν κάματον καὶ ὀϊζὺν
Σύγχεας Ἀργείων, αὐτοῖσι δὲ φύζαν ἐνῶρσας.
Ὣς οἱ μὲν παρὰ νηυσὶν ἐρητύοντο μένοντες,
Ἀλλήλοισί τε κεκλόμενοι, καὶ πᾶσι θεοῖσι
Χεῖρας ἀνίσχοντες, μεγάλ' εὐχετόωντο ἕκαστος.
Νέστωρ αὖτε μάλιστα, Γερήνιος, οὖρος Ἀχαιῶν,
Εὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα·
  Ζεῦ πάτερ, εἴποτέ τίς τοι ἐν Ἄργεΐ περ πολυπύρῳ
Ἢ βοὸς, ἢ οἴος κατὰ πίονα μηρία καίων,
Εὔχετο νοστῆσαι, σὺ δ' ὑπέσχεο καὶ κατένευσας·

In medium dejecit; munivitque-tanquam-ponte-facto viam
Longam et latam, quùm-longè hastae jactus
Pertingit, cum vir roboris *sui* periculum-faciens jaculatur.
Hâc *viâ* illi profundebantur turmatim: antè verò *ibat* Apollo,
Aegidem habens venerandam: diruebat autem murum Achivorum
Facilè admodùm, ut cùm quis arenam puer prope mare;
Qui postquam fecerit ludicra-puerilia animo infantis,
Deinceps iterùm destruit pedibus et manibus, lusitans.
Ita tu, arcitenens Phoebe, multum laborem et aerumnam *operosam*
Confudisti Argivorum, ipsisque trepidam-fugam immisisti.
Atque hoc-modo illi quidem ad naves compellebantur *tandem* se sistentes;
Invicemque adhortantes, et omnibus diis
Manus attollentes, altâ-voce vota-faciebant unusquisque.
Nestor autem maximè, Gerenius, custos Achivorum,
Precabatur, manus porrigens coelum versùs stellatum:
" Jupiter pater, si unquam aliquis tibi in Argo tritici-ferace,
" Vel bovis, vel ovis pinguia femora comburens,
" Precatus est ut-rediret, tu autem promisisti et annuisti;

Ver. 358. —— ὅσον τ'.] *Quàm longè utique* ——.

Ver. 359. Γίγνεται.] Ita *Barnesius* ex MSS. *Al.* γίνεται. Quod perinde est. Nam et id primam producit.

Ibid. —— σθένεος πειρώμενος.] Notandus hîc primigenius et maximè proprius *Vocis Mediæ* Usus: *Suarum sibi virium periculum faciens* ——.

Ibid. —— ἥσει.] *Al.* εἶσι et, ἧσι.

Ver. 363. Ὅστ' ἐπεὶ οὖν.] *Qui videlicèt postquam ex arenâ, quam dixi,* ——.

Ibid. —— ποιήσῃ.] Ita Cod. *Harleianus*; Atque ita edidit *Barnesius* ex duobus MSS. *Al.* ποιήσει. Quæ et ipsa loquendi ratio, *Homero* non inusitata.

Ver. 365. Ὣς ῥα.] *Sic, inquam,* ——.

Ibid. — ἤϊε.] *Al.* ἥϊε. Ὅτι πανταχοῦ ἵησιν ὁ ἥλιος τὴν ἀκτῖνα. Vide suprà ad ά, 43 et 75.

Ver. 371. —— οὐρανὸν ἀστερόεντα.]
— stellantis regia cœli. *Æn.* VII, 210.
— cœlum stellis fulgentibus aptum. *Æn.* XI, 202.

Ver. 372. Ζεῦ πάτερ.] Equidem continere me nequeo, quin vocem Romanam *Jupiter*, multò potiùs Ζεὺς πατὴρ esse credam, quàm *Juvans pater*.

Ver. 374. —— νοστῆσαι.] *Al.* νοστήσειν.

Τῶν μνῆσαι, καὶ ἄμυνον, Ὀλύμπιε, νηλεὲς ἦμαρ·
Μηδ' οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς.
  Ὣς ἔφατ' εὐχόμενος· μέγα δ' ἔκτυπε μητίετα Ζεὺς,
Ἀράων ἀΐων Νηληϊάδαο γέροντος.
Τρῶες δ', ὡς ἐπύθοντο Διὸς νόον αἰγιόχοιο,
Μᾶλλον ἐπ' Ἀργείοισι θόρον, μνήσαντο δὲ χάρμης.
Οἱ δ' ὥστε μέγα κῦμα θαλάσσης εὐρυπόροιο
Νηὸς ὑπὲρ τοίχων καταβήσεται, ὁππότ' ἐπείγῃ
Ἲς ἀνέμου· ἡ γάρ τε μάλιστά γε κύματ' ὀφέλλει·
Ὣς Τρῶες μεγάλῃ ἰαχῇ κατὰ τεῖχος ἔβαινον.
Ἵππους δ' εἰσελάσαντες, ἐπὶ πρύμνῃσι μάχοντο,
Ἔγχεσιν ἀμφιγύοις αὐτοσχεδὸν, οἱ μὲν ἀφ' ἵππων,
Οἱ δ' ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντες,
Μακροῖσι ξυστοῖσι, τά ῥά σφ' ἐπὶ νηυσὶν ἔκειτο
Ναύμαχα, κολλήεντα, κατὰ στόμα εἱμένα χαλκῷ.
  Πάτροκλος δ', εἵως μὲν Ἀχαιοί τε Τρῶές τε
Τείχεος ἀμφεμάχοντο θοάων ἔκτοθι νηῶν,
Τόφρ' ὅγ' ἐνὶ κλισίῃ ἀγαπήνορος Εὐρυπύλοιο
Ἧστό τε, καὶ τὸν ἔτερπε λόγοις, ἐπὶ δ' ἕλκεϊ λυγρῷ

" Horum memento; et arce, Olympie, saevum diem:
" Neque sic à Trojanis sinas domari Achivos."
Sic dixit orans: grande autem intonuit providus Jupiter,
Preces exaudiens Neleïdae senis.
Trojani autem, ut intelligere-sibi-videbantur Jovis voluntatem Aegiochi,
Acriùs in Argivos irruebant, recordabanturque pugnae.
Veluti autem magna unda maris vasti
Navis supra latera *in eam* transcendit, quandò urget
Vis venti; haec enim maximè undas auget:
Sic Trojani magno *cum* clamore per murum scandebant.
Equos autem ubi-misissent, intrò ad puppes pugnabant,
Hastis utrinque-acutis cominùs; hi quidem ex curribus,
Illi verò è navibus ex-alto nigris quas conscenderant,
Longis cum contis, qui sibi in navibus jacebant
Ad-navale-proelium-apti, compacti, os induti aere.
Patroclus autem, quamdiù quidem Achivique Trojanique
Murum circa pugnabant, veloces extra naves;
Tamdiu ipse in tentorio virtutem-amantis Eurypyli
Sedebatque, et hunc oblectabat sermonibus; inque vulnere gravi

Ver. 377. Ὣς ἔφατ'—· μέγα δ' ἔκτυπε.] Audiit, et coeli genitor de parte serenâ Intonuit lævum.—— *Æn.* IX, 630.

Ibid. —— μητίετα.] Vide suprà ad ά, 175.

Ver. 379. —— νόον.] Cod. *Harleian.* à *Th. Bentleio* collatus, κτύπον.

Ver. 381. Οἱ δ' ὥστε.] Οἱ δ', ὥστε—. Vide suprà ad *ver.* 271.

Ver. 383. —— ἡ γάρ τε.] *Etenim ea* ——. Cod. *Harleian.* ἡ γάρ ῥα.

Ver. 386. —— ἀμφιγύοις αὐτοσχεδὸν.] Ita Cod. *Harleian.* Atque ita *Barnesius* rectè edidit, ex MSS. tribus. Vulgg. ἀμφιγύοισιν αὐτοσχεδόν.

Ver. 388. —— τά ῥα.] *Quæ, ut fit; Quæ, ut solitum est,* ——.

Ver. 389. —— στόμα.] *Al* στόμαθ'.

Ver. 392. —— ἐνὶ κλισίῃ ἀγαπήνορος Εὐρυπύλοιο.] Suprà, *lib.* λ', 842. et *lib.* μ', 1.

Φάρμακ', ἀκήματ' ἔπασσε μελαινάων ὀδυνάων·
Αὐτὰρ ἐπειδὴ τεῖχος ἐπεσσυμένους ἐνόησε
Τρῶας, ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβος τε,
Ὤμωξέν τ' ἄρ' ἔπειτα, καὶ ὧ πεπλήγετο μηρὼ
Χερσὶ καταπρηνέσσ'· ὀλοφυρόμενος δ' ἔπος ηὔδα·
Εὐρύπυλ', οὐκέτι τοι δύναμαι, χατέοντί περ ἔμπης,
Ἐνθάδε παρμενέμεν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν·
Ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω· αὐτὰρ ἔγωγε
Σπεύσομαι εἰς Ἀχιλῆα, ἵν' ὀτρύνω πολεμίζειν.
Τίς δ' οἶδ', εἴκεν οἱ, σὺν δαίμονι, θυμὸν ὀρίνω
Παρειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου.
Τὸν μὲν ἄρ' ὣς εἰπόντα πόδες φέρον· αὐτὰρ Ἀχαιοὶ
Τρῶας ἐπερχομένους μένον ἔμπεδον, οὐδὲ δύναντο,
Παυροτέρους περ ἐόντας, ἀπώσασθαι παρὰ νηῶν,
Οὔτε ποτὲ Τρῶες Δαναῶν ἐδύναντο φάλαγγας
Ῥηξάμενοι, κλισίῃσι μιγήμεναι, οὐδὲ νέεσσιν.
Ἀλλ' ὥστε στάθμη δόρυ νήϊον ἐξιθύνει

Pharmaca, medelas spargebat atrorum dolorum:
Sed postquam murum impetu-cum-magno-ingressos advertit
Trojanos, ac Danaorum ortus est clamorque fugaque,
Ejulavit utique deinde, et sua percussit femora
Manibus pronis; lugensque, verbum dixit:
" Eurypyle, non ampliùs tecum posse, indigente licèt,
" Hîc manere; sanè enim magnum certamen ortum est:
" Sed te quidem famulus oblectet: at ego
" Festinabo ad Achillem, ut impellam *eum* ad pugnam.
" Quis autem scit, si fortè ei, favente deo, animum moveam
" Admonitu *meo?* Bona utique admonitio est amici."
Atque hunc quidem sic locutum, pedes ferebant: At Achivi
Trojanos ingruentes sustinebant constanter; nec tamen poterant,
Pauciores *illos* licèt existentes, repellere à navibus;
Neque itidem Trojani Danaorum valebant phalangibus
Perruptis, tentoriis se-immiscere neque navibus.
Sed sicuti amussis lignum navale dirigit

Ver. 396. —— *γένετο ἰαχή.*] Vide suprà ad δ', 456.

Ver. 397. —— *καὶ ὧ πεπλήγετο μηρὼ.*] Notandus hîc primigenius et maximè proprius *Formæ Mediæ* usus: *Sua sibi percussit femora.*

—— palmis percussa lacertos,
Auxilium vocat. —— *Æn.* VII, 503.

Ver. 398.—*δ' ἔπος ηὔδα.*] *Al.* *δὲ προσηύδα.*

Ver. 404. — *δὴ γὰρ.*] *Reverà enim; Nam profectò* ——.

Ver. 402. *Σπεύσομαι εἰς Ἀχιλῆα.*] Vide suprà ad ν', 324.

Ver. 403. —— *εἴκεν οἱ.*] Quâ ratione hîc, *εἴκεν*, syllabam ultimam, etiam extra cæsuram, producat; vide suprà ad ά, 51. *Παρειπων*, versu sequente, cùm sit vox ex duabus *composita*, priorem simili ratione producit. Vide suprà ad ζ', 62 et 337.

Ver. 405. —— *πόδες φέρον.*]
Quò te, Mœri, pedes? *Virg. Ecl.* IX, 1.
Quod vel hinc liquet non esse sermonem agrestem solummodò, propriumque Rusticorum. Vide *Victorii varias Lection. lib.* 36. *cap.* 3.

Ibid. — *Ἀχαιοὶ Τρῶας — οὐδὲ δύναντο, — οὔτε — Τρῶες Δαναῶν.*] *Εἰκότως ἰσόῤῥοπος ἡ μάχη· Οἱ μὲν γὰρ, ἐλπίδι τοῦ νικᾷν ἐφράξαντο· οἱ δὲ, ἀπογνώσει σωτηρίας, ἱστᾶσιν. Schol.*

Ver. 406. — *οὐδὲ δύναντο.*] *Al.* *οὐδ' ἐδύναντο.* Ut infrà, *ver.* 416.

Ver. 407. —— *παρὰ.*] *Al.* *ἀπό.*

Ver. 408. —— *Οὔτε.*] *Al.* *Οὐδέ.*

Ver. 409. —— *οὐδὲ.*] *Al.* *ἠδέ.*

Ver. 410. — *ἐξιθύνει.*] *Al.* *ἐξιθύνῃ*, et *ξιθύνοι.*

Τέκτονος ἐν παλάμησι δαήμονος, ὅς ῥά τε πάσης
Εὖ εἰδῇ σοφίης, ὑποθημοσύνῃσιν Ἀθήνης·
Ὣς μὲν τῶν ἐπὶ ἶσα μάχη τέτατο πτόλεμός τε.
Ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο νέεσσιν·
Ἕκτωρ δ' ἀντ' Αἴαντος ἐείσατο κυδαλίμοιο.
Τὼ δὲ μιῆς περὶ νηὸς ἔχον πόνον, οὐδ' ἐδύναντο
Οὔθ' ὁ τὸν ἐξελάσαι, καὶ ἐνιπρῆσαι πυρὶ νῆας,
Οὔθ' ὁ τὸν ἂψ ὤσασθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων.
Ἔνθ' υἷα Κλυτίοιο Καλήτορα φαίδιμος Αἴας,
Πῦρ ἐς νῆα φέροντα, κατὰ στῆθος βάλε δουρί·
Δούπησεν δὲ πεσὼν, δαλὸς δέ οἱ ἔκπεσε χειρός.
Ἕκτωρ δ' ὡς ἐνόησεν ἀνεψιὸν ὀφθαλμοῖσιν
Ἐν κονίῃσι πεσόντα, νεὼς προπάροιθε μελαίνης,
Τρωσί τε, καὶ Λυκίοισιν ἐκέκλετο, μακρὸν ἀΰσας·
  Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταὶ,
Μὴ δή πω χάζεσθε μάχης ἐν στείνεϊ τῷδε·
Ἀλλ' υἷα Κλυτίοιο σαώσατε, μή μιν Ἀχαιοὶ
Τεύχεα συλήσωσι, νεῶν ἐν ἀγῶνι πεσόντα.

Fabri in manibus periti, qui totam
Benè callet artem praeceptis Minervae:
Sic quidem horum aequalitèr pugna porrecta erat, proeliumque.
Atque alii quidem circa alias pugnam pugnabant naves:
Hector verò contra Ajacem incessit gloriâ-sublimem.
Hi itaque circa unam navem capiebant *bellicum*-laborem, neque poterant
Neque hic illum vi-abigere, et incendere igni naves;
Neque ille hunc repellere, postquam propè-admôrat Deus.
Tunc filium Clytii Caletorem illustris Ajax,
Ignem in navem ferentem, ad pectus percussit hastâ:
Fragorem verò edidit cadens, torrisque ei excidit manu.
Hector autem ut advertit consobrinum oculis *suis*
In pulvere procubuisse, navem ante nigram;
Trojanosque et Lycios adhortatus est, altùm clamans:
" Trojani, et Lycii, et Dardani cominùs-pugnantes,
" Ne quà jam recedatis à pugnâ in angustiâ hâc:
" Sed filium Clytii servate, ne ei Achivi
" Arma detrahant in certamine ad naves *humi* delapso."

Ver. 411. —— ὅς ῥά τε.] *Qui utique* ——.

Ver. 412. —— εἰδῇ.] *Al.* εἰδώς.

Ver. 413. — μάχη — πτόλεμός τε.] Vide suprà ad ή, 232. 279.

Ver. 415. Ἕκτωρ δ' ἀντ' Αἴαντος.] Ἀκέσασθαι τὴν ἧτταν (suprà, ξ', 418.) θέλει, ὑπὸ τῶν θεῶν ἐπικουρούμενος. *Schol. MS. apud Barnesium.*

Ver. 418. — ἐπεί ῥά — γε.] *Quando quidem; Quoniam videlicèt* ——.

Ver. 419. —— Καλήτορα— Πῦρ— φέροντα— βάλε.]

Ardentes tædas alii ad fastigia jactant.
Ilioneus saxo, atque ingenti fragmine montis,
Lucetium, portæ subeuntem *ignesque ferentem*,
—— sternit ——. *Æn.* IX, 568.

Ver. 421. Δούπησεν.] Vide suprà ad ν', 181.

Ver. 423. Ἐν κονίῃσι πεσόντα.] Vide suprà ad ν', 508.

Ver. 426. Μὴ δή πω.] *Nequaquam, quæso* ——. Vide suprà ad ξ', 433.

Ὣς εἰπὼν, Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ·
Τοῦ μὲν ἅμαρθ'· ὁ δ' ἔπειτα Λυκόφρονα, Μάστορος υἱὸν,
Αἴαντος θεράποντα, Κυθήριον, ὅς ῥα παρ' αὐτῷ
Ναῖ', ἐπεὶ ἄνδρα κατέκτα Κυθήροισι ζαθέοισι·
Τόν ῥ' ἔβαλεν κεφαλὴν ὑπὲρ οὔατος ὀξέϊ χαλκῷ,
Ἑσταότ' ἄγχ' Αἴαντος· ὁ δ' ὕπτιος ἐν κονίῃσι
Νηὸς ἀπὸ πρύμνης χαμάδις πέσε· λῦντο δὲ γυῖα.
Αἴας δ' ἐῤῥίγησε, κασίγνητον δὲ προσηύδα·
Τεῦκρε πέπον, δὴ νῶϊν ἀπέκτατο πιστὸς ἑταῖρος
Μαστορίδης, ὃν νῶϊ Κυθηρόθεν ἔνδον ἐόντα,
Ἶσα φίλοισι τοκεῦσιν ἐτίομεν ἐν μεγάροισι·
Τὸν δ' Ἕκτωρ μεγάθυμος ἀπέκτανε· ποῦ νύ τοι ἰοὶ
Ὠκύμοροι, καὶ τόξον, ὅ τοι πόρε Φοῖβος Ἀπόλλων;
Ὣς φάθ'· ὁ δὲ ξυνέηκε· θέων δέ οἱ ἄγχι παρέστη,
Τόξον ἔχων ἐν χειρὶ παλίντονον, ἠδὲ φαρέτρην
Ἰοδόκον· μάλα δ' ὦκα βέλεα Τρώεσσιν ἐφίει·
Καί ῥ' ἔβαλε Κλεῖτον, Πεισήνορος ἀγλαὸν υἱὸν,
Πουλυδάμαντος ἑταῖρον, ἀγαυοῦ Πανθοΐδαο,
Ἡνία χερσὶν ἔχοντα· ὁ μὲν πεπόνητο καθ' ἵππους·

Sic fatus, in Ajacem jaculatus est hastâ fulgenti:
Atque ab eo quidem aberravit: ac deinde Lycophronem, Mastoris filium,
Ajacis famulum, Cytherium, qui cum illo
Habitabat, quoniam virum interfecerat Cytheris inclytis;
Hunc utique percussit caput super aurem acutâ hastâ,
Stantem prope Ajacem: hic autem supinus in pulvere
Navis à puppe humi decidit: solutaque sunt *ei* membra.
Ajax autem exhorruit, fratremque allocutus est:
" Teucer dulcissime, sanè nobis interfectus est fidus socius
" Mastorides; quem nos, Cytheris huc profectum,
" Aequè-ac charos parentes honorabamus in aedibus;
" Hunc autem Hector fortis occidit: ubinam jam tibi sagittae
" Letiferae, et arcus, quem tibi dedit Phoebus Apollo?"
Sic dixit: hic autem intellexit: currensque ei propè astitit
Arcum tenens in manu resilientem, atque pharetram
Sagittiferam; perquàm autem citò sagittas Trojanis immittebat;
Et percussit Clitum Pisenoris illustrem filium,
Polydamantis socium, praeclari Panthoedae,
Fraena manibus tenentem: hic quidem exercebatur equis-regendis;

Ver. 429. — ἀκόντισε.] Vide suprà ad ά, 140.
Ver. 433. Τόν ῥ'.] *Hunc inquam*, ——.
Ver. 437. —— δὴ.] *Profectò* ——.
Ver. 440. —— ποῦ νύ τοι ἰοὶ.]
Πάνδαρε, ποῦ τοι τόξον, ἰδὲ πτερόεντες ὀϊστοὶ,
Καὶ κλέος; —————— έ, 171.
—— Ubi nunc nobis Deus ille magister
Nequicquam memoratus ——? Ubi fama per omnem
Trinacriam ——? *Æn.* V, 391.

Ver. 444. —— βέλεα.] Ita Cod. *Harleianus.* Atque ita edidit *Barnesius* ex MS. Rectè, et secundum usitatam *Homero* scribendi rationem. *Vulgg.* βέλη· quomodò scilicèt et ipsum βέλεα pronuntiabatur.

Ver. 447. —— ὁ μὲν ——· τάχα δ'.] Respondent hîc ita inter se, ὁ et δὲ· ut interpositum istud, Τῇ γάρ —— χαριζόμενος, tanquam Parenthesi inclusum intelligatur.

Τῇ γὰρ ἔχ', ᾗ ῥα πολὺ πλεῖσται κλονέοντο φάλαγγες,
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ' αὐτῷ
Ἦλθε κακὸν, τό οἱ οὔτις ἐρύκακεν, ἱεμένῳ περ·
Αὐχένι γάρ οἱ ὄπισθε πολύστονος ἔμπεσεν ἰός·
Ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ οἱ ἵπποι,
Κείν' ὄχεα κροτέοντες· ἄναξ δ' ἐνόησε τάχιστα
Πουλυδάμας, καὶ πρῶτος ἐναντίον ἤλυθεν ἵππων.
Τοὺς μὲν ὅγ' Ἀστυνόῳ, Προτιάονος υἱέϊ, δῶκε·
Πολλὰ δ' ἐπώτρυνε σχεδὸν ἴσχειν εἰσορόωντα
Ἵππους· αὐτὸς δ' αὖτις ἰὼν προμάχοισιν ἐμίχθη.
Τεῦκρος δ' ἄλλον ὀϊστὸν ἐφ' Ἕκτορι χαλκοκορυστῇ
Αἴνυτο, καί κεν ἔπαυσε μάχης ἐπὶ νηυσὶν Ἀχαιῶν,
Εἴ μιν ἀριστεύοντα βαλὼν ἐξείλετο θυμόν·
Ἀλλ' οὐ λῆθε Διὸς πυκινὸν νόον, ὅς ῥ' ἐφύλασσεν
Ἕκτορ', ἀτὰρ Τεῦκρον Τελαμώνιον εὖχος ἀπηύρα,
Ὅς οἱ ἐϋστρεφέα νευρὴν ἐν ἀμύμονι τόξῳ

Eà enim dirigebat, quà multò plurimae turbabantur phalanges,
Hectori et Trojanis gratificans: statim verò ei
Venit malum, quod ab eo nemo arcuit, ardenti licèt:
Cervici enim ejus à tergo luctuosa incidit sagitta:
Decidit autem de curribus, retrocesseruntque ejus equi,
Vacuos currus succutientes-magno-cum-sonitu: Rex verò sensit citissimè
Polydamas, et primus obviàm venit equis.
Atque hos quidem ille Astynoo, Protiaonis filio, dedit:
Multisque *eum* hortabatur propè *se* tenere in conspectu
Equos: ipse autem rursùs profectus primis-pugnatoribus mistus est.
Teucer autem aliam sagittam in Hectorem aere-armatum
Depromebat, et repressisset quidem *eum* à pugnâ prope naves Achivorum,
Quandoquidem ei pugnanti-fortissimè sagittâ-assecutus eripuisset animam:
Sed non latuit Jovis prudentem mentem, qui custodiebat
Hectorem, Teucrumque Telamonium gloriâ privavit,
Qui *scilicèt* ei scitè-tortum nervum in eximio arcu

Ver. 448. Τῇ γὰρ ἔχ', ᾗ ῥα πολὺ πλεῖσται.] ——— in hostes
Irruit; et, quà tela videt densissima, tendit. *Æn.* IX, 554.

Ver. 450. —— ἱεμένῳ περ.] *Schol.* σπεύδοντι· *Al.* ἱεμένων περ.

Ver. 451. — Αὐχένι γάρ οἱ.] Quâ ratione, γὰρ, hîc producatur; item ὅς, et ἐϋστρεφέα, *ver.* 463. et δὲ, *ver.* 478. et γάρ, *ver.* 488. vide suprà ad ά, 51. n. 8. 10.

Ibid. — ὄπισθε —— ἔμπεσεν.] *Schol.* Ἀποστρεφόντων τὰ ἅρματα τῶν Τρώων, πρὸς τὸ ἐξ ἴσου πολεμεῖν ἐπιβεβηκόσιν τῶν νεῶν τοῖς Ἕλλησιν, οὕτως ὁ ἡνίοχος τετραμμένος πρὸς τοὺς ἵππους βέβληται κατὰ τοῦ αὐχένος. Meliùs et simpliciùs, ut mihi quidem videtur, Domina *Dacier*, juveni hoc *præcipiti*, et *quoquoversùm* equis incitatis *discurrenti*, accidisse comminiscitur.

Ver. 454. —— πρῶτος ἐναντίον.] *Al.* πρῶτος ἐναντίος. Sed πρῶτος ἐναντίον, auribus magis placet.

Ibid. — ἤλυθεν.] Postulat Temporum ratio, ut sit ἤλυθεν· hîc ab Aoristo ἤλυθον, non à Præterito (quod vocant) ἤλυθα. Vide suprà ad ά, 37.

Ver. 461. —— ὅς ῥ' ἐφύλασσεν.] Si istud, ἐφύλασσε, referatur ad ea quæ hîc *sequuntur;* tum, ὅς ῥα, illud erit quod Latinè dicitur, "*qui utique*" ——. Sin, ἐφύλασσε, referas ad ea quæ *præcesserunt, ver.* 254, 255. tum erit "ὅς ῥα, *qui, ut dictum est.*" ———

Ver. 463. —— Ὅς οἱ.] *Al.* Ὅς ῥ' οἱ.

Ibid. — ἐϋστρεφέα.] Quibus vocabulis *Ge-*

Ῥῆξ' ἐπὶ τῷ ἐρύοντι· παρεπλάγχθη δέ οἱ ἄλλῃ
Ἰὸς χαλκοβαρὴς, τόξον δέ οἱ ἔκπεσε χειρός.
Τεῦκρος δ' ἐῤῥίγησε, κασίγνητον δὲ προσηύδα·
Ὢ πόποι, ἦ δὴ πάγχυ μάχης ἐπὶ μήδεα κείρει
Δαίμων ἡμετέρης, ὅ,τέ μοι βιὸν ἔκβαλε χειρός·
Νευρὴν δ' ἐξέῤῥηξε νεόστροφον, ἥν οἱ ἔδησα
Πρώϊον, ὄφρ' ἀνέχοιτο θαμὰ θρώσκοντας ὀϊστούς.
Τὸν δ' ἠμείβετ' ἔπειτα μέγας Τελαμώνιος Αἴας·
Ὦ πέπον, ἀλλὰ βιὸν μὲν ἔα καὶ ταρφέας ἰοὺς
Κεῖσθαι, ἐπεὶ συνέχευε θεὸς, Δαναοῖσι μεγήρας·
Αὐτὰρ χερσὶν ἑλὼν δολιχὸν δόρυ, καὶ σάκος ὤμῳ,
Μάρναό τε Τρώεσσι, καὶ ἄλλους ὄρνυθι λαούς.
Μὴ μὰν ἀσπουδεί γε, δαμασσάμενοί περ, ἕλοιεν
Νῆας ἐϋσσέλμους, ἀλλὰ μνησώμεθα χάρμης.
Ὣς φάθ'· ὁ δὲ τόξον μὲν ἐνὶ κλισίῃσιν ἔθηκεν·
Αὐτὰρ ὅγ' ἀμφ' ὤμοισι σάκος θέτο τετραθέλυμνον·
Κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην ἐΰτυκτον ἔθηκεν,
Ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν·

Rupit in *Hectorem* trahenti; detorquebatur autem ei aliò
Sagitta aere-gravis, arcusque ei excidit è manu.
Teucer verò cohorruit, fratremque allocutus est:
" Eheu, certè jam penitùs pugnae consilia praecidit
" Deus nostrae, qui mihi arcum excussit manu;
" Nervum autem disrupit recèns-tortum, quem ei illigaveram
" Hodiè-manè, ut sustineret crebrò exilientes sagittas."
Huic autem respondit deindè magnus Telamonius Ajax:
" O amice, quin *tu* arcum quidem sine, et crebras sagittas
" Jacere; quoniam confregit deus, Danais invidens:
" Sed manibus sumptâ longâ hastâ, et scutum *ferens* humero,
" Pugnaque *ipse* in Trojanos, et caeteras excita copias:
" Ne sinè-labore saltem, victores licèt, capiant
" Naves bonis-transtris-instructas; sed recordemur pugnae."
Sic dixit: ille verò arcum quidem in tentoriis reposuit;
Ac circum humeros scutum sibi-cepit quadruplex;
Capitique forti galeam scitè-factam imposuit,
Equinis-setis-comantem, terribilitèr autem *et* crista desuper nutabat:

---

nitivus fit——έως, iisdem *Accusativus* itidem fit έᾱ. Vide ad ά, 265. et ad ν', 46. Quibus autem *Genitivus* fit—έος, iisdem et *Accusativus* fit pariter—έᾰ. Quare ᾰ breve quo pacto hîc producatur, vide suprà ad ά, 51.

Ver. 468.——— ὅ,τί.] *Qui scilicet; Qui utique*———.

Ver. 469.—— ἥν οἱ ἔδησα.] *Al.* ἐνίδησα.

Ver. 472.—ἔα—Κεῖσθαι.] Respondet Græcum ἐάω, Latino "*sino*:" Unde, eodem significatu, (inusitatum "*pŏsino*," contractum in) "*pōno*:" Quod proinde primam producit, quum *pŏsui* et *pŏsitus* corripiantur. Etymologici ineptè deducunt ex πονῶ.

Ver. 475.—ὄρνυθι.] Quâ analogiâ fit δίδου, δίδοθι, eâdem analogiâ fit ὄρνῡ, ὄρνῠθι. Nec in his ullus unquam est Licentiæ locus. Vide suprà ad γ', 260.

Ver. 477.—μνησώμεθα.] *Al.* μνησαίμεθα.

Ver. 478.—ὁ δὲ.] "*Et* δὴ," inquit *Barnesius*, "*scribi potest*." Quod quàm ineptè sit dictum, sentiet quisquis Latinè, pro "*ille verò*," scripserit "*ille sanè*."

Ver. 481.] Deest hic versus in plurimis MSS.

Εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ·
Βῆ δ' ἰέναι, μάλα δ' ὦκα θέων Αἴαντι παρέστη.
Ἕκτωρ δ' ὡς εἶδεν Τεύκρου βλαφθέντα βέλεμνα·
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀΰσας·
 Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταὶ,
Ἀνέρες ἐστὲ, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
Νῆας ἀνὰ γλαφυράς· δὴ γὰρ ἴδον ὀφθαλμοῖσιν
Ἀνδρὸς ἀριστῆος Διόθεν βλαφθέντα βέλεμνα.
Ῥεῖα δ' ἀρίγνωτος Διὸς ἀνδράσι γίνεται ἀλκὴ,
Ἠμὲν ὁτέοισιν κῦδος ὑπέρτερον ἐγγυαλίξῃ,
Ἠδ' ὅτινας μινύθῃ τε, καὶ οὐκ ἐθέλῃσιν ἀμύνειν·
Ὡς νῦν Ἀργείων μινύθει μένος, ἄμμι δ' ἀρήγει.
Ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶν ἀολλέες· ὃς δέ κεν ὑμέων
Βλήμενος, ἠὲ τυπεὶς, θάνατον καὶ πότμον ἐπίσπῃ,
Τεθνάτω· οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
Τεθνάμεν· ἀλλ' ἄλοχός τε σόη καὶ παῖδες ὀπίσσω,
Καὶ οἶκος, καὶ κλῆρος ἀκήρατος· εἴκεν Ἀχαιοὶ
Οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.
 Ὡς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.

Sumpsit autem *et* validam hastam, praefixam acuto aere;
Perrexitque ire, admodumque celeritèr currens Ajaci astitit.
Hector autem, ut vidit Teucri inutiles-factas sagittas;
Trojanosque et Lycios adhortatus est, altùm clamans:
" Trojani, et Lycii, et Dardani cominùs-pugnantes,
" Viri estote, amici, recordaminique strenuae fortitudinis,
" Naves ad cavas: jam enim vidi oculis
" Viri primarii à Jove inutiles-factas sagittas.
" Admodùm utique facilis-agnitu Jovis hominibus est potentia,
" Tum quibus gloriam superiorem dederit,
" Tum quos minuat, et nolit defendere:
" Sicut nunc Argivorum minuit robur, nobisque auxiliatur.
" Sed pugnate ad naves conferti: Qui autem vestrûm
" Vulneratus eminùs vel cominùs, mortem et fatum assecutus fuerit,
" Moriatur: Non ei indecorum *erit* pugnanti pro patriâ
" Mori; at uxorque salva *erit*, et filii in-posterum,
" Et domus, et patrimonium integrum; siquidem Achivi
" Abeant cum navibus dilectam in patriam terram."
Sic fatus, excitavit robur et animum uniuscujusque.

Ver. 488. —— δὴ γὰρ ἴδον.] *Certè enim* —. Vide suprà ad ξ′, 433. 504. et ad β′, 158. *Barnesius* legi hìc et, δὴ γάρ ῥ' ἴδον, annotat. Sed nihil opus.

Ver. 491. —— ἐγγυαλίξῃ, — μινύθῃ τε.] *Al.* ἐγγυαλίξει, — μινύθει τε. Minùs rectè: Ut liquet ex sequenti ἐθέλῃσιν· notante *Barnesio*.

Ver. 494. ——— νηυσὶν ἀολλέες.] *Al.* νηυσὶ διαμπερές.

Ver. 496. —— οὔ —— ἀεικὲς.] Vide suprà ad *ver.* 11.

Dulce et decorum est, pro patriâ mori.
Horat.

——— pulchrumque mori succurrit in armis.
Æn. II, 317.

Ver. 497. —— καὶ παῖδες ὀπίσσω.] Καλὴ δὲ καὶ ἡ προσθήκη τοῦ "ὀπίσσω," αἰώνιον διαδοχὴν τοῦ γένους παριστᾶσα. *Schol. Victorian.*

Ver. 499. —— Οἴχωνται.] *Al.* Οἴχονται. Id quod spem indicat *firmiorem*: Sed cum præcedente, εἴκεν, minus aptè congruit.

Αἴας δ' αὖθ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισιν·
  Αἰδὼς, Ἀργεῖοι· νῦν ἄρκιον, ἢ ἀπολέσθαι,
Ἠὲ σαωθῆναι, καὶ ἀπώσασθαι κακὰ νηῶν.
Ἦ ἔλπεσθ', ἢν νῆας ἕλῃ κορυθαίολος Ἕκτωρ,
Ἐμβαδὸν ἵξεσθαι ἣν πατρίδα γαῖαν ἕκαστος;
Ἦ οὐκ ὀτρύνοντος ἀκούετε λαὸν ἅπαντα
Ἕκτορος, ὃς δὴ νῆας ἐνιπρῆσαι μενεαίνει;
Οὐ μὰν ἔς γε χορὸν κέλετ' ἐλθέμεν, ἀλλὰ μάχεσθαι.
Ἡμῖν δ' οὔτις τοῦδε νόος καὶ μῆτις ἀμείνων,
Ἢ αὐτοσχεδίην μῖξαι χεῖράς τε μένος τε.
Βέλτερον, ἢ ἀπολέσθαι ἕνα χρόνον, ἠὲ βιῶναι,
Ἢ δηθὰ στρεύγεσθαι ἐν αἰνῇ δηϊοτῆτι,
Ὧδ' αὔτως παρὰ νηυσὶν, ὑπ' ἀνδράσι χειροτέροισιν.
  Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
Ἔνθ' Ἕκτωρ μὲν ἕλε Σχεδίον, Περιμήδεος υἱὸν,
Ἀρχὸν Φωκήων· Αἴας δ' ἕλε Λαοδάμαντα,
Ἡγεμόνα πρυλέων, Ἀντήνορος ἀγλαὸν υἱόν·
Πουλυδάμας δ' Ὦτον Κυλλήνιον ἐξενάριξε,
Φυλείδεω ἕταρον, μεγαθύμων ἀρχὸν Ἐπειῶν.

Ajax verò vicissim ex-alterâ-parte hortatus est suos socios:
" *Proh* pudor, Argivi! Nunc satius *fuerit*, vel *penitùs* perîsse,
" Vel servatos esse, et avertisse mala à navibus.
" An speratis, si naves ceperit pugnam-expedite-ciens Hector,
" Pedibus *vos* perventuros esse in suam patriam terram singulos?
" Annon incitantem auditis copias *suas* omnes
" Hectorem, qui jam ad naves incendendas animo-fertur-incitato?
" Non certè ad tripudium jubet ire, sed ad pugnam.
" Nobis itaque nulla hâc *est* sententia, et *nullum* consilium melius,
" Quàm ut comminùs misceamus manusque roburque.
" Meliùs *erit*, aut perîsse semel, aut vitam-servâsse;
" Quàm per-longum-tempus paulatim-consumi in gravi pugnâ,
" Ita inultos ad naves, à viris deterioribus."
Sic fatus, incitavit robur et animum uniuscujusque.
Tunc Hector quidem interfecit Schedium, Perimedei filium,
Ducem Phocensium: Ajax autem interfecit Laodamanta,
Ductorem peditum, Antenoris clarum filium:
Polydamas autem Otum Cyllenium interemit,
Phylidae [*Megetis*] socium, magnanimorum ducem Epeiorum.

Ver. 502. —— ἄρκιον.] Malè hîc Scholiastes; αὔταρκις, ἱκανόν. Non vidit nimirùm, sententiam esse, ex elegantissimâ Aposiopesi, *comparativam*. Νῦν, ἢ ἀπολέσθαι, ἢ σωθῆναι, ἄρκιον, ἢ δηθὰ στρεύγεσθαι. Sicuti infrà, *ver.* 511, 512.

Ver. 504. Ἦ ἔλπεσθ', —— Ἐμβαδὸν ἵξεσθαι.]
Fidite nè pedibus; ferro rumpenda per hostes
Est via, —————— *Æn.* X, 372.

Ver. 505. Ἐμβαδὸν.] Vide suprà ad ζ', 434.

Ver. 507. —— ὃς δὴ.] *Qui planè* ———. Vide suprà ad ξ', 433, 504. et ad β', 158.

Ver. 508. —— μάχεσθαι.] *Al.* μάχηνδε.

Ver. 510. ——— αὐτοσχεδίην.] Ita Cod. *Harleianus:* Atque ita alibi *Homerus*. *Al.* αὐτοσχεδίῃ.

Ver. 511. Βέλτερον, ἢ ἀπολέσθαι.]
Ἀλλ' ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι
Τὸν εὐγενῆ χρή. ——— *Sophocl. Aj.* 480.

Ver. 513. ——— ὑπ' ἀνδράσι χειροτέροισιν.] *Al.* ἐν ἀνδράσι παυροτέροισιν.

Τῷ δὲ Μέγης ἐπόρουσεν ἰδών· ὁ δ' ὕπαιθα λιάσθη
Πουλυδάμας· καὶ τοῦ μὲν ἀπήμβροτεν· οὐ γὰρ Ἀπόλλων
Εἴα Πάνθου υἱὸν ἐνὶ προμάχοισι δαμῆναι·
Αὐτὰρ ὅγε Κροίσμου στῆθος μέσον οὔτασε δουρί·
Δούπησεν δὲ πεσὼν, ὁ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα.
Τόφρα δὲ τῷ ἐπόρουσε Δόλοψ, αἰχμῆς εὖ εἰδὼς,
Λαμπετίδης, (ὃν Λάμπος ἐγείνατο, φέρτατος ἀνδρῶν,
Λαομεδοντιάδης, εὖ εἰδότα θούριδος ἀλκῆς·)
Ὅς τότε Φυλείδαο μέσον σάκος οὔτασε δουρὶ,
Ἐγγύθεν ὁρμηθείς· πυκινὸς δέ οἱ ἤρκεσε θώρηξ,
Τόν ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα· τόν ποτε Φυλεὺς
Ἤγαγεν ἐξ Ἐφύρης, ποταμοῦ ἀπὸ Σελλήεντος.
Ξεῖνος γάρ οἱ ἔδωκεν ἄναξ ἀνδρῶν Εὐφήτης,
Ἐς πόλεμον φορέειν, δηΐων ἀνδρῶν ἀλεωρήν·
Ὅς οἱ καὶ τότε παιδὸς ἀπὸ χροὸς ἤρκεσ' ὄλεθρον.
Τοῦ δὲ Μέγης κόρυθος χαλκήρεος ἱπποδασείης
Κύμβαχον ἀκρότατον νύξ' ἔγχεϊ ὀξυόεντι,
Ῥῆξε δ' ἀφ' ἵππειον λόφον αὐτοῦ· πᾶς δὲ χαμᾶζε
Κάππεσεν ἐν κονίῃσι, νέον φοίνικι φαεινός.

In *Polydamanta* verò Meges irruit, simul-ac-hoc-vidisset; at in-obliquum se declinavit
Polydamas; et ab eo quidem aberravit *Meges:* Non enim Apollo
Sinebat Panthi filium inter primos-pugnatores domari:
Sed *Meges* Croesmi pectus medium vulneravit hastâ;
Fragoremque *is* edidit cadens, *Megesque ei* ab humeris arma detrahebat.
Intereà autem *Megeti* insiliit Dolops, hastâ-pugnandi peritus,
Lampetides, quem Lampus genuit praestantissimus virorum
Laomedontiades, peritum strenuae pugnae:
Hic *Dolops* tunc Phylidae [*Megetis*] medium scutum percussit hastâ,
Cominùs impetu-facto; densus autem tuitus est thorax,
Quem utique ferebat cavitates-firmiter-conjunctas-habentem; quem quondam Phyleus
Attulit ex Ephyre, fluvio à Selleënte:
Hospes enim ei dederat rex virorum Euphetes,
In pugnam ferendum, *adversus* hostes munimen:
Qui ei et tunc filii à corpore defendit perniciem.
Dolopi autem, Meges galeae aereae equinis-setis-densae
Coni-basin extremam percussit hastâ acutâ,
Abrupitque equinum conum ejus: *ita ut* totus-*conus* humi
Deciderit in pulvere, recens puniceo-colore fulgens.

Ver. 523 et 528. —— οὔτασε.] Vide suprà ad ν', 192. et ad ά, 140.

Ver. 524. Δούπησεν.] Vide suprà ad ν', 181.

Ver. 526. ——— φέρτατος.] Cod. *Harleian.* φέρτατον. Minùs rectè.

Ver. 532. —— γάρ οἱ.] Quâ ratione, γὰρ, hîc producatur; et ὅς, *ver.* 534. vide suprà ad ά, 51. n. 8. 10.

Ver. 534. —— ἤρκεσ'.] *Al.* ἤρκει.

Ver. 536. — ὀξυόεντι.] Vide suprà ad έ, 50.

Ver. 538. Κάππεσεν ἐν κονίῃσι.] Vide suprà ad ν', 508.

Ibid. — νέον φοίνικι φαεινός.] Νεωστὶ φοινικῷ χρώματι βεβαμμένος· ut rectè Scholiastes. Quod autem statim adjicit, ὅ ἐστιν, ἐρυθρῷ τῷ αἵματι, absurdè dictum est. Nam, ut rectè notavit Domina *Dacier*, nondum vulneratus

Ἕως ὁ τῷ πολέμιζε μένων, ἔτι δ' ἤλπετο νίκην,
Τόφρα δέ οἱ Μενέλαος ἀρήϊος ἦλθεν ἀμύντωρ·
Στῆ δ' εὐρὰξ σὺν δουρὶ λαθὼν, βάλε δ' ὦμον ὄπισθεν·
Αἰχμὴ δὲ στέρνοιο διέσσυτο μαιμώωσα,
Πρόσσω ἱεμένη· ὁ δ' ἄρα πρηνὴς ἐλιάσθη.
Τὼ μὲν ἐεισάσθην χαλκήρεα τεύχε' ἀπ' ὤμων
Συλήσειν· Ἕκτωρ δὲ κασιγνήτοισι κέλευε
Πᾶσι μάλα, πρῶτον δ' Ἱκεταονίδην ἐνένιπτεν
Ἴφθιμον Μελάνιππον· ὁ δ' ὄφρα μὲν εἰλίποδας βοῦς
Βόσκ' ἐν Περκώτῃ, δηΐων ἀπονόσφιν ἐόντων·
Αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι,
Ἂψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσιν·
Ναῖε δὲ πὰρ Πριάμῳ· ὁ δέ μιν τίεν ἶσα τέκεσσι·
Τόν ῥ' Ἕκτωρ ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
  Οὕτω δὴ, Μελάνιππε, μεθήσομεν; οὐδέ νύ σοί περ
Ἐντρέπεται φίλον ἦτορ, ἀνεψιοῦ κταμένοιο;
Οὐχ' ὁράας, οἷον Δόλοπος περὶ τεύχε' ἕπουσιν;
Ἀλλ' ἕπευ· οὐ γὰρ ἔτ' ἐστὶν ἀποσταδὸν Ἀργείοισι

Dum *hoc modo* Meges cum Dolope pugnabat perstans, et adhuc sperabat victoriam,
Interim *Megeti* Menelaus Mavortius venit adjutor;
Stetitque *Dolopi* à-latere cum hastâ, latens; percussitque humerum à tergo;
Cuspis verò pectus transegit rapido-impetu-acta,
Ulteriùs tendens: is autem pronus prolapsus est.
Tum illi quidem irruerunt, aerea arma ab humeris
Detracturi: Hector verò cognatos adhortabatur
Omnes valdè; primùm autem Hicetaonidem increpabat
Fortem Melanippum: Is olim quidem flexipedes boves
Pascebat in Percotâ, hostibus procul absentibus:
Sed postquam Danaorum naves venissent utrinque-remis-actae;
Reversus ad Ilium est, excellebatque inter Trojanos;
Habitabatque juxta Priamum; isque eum honorabat aequè ac filios:
Hunc Hector *jam* increpabat, verbaque fecit, dixitque:
" Itáne verò, Melanippe, remissè-agemus? nec vel tibi
" Movetur-curâ tuum cor, *ob* consobrinum occisum?
" Nonnè vides, ut Dolopis circum arma *hi* occupantur?
" Sed sequere: Non enim ampliùs licet eminùs cum Argivis

---

erat Dolops. Sed nescio an fortè scripserit Scholiastes, ἐρυθρῷ τῷ βάμματι.

Ver. 539. Ἕως ὁ.] Pronuntiabatur raptim legentibus, ac si scriptum fuisset ὥσω, vel ὥσιο, vel ὥσου. Simili ferè ratione, ac quâ ex ἄλοκα fit ἆλκα, ν', 707.

Ver. 540. Τόφρα δέ.] Vide suprà ad ά, 57. ad γ', 200. et ad ϑ', 160. *Barnesius* edidit Τοφράδε· et, τὸ "Δὲ," inquit, παρέλκει. Quod est ineptissimum.

Ver. 542. —— μαιμώωσα.] Vide suprà ad *ver.* 317.

Ver. 543. —— ἄρα.] *Ut fit*, ———.

Ver. 544. Τὼ.] *Menelaus* et *Meges.*

Ver. 545. —— κέλευε.] *Al.* κέλευσε. Sed multò rectiùs hîc dicitur, κέλευε. Vide suprà ad ν', 84.

Ver. 546 et 552. —— ἐνένιπτεν.] Ita edidit *Barnesius* ex MS. Rectè. *Al.* ἐνένισπεν.

Ver. 552. Τόν ῥ'.] *Hunc, inquam*, ———. Refertur nimirùm ad *ver.* 546.

Ver. 553. Οὕτω δὴ.] *Siccinè verò, quæso*, ———? Vide suprà ad ξ', 433.

Ver. 554. — ἀνεψιοῦ.] Vide suprà ad *ver.* 24.

Μάρνασθαι, πρίν γ' ἠὲ κατακτάμεν, ἠὲ κατ' ἄκρης
Ἴλιον αἰπεινὴν ἑλέειν, κτάσθαι τε πολίτας·
Ὣς εἰπὼν, ὁ μὲν ἦρχ', ὁ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς.
Ἀργείους δ' ὤτρυνε μέγας Τελαμώνιος Αἴας·
Ὦ φίλοι, ἀνέρες ἐστὲ, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ,
Ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας·
Αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι, ἠὲ πέφανται·
Φευγόντων δ' οὔτ' ἄρ κλέος ὄρνυται, οὔτε τις ἀλκή.
Ὣς ἔφαθ'· οἱ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον·
Ἐν θυμῷ δὲ βάλοντο ἔπος· φράξαντο δὲ νῆας
Ἕρκεϊ χαλκείῳ· ἐπὶ δὲ Ζεὺς Τρῶας ἔγειρεν.
Ἀντίλοχον δ' ὤτρυνε βοὴν ἀγαθὸς Μενέλαος·
Ἀντίλοχ', οὔτις σεῖο νεώτερος ἄλλος Ἀχαιῶν,
Οὔτε ποσὶν θάσσων, οὔτ' ἄλκιμος, ὡς σὺ, μάχεσθαι·
Εἴτινά που Τρώων ἐξάλμενος ἄνδρα βάλησθα.
Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἀπέσσυτο, τὸν δ' ὀρόθυνεν·
Ἐκ δ' ἔθορε προμάχων, καὶ ἀκόντισε δουρὶ φαεινῷ,

" Pugnare, priusquam vel occiderimus *eos*, vel *illi* à culmine
" Ilium excelsam ceperint, interfecerintque cives."
Sic fatus, ipse quidem praeibat; ille verò simul sequebatur, deo-par vir.
Argivos autem excitabat magnus Telamonius Ajax:
" O amici, viri estote, et pudorem habete in animo;
" Et alius alium verecundantes-observate, per acres pugnas:
" Verecundantium quippe virorum plures salvi, quàm occisi sunt;
" Fugientium verò neque gloria exsurgit, nec ullum auxilium."
Sic dixit: Illi verò etiam per-se arcere *hostem* prompto-erant-animo;
Mente autem reponebant verbum; muniebantque naves
Muro aheneo: In *eos* autem Jupiter Trojanos excitabat.
Antilochum autem impellebat pugnâ strenuus Menelaus:
" Antiloche, nemo te junior est alius Achivorum,
" Neque pedibus velocior, neque robustus, sicut tu, ad pugnandum:
" *Aggredere*, si quâ aliquem Troum exiliens virum percutere-possis."
Sic fatus, ipse quidem rursùs recessit, hunc quum incitaverat:
Exiliit igitur *Antilochus* extra primos-pugnatores, et jaculatus est hastâ fulgenti,

---

Ver. 557. —— κατ' ἄκρης.] *Al.* κατὰ κρῆς.
——— ruit alto à culmine Troja.
Æn. II, 290.
——— sternitque à culmine Trojam.
Ibid. 603.

Ver. 558. ——— κτάσθαι.] *Al.* κτᾶσθαι· quod est Ionicum κτῆσθαι, *possidere*. Κτᾶσθαι, ex κτάομαι, vocalem ᾱ habet productam; Κτάσθαι, ex κτείνομαι, vocalem ᾰ corripit, et solummodo Consonantium *positione* syllabam producit. Vide quae suprà de πρᾶττε, τάττε· πρᾶξαι, τάξαι· et de similibus dicta sunt; ad ν', 192.

Ver. 564. —— ὄρνυται.] Vide suprà ad γ', 260.

Ver. 567. Ἕρκεϊ χαλκείῳ.] *Schol.* τῷ κύκλῳ τῶν ἀσπίδων.

Ver. 568. —— βοὴν ἀγαθὸς Μενέλαος.] *Al.* μέγας Τελαμώνιος Αἴας. Minùs rectè hoc in loco, ex *ver.* 560 suprà. Quod enim sequitur, *ver.* 572. —— ὁ μὲν αὖτις ἀπέσσυτο, de *Menelao* aptiùs quàm de *Ajace* dictum.

Ver. 571. — Εἴτινά —— βάλησθα.] *Al.* βάλοισθα. Habet autem et πάθος et vim peculiarem Aposiopesis ista; *O, siquem*, ———; *Gauderem, siquem* ———; *Aggredere, siquem* ———; Σκόπει, εἴτινα ———. Innuit autem *Hectorem*; sicuti suprà, *ver.* 458, et alibi.

Ver. 573. — ἀκόντισε.] Vide suprà ad ά, 140.

Ἀμφί ἑ παπτήνας· ὑπὸ δὲ Τρῶες κεκάδοντο,
Ἀνδρὸς ἀκοντίσσαντος· ὁ δ' οὐχ ἅλιον βέλος ἧκεν,
Ἀλλ' Ἱκετάονος υἱὸν ὑπέρθυμον Μελάνιππον,
Νισσόμενον πόλεμόνδε βάλε στῆθος παρὰ μαζόν·
Δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ·
Ἀντίλοχος δ' ἐπόρουσε, κύων ὣς, ὅστ' ἐπὶ νεβρῷ
Βλημένῳ ἀΐξῃ, τόν τ' ἐξ εὐνῆφι θορόντα
Θηρητὴρ ἐτύχησε βαλὼν, ὑπέλυσε δὲ γυῖα·
Ὣς ἐπὶ σοὶ, Μελάνιππε, θόρ' Ἀντίλοχος μενεχάρμης,
Τεύχεα συλήσων· ἀλλ' οὐ λάθεν Ἕκτορα δῖον,
Ὅς ῥά οἱ ἀντίος ἦλθε, θέων ἀνὰ δηϊοτῆτα·
Ἀντίλοχος δ' οὐ μεῖνε, θοός περ ἐὼν πολεμιστής·
Ἀλλ' ὅγ' ἄρ' ἔτρεσε, θηρὶ κακὸν ῥέξαντι ἐοικὼς,
Ὅστε κύνα κτείνας, ἢ βουκόλον, ἀμφὶ βόεσσι,
Φεύγει, πρίν περ ὅμιλον ἀολλισθήμεναι ἀνδρῶν·
Ὣς τρέσε Νεστορίδης· ἐπὶ δὲ Τρῶές τε καὶ Ἕκτωρ
Ἠχῇ θεσπεσίῃ βέλεα στονόεντα χέοντο·
Στῆ δὲ μεταστρεφθεὶς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων.

Circum se spectans: Trojani autem recesserunt,
Viro jaculante: is verò non irritum telum emisit;
Sed Hicetaonis filium animosum Melanippum,
Euntem in pugnam percussit pectore ad papillam;
Fragorem verò edidit cadens, et sonitum-dedere arma super ipso:
Antilochus autem irruit, canis tanquam, qui in hinnulum
Vulneratum accurrit, quem è cubili exilientem
Venator assequutus fuerit jaculando, solveritque membra:
Sic in te, Melanippe, irruit Antilochus bellicosus,
Arma detracturus: Sed non latuit Hectorem nobilem,
Qui ei obvius venit currens per proelium:
Antilochus autem non mansit, impiger licèt existens bellator:
Sed is fugit quidem, ferae quae malum patravit similis,
Quae canem ubi-interfecerit, vel bubulcum circa boves,
Fugit, antequàm multitudo congregatur virorum:
Sic fugit Nestorides: in eum verò Trojanique et Hector,
Clamore cum ingenti, tela luctuosa fundebant:
Stetit tamen conversus, postquam venit ad agmen sociorum.

Ver. 577. Νισσόμενον.] *Al.* Νεισόμενον.

Ver. 578. Δούπησεν δὲ.] Vide suprà ad ν', 181.

Ibid. ——— ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.] Cod. *Harleian.* à *Th. Bentleio* collatus, τὸν δὲ σκότος ὄσσε κάλυψε.

Ver. 579. — κύων ὣς.] *Al.* λέων ὥς. Minùs rectè.

Ibid. —— ὅστ'.] *Qui utique* ——. Similemque habent vim ista τόν τ' et ὅς τε, *ver.* 580 et 587.

Ver. 584. Ὅς ῥά.] *Qui proinde* ———; *Qui, ut expectandum erat,* ———.

Ver. 586. Ἀλλ' ὅγ' ἄρ' ἔτρεσε.] *Al.* Ἀλλὰ παρέτρεσε.

Ver. 587. —— κύνα κτείνας, ἢ βουκόλον, — Φεύγει, πρίν περ.]

Ac velut ille, priùs quàm tela inimica sequantur,
Continuò in montes sese avius abdidit altos
Occiso pastore lupus magnove juvenco,
Conscius audacis facti; caudamque remulcens
Subjecit pavitantem utero, sylvasque petivit:
Haud secùs ——— *Æn.* XI, 809.

Τρῶες δὲ, λείουσιν ἐοικότες ὠμοφάγοισι,
Νηυσὶν ἐπεσσεύοντο· Διὸς δ' ἐτέλειον ἐφετμάς·
Ὅς σφισιν αἰὲν ἔγειρε μένος μέγα, θέλγε δὲ θυμὸν
Ἀργείων, καὶ κῦδος ἀπαίνυτο· τοὺς δ' ὀρόθυνεν.
Ἕκτορι γάρ οἱ θυμὸς ἐβούλετο κῦδος ὀρέξαι
Πριαμίδῃ, ἵνα νηυσὶ κορωνίσι θεσπιδαὲς πῦρ
Ἐμβάλῃ ἀκάματον· Θέτιδος δ' ἐξαίσιον ἀρὴν
Πᾶσαν ἐπικρήνειε· τὸ γὰρ μένε μητίετα Ζεὺς,
Νηὸς καιομένης σέλας ὀφθαλμοῖσιν ἰδέσθαι·
Ἐκ γὰρ δὴ τοῦ ἔμελλε παλίωξιν παρὰ νηῶν
Θησέμεναι Τρώων, Δαναοῖσι δὲ κῦδος ὀρέξαι.
Τὰ φρονέων, νήεσσιν ἐπὶ γλαφυρῇσιν ἔγειρεν
Ἕκτορα Πριαμίδην, μάλα περ μεμαῶτα καὶ αὐτόν.
Μαίνετο δ', ὡς ὅτ' Ἄρης ἐγχέσπαλος, ἢ ὀλοὸν πῦρ
Οὔρεσι μαίνηται, βαθέης ἐνὶ τάρφεσιν ὕλης·
Ἀφλοισμὸς δὲ περὶ στόμα γίνετο, τὼ δέ οἱ ὄσσε

Trojani autem, leonibus similes cruda-vorantibus,
In naves ruebant; Jovisque perficiebant mandata;
Qui eis semper excitabat robur magnum, debilitabatque animos
Argivorum, et gloriam auferebat; horum verò excitabat-animos.
Hectori enim ejus animus volebat gloriam praebere
Priamidae, ut navibus recurvis immanè-ardentem ignem
Injiceret indefessum; Thetidisque enormem supplicationem
Totam perficeret: Hoc enim expectabat providus Jupiter,
Navis ardentis splendorem oculis ut-videret:
Ex illo enim *tempore* erat iterùm-in-fugam à navibus
Conjecturus Trojanos, Danaisque gloriam praebiturus.
Haec cogitans, naves in cavas suscitabat
Hectorem Priamidem, perquàm ardentem etiam per se.
Furebat autem is, veluti cum Mars hastam-vibrans, vel perniciosus ignis
In montibus furit, profundae in densis-recessibus sylvae:
Spumaque circum os oriebatur, eique oculi

Ver. 592. Τρῶες δὲ.] Quâ ratione, δὲ, hîc producatur; item γὰρ, *ver.* 596. 610. 613. et ἔθελε, *ver.* 615. et δύνατο, *ver.* 617. vide suprà ad ά, 51. n. 8. Cæterùm Cod. *Harleian.* hîc habet, Τρῶες δ' αὖ.

Ver. 594. Ὅς σφισιν αἰὲν ἔγειρε μένος μέγα.] Vide suprà ad ν', 44.

Ibid. — θέλγε.] ἐχαύνου· Schol. inedita in Cod. *Harleiano.*

Ver. 597, 598. 604. — Πριαμίδῃ, — ἀκάματον, — Πριαμίδην.] Vide suprà ad ά, 398.

Ver. 599. — μητίετα.] Vide suprà ad ά, 175.

Ver. 601. Ἐκ γὰρ δὴ τοῦ.] *Nam ex eo videlicèt tempore* —. Vide suprà ad ξ', 433.

Ibid. — παλίωξιν.] Vide suprà ad *ver.* 24.

Ver. 604. —— μεμαῶτα.] Vide suprà ad ν', 46.

Ver. 605. —— ἢ ὀλοὸν πῦρ.] *Tanaq. Faber* Notis ad *Longini* § 9. scribendum contendit, ἧ ὀλοὸν πῦρ, *quâ ratione ignis,* &c. Alioquin enim, *quî* (inquit) *stare poterit quod sequitur,* ἀφλοισμὸς δὲ ——? Nempe, istud, ἀφλοισμὸς δὲ ——, syntaxi admodùm inficetâ retulit vir eruditus ad *Martem*, quod ab *Homero* dictum est de *Hectore*.

Ver. 606. Οὔρεσι —— τάρφεσιν.] *Al.* ταρφέσιν· à ταρφεὺς vel ταρφής· Ut οὔρεα nimirùm, adjecto epitheto, dicantur ταρφέα, syntaxi valdè perplexâ et inconcinnâ.

Ibid. —— ὕλης.] Vide suprà ad γ', 151.

Ver. 607. — τὼ δέ οἱ ὄσσε Λαμπέσθην.]

—— stant lumina flammâ.
Æn. VI, 300.

—— totoque ardentis ab ore
Scintillæ absistunt; oculis micat acribus ignis.
Æn. XII, 102.

Λαμπέσθην βλοσυρῇσιν ὑπ' ὀφρύσιν· ἀμφὶ δὲ πήληξ
Σμερδαλέον κροτάφοισι τινάσσετο μαρναμένοιο
Ἕκτορος· αὐτὸς γάρ οἱ ἀπ' αἰθέρος ἦεν ἀμύντωρ
Ζεύς, ὅς μιν πλεόνεσσι μετ' ἀνδράσι μοῦνον ἐόντα
Τίμα καὶ κύδαινε· μινυνθάδιος γὰρ ἔμελλεν
Ἔσσεσθ'· ἤδη γάρ οἱ ἐπώρνυε μόρσιμον ἦμαρ
Παλλὰς Ἀθηναίη ὑπὸ Πηλείδαο βίηφι.
Καί ῥ' ἔθελε ῥῆξαι στίχας ἀνδρῶν, πειρητίζων,
Ἧ δὴ πλεῖστον ὅμιλον ὅρα καὶ τεύχε' ἄριστα·
Ἀλλ' οὐδ' ὧς δύνατο ῥῆξαι, μάλα περ μενεαίνων·
Ἴσχον γὰρ πυργηδὸν ἀρηρότες, ἠΰτε πέτρη
Ἠλίβατος, μεγάλη, πολιῆς ἁλὸς ἐγγὺς ἐοῦσα·
Ἥτε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα,
Κύματά τε τροφόεντα, τά τε προσερεύγεται αὐτήν·
Ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον, οὐδὲ φέβοντο.

Fulgebant torvis sub superciliis: circùm autem cassis
Horrendùm tempora quassabatur pugnantis
Hectoris: Ipse enim ei ab aethere erat auxiliator
Jupiter, qui eum plures inter viros solum existentem
Honorabat, gloriâque-extollebat: Brevis enim aevi erat
Futurus: jam enim in eum urgebat fatalem diem
Pallas Minerva sub Pelidae viribus.
Et sanè volebat *Hector* perrumpere ordines virorum, tentans,
Quacunque plurimam turbam videret, et arma optima:
Sed nè sic quidem poterat perrumpere, valdè licèt ardens:
Sustinebant enim quadratis-ordinibus conferti, veluti petra
Excelsa, magna, canum mare prope existens;
Quae sustinet stridulorum ventorum vehementes incursiones,
Undasque ingentes, quae illiduntur in ipsam:
Sic Danai Trojanos sustinebant firmitèr, neque fugiebant.

Ver. 613. —— ἐπώρνυε ——— βίηφι.] Cod. *Harleian.* à *Tho. Bentleio* collatus, ἐπήρτυε —— δαμῆναι. Exponuntque Scholia ibidem inedita, ἡτοίμαζεν.

Ver. 615. Καί ῥ' ἔθελε ῥῆξαι.] Ita Cod. *Harleian.* et hîc, et aliàs sæpiùs. *Al.* ἔθελεν. Cæterùm conjuncta sunt hæc cum præcedente *ver.* 605. Μαίνετο ——, καί ῥ' ἔθελε ῥῆξαι ——. Ut quod de *Jove* ac *Minervâ* insertum est, tanquam in Parenthesi scilicèt inclusum intelligatur.

Ver. 618. Ἴσχον ——, ἠΰτε πέτρη.

Ille, velut pelagi rupes immota, resistit;
Ut pelagi rupes, magno veniente fragore
Quæ sese, multis circumlatrantibus undis,
Mole tenet; scopuli nequicquam et spumea circùm
Saxa fremunt, laterique illisa refunditur alga. *Æn.* VII, 586.

Ille, velut rupes vastum quæ prodit in æquor,
Obvia ventorum furiis, expôstaque ponto,
Vim cunctam atque minas perfert cœlique marisque,
Ipsa immota manens.— *Æn.* X, 693.

Haud secùs ac moles, quam magno murmure fluctus
Oppugnant; manet illa, suoque est pondere tuta. *Ovid. Metam.* IX, 39.

Ver. 620. Ἥτε.] *Quæ utique* ——.

Ver. 621. —— τροφόεντα.] *Al.* τροφέοντα.

Ibid. —— προσερεύγεται αὐτήν.] *Al.* αὐτῇ· et ἀκτῇ· et ἀκτήν.

——— —'Ὡς ὅτε κῦμα
Ἀκτῇ ἐφ' ὑψηλῇ, ὅτε κινήσει νότος ἐλθὼν
Προβλῆτι σκοπέλῳ· ——— β', 394.

Αὐτὰρ ὁ λαμπόμενος πυρὶ πάντοθεν ἔνθορ' ὁμίλῳ·
Ἐν δ' ἔπεσ', ὡς ὅτε κῦμα θοῇ ἐν νηῒ πέσησι
Λάβρον ὑπαὶ νεφέων ἀνεμοτρεφὲς, ἡ δέ τε πᾶσα
Ἄχνῃ ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτης
Ἱστίῳ ἐμβρέμεται· τρομέουσι δέ τε φρένα ναῦται
Δειδιότες· τυτθὸν γὰρ ὑπ' ἐκ θανάτοιο φέρονται·
Ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν.
Αὐτὰρ ὅγ', ὥστε λέων ὀλοόφρων βουσὶν ἐπελθὼν,
Αἵ ῥά τ' ἐν εἱαμενῇ ἕλεος μεγάλοιο νέμονται
Μυρίαι, ἐν δέ τε τῇσι νομεὺς οὔπω σάφα εἰδὼς

At *Hector* fulgens igne undique, insiliit turbae:
Irruit autem, veluti cùm unda velocem in navem illiserit
Impetuosa è nubibus ventis-aucta, *navis* autem tota
Spumâ cooperta est, ventique vehemens flatus
In velo fremit; trepidantque animo nautae
Timentes; parvulo enim spatio à morte *distantes* subvehuntur:
Sic scindebatur animus in pectoribus Achivorum.
At *Hector*, tanquam leo infestus bobus superveniens,
Quae in irriguo-loco paludis magnae pascuntur
Innumerae, interque eas *sit* pastor haud rectè gnarus

Ver. 624. —— ὡς ὅτε κῦμα ——, ὑπ' ἐκ θανάτοιο φέρονται.] Ὁ δὲ Ὅμηρος πῶς; — "Ἐν δ' ἔπεσ', ὡς ὅτε κῦμα ——, ὑπ' ἐκ "θανάτοιο φέρονται." Ἐπεχείρησε καὶ ὁ Ἄρατος τὸ αὐτὸ τοῦτο μετενεγκεῖν, —— "ὀλίγον δὲ "διὰ ξύλον ἄϊδ' ἐρύκει·" πλὴν μικρὸν αὐτὸ καὶ γλαφυρὸν ἐποίησεν, ἀντὶ φοβεροῦ· ἔτι δὲ παρώρισε τὸν κίνδυνον, εἰπὼν —— "ἐρύκει." —— Ὁ δὲ Ποιητὴς [Ὅμηρος] οὐχ ἅπαξ παρορίζει τὸ δεινὸν, ἀλλὰ τοὺς ἀεὶ καὶ μονονουχὶ κατὰ πᾶν κῦμα πολλάκις ἀπολλυμένους εἰκονογραφεῖ· καὶ μὴν τὰς προθέσεις, ἀσυνθέτους οὔσας, συναναγκάσας παρὰ φύσιν, καὶ εἰς ἀλλήλας συμβιασάμενος, "ὑπ' "ἐκ θανάτοιο," τῷ μὲν συνεμπίπτοντι πάθει τὸ ἔπος ὁμοίως ἐβασάνισεν· τῇ δὲ τοῦ ἔπους συνθλίψει, τὸ πάθος ἄκρως ἀπεπλάσατο, καὶ μονονουχὶ ἐνετύπωσε τῇ λέξει τοῦ κινδύνου τὸ ἰδίωμα, "ὑπ' ἐκ "θανάτοιο φέρονται." *Longinus*, § 10. Sed et *pedes dactylici* in istis sex versibus, (Αὐτὰρ ὁ λαμπόμενος —— θανάτοιο φέρονται, *ver.* 623. — 628.) quàm numerosè et volubilitèr vim impetumque depingant tum *Hectoris* tum *procellæ* ingruentis, non indignum observatu: Vide suprà ad γ', 363.

—— stridens Aquilone procella
Velum adversa ferit, fluctusque ad sidera tollit.
Franguntur remi; tum prora avertit, et undis
Dat latus; insequitur cumulo præruptus aquæ mons.
Hi summo in fluctu pendent, his unda dehiscens
Terram inter fluctus aperit.
Æn. I, 106.

Pulcherrima et hæc: "*Veruntamen brevi*"*tas illa Homeri* (inquit *Tollius*, Notis ad "*Longini* § 10.) *plus mihi habere videtur* "*horroris, dum uno velut contuitu omne pe*"*riculum oculis subjicitur; At apud Virgi*"*lium nimiùm picta pleraque plus habent* "*elegantiæ, quàm terroris.*"

Ibid. —— ἐν νηΐ.] *Al.* ἐνὶ νηΐ.

Ver. 625. —— ἀνεμοτρεφὲς.] *Al.* ἀνεμοτραφές.

Ver. 630. Αὐτὰρ ὅγ', —— Ἀχαιοὶ —— ἐφόβηθεν.] De hâc elegantissimâ specie constructionis ἀνακολούθῳ, quâ sententia, ab alio inchoata exordio, mutatâ derepentè loquendi ratione, in aliam quasi inopinatò syntaxin desinit; auctoribus optimis, tum Græcis, tum Latinis, non inusitatâ; vide suprà ad β', 353. 681. ad γ', 211. ad ζ', 510. ad κ', 224. 437. et ad *Odyss.* μ', 73. Οὐκ εὐσύντακτος ἡ —— παραβολὴ, ἀλλὰ δυσαπόδοτος καὶ καινοπρεπής· Ἀρξάμενος γὰρ ἀπὸ εὐθείας, "αὐ"τὰρ ὅγε," —— οὐκ ἀπέδωκε συνήθως, οἷον, "ὣς ὁ Ἕκτωρ" —— ἀλλ' ἀνακολούθως, πρὸς τοὺς Ἀχαιοὺς —— ἐποίησεν τὴν ἀπόδοσιν. —— Εἰ δέ τις εἴποι καὶ ἐπίτηδες τῇ τῶν πραγμάτων ἄρτι καινότητι τὴν ποιητικὴν συνεξομοιωθῆναι φράσιν, καὶ δεινωθῆναι πλέον τοῦ συνήθους, ὡς οἷον ἐνθουσιῶντος Ὁμήρου μεγαλοπρεπέστερον· εἴποι ἂν, οὐκ ἀπροσφυῶς. *Eustath.*

Ver. 631. Αἵ ῥα τ'.] *Quæ, ut fit,* —— *Quæ, ut solitum est,* ——.

Θηρὶ μαχέσσασθαι, ἕλικος βοὸς ἀμφὶ φονῆσιν·
Ἤτοι ὁ μὲν πρώτῃσι καὶ ὑστατίῃσι βόεσσιν
Αἰὲν ὁμοστιχάει, ὁ δέ τ' ἐν μέσσῃσιν ὀρούσας
Βοῦν ἔδει, αἱ δέ τε πᾶσαι ὑπέτρεσαν· ὣς τότ' Ἀχαιοὶ
Θεσπεσίως ἐφόϐηθεν ὑφ' Ἕκτορι καὶ Διῒ πατρὶ
Πάντες· ὁ δ' οἶον ἔπεφνε Μυκηναῖον Περιφήτην,
Κοπρῆος φίλον υἱὸν, ὃς Εὐρυσθῆος ἄνακτος
Ἀγγελίῃς οἴχνεσκε βίῃ Ἡρακληείῃ·
Τοῦ γένετ' ἐκ πατρὸς πολὺ χείρονος υἱὸς ἀμείνων
Παντοίας ἀρετὰς, ἠμὲν πόδας, ἠδὲ μάχεσθαι,
Καὶ νόον ἐν πρώτοισι Μυκηναίων ἐτέτυκτο·
Ὅς ῥα τόθ' Ἕκτορι κῦδος ὑπέρτερον ἐγγυάλιξε.
Στρεφθεὶς γὰρ μετόπισθεν, ὑπ' ἀσπίδος ἄντυγι πάλτο,
Τὴν αὐτὸς φορέεσκε, ποδηνεκὲς ἕρκος ἀκόντων·
Τῇ ὅγ' ἐνιϐλαφθεὶς, πέσεν ὕπτιος· ἀμφὶ δὲ πήληξ
Σμερδαλέον κονάϐησε περὶ κροτάφοισι πεσόντος.

Cum ferâ pugnare, camuris-cornibus bovis circa caedem:
Atque hic quidem cum primis aut postremis bobus
Usque simul-graditur, *leo* verò in medias irruens
Bovem vorat, caeteraeque omnes territae-fugiunt: sic tunc Achivi
Divinitùs in-fugam-conjecti-sunt ab Hectore et Jove patre
Omnes; *Hector* autem solum occîdit Mycenaeum Periphetem,
Coprei dilectum filium, qui *Copreus* Eurysthei regis
Nuncius ibat ad vim Herculeam:
Hoc *utique* genitus erat ex patre multò deteriore filius praestantior
Omnigenis virtutibus, et pedibus, et pugnando;
Et prudentiâ *quoque* inter primos Mycenaeorum fuit:
Qui tunc Hectori gloriam superiorem praebuit:
Conversus enim retrò, in scuti extremâ-orâ offendit,
Quod ipse gestabat, talare munimentum adversus-jacula:
Eo hic impeditus, cecidit supinus; cassis autem
Terribilitèr circumsonuit circa tempora prolapsi.

Ver. 633. Θηρὶ.] *Al.* Χειρί.

Ver. 634. —— πρώτῃσι καὶ ὑστατίῃσι.] Ὁ δὲ, "καὶ," σύνδεσμος, inquit Scholiastes, ἀντὶ τοῦ "ἢ," διαζευκτικοῦ κεῖται· ὅπερ ἄμεινον· ἵν' ᾖ, ταῖς πρώταις ἢ ὑστάταις. Atqui Poeta, opinor, non voluit, "*primisve vel ultimis;*" sed, "*modò primis, modò ultimis.*"

Ver. 636. — ὣς τότ' Ἀχαιοὶ — ἐφόϐηθεν.]

At Danaûm proceres, Agamemnoniæque phalanges
Ut vidêre virum fulgentiaque arma per umbras;
Ingenti trepidare metu. Pars vertere terga,
Ceu quondam petiêre rates: ———
Æn. VI, 489.

——— omnis, eo terrore, ——
——— omnes vertebant terga ——.
Æn. VIII, 705.

Ver. 639. — ἄνακτος.] *Al.* ἀέθλων. Sicuti infrà, σ', 133.

Ver. 640. — οἴχνεσκε.] *Ire solebat.* Vide suprà ad ν', 84.

Ibid. —— βίῃ Ἡρακληείῃ.] Vide suprà ad ν', 758.

Ver. 641. ——— πατρὸς πολὺ χείρονος υἱὸς ἀμείνων.]

—— dignus patriis qui lætior esset
Imperiis, et cui pater haud Mezentius esset.
Æn. VII, 653.

Ver. 642. Παντοίας ἀρετὰς.] *Al.* Παντοίην ἀρετήν.

Ver. 644. Ὅς ῥα.] *Qui, ut dixi,* ——— ver. 638.

Ver. 645. —— ὑπ'.] *Al.* ἐν.

Ἕκτωρ δ᾽ ὀξὺ νόησε, θέων δέ οἱ ἄγχι παρέστη,
Στήθεϊ δ᾽ ἐν δόρυ πῆξε, φίλων δέ μιν ἐγγὺς ἑταίρων,
Κτεῖν᾽· οἱ δ᾽ οὐκ ἐδύναντο, καὶ ἀχνύμενοί περ ἑταίρου,
Χραισμεῖν· αὐτοὶ γὰρ μάλ᾽ ἐδείδισαν Ἕκτορα δῖον.
Εἴσωποὶ δ᾽ ἐγένοντο νεῶν, περὶ δ᾽ ἔσχεθον ἄκραι
Νῆες, ὅσαι πρῶται εἰρύατο· τοὶ δ᾽ ἐπέχυντο.
Ἀργεῖοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκῃ
Τῶν προτέρων, αὐτοῦ δὲ παρὰ κλισίῃσιν ἔμειναν
Ἀθρόοι, οὐδ᾽ ἐκέδασθεν ἀνὰ στρατόν· ἴσχε γὰρ αἰδὼς
Καὶ δέος· ἀζηχὲς γὰρ ὁμόκλεον ἀλλήλοισι·
Νέστωρ αὖτε μάλιστα Γερήνιος, οὖρος Ἀχαιῶν,
Λίσσεθ᾽ ὑπὲρ τοκέων γουνούμενος ἄνδρα ἕκαστον·
Ὦ φίλοι, ἀνέρες ἐστὲ, καὶ αἰδῶ θέσθ᾽ ἐνὶ θυμῷ
Ἄλλων ἀνθρώπων· ἐπὶ δὲ μνήσασθε ἕκαστος
Παίδων, ἠδ᾽ ἀλόχων, καὶ κτήσιος, ἠδὲ τοκήων,
Ἠμὲν ὅτεῳ ζώουσι, καὶ ᾧ κατατεθνήκασι.

Hector autem citò animadvertit, currensque ei propè astitit,
Pectorique hastam infixit, charosque ipsum prope socios
Interfecit: illi autem non poterant, tristes licèt ob socium,
Opitulari; ipsi enim valdè timebant Hectorem nobilem.
Intra-ordines autem recesserunt navium, circumque *eos* sepserunt extremae
Naves, quae propiùs *à mari* subductae erant; *hostes* autem certatim-insequebantur.
Argivi igitur à navibus quidem recesserunt prae necessitate
Prioribus, illic autem ad tentoria manserunt
Conferti, nec dissipabantur per castra: Retinebat enim pudor
Et metus; perpetuò enim vociferantes-hortabantur invicem:
Nestor autem maximè, Gerenius, custos Achivorum,
Obtestabatur per parentes supplicans viro cuique:
" O amici, viri estote, et cum-pudore reveremini animo
" Alios homines; et recordamini quisque
" Filiorum, et uxorum, et possessionis, et parentum,
" Sicui vivunt, et sicui mortui sunt.

Ver. 650. Στήθεϊ.] *Al.* Στήθεσι.

Ver. 653. Εἴσωποὶ δ᾽ ἐγένοντο νεῶν.] Huc spectat *Andromaches* illud, apud *Euripidem*, de marito suo *Hectore*, ad *Menelaum*:

Πόσις θ᾽ ὁ κλεινὸς, ὅς σε πολλάκις δορὶ
Ναύτην ἔθηκεν ἀντὶ χερσαίου κακόν.
Androm. ver. 456.

" Εἴσωποὶ δ᾽ ἐγένοντο νεῶν" οἱ Ἀχαιοὶ, —— ὑποστείλαντες ἑαυτοὺς ὑπὸ τὰς νῆας——· ἢ ἐν ὄψει ἔχοντες, διὰ τὴν ἧτταν, τὰς πρὸς τῷ τείχει νῆας, ἃς εἶχον κατὰ νώτου πρὸ τούτου·—— " περὶ δ᾽ ἔσχεθον ἄκραι νῆες, ὅσαι πρῶται εἰρύ- " ατο," —— ἵνα κατὰ νώτου μὲν ἔχωσι τὰς ἐν θαλάσσῃ πρώτας, πρὸ ὀφθαλμῶν δὲ τὰς ἐν τῷ τείχει προτέρας. *Eustath.*

Ver. 654. —— τοὶ δ᾽ ἐπέχυντο.] Ad naves ruebant *Achivi* fugientes. *Vel;* eos certatim insequebantur *Trojani*. Pro posteriori sententiâ facit quod sequitur, Ἀργεῖοι δὲ —.

Ver. 657. —— οὐδ᾽ ἐκέδασθεν.] *Al.* οὐδὲ κέδασθεν.

Ver. 659. —— Νέστωρ αὖτε μάλιστα.] Ita *Barnesius* ex MSS. tribus; et ex *ver.* 370. suprà. *Al.* Νέστωρ δ᾽ αὖτε μάλιστα.

Ver. 660. —— τοκέων.] *Al.* τεκέων.

Ver. 661. —— ἀνέρες ἐστὲ, —— μνήσασθε, —— ἀλόχων, —— ἠδὲ τοκήων.]

Ultrò animos tollit dictis, atque increpat ultrò:——
In manibus Mars ipse, viri; nunc conjugis esto
Quisque suæ tectique memor, nunc magna referto
Facta, patrum laudes.— *Æn.* X, 278.

Ver. 664. —— ζώουσι, —— κατατεθνήκασι.] Vide suprà ad ν΄, 736. et ad ά, 37.

Τῶν ὕπερ ἐνθάδ' ἐγὼ γουνάζομαι οὐ παρεόντων,
Ἑστάμεναι κρατερῶς· μηδὲ τρωπᾶσθε φόβονδε.
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου·
Τοῖσι δ' ἀπ' ὀφθαλμῶν νέφος ἀχλύος ὦσεν Ἀθήνη
Θεσπέσιον· μάλα δέ σφι φόως γένετ' ἀμφοτέρωθεν,
Ἠμὲν πρὸς νηῶν, καὶ ὁμοιΐου πτολέμοιο.
Ἕκτορα δ' ἐφράσσαντο βοὴν ἀγαθὸν, καὶ ἑταίρους,
Ἠμὲν ὅσοι μετόπισθεν ἀφέστασαν, οὐδ' ἐμάχοντο,
Ἠδ' ὅσσοι πὰρ νηυσὶ μάχην ἐμάχοντο θοῇσιν·
Οὐδ' ἄρ' ἔτ' Αἴαντι μεγαλήτορι ἥνδανε θυμῷ
Ἑστάμεν, ἔνθα περ ἄλλοι ἀφέστασαν υἷες Ἀχαιῶν·
Ἀλλ' ὅγε νηῶν ἴκρι' ἐπῴχετο, μακρὰ βιβάσθων,
Νώμα δὲ ξυστὸν μέγα ναύμαχον ἐν παλάμῃσι,
Κολλητὸν βλήτροισι, δυωκαιεικοσίπηχυ.
Ὡς δ' ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν εὖ εἰδὼς,
Ὅστ', ἐπεὶ ἐκ πολέων πίσυρας συναγείρεται ἵππους,

"Hos per hîc ego supplico, non praesentes,
"Ut stetis fortiter; neque, *quaeso*, vertamini in fugam."
Sic fatus, accendit robur et animum cujusque:
Illis autem, ab oculis nubem caliginis submovit Minerva
Divinitùs-immissam; valdeque ipsis lux coorta utrinque,
Et ex-parte navium, et *ex-parte* omnibus-aequè-gravis proelii.
Hectorem autem conspexerunt pugnâ-strenuum, et socios,
Tum quotquot à-tergo abstiterant, neque pugnabant,
Tum quotquot ad naves pugnam pugnabant veloces:
Neque verò ampliùs Ajaci magnanimo placuit mente
Stare, ubi alii consistebant filii Achivorum:
Sed hic navium tabulata obibat, magnis-passibus gradiens,
Versabatque contum magnum navalem in manibus,
Compactum clavis-ferreis, duorum-et-viginti-cubitorum.
Ut verò quum vir equis desultoriis-uti peritus,
Qui, postquam ex multis quatuor selegit equos,

Ver. 666. — τρωπᾶσθε.] Ita Cod. *Harleian.* à *Tho. Bentleio* collatus. Quod et *Homero* usitatius. *Al.* τροπάασθε, et τροπάασθαι.

Ver. 668. —— νέφος ἀχλύος ὦσεν Ἀθήνη.] Nempe *Nestoris* prudentia, et præsens consilium, Achivis terrorem nonnihil imminuerat. Vide suprà ad ά, 194. ad β', 169. et ad δ', 92.

Ver. 671. —— ἐφράσσαντο.] Editorum nonnulli, ἐφράσαντο. Quod ferri non potest. Vide suprà ad ά, 140. et ad ν', 1.

Ibid. —— βοὴν ἀγαθὸν.] Vide suprà ad β', 408.

Ver. 674. —— Αἴαντι.] Quâ ratione, Αἴαντι, hîc ultimam producat; item μάλα, *ver.* 695; vide suprà ad ά, 51.

Ver. 675. —— ἀφέστασαν.] Ita *Eustathius*, et in contextu et in commentario; Ita et Cod. *Harleianus:* sicuti suprà, *ver.* 672. *Al.* ἐφέστασαν.

Ver. 680. —— Ὅστ'.] *Eustathius:* Τὸ δὲ, "ὅς τε," —— ἀντὶ τοῦ, "οὗτος." —— ἄλλως γὰρ, οὐκ εὐσύντακτος ἡ παραβολή. Sed omninò erravit vir eruditus. Neque enim ullo pacto fert linguæ græcæ ratio, ut ὅς τε intelligatur οὗτος. Et prætereà usitatissima est *Homero*, atque etiam concinnior, istiusmodi syntaxis: Ὡς δ' ὅτε ——. Ut reticeatur scilicèt elegantissimè id, quòd languidius ita supplere possis: "*Sicuti* fit, *quum* ——;" vel, "*Sicuti* res se habet, *quum:*" vel, (quod *hoc in loco* optimè congruit,) "*Sicuti quum* "ostendit se *homo peritus* ——, *qui,*" &c.

Ibid. —— συναγείρεται.] Τὸ δὲ χωρὶς τοῦ γ γράφειν, Ὁμηρικὸν, παρὰ τῇ χρήσει, καὶ τῷ

Σεύας ἐκ πεδίοιο μέγα προτὶ ἄστυ διώκει,
Λαοφόρον καθ᾽ ὁδὸν, πολέες τέ ἑ θηήσαντο
Ἀνέρες, ἠδὲ γυναῖκες· ὁ δ᾽ ἔμπεδον ἀσφαλὲς αἰεὶ
Θρώσκων, ἄλλοτ᾽ ἐπ᾽ ἄλλον ἀμείβεται· οἱ δὲ πέτονται·
Ὣς Αἴας ἐπὶ πολλὰ θοάων ἴκρια νηῶν
Φοίτα, μακρὰ βιβὰς, φωνὴ δέ οἱ αἰθέρ᾽ ἵκανεν·
Αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευε,
Νηυσί τε καὶ κλισίῃσιν ἀμυνέμεν. Οὐδὲ μὲν Ἕκτωρ
Μίμνεν ἐνὶ Τρώων ὁμάδῳ πύκα θωρηκτάων·
Ἀλλ᾽ ὥστ᾽ ὀρνίθων πετεηνῶν αἰετὸς αἴθων
Ἔθνος ἐφορμᾶται, ποταμὸν πάρα βοσκομενάων,
Χηνῶν, ἢ γεράνων, ἢ κύκνων δουλιχοδείρων·
Ὣς Ἕκτωρ ἴθυσε νεὸς κυανοπρώροιο
Ἄντιος ἀΐξας· τὸν δὲ Ζεὺς ὦσεν ὄπισθε
Χειρὶ μάλα μεγάλῃ, ὤτρυνε δὲ λαὸν ἅμ᾽ αὐτῷ.
Αὖτις δὲ δριμεῖα μάχη παρὰ νηυσὶν ἐτύχθη·
Φαίης κ᾽ ἀκμῆτας καὶ ἀτειρέας ἀλλήλοισιν
Ἄντεσθ᾽ ἐν πολέμῳ· ὡς ἐσσυμένως ἐμάχοντο.

Agitans ex campo magnam ad urbem incitat,
Publicam per viam, multique eum admirantes-spectant
Viri et mulieres; ipse autem firmitèr sinè-lapsu assiduè
Subsiliens, alias in alium alternat; illique *interim* volant:
Sic Ajax multa velocium tabulata-excelsa-in-puppibus navium
Obibat, magnis-passibus gradiens; voxque ejus ad aethera perveniebat:
Semper enim terribilitèr clamans Danaos hortabatur
Navesque et tentoria defendere. At neque Hector
Manebat in Trojanorum turbâ benè armatorum;
Sed sicut avium volucrium aquila fulva
Gentem invadit, fluvium juxta pascentium,
Anserum, vel gruum, vel cygnorum longa-colla-habentium:
Sic Hector impetu-ferebatur-rectà in navem prora-caeruleam,
Prorsùm prorumpens; eumque Jupiter impellebat à tergo
Manu valdè magnâ, concitabatque populum unà-cum ipso.
Iterùm verò acris pugna ad naves commissa est:
Dixisses certè indefessos et indefatigabiles inter-se
Occurrere in proelio: tanto cum impetu pugnabant.

λόγῳ πάντη συνᾶδον ἐπιεικῶς. Τὸ γὰρ "συναείρεται," μᾶλλον προσεχῶς σημαίνει τὸ "συνάγειν καὶ συναρμόζειν." Καὶ ἐν ἄλλοις, "Σὺν δ᾽ ἤειρεν ἱμᾶσι," (κ΄, 499.) — συνήγαγε τοὺς ἵππους. *Porphyr. Quæst. Homeric.* 8.

Ver. 681. Σεύας.] Cod. *Harleian.* Σεύσας.

Ibid. —— διώκει.] *Al.* δίηται.

Ver. 687. —— κέλευε.] Vide suprà ad ν΄, 84.

Ver. 690. —— ὀρνίθων —— αἰετὸς —— Ἔθνος ἐφορμᾶται.]

—————— quantum
Chaonias dicunt, aquilâ veniente, columbas. *Virg. Ecl.* IX, 12.

Ver. 691. —— ποταμὸν.] Cod. *Harleian.* ποταμῷ.

Ver. 693. —— νεὸς.] *Al.* νεώς.

Ver. 694. —— ὦσεν.] *Al.* ὦρσεν. Vide suprà ad ν΄, 44.

Ver. 697. —— ἀκμῆτας καὶ ἀτειρέας.]

Ingentem pugnam, ————
Martem indomitum, ————
Æn. II, 438. 440.

Τοῖσι δὲ μαρναμένοισιν ὅδ' ἦν νόος· ἤτοι Ἀχαιοὶ
Οὐκ ἔφασαν φεύξεσθαι ὑπ' ἐκ κακοῦ, ἀλλ' ὀλέεσθαι·
Τρωσὶν δ' ἤλπετο θυμὸς ἐνὶ στήθεσσιν ἑκάστου,
Νῆας ἐνιπρήσειν, κτενέειν θ' ἥρωας Ἀχαιούς·
Οἱ μὲν τὰ φρονέοντες ἐφέστασαν ἀλλήλοισιν.
Ἕκτωρ δὲ πρύμνης νεὸς ἥψατο ποντοπόροιο,
Καλῆς, ὠκυάλου, ἣ Πρωτεσίλαον ἔνεικεν
Ἐς Τροίην, οὐδ' αὖτις ἀπήγαγε πατρίδα γαῖαν·
Τοῦ περ δὴ περὶ νηὸς Ἀχαιοί τε Τρῶές τε
Δήουν ἀλλήλους αὐτοσχεδόν· οὐδ' ἄρα τοίγε
Τόξων ἀϊκὰς ἀμφὶς μένον, οὐδέ τ' ἀκόντων·
Ἀλλ' οἵγ' ἐγγύθεν ἱστάμενοι ἕνα θυμὸν ἔχοντες,
Ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνῃσι μάχοντο,
Καὶ ξίφεσιν μεγάλοισι, καὶ ἔγχεσιν ἀμφιγύοισι.
Πολλὰ δὲ φάσγανα καλὰ, μελάνδετα, κωπήεντα,
Ἄλλα μὲν ἐκ χειρῶν χαμάδις πέσον, ἄλλα δ' ἀπ' ὤμων
Ἀνδρῶν μαρναμένων· ῥέε δ' αἵματι γαῖα μέλαινα.
Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν, οὐχὶ μεθίει,

Ac pugnantibus hic erat animus: Achivi quidem
Non putabant *se* evasuros è clade, sed perituros:
Trojanis autem credebat animus in pectoribus cujusque,
Naves incensuros esse *se*, occisurosque heroas Achivos.
Atque hi quidem his animis instabant sibi invicem.
Hector autem puppim navis prehendit pontum-transeuntis,
Pulchrae, velocis, quae Protesilaum advexerat
Ad Trojam, neque retrò reduxit *eum* in patriam terram:
Hujus utique pro nave Achivique Trojanique
Occidebant alii-alios cominùs: neque sanè ii
Sagittarum impetus eminùs expectabant, neque jaculorum;
Sed cominùs stantes, unum animum habentes,
Acutis jam securibus et bipennibus pugnabant,
Et ensibus magnis, et hastis utrinque-acutis.
Multi verò gladii pulchri, nigris-inditi-manubriis, capulis-magnis,
Alii quidem è manibus in-terram cadebant, alii verò ab humeris
Virorum pugnantium: fluebatque sanguine terra nigra.
Hector autem puppim-*navis* postquam prehenderat, non dimittebat,

Ver. 704. —— νεὸς ἥψατο.] *Al.* νεὼς ἥψατο, Ut pronuntiaretur scilicèt, νῶς ἥψατο.

Ver. 705. Καλῆς.] Vide suprà ad β', 43.

Ver. 708. — οὐδ' ἄρα τοίγε ——.] Ὅρα τὴν φράσιν τῆς κινδυνώδους ἀκμαίας μάχης· ἣν οὐκ ἂν φράσειαν κάλλιον, οὐδ' εἰ πάντες οἱ ῥήτορες εἰς ἓν συνελθόντες μελετήσαιεν. *Eustath.*

Ver. 711. — δὴ.] *Omnino* ——. Vide autem suprà, ad ξ', 433.

Ver. 713. — καλὰ.] Vide suprà ad β', 43.

Ibid. — μελάνδετα.] *Nigris manubriis inditi.* Malè Barnesius, *nigris illigati vaginis.* Quod hîc minùs convenit.

Ver. 714. — χειρῶν.] Cod. *Harleian.* χειρός.

Ver. 716. Ἕκτωρ δὲ πρύμνηθεν —— Οἴσετε πῦρ.]

Classem, quæ lateri castrorum adjuncta latebat.
Aggeribus septam circùm et fluvialibus undis,
Invadit; sociosque incendia poscit ovantes;
Atque manum pinu flagranti fervidus implet.
Æn. IX, 69.

Ibid. — μεθίει.] Vide suprà ad *ver.* 24.

Ἄφλαστον μετὰ χερσὶν ἔχων, Τρωσὶν δ' ἐκέλευεν·
Οἴσετε πῦρ, ἅμα δ' αὐτοὶ ἀολλέες ὄρνυτ' ἀϋτήν.
Νῦν ἡμῖν πάντων Ζεὺς ἄξιον ἦμαρ ἔδωκε,
Νῆας ἑλεῖν, αἳ δεῦρο θεῶν ἀέκητι μολοῦσαι,
Ἡμῖν πήματα πολλὰ θέσαν, κακότητι γερόντων·
Οἵ μ', ἐθέλοντα μάχεσθαι ἐπὶ πρύμνῃσι νέεσσιν,
Αὐτόν τ' ἰσχανάασκον, ἐρητύοντό τε λαόν.
Ἀλλ' εἰ δή ῥα τότ' ἔβλαπτε φρένας εὐρύοπα Ζεὺς
Ἡμετέρας, νῦν αὐτὸς ἐποτρύνει καὶ ἀνώγει.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα μᾶλλον ἐπ' Ἀργείοισιν ὄρουσαν·
Αἴας δ' οὐκέτ' ἔμιμνε, βιάζετο γὰρ βελέεσσιν·
Ἀλλ' ἀνεχάζετο τυτθὸν, ὀϊόμενος θανέεσθαι,
Θρῆνυν ἔφ' ἑπταπόδην, λίπε δ' ἴκρια νηὸς ἐΐσης·
Ἔνθ' ἄρ' ὅγ' εἱστήκει δεδοκημένος· ἔγχεϊ δ' αἰεὶ
Τρῶας ἄμυνε νεῶν, ὅστις φέροι ἀκάματον πῦρ·
Αἰεὶ δὲ σμερδνὸν βοόων, Δαναοῖσι κέλευεν·
Ὦ φίλοι, ἥρωες Δαναοὶ, θεράποντες Ἄρηος,
Ἀνέρες ἐστὲ, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.

Summam-puppis-partem manibus tenens; Trojanis verò inclamabat:
" Ferte ignem, simulque et ipsi conferti excitate pugnam.
" Nunc nobis omnium Jupiter instar diem dedit;
" Ut naves capiamus, quae huc diis invitis profectae,
" Nobis clades multas intulerunt, ignaviâ seniorum;
" Qui me, volentem pugnare ad puppes navium,
" Ipsumque detinebant, inhibebantque exercitum.
" Verùm si tum laedebat mentes latè-sonans Jupiter
" Nostras, nunc ipse impellit et jubet."
Sic dixit: Illi autem inde acriùs in Argivos irruebant:
Ajax autem non ampliùs sustinebat, obruebatur enim telis;
Sed recedebat paululùm, (putans *se* moriturum esse,)
Ad transtrum septem-pedale; liquit verò tabulata navis undique-aequalis:
Ibi ille stabat observans; hastâque assiduè
Trojanos arcebat à navibus, quicunque ferret indefessum ignem:
Semperque horrendùm clamans, Danaos hortabatur:
" O amici, heroës Danai, famuli Martis;
" Viri estote, amici, recordamini strenuae fortitudinis.

Ver. 717. —— ἐκέλευεν.] Vide suprà ad ν', 84.

Ver. 718. —— Οἴσετε.] Cod. *Harleian.* Οἴσατε.

Ibid. —— ὄρνυτ'.] Vide suprà ad γ', 260.

Ver. 719. —— πάντων —— ἄξιον.] Πάντων τῶν τολμηθέντων εἰς ἡμᾶς ἀξίαν ἀμοιβήν. *Schol. Vulgg.* Ἀντάξιον ἀντὶ πάντων ὧν ἐπάσχομεν. *Schol. inedita in* Cod. *Harleiano.*

Ver. 724. — Ἀλλ' εἰ δή ῥα τότ'.] *At si tum reverà* ——.

Ibid. — τότ' ἔβλαπτε.] *Eustathius*, in Commentario suo, videtur legisse τότε βλάπτε. Id quod auribus non displicet.

Ibid. — εὐρύοπα.] Vide suprà ad ά, 175.

Ver. 729. — νηὸς ἐΐσης.] Vide suprà ad ά, 306.

Ver. 730. Ἔνθ' ἄρ'.] *Ibi, inquam,* ——.

Ibid. —— εἱστήκει.] Si ἕστηκεν dixisset, jam non constaret Temporum ratio. Vide suprà ad δ', 434. et ad ά, 37.

Ver. 731. — ἀκάματον.] Vide suprà ad ά, 398.

Ver. 732. — κέλευεν.] Vide suprà ad ν', 84.

Ἠέ τινάς φαμεν εἶναι ἀοσσητῆρας ὀπίσσω;
Ἠέ τι τεῖχος ἄρειον, ὅ κ' ἀνδράσι λοιγὸν ἀμύναι;
Οὐ μέν τις σχεδόν ἐστι πόλις, πύργοις ἀραρυῖα,
Ἧ κ' ἀπαμυναίμεσθ', ἑτεραλκέα δῆμον ἔχοντες·
Ἀλλ' ἐν γὰρ Τρώων πεδίῳ πύκα θωρηκτάων,
Πόντῳ κεκλιμένοι, ἑκὰς ἥμεθα πατρίδος αἴης·
Τῷ ἐν χερσὶ φόως, οὐ μειλιχίῃ πολέμοιο.
Ἦ, καὶ μαιμώων ἔφεπ' ἔγχεϊ ὀξυόεντι·
Ὅστις δὲ Τρώων κοίλης ἐπὶ νηυσὶ φέροιτο,
Σὺν πυρὶ κηλείῳ, χάριν Ἕκτορος ὀτρύναντος,
Τόνδ' Αἴας οὔτασκε, δεδεγμένος ὀξέϊ δουρί·
Δώδεκα δὲ προπάροιθε νεῶν αὐτοσχεδὸν οὖτα.

"An aliquos putamus esse adjutores à tergo?
"Aut aliquem murum firmiorem, qui viris perniciem arceat?
"Non quidem aliqua prope est urbs turribus munita,
"Quâ defendamur, suis-vicibus-succedentem exercitum habentes:
"Sed enim in Trojanorum campo benè armatorum,
"Ponto admoti, longè sedemus à patriâ terrâ:
"Ideò in manibus salus, non in remissione pugnae."
Dixit, et furens insectabatur hastâ acutâ:
Quicunque utique Trojanorum, cavas ad naves ferretur
Cum igne ardenti, *in* gratiam Hectoris concitantis;
Hunc Ajax vulnerabat, excipiens acutâ hastâ:
Duodecim adeò ante naves cominùs feriit.

Ver. 736. Ἠέ τι τεῖχος ἄρειον.]

—— Quò deinde fugam? quo tenditis? inquit.
Quos alios muros, quæ jam ultra mœnia habetis? *Æn.* IX, 781.

Ver. 738. —— ἀπαμυναίμεσθ'.] ἐπαμυναίμεσθ'. Cod. *Harleian.* à *Th. Bentleio* collatus. Βοήθειαν λάβοιμεν. *Schol. ibidem inedita.*

Ibid. — ἑτεραλκέα δῆμον.] ἀμοιβούς· ν', 793.

Ver. 739. —— Τρώων πεδίῳ ——, Πόντῳ κεκλιμένοι, —— ἐν χερσὶ φόως ——. Ἦ, καὶ μαιμώων ἔφεπ' ἔγχεϊ.]

Nec spes ulla fugæ: rerum pars altera adempta est. *Æn.* IX, 131.
Ecce, maris magno claudit nos objice pontus;
Deest jam terra fugæ; pelagus, Trojamne petemus?
Hæc ait, et medius densos prorumpit in hostes. *Æn.* X, 377.

Ver. 741. —— μειλιχίῃ.] *Al.* μειλιχίη.

Ver. 742. —— ὀξυόεντι.] Vide suprà ad ί, 50.

Ver. 743. — κοίλης ἐπὶ νηυσὶ φέροιτο.] *Al.* κοιλὰς ἐπὶ νῆας ἄγοιτο. Scholia inedita, in Cod. *Harleiano*, exponunt; ἐφέρετο τῇ εἱμαρμένῃ. Sed aptiùs intelligas; *virtute suâ*; vel, *hortatu Hectoris.*

Ver. 745. — ὀξέϊ δουρί.] *Al.* ἔγχεϊ μακρῷ.

Ver. 746. —— δὲ.] *Al.* δή. Longè minùs venustè.

Ibid. — οὖτα.] *Al.* ἔκτα.

ΤΗΣ

ΟΜΗΡΟΥ ΙΛΙΑΔΟΣ

ῬΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ Π΄.

Ὑπόθεσις τῆς Π΄. ὉΜΗΡΟΥ ῥαψῳδίας.

ΠΑΤΡΟΚΛΩ δεηθέντι Ἀχιλλεὺς τὴν ἑαυτοῦ πανοπλίαν ἐπιτρέπει ἀναλαβεῖν, καὶ τοὺς Μυρμιδόνας ἐξάγειν ἐπὶ τὸν πόλεμον· οἱ δὲ, ἐξελθόντες ἔτρεψαν τοὺς Τρῶας. Πάτροκλος δὲ Σαρπηδόνα τὸν Διὸς ἀναιρεῖ, τὸν παρήορον ἵππον τοῦ Ἀχιλλέως ἀνελόντα, Πήδασον· ἔπειτα δὲ Πάτροκλον Ἕκτωρ ἀναιρεῖ, πληγέντα πρότερον ὑπὸ Εὐφόρβου, Ἀπόλλωνος ἀφελομένου τὴν πανοπλίαν αὐτοῦ.

Ἐπιγραφαί.

Πατρόκλεια.

Ἄλλως.

Πῖ, Πάτροκλον ἔπεφνεν ἀρήϊον Ἕκτορος αἰχμή.

Ὣς οἱ μὲν περὶ νηὸς ἐϋσσέλμοιο μάχοντο·
Πάτροκλος δ' Ἀχιλῆϊ παρίστατο, ποιμένι λαῶν,
Δάκρυα θερμὰ χέων, ὥστε κρήνη μελάνυδρος,
Ἥτε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ.
Τὸν δὲ ἰδὼν ᾤκτειρε ποδάρκης δῖος Ἀχιλλεὺς,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Τίπτε δεδάκρυσαι, Πατρόκλεις, ἠΰτε κούρη
Νηπίη; ἥθ' ἅμα μητρὶ θέουσ' ἀνελέσθαι ἀνώγει,

Sic hi quidem de navi bonis-transtris-instructâ pugnabant:
Patroclus autem Achilli astabat, pastori populorum,
Lacrymas calidas fundens; tanquam fons aquis-niger,
Qui utique ab excelsâ petrâ nigram fundit aquam.
Hunc autem intuens miseratus est pedibus-celer nobilis Achilles,
Et ipsum compellans verbis alatis allocutus est:
" Curnam lacrymaris, Patrocle, tanquam puella
" Parvula? quae cum matre currens, eam se-*brachiis*-suscipere flagitat,

Ver. 3. Δάκρυα θερμὰ χέων.]
Multa gemens, largoque humectat flumine vultum. *Æn.* I, 469.
Ver. 5. — ποδάρκης.] Vide suprà ad ά, 58.

Ver. 6. —— ἔπεα πτερόεντα.]
———— *verbis*
Quæ tutò tibi magna *volant*.———— *Æn.* XI, 380.

Εἱανοῦ ἁπτομένη, καί τ' ἐσσυμένην κατερύκει,
Δακρυόεσσα δέ μιν ποτιδέρκεται, ὄφρ' ἀνέληται·
Τῇ ἴκελος, Πάτροκλε, τέρεν κατὰ δάκρυον εἴβεις.
Ἠέ τι Μυρμιδόνεσσι πιφαύσκεαι, ἢ ἐμοὶ αὐτῷ;
Ἠέ τιν' ἀγγελίην Φθίης ἐξέκλυες οἶος;
Ζώειν μὰν ἔτι φασὶ Μενοίτιον, Ἄκτορος υἱὸν,
Ζώει δ' Αἰακίδης Πηλεὺς μετὰ Μυρμιδόνεσσι,
Τῶν κε μάλ' ἀμφοτέρων ἀκαχοίμεθα τεθνειώτων.
Ἠὲ σύ γ' Ἀργείων ὀλοφύρεαι, ὡς ὀλέκονται
Νηυσὶν ἔπι γλαφυρῇσιν, ὑπερβασίης ἕνεκα σφῆς;
Ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω.
Τὸν δὲ βαρυστενάχων προσέφης, Πατρόκλεις ἱππεῦ·
Ὦ Ἀχιλεῦ, Πηλέος υἱὲ, μέγα φέρτατ' Ἀχαιῶν,
Μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς.
Οἱ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι,
Ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε.
Βέβληται μὲν ὁ Τυδείδης κρατερὸς Διομήδης·

" Vestem apprehendens, et properantem detinet;
" Lacrymabunda autem ipsam suspicit, ut ulnis-se-attollat:
" Huic similis, Patrocle, rorantem lacrymam effundis.
" Anne aliquid Myrmidonibus nuncias, aut mihi ipsi?
" An aliquem nuncium ex Phthiâ audivisti solus?
" Vivere sanè adhuc aiunt Menoetium, Actoris filium;
" Vivit et Aeacides Peleus inter Myrmidonas;
" Quorum utique valdè alterutro tristaremur mortuo.
" An verò tu Argivorum gratiâ luges, quòd ita pereant
" Naves ad cavas, injustitiam propter suam?
" Eloquere; nè cela mente; ut sciamus ambo."
Hunc autem graviter-suspirans allocutus es, Patrocle eques:
" O Achille, Pelei fili, multò fortissime Achivorum,
" Ne indigneris: tam-gravis enim dolor oppressit Achivos.
" Illi enim jam omnes, quicunque antè erant fortissimi,
" In navibus jacent eminùs cominúsque vulnerati.
" Eminùs quidem sauciatus est Tydides fortis Diomedes;

Ver. 9. Εἱανοῦ.] Vide suprà ad ξ', 178. et ad γ', 385.

Ver. 10. — ποτιδέρκεται.] *Al.* προτιδέρκεται.

Ver. 13. —— Φθίης ἐξέκλυες.] *Al.* Φθίης ἐξ ἔκλυες.

Ver. 16. — ἀκαχοίμεθα.] *Al.* ἀκαχήμεθα.

Ibid. — τεθνειώτων.] Vide suprà ad ν', 46.

Ver. 21. —— Πηλέος.] *Al.* Πελέως, et Πηλῆος. Quæ omnia ferri possint. Vide suprà ad ά, 489.

Ibid. — υἱὲ, μέγα.] Quâ ratione, υἱὲ, hîc ultimam producat; vide suprà ad ά, 51.

Ibid. —— μέγα φέρτατ' Ἀχαιῶν.]
—— O Danaûm fortissime gentis.
Æn. I, 100.

Ver. 22. Μὴ νεμέσα.] Qui hoc de *irâ* Achillis adversus Agamemnonem coërcendâ acceperunt, vim hujus vocabuli prorsùs ignorârunt. Longè aliud est, μηνίειν· aliud, νεμεσᾷν. Videatur idem iste versiculus suprà, κ', 145.

Ibid. — βεβίηκεν ——. Βέβληται ——· Οὔτασται.] Vide suprà ad ν', 736. et ad ά, 37.

Ver. 23. — δὴ.] *Omnino* ——; *Profectò* —. Vide suprà ad ξ', 433.

Ver. 25. — Διομήδης —· Ὀδυσεὺς ——, Ἀγαμέμνων· — Εὐρύπυλος.] —— ἐπαινεῖται τῆς τάξεως· Τὸν μὲν γὰρ βασιλέα οὔτε προτάττει τῶν ἄλλων, μήποτε καὶ χαλεπήνας ὁ Ἀχιλλεὺς ἅμα τῇ τοῦ ἐχθροῦ μνήμῃ πρόηται τὴν ἔντευξιν.

Οὔτασται δ' Ὀδυσεὺς δουρικλυτὸς, ἠδ' Ἀγαμέμνων·
Βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀϊστῷ.
Τοὺς μέν τ' ἰητροὶ πολυφάρμακοι ἀμφιπένονται,
Ἕλκε' ἀκειόμενοι· σὺ δ' ἀμήχανος ἔπλευ, Ἀχιλλεῦ.
Μὴ ἐμὲ γοῦν οὗτός γε λάβοι χόλος, ὃν σὺ φυλάσσεις,
Αἰναρέτη· τίς σευ ἄλλος ὀνήσεται ὀψίγονός περ,
Αἴκε μὴ Ἀργείοισιν ἀεικέα λοιγὸν ἀμύνῃς;
Νηλεές· οὐκ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεὺς,
Οὐδὲ Θέτις μήτηρ· γλαυκὴ δέ σε τίκτε θάλασσα,
Πέτραι τ' ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής·
Εἰ δέ τινα φρεσὶ σῇσι θεοπροπίην ἀλεείνεις,
Καί τινά τοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ,
Ἀλλ' ἐμέ περ πρόες ὦχ', ἅμα δ' ἄλλον λαὸν ὄπασσον

" Cominùs verò Ulysses hastâ-inclytus, atque Agamemnon :
" Vulneratus etiam est Eurypylus in femore sagittâ.
" Atque hos quidem medici multis-medicamentis-utentes curando-occupati sunt,
" Vulnera sanantes : tu verò inexorabilis es, Achille.
" Nè me *unquam* talis utique ceperit ira, qualem tu servas,
" In-malum-fortis : Quisnam à te alius juvabitur posthàc,
" Si non ab Argivis *nunc* indignam perniciem propulsaveris ?
" Immisericors : non utique tibi pater erat eques Peleus,
" Nec Thetis mater ; caeruleum autem te peperit mare,
" Excelsaeque petrae ; quoniam tibi mens est saeva :
" Quòd si aliquod mentibus tuis vaticinium vereris,
" Et aliquod tibi à Jove dixit veneranda mater ;
" At me saltem mitte citò, simulque caeteras copias praebe

Ἀλλ' οὐδ' ἔσχατον τίθησι· δέος γὰρ καὶ οὕτω, μὴ τῇ τοῦ ὀνόματος προφορᾷ τελευταίᾳ κειμένῃ καὶ ἐναύλῳ οὔσῃ, ἀνανεύσῃ πρὸς τὸ παρόν. Ὅθεν μέσην αὐτῷ δίδωσι τάξιν, ἐκκρούων τὴν μνήμην, καὶ ἀμβλύνων τὸ μῖσος, διὰ τῶν ἑκατέρωθεν, καὶ μάλιστα διὰ τῆς ἄγαν βραχυλογίας. Οὐ γὰρ πολλὰς λέξεις ἐπὶ τῷ βασιλεῖ, καθὰ καὶ ἐπὶ τοῖς ἄλλοις, ἐδαπάνησεν· ἀλλὰ φειδωλῶς οὕτως ἐπέδραμεν, " ἠδ' Ἀγαμέμνων." *Eustath.*

Ver. 29. — *ἀκειόμενοι.*] *Al.* *ἀκειάμενοι.*

Ver. 31. — *τίς σευ ἄλλος.*] Pronuntiabatur, *τίς σεὔλλος.* MS. *Barnesii* unus, *τί σευ ἄλλος·* Quod et probat vir eruditus. Sed et ad sententiam, minùs rectè ; et ad constructionem cum isto *πὲρ*, parùm aptè.

Ver. 32. *Νηλεές· οὐκ ἄρα —— · γλαυκὴ δέ σε τίκτε θάλασσα, Πέτραι τ' ἠλίβατοι.*]

—————— ἦ ῥα λεαίνας
Μασδὸν ἐθήλαζε, δρυμῷ τέ μιν ἔτρεφε μάτηρ. *Theocrit. Idyll.* III, 15.

Nec tibi Diva parens, generis nec Dardanus auctor,
Perfide, sed duris genuit te cautibus horrens
Caucasus, Hyrcanæque admôrunt ubera tigres. *Æn.* IV, 365.

Quo de loco *Macrobius :* " Plenè Virgilius. " Non *partionem* solam, sicut ille quem se- " quebatur ; sed *educationem* quoque *nutri-* " *cationis,* tanquam bellualem et asperam, " criminatur. Addit enim de suo, *Hyrca-* " *næque admôrunt ubera tigres.* ——— Ad " criminandos igitur mores, defuit *Homero,* " quod *Virgilius* adjecit." *Lib.* V. *cap.* 11.

Καὶ καλῶς Ὅμηρος εἶπε, " γλαυκὴ δέ σε τίκτε " θάλασσα," πρὸς τὸν ἀνήμερον εἶναι δοκοῦντα καὶ ἄμικτον. *Plutarch. de Solertiâ Animalium.* *Φιλικὸν ἡ παῤῥησία, καὶ σεμνόν. —— ὅθεν αἰδοῦνται τοὺς παῤῥησιαζομενοὺς, καὶ θαυμάζουσι. ——— Αὐτός γε μὲν ὁ Ἀχιλλεὺς, καίπερ οὐ γλυκύθυμος ὢν οὐδ' ἀγανόφρων, ἀλλὰ δεινὸς ἀνὴρ, —— παρεῖχε τῷ Πατρόκλῳ σιωπῇ καταφέρειν αὐτοῦ πολλὰ τοιαῦτα. " Νηλεές· οὐκ " ἄρα σοί γε πατὴρ,"* &c. *Id. de Adulat. et Amic. discrim.*

Ibid. — *ἱππότα.*] Vide suprà ad *ά*, 175.

Ver. 34. — *σε τίκτε.*] *Al.* *σ' ἔτικτε.* Quod leviculum est.

Ver. 38. *Ἀλλ' ἐμέ περ πρόες.*] Codd. à *Th. Bentleio* collati, *Ἀλλὰ ἐμὲ πρόες.*

Μυρμιδόνων, ἤν πού τι φόως Δαναοῖσι γένωμαι.
Δὸς δέ μοι ὤμοιϊν τὰ σὰ τεύχεα θωρηχθῆναι,
Αἴκ' ἐμέ σοι ἴσκοντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν
Τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.
Ῥεῖα δέ κ' ἀκμῆτες κεκμηότας ἄνδρας ἀϋτῇ
Ὤσαιμεν προτὶ ἄστυ, νεῶν ἄπο καὶ κλισιάων.
Ὣς φάτο λισσόμενος, μέγα νήπιος· ἦ γὰρ ἔμελλεν
Οἷ αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι.
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ὤ μοι, διογενὲς Πατρόκλεις, οἷον ἔειπες·
Οὔτε θεοπροπίης ἐμπάζομαι, ἥντινα οἶδα,
Οὔτε τί μοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ·
Ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
Ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλῃσιν ἀμέρσαι,
Καὶ γέρας ἂψ ἀφελέσθαι, ὅ,τε κράτεϊ προβεβήκει·
Αἰνὸν ἄχος τό μοι ἐστὶν, ἐπεὶ πάθον ἄλγεα θυμῷ.
Κούρην, ἣν ἄρα μοι γέρας ἔξελον υἷες Ἀχαιῶν,
Δουρὶ δ' ἐμῷ κτεάτισσα, πόλιν εὐτείχεα πέρσας,

" Myrmidonum, si fortè quid luminis Danais fiam.
" Da autem mihi humeris tua arma ut induam;
" Si fortè, me ob-similitudinem-esse-Te credentes, abstineant à pugnâ
" Trojani, respirentque Mavortii filii Achivorum
" Afflicti *jam*: exigua sanè respiratio in bello, *profuerit*.
" Facilè verò integri defessos viros proelio
" Repulerimus ad urbem, à navibus et tentoriis."
Sic dixit supplicans, valdè demens: certè enim erat
Sibi ipsi mortemque malam, et fatum rogaturus.
Illum autem graviter gemens allocutus est pedibus velox Achilles:
" Hei mihi, nobilissime Patrocle, quod dixeris:
" Neque vaticinium ullum vereor, quod audiverim;
" Neque quidquam mihi à Jove dixit veneranda mater:
" Sed hic gravis dolor cor et animum occupat,
" Quando aequalem quis voluerit privare-portione-suâ,
" Et praemium rursùs auferre *is*, qui potentiâ antecellat:
" Gravis dolor hic mihi est, quandoquidem *inde* passus sum moerores animo.
" Puellam, quam quidem mihi praemium elegerant filii Achivorum,
" Hastâque meâ quaesiveram, urbe benè-munitâ eversâ;

Ver. 43. — ὀλίγη δέ τ'.] Vertit *Barnesius*, aliique; " *exiguaque fiat* ——." Sententiâ non prorsùs incommodâ. Sed minùs videbitur ταυτολόγον, multoque majus inerit πάθος, si vertas: " *Vel exiguum sanè respirandi spatium in bello, non erit inutile.*" Quod et *Barnesium* non fugerat suprà, λ', 800.

Ver. 49. ———— ἔειπες.] *Al.* ἔειπας. Ut sæpè.

Ver. 50. Οὔτε θεοπροπίης ——, Οὔτε τί μοι πὰρ Ζηνὸς.] Nempe, nihil *novi*, nihil quod ipsum *terrefaceret*, nihil quod *non jamdudùm probè nôsset* Patroclus. Nam alioqui fatum suum sibi à Jove nuntiaverat Thetis, ί, 410. Ut rectè notavit *Barnesius*.

Ver. 53. Ὁππότε δὴ.] Vide suprà ad ξ', 433.

Ver. 56. —— ἄρα.] *Ut nôsti*, ——.

Ibid. — ἔξελον.] Ὡς ἐξαίρετον ἔδωκαν. *Schol.*

Ver. 57. —— πόλιν εὐτείχεα πέρσας.] Quâ ratione, πόλιν, hîc ultimam producat; item περ, *ver.* 60. et δὲ, *ver.* 67. et πόλις, *ver.*

Τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρείδης, ὡσεί τιν' ἀτίμητον μετανάστην.
Ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν· οὐδ' ἄρα πεῤ ἦν
Ἀσπερχὲς κεχολῶσθαι ἐνὶ φρεσίν· ἤτοι ἔφην γε
Οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν, ἀλλ' ὁπόταν δὴ
Νῆας ἐμὰς ἀφίκηται ἀϋτή τε, πτόλεμός τε.
Τύνη δ' ὤμοιϊν μὲν ἐμὰ κλυτὰ τεύχεα δῦθι,
Ἄρχε δὲ Μυρμιδόνεσσι φιλοπτολέμοισι μάχεσθαι,
Εἰ δὴ κυάνεον Τρώων νέφος ἀμφιβέβηκε
Νηυσὶν ἐπικρατέως· οἱ δὲ ῥηγμῖνι θαλάσσης
Κεκλίαται, χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες,
Ἀργεῖοι· Τρώων δὲ πόλις ἐπὶ πᾶσα βέβηκε,
Θάρσυνος· οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον
Ἐγγύθι λαμπομένης· τάχα κεν φεύγοντες, ἐναύλους
Πλήσειαν νεκύων, εἴ μοι κρείων Ἀγαμέμνων

" Hanc rursùs è manibus eripuit rex Agamemnon
" Atrides, tanquam ab aliquo honorum-exorte inquilino.
" Sed haec quidem antè-acta-esse sinamus: neque enim fas erat
" Perpetuò iratum esse animo: At statueram sanè,
" Non prius iram *me* cohibiturum, quàm cùm jam
" Ad naves meas pervenisset clamorque, pugnaque.
" Tu tamen humeris quidem mea inclyta arma indue,
" Et dux esto Myrmidonibus bellicosis ad pugnam;
" Siquidem nigra Trojanorum nubes circumdedit
" Naves praevalidè: at littore maris
" Conclusi sunt, loci parvam deinceps portionem habentes,
" Argivi: Trojanorum autem civitas tota ingruit,
" Fiduciae-plena: Non enim meae galeae vident frontem
" Propè splendentis: Citò certè fugientes, fossas-campestres
" Implevissent cadaveribus, si in me rex Agamemnon

---

69. vide suprà ad ά, 51. n. 8. Cæterùm Codices omnes à *Th. Bentleio* collati, habent *πόλιν εὐτείχεον πέρσας*· ut pronuntietur scilicèt *εὐτείχουν*. Atque alibi semper adhibet *Homerus*, *εὐτείχεον*.

Ver. 60.—*ἐάσομεν.*] Ineptè hìc *Barnesius*, *ἰάσσομεν*. Vide suprà ad δ', 42.

Ibid. —— *ἄρα πεῤ ἦν.*] *Al.* *ἄρα πως ἦν.*

Ver. 62. — *ὁπόταν δὴ.*] *Quandò demùm* —.

Ver. 66. Εἰ *δὴ.*] *Al.* Ἦ *δὴ* ———, *quâ parte* ———.

Ibid. —— *ἀμφιβέβηκε* ——, Κεκλίαται ——, *βέβηκε.*] Vide suprà ad ν', 736. et ad ά, 37.

Ver. 67. —— *οἱ δὲ ῥηγμῖνι θαλάσσης.*]

Ecce, maris magno claudit nos objice pontus;
Deest jam terra fugæ. ———
Æn, X, 377.

Ver. 70. Θάρσυνος.] A *θαρσῦνω*, *θάρσῦνος*· eâdem analogiâ, atque à *μαρτῦρομαι*, *μάρτῦρος*· à *νῖφω*, *νῐφετός*· à *κρῖνω*, *κρῐτός*· similiaque innumera. In quibus nullus unquam est licentiæ locus. Vide suprà ad ά, 338.

Ibid. —— *οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον.*] Ἀδικουμένῳ τῷ πολιτικῷ δέδοται τὸ λέγειν τι περὶ ἑαυτοῦ πρὸς τοὺς ἀγνωμονοῦντας· ὥσπερ ὁ Ἀχιλλεὺς, ἄλλως μὲν ὑφίετο τῷ θείῳ τῆς δόξης, καὶ μέτριος ἦν, λέγων, —— " αἴ κέ " ποθι Ζεὺς Δῶσι ———." ὑβρισθεὶς δὲ παρ' ἀξίαν καὶ προπηλακισθεὶς, ἐφίησι τὴν μεγαλαυχίαν τῇ ὀργῇ· ——— " οὐ γὰρ ἐμῆς κόρυθος " λεύσσουσι μέτωπον Ἐγγύθι λαμπομένης." Δέχεται γὰρ ἡ παῤῥησία, μέρος οὖσα τῆς δικαιολογίας, τὴν μεγαληγορίαν. *Plutarch. de sui laude.*

Ver. 71. — *φεύγοντες, ἐναύλους* Πλήσειαν *νεκύων.*] Τοὺς διὰ στενοῦ ῥέοντας ποταμοὺς, διώρυχας· Διὰ δὲ τούτου προκατασκευάζει ὁ Ποιητὴς τὴν παρὰ τῷ ποταμῷ μάχην, τὴν ἐν τῇ φ'. *Schol.*

Ἤπια εἰδείη· νῦν δὲ στρατὸν ἀμφιμάχονται.
Οὐ γὰρ Τυδείδεω Διομήδεος ἐν παλάμῃσι
Μαίνεται ἐγχείη, Δαναῶν ἄπο λοιγὸν ἀμῦναι·
Οὐδέ πω Ἀτρείδεω ὀπὸς ἔκλυον αὐδήσαντος,
Ἐχθρῆς ἐκ κεφαλῆς· ἀλλ' Ἕκτορος ἀνδροφόνοιο,
Τρωσὶ κελεύοντος, περιάγνυται· οἱ δ' ἀλαλητῷ
Πᾶν πεδίον κατέχουσι, μάχῃ νικῶντες Ἀχαιούς.
Ἀλλὰ καὶ ὧς, Πάτροκλε, νεῶν ἄπο λοιγὸν ἀμύνων
Ἔμπεσ' ἐπικρατέως, μὴ δὴ πυρὸς αἰθομένοιο
Νῆας ἐνιπρήσωσι, φίλον δ' ἀπὸ νόστον ἕλωνται.
Πείθεο δ', ὥς τοι ἐγὼ μύθου τέλος ἐν φρεσὶ θείω,
Ὡς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄροιο
Πρὸς πάντων Δαναῶν· ἀτὰρ οἱ περικαλλέα κούρην
Ἂψ ἀπονάσσωσιν, προτὶ δ' ἀγλαὰ δῶρα πόρωσιν.
Ἐκ νηῶν ἐλάσας, ἰέναι πάλιν· εἰ δέ κεν αὖ τοι
Δώῃ κῦδος ἀρέσθαι ἐρίγδουπος πόσις Ἥρης,
Μὴ σύ γ' ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν

" Leni animo-fuisset; nunc verò exercitum occlusum-oppugnant.
" Non enim Tydidae Diomedis in manibus
" Furit hasta, à Danais mortem ut-arcere-possit;
" Neque dum Atridae vocem audivi clamantis,
" Inimico ex capite; sed Hectoris homicidae *vox*,
" Trojanos adhortantis, resonat: illi autem cum clamore
" Totum campum obtinent, proelio vincentes Achivos.
" Sed et sic, Patrocle, à navibus pestem propulsans
" Irrue strenuè; ne jam igne ardenti
" Naves incendant, dulcemque reditum praecidant.
" Pareto autem, sicut tibi ego sermonis summam in animo posuero;
" Quò mihi honorem magnum et gloriam referas
" Ab omnibus Danais; et illi perpulchram puellam
" Abductam reddant, insuperque splendida dona praebeant.
" A navibus ubi-hostem-repuleris, revertere: Quòd si tibi
" Dederit gloriam consequi altitonans maritus Junonis,
" Ne tu sine me sis-cupidus pugnandi

Ver. 77. Ἐχθρῆς ἐκ κεφαλῆς.] Infandum caput ——. *Æn.* IV, 613.

Ibid. —— Ἕκτορος ἀνδροφόνοιο.] *Homicidam Hectorem* dixit *Horatius*, Epod. 17. At *vim* græcæ vocis vix assecutus videtur sermo Romanus. Vide *Mureti Var. Lect. lib.* 3. *cap.* 19.

Ver. 78. —— περιάγνυται.] Vide suprà ad γ', 260.

Ver. 81. — μὴ δὴ.] *Nè reverà* ——. Vide suprà ad ξ', 433.

Ver. 83. Πείθεο δ'.] Ante hunc versiculum, inseruit ex conjecturâ *Barnesius* alterum istum à *Laërtio* in vitâ *Diogenis* memoratum, qui tamen hoc in loco haud satìs aptè convenit,

Τοὺς ἄλλους ἐνάριζ', ἀπὸ δ' Ἕκτορος ἴσχεο χεῖρας.

Nempè ἔρανόν ποτε αἰτούμενος *Diogenes*, ita παρῳδῶν respondit,

Τοὺς ἄλλους ἐράνιζ', ἀπὸ Δίκτορος ἴσχεο χεῖρας.

Ita nimirùm apud *Laërtium* scriptum oportuit, non δ' Ἕκτορος, sed Δίκτορος.

Ver. 84. —— ἄροιο.] *Al.* ἄρηαι.

Ver. 85. —— περικαλλέα.] In hujusmodi vocabulis omnibus analogiam *Genitivi* semper sequitur *Accusativus*; —— εως, —— εᾶ· —— εος, —— εᾰ. Vide suprà ad ά, 265. et ad ν', 46.

Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεις.
Μηδ' ἐπαγαλλόμενος πολέμῳ καὶ δηϊοτῆτι,
Τρῶας ἐναιρόμενος, προτὶ Ἴλιον ἡγεμονεύειν·
Μή τις ἀπ' Οὐλύμποιο θεῶν αἰειγενετάων
Ἐμβήῃ· μάλα τούς γε φιλεῖ ἑκάεργος Ἀπόλλων·
Ἀλλὰ πάλιν τρωπᾶσθαι, ἐπὴν φάος ἐν νήεσσι
Θείης, τούσδε δ' ἐᾷν πεδίον καταδηριάασθαι.
Αἲ γὰρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
Μήτε τις οὖν Τρώων θάνατον φύγοι, ὅσσοι ἔασι,
Μήτε τις Ἀργείων· νῶϊν δ' ἐκδῦμεν ὄλεθρον·
Ὄφρ' οἶοι Τροίης ἱερὰ κρήδεμνα λύοιμεν.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Αἴας δ' οὐκέτ' ἔμιμνε· βιάζετο γὰρ βελέεσσι·

" Cum Trojanis bellicosis; inhonoratiorem quippe me reddes.
" Neve exultans proelio et pugnâ,
" Trojanos occîdens, ad Ilium usque *tuos milites* ducas:
" Nequis ab Olympo deorum sempiternorum *adversus te*
" Descendat: valde hos utique diligit longè-jaculans Apollo:
" Sed revertaris, postquam salutem navibus
" Dederis, illosque sine per campum proelio-certare.
" Utinam enim, Jupiterque pater, et Minerva, et Apollo,
" Neu quis Trojanorum mortem effugiat, quàm multi sunt,
" Neve quis Argivorum; nobis verò duobus effugere perniciem *contingat*
" Ut soli Trojae sacra moenia diruamus."
Sic hi quidem talia inter se loquebantur.
Ajax verò non ampliùs permanebat; obruebatur enim telis:

Ver. 91. —— πολέμῳ καὶ δηϊοτῆτι.] Vide suprà ad ή, 232. 279.

Ver. 94. Ἐμβήῃ.] Ἐμποδίσῃ· ἐναντιωθῇ σοι. *Schol.* inedita, in Cod. *Harleiano.*

Ver. 96. Θείης, τούσδε δ' ἐᾷν.] *Al.* Θήῃς, τούσδε τ' ἐᾷν.

Ver. 97. Αἲ γὰρ — Μήτε τις οὖν Τρώων ——. Μήτε τις Ἀργείων.] Fuerunt, notante *Eustathio,* qui quatuor hosce versiculos rejicerent, διὰ τὸ ἀδύνατον, καὶ τὸ τοῦ ἤθους φθονερόν. Sed nequaquam idoneæ hæ rationes. Nam, de *Moribus,* semper exhibet Heroëm suum Poëta, non qualis esse debuerit, sed qualem famâ accepisset; vide suprà ad ά, 2. *Hyperbolen* autem quod attinet; non prorsùs absimile est, quod et *Diomedes* alibi jactabat:

Φευγόντων σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.
Νῶϊ δ', ἐγὼ Σθένελός τε μαχησόμεθ', εἰσόκε τέκμωρ
Ἰλίου εὕρωμεν.———ί, 47.

Nec tam *insulsus* hîc, quod voluerunt nonnulli, depingitur *Achilles,* ut, postquam Achivi Trojanique ad internecionem cæsi fuerint omnes, victoriam se ab hoste tum, quum superstes sit nullus, reportaturum optet; sed ut, in prœlio et obsidione occisis utrinque omnibus, ipse unus, cum amico suo *Patroclo,* Trojæ eversæ supersit.

Ver. 98. —— οὖν.] *Eas ob causas, quas tibi memoravi;* ——.

Ver. 99. —— νῶϊν δ' ἐκδῦμεν.] *Al.* νῶϊ δ' ἐκδῦμεν· ut sit contractum videlicèt ex ἐκδύοιμεν. Notante *Eustathio.*

Ver. 100. —— λύοιμεν.] *Al.* λύωμεν.

Ver. 102. Αἴας δ' οὐκέτ' ἔμιμνε· βιάζετο γὰρ ——.] Conjuncta sunt hæc cum præcedentibus in superiore libro; ό, 727 et 745.

Ergo nec clypeo juvenis subsistere tantùm,
Nec dextrâ valet: injectis sic undique telis
Obruitur. Strepit assiduo cava tempora circum
Tinnitu galea, et saxis solida æra fatiscunt.
Discussæque jubæ capiti; nec sufficit umbo
Ictibus: ingeminant hastis et Troës —.
Æn. IX, 806

Δάμνα μιν Ζηνός τε νόος, καὶ Τρῶες ἀγαυοὶ,
Βάλλοντες· δεινὴν δὲ περὶ κροτάφοισι φαεινὴ
Πήληξ βαλλομένη καναχὴν ἔχε· βάλλετο δ' αἰεὶ
Καπφάλαρ' εὐποίηθ'· ὁ δ' ἀριστερὸν ὦμον ἔκαμνεν,
Ἔμπεδον αἰὲν ἔχων σάκος αἰόλον· οὐδὲ δύναντο
Ἀμφ' αὐτῷ πελεμίξαι, ἐρείδοντες βελέεσσιν·
Αἰεὶ δ' ἀργαλέῳ ἔχετ' ἄσθματι· καδδέ οἱ ἱδρὼς
Πάντοθεν ἐκ μελέων πολὺς ἔῤῥεεν, οὐδέ πη εἶχεν
Ἀμπνεῦσαι· πάντη δὲ κακὸν κακῷ ἐστήρικτο.
Ἔσπετε νῦν μοι, Μοῦσαι, ὀλύμπια δώματ' ἔχουσαι,
Ὅππως δὴ πρῶτον πῦρ ἔμπεσε νηυσὶν Ἀχαιῶν.
Ἕκτωρ Αἴαντος δόρυ μείλινον ἄγχι παραστὰς
Πλῆξ' ἄορι μεγάλῳ, αἰχμῆς παρὰ καυλὸν ὄπισθεν·
Ἀντικρὺ δ' ἀπάραξε· τὸ μὲν Τελαμώνιος Αἴας
Πῆλ' αὔτως ἐν χειρὶ κολὸν δόρυ· τῆλε δ' ἀπ' αὐτοῦ

Domabat eum *nempè* Jovisque consilium et Trojani feroces,
Jaculantes: terribilem autem circa tempora fulgens
Galea percussa sonitum edebat: Percutiebatur quippe assiduè
Ad clavos-cassidis affabrè-factos: Ille verò sinistro humero delassabatur,
Firmitèr usque tenendo scutum versatile: neque tamen poterant
Undique illum loco-movere, urgentes telis:
Jugiter autem gravi tenebatur anhelitu; eique sudor
Undique ex membris multus defluebat, neque-omninò poterat
Respirare; ex-omni-parte enim malo opprimebatur.
Dicite nunc mihi, Musae, coelestes domos tenentes,
Quomodò primò ignis inciderit navibus Achivorum.
Hector Ajacis hastam fraxineam propè astans
Percussit ense magno, cuspidis ad commissuram cum-ligno retrò;
Penitúsque amputavit: *Ac tum* quidem Telamonius Ajax
Vibrabat frustrà in manu mutilum hastile; procul autem ab ipso

---

Ver. 105. —— *καναχὴν.*] Vide suprà ad δ′, 455.

Ver. 106. Καπφάλαρ'.] Κατὰ τὰ φάλαρα. Sic, ἀμβρωμεῖσι, Θ′, 441. ἀμφόνον, ἀννέκυας, κ′, 298. *καδδὲ*, infrà, *ver.* 109. et *καλλαπάρην*, in multis codicibus, ξ′, 447. 517.

Ibid. —— *ἔκαμνεν.*] *Al.* *ἔκαμψεν·* Minùs rectè. Vide suprà ad ν′, 84.

Ver. 107. —— *αἰόλον.*] *Schol. Vulgg.* *ποικίλον.* Minùs rectè. Vide suprà ad β′, 816.

Ver. 108. —— *βελέεσσιν.*] MS. unus apud *Barnesium*; *τελέεσσιν*, turmis: Sicuti in ή, 380.

Ver. 109. — *ἔχετ' ἄσθματι· καδδέ οἱ ἱδρὼς.*]
—— tum creber anhelitus artus
Aridaque ora quatit; sudor fluit undique rivis. *Æn.* V, 199.
—— tum toto corpore sudor
Liquitur, et piceum (nec respirare potestas)
Flumen agit; fessos quatit æger anhelitus artus. *Æn.* IX, 812.

Ver. 110. —— *οὐδέ πη.*] *Al.* *οὐδέ πω.*

Ver. 111. — *κακὸν κακῷ.*] *Al.* *κακῷ κακόν.*

Ver. 112. Ἔσπετε νῦν μοι, Μοῦσαι.] Vide suprà ad β′, 484 et 681.

Ver. 113. Ὅππως δὴ.] *Quomodo utique* —. Refertur nimirùm ad id quod præcessit, ό, 718. Vide autem et suprà ad ξ′, 433.

Ver. 114. Ἕκτωρ Αἴαντος.] Ita edidit *Barnesius* ex MS. Rectè, ut mihi quidem videtur. *Vulgg.* Ἕκτωρ δ' Αἴαντος ——. Quod hoc in loco languidulum est.

Ver. 115. —— *ἄορι μεγάλῳ.*] Quâ ratione, *ἄορι*, hîc ultimam producat; item, *ἀντικρὺ*, *ver.* 116; vide suprà ad ά, 51.

Ver. 117. —— *χειρὶ.*] *Al.* *χερσί.*

Αἰχμὴ χαλκείη χαμάδις βόμβησε πεσοῦσα.
Γνῶ δ' Αἴας κατὰ θυμὸν ἀμύμονα, ῥίγησέν τε
Ἔργα θεῶν, ὅ ῥα πάγχυ μάχης ἐπὶ μήδεα κεῖρει
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ βούλετο νίκην.
Χάζετο δ' ἐκ βελέων· τοὶ δ' ἔμβαλον ἀκάματον πῦρ
Νηῒ θοῇ· τῆς δ' αἶψα κατ' ἀσβέστη κέχυτο φλόξ.
Ὣς τὴν μὲν πρύμνην πῦρ ἄμφεπεν· αὐτὰρ Ἀχιλλεὺς
Μηρὼ πληξάμενος Πατροκλῆα προσέειπεν·
Ὄρσεο, διογενὲς Πατρόκλεις, ἱπποκέλευθε·
Λεύσσω δὴ παρὰ νηυσὶ πυρὸς δηΐοιο ἐρωήν·
Μὴ δὴ νῆας ἕλωσι, καὶ οὐκέτι φυκτὰ πέλωνται·
Δύσεο τεύχεα θᾶσσον, ἐγὼ δέ κε λαὸν ἀγείρω.
Ὣς φάτο· Πάτροκλος δὲ κορύσσετο νώροπι χαλκῷ·

Cuspis aerea humi resonuit cadens.
Agnovit verò Ajax animo egregio, exhorruitque
Opera deorum; quòd penitùs belli consilia praecidat
Jupiter altitonans, Trojanisque *tum* vellet victoriam.
Recessit itaque extra tela: illi verò injecerunt indefessum ignem
Navi veloci: per hanc autem statim inextinguibilis diffusa est flamma.
Sic quidem puppim ignis circumdedit: At Achilles
Femora percutiens, Patroclum allocutus est:
" Propera, nobilissime Patrocle, eques:
" Video utique apud naves ignis hostilis impetum:
" Ne jam naves capiant, et non posthàc facultas fugiendi sit;
" Indue arma ocyùs, ego autem copias congregabo."
Sic dixit: Patroclus autem armabat se corusco aere:

Ver. 118. —— *βόμβησε.*] Vide suprà ad δ', 445.

Ver. 120. —— *ὅ ῥα.*] *Quòd scilicèt* ——.

Ibid. —— *κεῖρει* —— *βούλετο.*] Notandum quàm elegantèr hîc constet *Temporum* ratio. Et *semper* suo arbitrio consilia *regit* omnia, et *jam tum* hoc *volebat*, ut, &c.

Ver. 122. Χάζετο δ' ——.] Vide infrà ad *ver.* 126.

Ibid. — *ἀκάματον.*] Vide suprà ad ά, 398.

Ver. 123. — *αἶψα κατ' ἀσβέστη.*] *Al.* *αἶψ' ἀκατασβέστη.* Quod idem est. *Al.* *αἶψα κατασβέστη·* pessimè.

Ver. 125. Μηρὼ πληξάμενος.] Notandus hîc primigenius et maximè proprius *Vocis Mediæ* usus: *Sua sibi percutiens femora.* Vide suprà ad γ', 141. Cod. *Harleian.* à *Tho. Bentleio* collatus, habet *μηρά.*

Ver. 126. Ὄρσεο, διογενὲς Πατρόκλεις ——.] Quæ hîc, et in sequentibus, de *Patroclo;* quæque jam suprà, *ver.* 122, 123. de *Ajace* dicta sunt; optimè expressit *Ovidius:*

Reppulit Actorides, sub imagine tutus Achillis,
Troas ab arsuris cum Defensore carinis.
Metam. XIII, 273.

Ubi vulgò istud, " *cum Defensore,*" Troüm videlicèt Defensorem *Hectorem*, lautissimè intelligunt. Quod meritò ridens Vir eruditissimus *Richardus Bentleius*, (in *Præfatione ad editionem alteram Dissertationis suæ de Phalaridis epistolis,*) ipse istud, " *cum* " *Defensore,*" navium videlicèt Defensorem interpretatur *Exercitum Achivorum universum.* Sententiâ nequaquam quidem aut ineptâ aut inconcinnâ. Attamen ex ore *Ulyssis* adversus *Ajacem* perorantis, multò id salsiùs atque etiam acerbiùs dictum audiit *Ajax;* naves videlicèt, " *unà cum TE De-* " *fensore,*" jamjam arsuras. Id quod primus, quod sciam, observavit Vir acutissimus *Sam. Hoadleius.*

Ver. 127 et 128. —— *δὴ.*] *Reverà; omnino; prorsùs.*

Ver. 128. Μὴ —— *ἕλωσι.*] Pro eo, quo pacto interpungatur sententia; conjungi potest hoc, vel cum sequente Δύσεο, vel cum præcedente Ὄρσεο.

Ibid. —— *φυκτὰ.*] *Barnesius* edidit, et scribendum contendit, *φευκτά·* Sed rationibus haud satis idoneis. Vide suprà ad ζ', 488.

Ver. 129. Δύσεο.] Ita *Barnesius;* Atque ita Cod. *Harleianus;* Rectè. *Vulgg.* Δύσσεο. Vide suprà ad ν', 241.

Ver. 130. —— *κορύσσετο* —— Κνημῖδας —— *θώρηκα* —— *ξίφος.*]

Κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε
Καλὰς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
Δεύτερον αὖ, θώρηκα περὶ στήθεσσιν ἔδυνε,
Ποικίλον, ἀστερόεντα, ποδώκεος Αἰακίδαο·
Ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον,
Χάλκεον· αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε·
Κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν,
Ἵππουριν· δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν.
Εἵλετο δ' ἄλκιμα δοῦρα, τά οἱ παλάμηφιν ἀρήρει·
Ἔγχος δ' οὐχ ἕλετ' οἶον ἀμύμονος Αἰακίδαο,
Βριθὺ, μέγα, στιβαρόν· τὸ μὲν οὐ δυνάτ' ἄλλος Ἀχαιῶν
Πάλλειν, ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεύς·
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ πόρε Χείρων
Πηλίου ἐκ κορυφῆς, φόνον ἔμμεναι ἡρώεσσιν.
Ἵππους δ' Αὐτομέδοντα θοῶς ζευγνύμεν' ἄνωγε,

Ocreas quidem primùm circa tibias posuit
Pulchras, argenteis fibulis aptè-junctas;
Deinde thoracem circa pectora induebat,
Varium, stellatum, pedibus-velocis Aeacidae:
Circa humeros autem suspendit ensem argenteis-clavis-distinctum,
Aereum, ac deinde scutum magnumque solidumque:
Capiti verò forti galeam affabrè-factam imposuit,
Setis-equinis-comantem; horrendumque crista desuper nutabat.
Sumpsit porrò validas hastas, quae ejus manibus quadrabant:
Hastam verò non sumpsit unicam eximii Aeacidae,
Gravem, magnam, validam; quam quidem non potuit alius Achivorum
Vibrare; sed ipsam solus nôrat vibrare Achilles;
Utique Peliacam fraxinum, quam patri ejus dederat Chiron
Pelii ex vertice *caesam*, caedem futuram heroïbus.
Equos autem Automedontem confestim jungere jussit,

Cingitur ipse furens certatim in prœlia Turnus.
Jamque adeò Rutulum thoraca indutus, ahenis
Horrebat squamis, surasque incluserat auro,
——— laterique accinxerat ensem;
Fulgebatque altâ decurrens aureus arce;
Exultatque animis, et spe jam præcipit hostem. *Æn.* XI, 486.

Ibid. —— νώροπι χαλκῷ.] Vide suprà ad β', 578.

Ver. 132. Καλὰς.] Vide suprà ad β', 43.

Ver. 134. —— ἀστερόεντα.] Ἄστρῳ ἐοικότα, λαμπρόν· ἢ, ἀστέρας ἐμπεποικιλμένους ἔχοντα. *Eustath.* et *Schol.*

Ibid.—ποδώκεος.] Vide suprà ad ά, 58.

Ver. 135. ——— βάλετο.] Vide suprà ad *ver.* 125.

Ver. 138. Ἵππουριν· δεινὸν δὲ λόφος.]
Aere caput fulgens, cristâque hirsutus equinâ. *Æn.* X, 869.

Ibid. —— ἔνευεν.] Vide suprà ad ν', 84.

Ver. 139. —— ἄλκιμα δοῦρα.] Cod. *Harleian.* ἄλκιμα δοῦρε.

—— validam hastam. —— *Æn.* X, 401.

Ibid. —— ἀρήρει.] Vide suprà ad δ', 492.

Ver. 143. Πηλιάδα μελίην.] Quâ ratione, Πηλιάδα, hîc ultimam producat; item Ἀχιλλῆα, *ver.* 146. et παρὰ, *ver.* 151. et Διΐ, *ver.* 169; vide suprà ad ά, 51. n. 8.

Ibid. ——— τὴν πατρὶ φίλῳ πόρε Χείρων.] *Al.* τὴν οὔρεσιν ἔκταμε Χείρων. *Al.* τὴν πατρὶ φίλῳ τάμε Χείρων.

Ver 145. ——— ζευγνύμεν'.] Ex τίθημι, ἵστημι, δίδωμι, ζεύγνυμι· fit τιθέναι, ἱστᾶναι, διδόναι, ζευγνῦναι. Neque in his ullus unquam est licentiæ locus, ut litera ν geminetur. Ex τιθέναι fit et τιθέμεναι et τιθήμεναι. Un-

Τὸν μετ' Ἀχιλλῆα ῥηξήνορα τῖε μάλιστα·
Πιστότατος δέ οἱ ἔσκε μάχῃ ἐνὶ μεῖναι ὁμοκλήν.
Τῷ δὲ καὶ Αὐτομέδων ὕπαγε ζυγὸν ὠκέας ἵππους,
Ξάνθον καὶ Βαλίον, τὼ ἅμα πνοιῇσι πετέσθην·
Τοὺς ἔτεκε Ζεφύρῳ ἀνέμῳ Ἅρπυια Ποδάργη,
Βοσκομένη λειμῶνι παρὰ ῥόον ὠκεανοῖο.
Ἐν δὲ παρηορίῃσιν ἀμύμονα Πήδασον ἵει,
Τόν ῥά ποτ' Ἠετίωνος ἑλὼν πόλιν ἤγαγ' Ἀχιλλεύς·
Ὃς καὶ θνητὸς ἐὼν, ἕπεθ' ἵπποις ἀθανάτοισι.
Μυρμιδόνας δ' ἄρ' ἐποιχόμενος θώρηξεν Ἀχιλλεὺς,
Πάντας ἀνὰ κλισίας σὺν τεύχεσιν· οἱ δὲ, λύκοι ὣς
Ὠμοφάγοι, τοῖσίν τε περὶ φρεσὶν ἄσπετος ἀλκὴ,
Οἵτ' ἔλαφον κεραὸν μέγαν οὔρεσι δηώσαντες
Δάπτουσιν· πᾶσιν δὲ παρήϊον αἵματι φοινόν·

Quem, post Achillem hostium-agmina-perrumpentem, honorabat maximè:
Fidelissimus enim ei erat in pugnâ, ad sustinendum hostium-impetum.
Itaque Automedon junxit sub jugum veloces equos,
Xanthum et Balium, qui cursu-ventis-aequo volabant:
Hos peperit Zephyro vento Harpyia Podarge,
Pascens *in* prato juxta fluentum oceani.
Loro autem exteriore eximium Pedasum junxit,
Quem quondam Eëtionis captâ urbe abduxit Achilles;
Qui *equus* licèt mortalis existens, simul-ibat-cum equis immortalibus.
Myrmidonas autem obiens armabat Achilles,
Omnes per tentoria cum armis: Illi verò, lupi tanquam
Carnivori, quibus in praecordiis immensum robur,
Qui cervum cornutum magnum *in* montibus interfectum
Laniantes-vorant; omnibusque maxilla sanguine *fit* rubra;

---

de fieri potest, ut ex ζευγνῦναι, pari analogiâ, formetur tum ζευγνῦμεναι, tum ζευγνῦμεναι. Veruntamen, quoniam ζευγνῦμεναι nusquam alibi occurrit, nec ζευγνύμμεναι usquam scriptum reperiatur; edidit hoc in loco *Barnesius* ζευγνῦμεν, tanquam contractum ex ζευγνύεμεν, quod erit ex ζευγνύειν.

Ibid. —— ἄνωγε.] Non ex Praeterito (quod vocant) ἄνωγα, sed ex Aoristo ἄνωγον. Vide suprà ad Θ', 322.

Ver. 149. —— ἅμα πνοιῇσι πετέσθην.]

—— cursuque pedum praevertere ventos.
Æn. VII, 807.

—— anteirent cursibus auras.
Æn. XII, 84.

Ver. 151. —— παρὰ ῥόον ὠκεανοῖο.]

—— Oceani —— amnes ——.
Georgic. IV, 233.

Alii habent, παρὰ ῥόον Ἠριδανοῖο.

Ver. 152. Ἐν δὲ παρηορίῃσιν.] Nempè ut Tertius esset à *latere* junctus; extra τὴν ξυνωρίδα, extra binos τοὺς συνηόρους.

Ibid. —— ἵει.] Vide suprà ad ό, 24.

Ver. 154. —— θνητὸς —— ἀθανάτοισι.] Ξάνθον καὶ Βαλίον —— ἄῤῥενας εἶναι, οὐ μὴν ἐντομίας —— δηλοῖ, δυναμένους —— τῇ διαδοχῇ ὥσπερ ἀθανατίζεσθαι. Ὁ μέντοι Πήδασος, ἔοικεν ἐκτετμῆσθαι, καὶ διὰ τοῦτο θνητὸς λέγεται. *Eustath.* Observatione, ut mihi quidem videtur, subtiliori et evanidâ. Simpliciùs dicas; *Pedasum* θνητὸν, quippè paulò pòst *interfectum*; alteros ἀθανάτους, quia bello *superessent.*

Ver. 156. —— οἱ δὲ, λύκοι ὣς.]

—— —— Inde, lupi ceu
Raptores, atrâ in nebulâ, quos improba ventris
Exegit cæcos rabies, catulique relicti
Faucibus expectant siccis. ——
Æn. II, 355.

Ver. 157, 158. —— τοῖσίν τε ——, Οἵ τ'.] *Quibus scilicèt; Qui utique* ——.

Ver. 159. Δάπτουσιν· πᾶσιν ——.] *Schol.* Δάπτουσι· πᾶσιν ——. Quod et auribus magis placet.

Καί τ' ἀγεληδὸν ἴασιν, ἀπὸ κρήνης μελανύδρου
Λάψοντες γλώσσῃσιν ἀραιῇσιν μέλαν ὕδωρ
Ἄκρον, ἐρευγόμενοι φόνον αἵματος· ἐν δέ γε θυμὸς
Στήθεσιν ἄτρομός ἐστι, περιστένεται δέ τε γαστήρ·
Τοῖοι Μυρμιδόνων ἡγήτορες, ἠδὲ μέδοντες,
Ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο
Ῥώοντ'· ἐν δ' ἄρα τοῖσιν ἀρήϊος ἵστατ' Ἀχιλλεὺς,
Ὀτρύνων ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.
  Πεντήκοντ' ἦσαν νῆες θοαὶ, ᾗσιν Ἀχιλλεὺς
Ἐς Τροίην ἡγεῖτο Διῒ φίλος· ἐν δὲ ἑκάστῃ
Πεντήκοντ' ἔσαν ἄνδρες ἐπὶ κληῖσιν ἑταῖροι·
Πέντε δ' ἄρ' ἡγεμόνας ποιήσατο, τοῖς ἐπεποίθει,
Σημαίνειν· αὐτὸς δὲ μέγα κρατέων ἤνασσε.
Τῆς μὲν ἰῆς στιχὸς ἦρχε Μενέσθιος αἰολοθώρηξ,

Tumque gregatim vadunt, è fonte aquis-nigro
Hausturi linguis tenuibus nigram aquam
Summam, eructantes glutitum sanguinem; animus verò
Pectoribus intrepidus inest, distenditurque venter:
Tales Myrmidonum ductores, atque principes,
Circum strenuum famulum velocis Aeacidae
Magnis-ibant-animis: inter eos autem Mavortius stabat Achilles,
Adhortationibus-urgens equosque et viros clypeatos.
Quinquaginta erant naves veloces, quibus Achilles
Ad Trojam copias-duxerat Jovi charus: in singulis autem
Quinquaginta erant viri ad transtra socii:
Quinque autem duces fecerat, quibus confisus est,
Qui-praeessent; ipse verò summam tenens-potestatem imperabat.
Unius quidem agminis dux-erat Menesthius vario-thorace-ornatus,

---

Ver. 160. —— ἀγεληδὸν ἴασιν, ἀπὸ κρήνης μελανύδρου Λάψοντες.] Editi recentiores, quos viderim, pessimè interpunxerunt; ἀγεληδὸν ἴασιν ἀπὸ κρήνης μελανύδρου, Λάψοντες.

Ibid. — ἀγεληδὸν.] Τὸ δὲ ἀγεληδὸν, ἰδιότητα λύκων ἱστορεῖ· συναγελαστικὸν γὰρ καὶ αὐτοὶ ζῶον· καὶ οὐ, κατὰ λέοντας καὶ παρδάλεις, ἐρημάζει μονάζοντα. *Eustath.*

Ver. 161. Λάψοντες —— ὕδωρ Ἄκρον, ἐρευγόμενοι φόνον αἵματος.] Scholiastes, apud *Barnesium*, legit Λάψοντες —— ὕδωρ, Ἀκρὸν ἐρευγόμενοι φόνον αἵματος. Exponitque; ἀπὸ ἄκρου τοῦ στόματος ἐρευγόμενοι ——. Meliùs *Eustathius*: Ἄκρον δὲ λάπτουσιν ὕδωρ, διότι, κατὰ τοὺς παλαιοὺς, οὐ καθιᾶσι τὴν γλῶσσαν εἰς τὸ ὕδωρ, ὡς οἱ βόες· οὐδὲ, κατὰ τοὺς —— ἵππους, τὸ ἥμισυ τῆς ὄψεως· ἀλλὰ τοῦ ἐπιπολῆς ὕδατος πίνουσιν, ὥσπερ καὶ ἔλειχον.

Ver. 162. — ἐν δέ γε.] Cod. *Harl.* ἐν δέ τε.

Ver. 166. —— ἄρα.] *Ut æquum erat; ut solitus erat,* ——.

Ver. 169. —— ἐν δὲ ἑκάστῃ.] *Al.* ἐν δ' ἄρ' ἑκάστῃ.

Ver. 171. —— τοῖς ἐπεποίθει.] Si, τοῖσι πέποιθε, dixisset; jam non constitisset *Temporum* ratio. Vide suprà ad ν', 736. ad γ', 492. et ad ά, 37.

Ver. 172. — ἤνασσε.] Observavit Vir summae eruditionis, *Richardus Bentleius*, vocabula ἄναξ et ἀνάσσειν, quàm *frequenter* apud *Homerum* occurrunt, tamen *haud ferè ullis* in locis ita posita reperiri, quin antecedat aut Vocalis, aut istud ν' paragogicum in Nominum Verborumque fine supervacaneum, quod ubique sine dispendio dempseris. Unde meritò colligit, vocabula ista, in sermone *Æolico*, præfixo *Digamma*, pronuntiata fuisse, Ϝάναξ et Ϝανάσσειν. Quod si verum est, consequens erit, ut vox ἤνασσε pronuntiatum fuerit ἐϜάνασσε· ideoque, (quod notatu dignissimum est,) versiculum à voce ἤνασσεν vel ἤνασσες vel ἤνασσον inchoatum, apud *Homerum* nusquam reperias.

Ver. 173. —— αἰολοθώρηξ.] Schol. Vulgg. ποικίλον θώρακα ἔχων. At Porphyrio, "*thoracem (corpus suum thorace indutum) agilitèr motans.*" Quæst. Homeric. 3. Vide suprà ad β', 816.

Υἱὸς Σπερχειοῖο, διϊπετέος ποταμοῖο·
Τὸν τέκε Πηλῆος θυγάτηρ, καλὴ Πολυδώρη,
Σπερχειῷ ἀκάμαντι, γυνὴ θεῷ εὐνηθεῖσα·
Αὐτὰρ ἐπίκλησιν Βώρῳ, Περιήρεος υἷϊ,
Ὅς ῥ' ἀναφανδὸν ὄπυιε, πορὼν ἀπερείσια ἕδνα.
Τῆς δ' ἑτέρης Εὔδωρος ἀρήϊος ἡγεμόνευε
Παρθένιος, τὸν ἔτικτε χορῷ καλὴ Πολυμήλη,
Φύλαντος θυγάτηρ· τῆς δὲ κρατὺς Ἀργειφόντης
Ἠράσατ', ὀφθαλμοῖσιν ἰδὼν, μετὰ μελπομένῃσιν,
Ἐν χορῷ Ἀρτέμιδος χρυσηλακάτου, κελαδεινῆς·
Αὐτίκα δ' εἰς ὑπερῷ' ἀναβὰς, παρελέξατο λάθρη
Ἑρμείας ἀκάκητα· πόρεν δέ οἱ ἀγλαὸν υἱὸν
Εὔδωρον, περὶ μὲν θείειν ταχὺν, ἠδὲ μαχητήν.
Αὐτὰρ ἐπειδὴ τόν γε μογοστόκος Εἰλείθυια
Ἐξάγαγε πρόφόωσδε, καὶ ἠελίου ἴδεν αὐγὰς,

Filius Sperchii, à-Jove-fluentis fluvii;
Quem peperit Pelei filia, pulchra Polydora,
Reverà Sperchio indefesso, mulier deo concubitu-mista;
Sed, nomine-tenus, Boro, Perieris filio,
Qui palàm *eam* uxorem-duxerat, datis immensis sponsalibus.
Agminis autem secundi Eudorus Mavortius dux-erat,
Clàm-susceptus, quem peperit choreis-ducendis-inclyta Polymela,
Phylantis filia: Hanc *nempè* potens Argicîda
Adamavit, oculis conspicatus, inter tripudiantes-cum-cantu,
In choro Dianae aureo-arcu-insignis, tumultuum-venaticorum-amantis:
Statim verò in superiora-domûs ascendens, concubuit *cum eâ* clàm
Mercurius pacificus; peperitque *haec* ei illustrem filium
Eudorum, egregium et cursûs-celeritate, et pugnâ.
Porrò, postquàm hunc partuum praeses Ilithyia
Eduxisset in-lucem, et solis vidit jubar;

Ver. 174. —— διϊπετέος.] Vocabulum hoc, cùm sit ex *duobus* compositum, secundam producit eâdem ferè ratione, ac Διΐ, *ver.* 169. suprà. Similitèr ut παρειπὼν et παρειποῦσα, ζ', 62 et 337; et ό, 404.

Ver. 175 et 180. — καλὴ.] Vide suprà ad β', 43.

Ver. 176. —— γυνὴ θεῷ εὐνηθεῖσα.]

——————— quem Rhea sacerdos
Furtivum partu sub luminis edidit auras,
Mixta Deo mulier. — *Æn.* VII, 659.

Ver. 177. —— ἐπίκλησιν Βώρῳ.] Refertur istud, ἐπίκλησιν, non ad Σπερχειῷ, ut nonnulli ineptè existimârunt, sed ad τέκε. Non, Σπερχειῷ, ἐπίκλησιν Βώρῳ· Sed υἱὸν τέκε, κατ' ἐπίκλησιν Βώρῳ· reverà, Σπερχειῷ· Quod et eruditam Dominam *Dacier* non fugit.

Ver. 178. —— ἀπερείσια ἕδνα.] *Al.* ἀπερείσι' ἔεδνα.

Ver. 182. —— Ἠράσατ'.] Non ab ἐρῶμαι, (tum enim syllabam mediam necessariò producere deberet,) sed ab ἐράζομαι vel ἔραμαι. Vide suprà ad ά, 67.

Ver. 184. —— παρελέξατο.] Vide suprà ad β', 515.

Ver. 185. Ἑρμείας ἀκάκητα.] Ὡς μὴ κακύνων· *Eustath.* Ὅτι κακὸν μὲν οὐδὲν ἡ παρ' αὐτοῦ δωρεά· *Aristid. Orat.* 3. Alitèr *Pausanias:* Ἄκακος — πόλιν — Ἀκακήσιον ἔκτισεν· Ἀπὸ τούτου δὲ τοῦ Ἀκάκου καὶ Ὅμηρος, λόγῳ τῷ Ἀρκάδων, ἐς Ἑρμῆν ἐποίησεν ἐπίκλησιν· *lib.* 8. *cap.* 3. Πόλις τε ἦν Ἀκακήσιον, Ἑρμοῦ τε Ἀκακησίου λίθου πεποιημένον ἄγαλμα. — Τραφῆναι δὲ Ἑρμῆν παῖδα αὐτόθι, καὶ Ἄκακον τὸν Λυκάονος γενέσθαί οἱ τροφέα, Ἀρκάδων ἐστὶν ἐς αὐτὸν λόγος. *Ibid. cap.* 36. *Barnesius* aliique de hoc vocabulo, ineptè, ut in similibus, τὸ "ἀκάκητα," *Vocativum* pro *Nominativo* positum commenti sunt; sed et "*pro Accusativo*" quoque, si Diis placet, aliquando *Vocativum* poni: Quo nihil fingi

Τὴν μὲν Ἐχεκλῆος κρατερὸν μένος Ἀκτορίδαο
Ἠγάγετο πρὸς δώματ᾽, ἐπεὶ πόρε μυρία ἕδνα·
Τὸν δ᾽ ὁ γέρων Φύλας εὖ ἔτρεφεν, ἠδ᾽ ἀτίταλλεν,
Ἀμφαγαπαζόμενος, ὡσεί θ᾽ ἑὸν υἱὸν ἐόντα.
Τῆς δὲ τρίτης Πείσανδρος ἀρήϊος ἡγεμόνευε
Μαιμαλίδης, ὃς πᾶσι μετέπρεπε Μυρμιδόνεσσιν,
Ἔγχει μάρνασθαι, μετὰ Πηλείωνος ἑταῖρον.
Τῆς δὲ τετάρτης ἦρχε γέρων ἱππηλάτα Φοῖνιξ·
Πέμπτης δ᾽ Ἀλκιμέδων, Λαέρκεος υἱὸς ἀμύμων.
Αὐτὰρ ἐπειδὴ πάντας ἅμ᾽ ἡγεμόνεσσιν Ἀχιλλεὺς
Στῆσεν εὖ κρίνας, κρατερὸν δ᾽ ἐπὶ μῦθον ἔτελλε·
Μυρμιδόνες, μήτις μοι ἀπειλάων λελαθέσθω,
Ἃς ἐπὶ νηυσὶ θοῇσιν ἀπειλεῖτε Τρώεσσι,
Πάνθ᾽ ὑπὸ μηνιθμόν· καί μ᾽ ἠτιάασθε ἕκαστος·
Σχέτλιε, Πηλέος υἱὲ, χόλῳ ἄρα σ᾽ ἔτρεφε μήτηρ·
Νηλεὲς, ὃς παρὰ νηυσὶν ἔχεις ἀέκοντας ἑταίρους·
Οἴκαδέ περ σὺν νηυσὶ νεώμεθα ποντοπόροισιν,
Αὖτις· ἐπεί ῥά τοι ὧδε κακὸς χόλος ἔμπεσε θυμῷ.

Illam quidem Echeclei fortis vis Actoridae
Duxit domum, quùm dedisset innumera dona-sponsalia;
Hunc autem senex Phylas magnâ-cum-curâ nutrivit et educavit,
Vehementi-amore-prosequens tanquam suus *ipsius* filius foret.
Tertii autem *agminis* Pisander Mavortius dux-erat
Maemalides, qui inter omnes excellebat Myrmidonas,
Hastâ pugnando, post Pelidae socium.
Quarto autem praeerat senex equûm-agitator Phoenix:
Quinto demùm Alcimedon, Laërcei filius eximius.
Tum postquam omnes cum ducibus Achilles
Collocâsset benè ordinatos, acria utique mandata dedit:
" Myrmidones, ne quis mihi minarum obliviscatur,
" Quas in navibus velocibus minabamini Trojanis,
" Toto tempore irae; et me accusabatis unusquisque, *hoc modo;*
" Dure, Pelei fili, bili certè te nutrivit mater;
" Immitis, qui apud naves tenes invitos socios:
" Domum saltem cum navibus revertamur pontum-transeuntibus,
" Retrò; siquidem tibi adeò perniciosa ira incidit animo.

potest *absurdius.* De *Nominativo*, vide suprà ad ά, 175. In *Accusativo* sicubi legatur ἀκάκητα, formatum erit tanquam ab ἀκάκης: similitèr ferè, ac εὐρύοπα ab εὐρύοψ, et καλλιγύναικα à καλλιγύναιξ vel καλλιγύνης.

Ver. 189. —— *μένος Ἀκτορίδαο.*] Vide suprà ad ν′, 758.

Ver. 190. — *μυρία ἕδνα.*] *Al.* *μυρί᾽ ἔεδνα.*

Ver. 192. Ἀμφαγαπαζόμενος, ὡσεί.] Vide suprà ad ά, 51.

Ver. 194. —— *πᾶσι μετέπρεπε* —— *μετὰ Πηλείωνος ἑταῖρον.*] Notandum hîc *Amplificationis* genus id, quod à *Quintiliano* apellatum est *Incrementum:* Quod "*est potentissimum, cùm magna videntur etiam quæ inferiora sunt. —— Per id venitur non modò ad summum, sed interim quodammodò suprà summum.*" Lib. 8. cap. 4. Antecelluit omnibus *Pisander, Pisandro Patroclus, Achille* et *ipse* minor.

Ver. 196. —— *ἱππηλάτα.*] Vide suprà ad ά, 175.

Ver. 199. —— *κρατερὸν δ᾽.*] *Acre utique —; Tum verò acre ——.* *Barnesius* edidit, *κρατερόνδ᾽·* et "*τὸ δὲ,*" (inquit,) *παρέλκει.* Quod nihili est. Vide suprà ad ά, 57. ad γ′, 200. et ad θ′, 160.

Ver. 201. —— *ἀπειλεῖτε.*] *Al.* *ἀπειλέετε.*

Ταῦτά μ' ἀγειρόμενοι θάμ' ἐβάζετε· νῦν δὲ πέφανται
Φυλόπιδος μέγα ἔργον, ἕης τὸ πρίν γ' ἐράασθε·
Ἔνθα τις ἄλκιμον ἦτορ ἔχων Τρώεσσι μαχέσθω.
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου·
Μᾶλλον δὲ στίχες ἄρθεν, ἐπεὶ βασιλῆος ἄκουσαν.
Ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι
Δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων·
Ὣς ἄραρον κόρυθές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι·
Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·
Ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
Νευόντων· ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισι.
Πάντων δὲ προπάροιθε δύ' ἀνέρε θωρήσσεσθον,
Πάτροκλός τε καὶ Αὐτομέδων, ἕνα θυμὸν ἔχοντες,
Πρόσθεν Μυρμιδόνων πολεμιζέμεν· αὐτὰρ Ἀχιλλεὺς
Βῆ ῥ' ἴμεν ἐς κλισίην· χηλοῦ δ' ἀπὸ πῶμ' ἀνέωγε
Καλῆς, δαιδαλέης, τήν οἱ Θέτις ἀργυρόπεζα
Θῆκ' ἐπὶ νηὸς ἄγεσθαι, ἐϋπλήσασα χιτώνων,

" Haec mihi, congregati, frequentèr dicebatis; nunc verò apparet
" Proelii-committendi magnum opus, cujus anteà quidem cupidi-eratis:
" Ibi aliquis, forte cor gerens, contra Trojanos pugnet."
Sic fatus, excitavit robur et animum uniuscujusque:
Magis itaque catervae addensatae sunt, ut regem audierunt.
Ut verò quandò parietem vir coagmentet aptè-junctis lapidibus
Domus altae, impetus ventorum vitans;
Sic arctè-junctae-erant galeaeque et clypei umbonibus-muniti:
Clypeus nempè clypeum fulciebat, galea galeam, virum vir;
Seque-invicem-contingebant setis-equinis-comantes galeae splendentibus conis
Nutantium: adeò densi stabant inter-se.
Omnes autem ante, duo viri armabantur,
Patroclusque et Automedon, unum animum habentes,
In-primâ-acie Myrmidonum pugnare: sed Achilles
Perrexit ire in tentorium; arcaeque operculum aperuit
Pulchrae, affabrè-factae, quam ei Thetis pedes-argentea
Imposuit navi vehendam, quum benè-implêsset tunicis,

Ver. 207. Ταῦτά μ' ἀγειρόμενοι.] *Al.* Ταῦθ' ἅμ' ἀγειρόμενοι· notante *Henr. Stephano.*

Ibid. —— πέφανται.] In numero *singulari*, πέφαμμαι, [quod est videlicèt πέφανμαι, sicuti τέτυμμαι est τέτυπμαι,] πέφανσαι, πέφανται, &c.

Ver. 209. —— τις.] *Quisquis volet* ——.

Ver. 210. — ὤτρυνε μένος.] Vide suprà ad ν', 44.

Ver. 211. — ἄρθεν.] Παρεκινήθησαν τῇ προθυμίᾳ· *Schol. inedita* in Cod. *Harleiano*, à *Th. Bentleio* communicata. Λόγοις ἐπήρθησαν καὶ οἷον ἐκουφίσθησαν, ὡς ὑπὸ πτερῶν· — κρεῖττον δὲ νοηθῆναι αὐτὸ, ἀντὶ τοῦ ἡρμόσθησαν, ἀπὸ τοῦ "ἀρῶ," τὸ ἁρμόζω. *Eustath.*

Ver. 215. Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, ——.] Vide suprà ad γ', 130.

Ver. 217. —— ἐφέστασαν.] Vide suprà ad μ', 55.

Ver. 218. — θωρήσσεσθον.] *Al.* θωρήσσοντο. Quod et rectè dicitur. Vide suprà ad α', 566.

Ver. 219. —— ἕνα θυμὸν ἔχοντες.]

His amor unus erat, pariterque in bella ruebant. *Æn.* IX, 182.

Ver. 221. —— ἀνέῳγε.] Non ex *præterito*, quod vocant, ἀνέῳγα· sed ex *aoristo*, ἀνέῳγον. Ut rectè Scholiastes, ἀνέῳξεν. Vide suprà ad θ', 322.

Ver. 222. et 229. Καλῆς.] Vide suprà ad β', 43.

Χλαινάων τ' ἀνεμοσκεπέων, οὔλων τε ταπήτων.
Ἔνθα δέ οἱ δέπας ἔσκε τετυγμένον, οὐδέ τις ἄλλος
Οὔτ' ἀνδρῶν πίνεσκεν ἀπ' αὐτοῦ αἴθοπα οἶνον,
Οὔτε τέῳ σπένδεσκε θεῶν, ὅτε μὴ Διῒ πατρί.
Τό ῥα τότ' ἐκ χηλοῖο λαβὼν ἐκάθηρε θεείῳ
Πρῶτον, ἔπειτα δὲ νίψ' ὕδατος καλῇσι ῥοῇσι·
Νίψατο δ' αὐτὸς χεῖρας, ἀφύσσατο δ' αἴθοπα οἶνον·
Εὔχετ' ἔπειτα στὰς μέσῳ ἕρκει, λεῖβε δὲ οἶνον,
Οὐρανὸν εἰσανιδών· Δία δ' οὐ λάθε τερπικέραυνον·
Ζεῦ ἄνα, Δωδωναῖε, Πελασγικὲ, τηλόθι ναίων,
Δωδώνης μεδέων δυσχειμέρου· ἀμφὶ δὲ Σελλοὶ
Σοί ναίουσ' ὑποφῆται ἀνιπτόποδες, χαμαιεῦναι.
Ἦ μὲν δή ποτ' ἐμὸν ἔπος ἔκλυες εὐξαμένοιο·
Τίμησας μὲν ἐμὲ, μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν·
Ἠδ' ἔτι καὶ νῦν μοι τόδ' ἐπικρήηνον ἐέλδωρ·
Αὐτὸς μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι,

Chlaenisque ventum-arcentibus, villosisque tapetibus.
Inibi autem ei poculum erat elaboratè-factum; neque quis alius
Neque virorum bibebat ex eo nigrum vinum,
Neque cui libabat deorum, nisi Jovi patri.
Hoc utique tunc ex arcâ sumptum purgavit sulphure
Primùm, posteà autem lavit aquae puro liquore:
Lavitque ipse manus, hausitque nigrum vinum:
Precabatur deinde stans medio in septo, libavitque vinum,
Coelum suspiciens; Jovemque non latuit fulmine-gaudentem:
" Jupiter rex, Dodonæe, Pelasgice, procul habitans,
" Dodonae praesidens hyberno-frigore-infestae; circum autem Selli
" Tui habitant vates, pedibus-illotis, humi-cubantes.
" Certè quidem jam olim meum sermonem exaudîsti precantis;
" Honorâsti quidem me, valdéque laesisti populum Achivorum:
" Itaque adhuc etiam nunc mihi hoc perfice votum:
" Ipse quidem enim ego manebo navium in coetu;

Ver. 226. 230. —— *αἴθοπα οἶνον.*] Vide suprà ad *ά*, 462.

Ver. 228. Τό ῥα.] Pronuntiabatur *τόῤῥα·* quomodo et nonnulli *scripserunt*. Vide quoque infrà, *φ'*, 352. et *χ'*, 307.

Ver. 229. 230. —— *νίψ'* —— *Νίψατο.*] Notandus hîc maximè proprius et primigenius *vocis mediæ* usus. Ἔνιψε, *lavit poculum*: *ἐνίψατο, lavit manus sibi ipse suas.*

Ver. 233. —— Πελασγικὲ.] *Al.* Πελαργικέ.

Ver. 234. —— *ἀμφὶ δὲ Σελλοὶ Σοὶ ναίουσ' ὑποφῆται ἀνιπτόποδες, χαμαιεῦναι.*]

Μαντεῖα καινὰ ——————,
Ἃ τῶν ὀρείων καὶ χαμαικοιτῶν ἐγὼ
Σελλῶν ἐσελθὼν ἄλσος εἰσεγραψάμην
Πρὸς τῆς πατρῴας καὶ πολυγλώσσου δρυός.
Sophocl. Trachin. 1173.

Cæterùm alii hîc legunt, —— " *ἀμφὶ δὲ σ'* " *Ἑλλοὶ Σοὶ ναίουσ' ὑποφῆται*" *ἤγουν, περί σε ναίουσιν οἱ Ἑλλοὶ οἱ σοὶ ὑποφῆται.* Quæ, ad sententiæ quidem constructionem, æquè probabilis lectio; neque omninò (quod credidit *Barnesius*) ex eo refutatur, quòd vox *σοὶ* sequatur. Πλείους δὲ οἱ " Σελλοὺς" *γράφοντες. Eustath.*

Ver. 236. Ἦ *μὲν δή ποτ' ἐμὸν ἔπος.*] *Ἤδη μέν ποτ' ἐμεῦ πάρος* ——, *ά*, 453. Cæterùm quâ ratione, *ἐμὸν*, hîc ultimam producat; item *ἐμὲ*, *ver.* 237. et *μὲν*, *ver.* 251. vide suprà ad *ά*, 51.

Ἀλλ' ἕταρον πέμπω, πολέσιν μετὰ Μυρμιδόνεσσι,
Μάρνασθαι· τῷ κῦδος ἅμα πρόες, εὐρύοπα Ζεῦ·
Θάρσυνον δέ οἱ ἦτορ ἐνὶ φρεσὶν, ὄφρα καὶ Ἕκτωρ
Εἴσεται, ἤ ῥα καὶ οἶος ἐπίστηται πολεμίζειν
Ἡμέτερος θεράπων, ἦ οἱ τότε χεῖρες ἄαπτοι
Μαίνονθ', ὁππότ' ἐγώ περ ἴω μετὰ μῶλον Ἄρηος.
Αὐτὰρ ἐπεί κ' ἀπὸ ναῦφι μάχην ἐνοπήν τε δίηται,
Ἀσκηθής μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἵκοιτο,
Τεύχεσί τε ξὺν πᾶσι καὶ ἀγχεμάχοις ἑτάροισιν.
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε μητίετα Ζεύς·
Τῷ δ' ἕτερον μὲν ἔδωκε πατὴρ, ἕτερον δ' ἀνένευσε·
Νηῶν μέν οἱ ἀπώσασθαι πόλεμόν τε μάχην τε
Δῶκε· σόον δ' ἀνένευσε μάχης ἐξαπονέεσθαι.
Ἤτοι ὁ μὲν, σπείσας τε, καὶ εὐξάμενος Διῒ πατρὶ,
Ἂψ κλισίην εἰσῆλθε, δέπας δ' ἀπέθηκ' ἐνὶ χηλῷ.
Στῆ δὲ πάροιθ' ἐλθὼν κλισίης, ἔτι δ' ἤθελε θυμῷ
Εἰσιδέειν Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν.

" Sed socium mitto, multis cum Myrmidonibus,
" Ad-pugnam: cum hoc unà victoriam praemitte, latè-sonans Jupiter:
" Confirma autem ei cor in praecordiis; ut et Hector
" Intelligat, num, etiam solus *cùm*-sit, sciat pugnare
" Noster famulus; an ei tunc *tantùm* manus invictae
" Insaniant, quandò ego îero ad pugnam Martis.
" Ac postquam à navibus proelium clamoremque repulerit,
" Incolumis mihi posteà veloces ad naves redeat,
" Armisque cum omnibus, et cominùs-pugnantibus sociis."
Sic dixit precans: hunc autem audivit Jupiter;
Eique alterum quidem dedit pater, alterum verò abnuit:
A navibus quidem ei repellere proeliumque pugnamque
Dedit; salvum autem *Patroclum* abnuit è pugnâ reverti.
Atque hic quidem, ubi *ita* libâratque et supplicaverat Jovi patri,
Rursùs tentorium ingressus est, poculumque reposuit in arcâ.
Stetit autem egressus pro tentorio: adhuc enim voluit animo
Spectare Trojanorum et Achivorum pugnam gravem.

Ver. 240. —— πολέσιν.] *Al.* πολέσι. Quod et ferri potest.

Ver. 241. —— εὐρύοπα.] Vide suprà ad ά, 175.

Ver. 242. Θάρσυνον.] De analogiâ vocabulorum, θαρσῦνω, θάρσῦνος· μαρτῦρομαι, μάρτῦρος· νίφειν, νῖφετός· et similium innumerorum, in quibus nullus unquam est *licentiæ* locus; vide suprà ad ά, 338. et ad ζ', 434.

Ver. 243. —— ἐπίστηται πολεμίζειν.] *Al.* ἐπίσταιτο πτολεμίζειν.

Ver. 245. —— ὁππότ' ἐγώ περ.] *Quando ego demùm* ——.

Ver. 249. —— μητίετα.] Vide suprà ad ά, 175.

Ver. 250. —— ἕτερον μὲν ἔδωκε πατὴρ, ἕτερον δ' ἀνένευσε.]

Audiit, et voti Phoebus succedere partem
Mente dedit, partem volucres dispersit in auras.
Sterneret ut subitâ turbatam morte Camillam,
Annuit oranti; reducem ut patria alta videret,
Non dedit; inque Notos vocem vertêre procellæ. *Æn.* XI, 794.

Ver. 251. —— πόλεμόν τε μάχην τε.] Vide suprà ad ή, 232, 279.

Ver. 252. —— ἐξαπονέεσθαι.] *Al.* ἐξ ἀπονέεσθαι. Vide suprà ad ά, 398.

Οἱ δ' ἅμα Πατρόκλῳ μεγαλήτορι θωρηχθέντες
Ἔστιχον, ὄφρ' ἐν Τρωσὶ μέγα φρονέοντες ὄρουσαν.
Αὐτίκα δὲ σφήκεσσιν ἐοικότες ἐξεχέοντο
Εἰνοδίοις, οὓς παῖδες ἐριδμαίνουσιν ἔθοντες,
Αἰεὶ κερτομέοντες, ὁδῷ ἔπι οἰκί' ἔχοντας,
Νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσι.
Τοὺς δ' εἴ περ παρά τίς τε κιὼν ἄνθρωπος ὁδίτης
Κινήσει ἀέκων, οἱ δ' ἄλκιμον ἦτορ ἔχοντες,
Πρόσσω πᾶς πέτεται, καὶ ἀμύνει οἷσι τέκεσσι.
Τῶν τότε Μυρμιδόνες κραδίην καὶ θυμὸν ἔχοντες,
Ἐκ νηῶν ἐχέοντο· βοὴ δ' ἄσβεστος ὀρώρει.
Πάτροκλος δ' ἑτάροισιν ἐκέκλετο, μακρὸν ἀΰσας·
Μυρμιδόνες, ἕταροι Πηληϊάδεω Ἀχιλῆος,
Ἀνέρες ἐστὲ, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς·
Ὡς ἂν Πηλείδην τιμήσομεν, ὃς μέγ' ἄριστος
Ἀργείων παρὰ νηυσὶ, καὶ ἀγχέμαχοι θεράποντες·
Γνῷ δὲ καὶ Ἀτρείδης, εὐρυκρείων Ἀγαμέμνων,
Ἣν ἄτην, ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν.
Ὡς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου·

Illi verò cum Patroclo magnanimo armati
Ordine-ibant, donec in Trojanos magnis cum animis irruerent.
Protinùs autem vespis similes effundebantur
In-viâ-habitantibus, quas pueri irritant de more,
Assiduè vexantes, in viâ domicilia habentes,
Insipientes; commune autem malum multis faciunt.
Has porrò si aliquis praeteriens homo viator
Moverit insciens, ipsae continuò animosum cor habentes,
Ultrò quaeque provolat, et defendit suos foetus.
Harum tunc Myrmidones cor et animum habentes,
Ex navibus fundebantur: clamor autem immensus ortus est.
Patroclus verò socios hortabatur, altùm clamans:
" Myrmidones, socii Pelidae Achillis,
" Viri estote, amici; recordaminique strenuae fortitudinis;
" Ut Pelidem honoremus, qui longè fortissimus *est*
" Argivorum apud naves, et cominùs-pugnantes famuli:
" Cognoscat autem et Atrides latè-dominans Agamemnon
" Suam noxam, quòd fortissimum Achivorum nihil honoravit."
Sic fatus, excitavit robur et animum uniuscujusque:

Ver. 260. ——— *ἐριδμαίνουσιν.*] Ita Codex *Harleian.* à *Th. Bentleio* collatus. Atque ita *Eustathius* in *Commentario*, et hunc ad locum, et suprà ad ί, 536. Quod et optimè congruit cum sequente, *τιθεῖσι.* *Al.* *ἐριδμαίνωσιν·* Quod et ipsum quoque ferri possit.

Ibid. — *ἔθοντες.*] Ἐξ ἔθους βλάπτοντες· — τὰ συνήθη πράττοντες· *Eustath.* ad ί, 536.

Ver. 261. ——— *ἔχοντας.*] *Al.* *ἔχοντες.*

Ver. 263. ——— *παρά τίς τε κιὼν.*] Scholiastes, Τὸ ἑξῆς, inquit, *παριών τις.* Unde videtur is legisse, *παρὰ τίς τε ἰὼν.* Cod. *Harleian.* habet, *παρά τίς κε κιών.*

Ver. 263, 264. Τοὺς δ' ——, *οἱ δ'.*] Vide suprà ad ά, 57. ad γ΄, 200. et ad θ΄, 160.

Ver. 264. Κινήσει.] *Al.* Κινήσῃ.

Ver. 269. Μυρμιδόνες, ἕταροι.] Quâ ratione Μυρμιδόνες, hîc ultimam producat; item *ἀντικρὺ*, *ver.* 285; vide suprà ad ά, 51.

Ver. 275. —— *ὤτρυνε μένος.*] Vide suprà ad ν΄, 44.

Ἐν δ' ἔπεσον Τρώεσσιν ἀολλέες· ἀμφὶ δὲ νῆες
Σμερδαλέον κονάβησαν, ἀϋσάντων ὑπ' Ἀχαιῶν.
Τρῶες δ', ὡς εἴδοντο Μενοιτίου ἄλκιμον υἱὸν,
Αὐτὸν, καὶ θεράποντα, σὺν ἔντεσι μαρμαίροντας,
Πᾶσιν ὀρίνθη θυμὸς, ἐκίνηθεν δὲ φάλαγγες,
Ἐλπόμενοι παρὰ ναῦφι ποδώκεα Πηλείωνα
Μηνιθμὸν μὲν ἀποῤῥίψαι, φιλότητα δ' ἑλέσθαι·
Πάπτηνεν δὲ ἕκαστος, ὅπη φύγοι αἰπὺν ὄλεθρον.
Πάτροκλος δὲ πρῶτος ἀκόντισε δουρὶ φαεινῷ
Ἀντικρὺ κατὰ μέσσον, ὅθι πλεῖστοι κλονέοντο,
Νηῒ παρὰ πρύμνῃ μεγαθύμου Πρωτεσιλάου·
Καὶ βάλε Πυραίχμην, ὃς Παίονας ἱπποκορυστὰς
Ἤγαγεν ἐξ Ἀμυδῶνος, ἀπ' Ἀξιοῦ εὐρὺ ῥέοντος·
Τὸν βάλε δεξιὸν ὦμον· ὁ δ' ὕπτιος ἐν κονίῃσι
Κάππεσεν οἰμώξας· ἕταροι δέ μιν ἀμφεφόβηθεν
Παίονες· ἐν γὰρ Πάτροκλος φόβον ἧκεν ἅπασιν,
Ἡγεμόνα κτείνας, ὃς ἀριστεύεσκε μάχεσθαι.
Ἐκ νηῶν δ' ἔλασεν, κατὰ δ' ἔσβεσεν αἰθόμενον πῦρ·
Ἡμιδαὴς δ' ἄρα νηῦς λίπετ' αὐτόθι· τοὶ δ' ἐφόβηθεν

Irruerunt itaque in Trojanos conferti: Circùm autem naves
Terribilitèr resonabant, clamantibus ab Achivis.
Trojani autem, ut viderunt Menoetii fortem filium,
Ipsum, et famulum, cum armis coruscantes;
Omnibus commotus est animus, inclinataeque sunt phalanges,
Existimantes apud naves velocem Pelidem
Iram quidem abjecisse, in gratiam verò rediisse:
Circumspectabat igitur unusquisque, quà effugere-posset gravem perniciem.
Patroclus autem primus jaculatus est hastâ fulgenti,
Rectà in medium, ubi plurimi tumultuabantur,
Navis ad puppim magnanimi Protesilai:
Et percussit Pyraechmen, qui Paeonas equestres-bellatores
Duxit ex Amydone, ab Axio latè fluente:
Hunc percussit dextrum humerum; is autem supinus in pulvere
Concidit edito-gemitu; socii autem circa ipsum in-fugam-conjecti-sunt
Paeones: Patroclus enim terrorem immiserat omnibus,
Ductore occiso, qui praestantissimus erat in pugnâ.
A navibus igitur *eos* repulit, extinxitque ardentem ignem:
Semiusta autem navis relicta est illic: in fugam verò versi sunt

Ver. 279. —— *θεράποντα.*] *Automedonta,* ver. 219.

Ver. 283. —— *ὅπη φύγοι.*] *Al.* *ὅπῃ φύγῃ,* et *ὅπως φύγῃ.*

Ver. 284. —— *ἀκόντισε.*] Vide suprà ad *ά*, 140.

Ver. 285. —— *πλεῖστοι κλονέοντο.*] *Al.* *πλεῖστοι καὶ ἄριστοι.*

Ver. 286. —— Νηῒ —— Πρωτεσιλάου.] Suprà, *ό*, 705.

Ver. 287. —— Πυραίχμην.] *Schol.* Πεποίηται τὸ ὄνομα τοῦ στρατηγοῦ, παρὰ τὸ πῦρ καὶ αἰχμὴν φέρειν τῇ νηΐ. Ineptè, ut videtur. Nam ab initio appellatus est Πυραίχμης· β', 848.

Ibid. —— *ἱπποκορυστὰς.*] Vide suprà ad β', 1.

Ver. 289. —— ἐν κονίῃσι Κάππεσεν.] Vide suprà ad ν', 508.

Ver. 294. —— *ἄρα.*] *Proindè* ——.

Τρῶες θεσπεσίῳ ὁμάδῳ· Δαναοὶ δ' ἐπέχυντο
Νῆας ἀνὰ γλαφυράς· ὅμαδος δ' ἀλίαστος ἐτύχθη.
Ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
Κινήσει πυκινὴν νεφέλην στεροπηγερέτα Ζεύς,
Ἔκ τ' ἔφανον πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι,
Καὶ νάπαι, οὐρανόθεν δ' ἄρ' ὑπερράγη ἄσπετος αἰθήρ·
Ὡς Δαναοὶ νηῶν μὲν ἀπωσάμενοι δήϊον πῦρ,
Τυτθὸν ἀνέπνευσαν· πολέμου δ' οὐ γίνετ' ἐρωή·
Οὐ γάρ πώ τι Τρῶες ἀρηϊφίλων ὑπ' Ἀχαιῶν
Προτροπάδην φοβέοντο μελαινάων ἀπὸ νηῶν·
Ἀλλ' ἔτ' ἄρ' ἀνθίσταντο, νεῶν δ' ὑπόεικον ἀνάγκῃ.
Ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα, κεδασθείσης ὑσμίνης,
Ἡγεμόνων· πρῶτος δὲ Μενοιτίου ἄλκιμος υἱὸς
Αὐτίκ' ἄρα στρεφθέντος Ἀρηϊλύκου βάλε μηρὸν
Ἔγχεϊ ὀξυόεντι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε·

Trojani, immani cum tumultu: Danai autem effundebantur
Naves per cavas: tumultusque vehemens factus est.
Ut verò, cùm à summo vertice montis magni
Dimoverit densam nubem fulgurator Jupiter,
Continuoque apparent omnes speculae et cacumina prominentia,
Et saltus, coelitusque adaperitur immensa aethra:
Sic Danai, à navibus quidem depulso hostili igne,
Paululùm respirârunt; pugnae tamen non erat cessatio:
Nondum enim prorsùs Trojani bellicosis ab Achivis
Versis-ubique-tergis fugabantur nigris à navibus;
Sed adhuc resistebant, atque à navibus recedebant necessitate.
Tum verò vir interfecit virum, diffusâ-latè pugnâ,
Ducum: Primus utique Menoetii fortis filius
Statim aversi Areïlyci percussit femur
Hastâ acutâ, penitúsque aes transegit;

Ver. 298. Κινήσει.] *Al.* Κινήσῃ.

Ibid. —— στεροπηγερέτα.] Vide suprà ad ά, 175.

Ver. 299. — ἔφανον.] Cod. *Harleian.* ἤφανεν.

Ver. 300. ——— ὑπερράγη ἄσπετος αἰθήρ.] *Schol.* Ἐξέλαμψεν αἰθήρ· τουτέστιν, ἀστραπὴ ἐγένετο. Similitèr et *Eustathius.* Non tamen videtur hoc de *fulgurum nictationibus* dictum, sed de *serenitate cœli* post disjectas nubes. Vide suprà ad Θ′, 554, *&c.*

Ver. 301. Ὡς Δαναοὶ ——— ἀνέπνευσαν] Rectè hîc *Eustathius:* Ὁ ποιητὴς —— πολλαχοῦ τὴν ἐν πολέμῳ ἀνάπνευσιν, "Φῶς" λέγει. —— κατὰ τὸ,

—— ἤν πού τι φόως Δαναοῖσι γένωμαι.
ver. 39.

——— ἐπὴν φάος ἐν νήεσσι
Θείης ———————. *ver.* 95.

Ver. 302. —— ἐρωή.] *Schol.* Νῦν, ὁρμή· ἔστι δ' ὅτε τὴν ἡσυχίαν καὶ ἀνάπαυσιν δηλοῖ. Debuerat è contrario scripsisse: Νῦν, ἡσυχία, καὶ ἀνάπαυσις· (ἔστι δ' ὅτε τὴν ὁρμὴν δηλοῖ.) Ut ex sequenti versu liquet: Οὐ ΓΆΡ πω, &c.

Ver. 306. Ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα, κεδασθείσης ὑσμίνης, Ἡγεμόνων· πρῶτος δὲ ———.] Rectè hîc *Barnesius* ex *Eustathio:* Ἔνθα τῶν ἡγεμόνων, ἀνὴρ ἕλεν ἄνδρα· καὶ Πάτροκλος μὲν πρῶτος. ———. Alii, malè interpungendo, conjungunt ὑσμίνης ἡγεμόνων· alii, nihilo minùs ineptè, ἡγεμόνων πρῶτος δὲ ———. Cæterùm de totâ sequenti narratione *Eustathius:* Ὅρα δὲ καὶ ἐνταῦθα πολλὴν ποικιλίαν· ——— τοιαύτη τις κἀνταῦθα τῷ Ὁμηρικῷ πέπλῳ ποικιλία ἐμπάσσεται· καὶ οὐ μόνον κατὰ τοὺς τρόπους τῶν πληγῶν τε καὶ πτωμάτων, ἀλλὰ καὶ κατὰ φράσιν τὴν αὐτοῦ τοῦ "ἔθανον." Ἀντὶ γὰρ τοῦ ῥήματος τούτου, ἐφ' ἑκάστων ἄλλως καὶ ἄλλως φράζει. Οἷον, ———.

Ver. 308. —— ἄρα.] Connectitur isto vocabulo sententia hæc cum eo quod præcessit, *ver.* 283.

Ver. 309. — ὀξυόεντι.] Vide suprà ad έ, 05.

Ῥῆξεν δ' ὀστέον ἔγχος· ὁ δὲ, πρηνὴς ἐπὶ γαίης
Κάππεσ'· ἀτὰρ Μενέλαος ἀρήϊος οὖτα Θόαντα,
Στέρνον γυμνωθέντα παρ' ἀσπίδα· λῦσε δὲ γυῖα.
Φυλείδης δ' Ἄμφικλον ἐφορμηθέντα δοκεύσας,
Ἔφθη ὀρεξάμενος πρυμνὸν σκέλος, ἔνθα πάχιστος
Μυὼν ἀνθρώπου πέλεται· περὶ δ' ἔγχεος αἰχμῇ
Νεῦρα διεσχίσθη· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
Νεστορίδαι δ', ὁ μὲν οὖτασ' Ἀτύμνιον ὀξέϊ δουρὶ
Ἀντίλοχος, λαπάρης δὲ διήλασε χάλκεον ἔγχος·
Ἤριπε δὲ προπάροιθε· Μάρις δ' αὐτοσχεδὰ δουρὶ
Ἀντιλόχῳ ἐπόρουσε, κασιγνητοῖο χολωθεὶς,
Στὰς πρόσθεν νέκυος· τοῦ δ' ἀντίθεος Θρασυμήδης
Ἔφθη ὀρεξάμενος, πρὶν οὐτάσαι· οὐδ' ἀφάμαρτεν,
Ὦμον ἄφαρ· πρυμνὸν δὲ βραχίονα δουρὸς ἀκωκὴ
Δρύψ' ἀπὸ μυώνων, ἀπὸ δ' ὀστέον ἄχρις ἄραξε·
Δούπησεν δὲ πεσὼν, κατὰ δὲ σκότος ὄσσ' ἐκάλυψεν.
Ὣς τὼ μὲν δοιοῖσι κασιγνήτοισι δαμέντε
Βήτην εἰς ἔρεβος, Σαρπηδόνος ἐσθλοὶ ἑταῖροι,

Fregit autem os hasta: Is verò, pronus in terram
Decidit: Item Menelaus mavortius vulneravit Thoantem,
Pectore nudatum juxta scutum; solvitque membra.
Phylides autem Amphiclum irruentem observans,
Prior assecutus percussit extremum crus, ubi crassissima
Sura hominis est; circumque hastae cuspide
Nervi discissi sunt: eum verò tenebrae oculos cooperuerunt.
Nestoridae autem; alter quidem vulneravit Atymnium acutâ hastâ,
Nempè Antilochus, perque ile trajecit aeream hastam;
Cecidit igitur *hic ei* ad pedes: Maris autem cominùs hastâ
In Antilochum irruebat, ob fratrem iratus,
Stans ante cadaver; eum verò deo-par Thrasymedes
Prior est assecutus, antequam *is Antilochum* vulneraret; nec aberravit,
Sed vulneravit eum ad humerum protinùs; extremum autem brachium hastae cuspis
Amputavit à musculis, et os penitùs abscidit:
Fragorem igitur edidit cadens, et caligo *ei* oculos cooperuit.
Sic illi quidem duo duobus à fratribus domiti
Iverunt ad Erebum, Sarpedonis fortes socii,

Ver. 310. —— *γαίης.*] *Al.* *γαίῃ.*

Ver. 311. — *οὖτα.*] Vide suprà ad ν', 192.

Ver. 313. Φυλείδης.] *Meges, Phylei filius.*

Ver. 315. — *αἰχμῇ.*] Cod. *Harleian.* ἀκμῇ. Et *Schol.* ibidem inedita, ὀξύτητι.

Ver. 317. 322. —— *οὖτασ'.*] Vide suprà ad ά, 140.

Ver. 321. —— *πρόσθεν νέκυος.*] Cod. *Harleian.* à *Th. Bentleio* collatus, προπάροιθε νέκυος. Quod et ferri possit. Nam νέκυος, ut ex Scriptoribus Tragicis liquet, pronuntiabatur interdum νέκῡς. Vide et infrà, *ver. 526.*

Ver. 322. —— *πρὶν οὐτάσαι.*] Quâ ratione, πρὶν, hîc (etiam extra caesuram) producatur; item ἀντικρὺ, *ver.* 346. vide suprà ad ά, 51. n. 8.

Ver. 324. —— *ἀπὸ δ' ὀστέον ἄχρις ἄραξε.*] *Schol.* Ἀπέσχιζε τὴν σάρκα ἄχρι τοῦ ὀστοῦ. *Eustathius:* Ἀπάραξε τοὺς μῦς, εἰς ὀστοῦν ἄχρι. At, οἱ παλαιοὶ, inquit, τὸ ἄχρις, ἀντὶ τοῦ διόλου, φασί. Túmque os ipsum dicetur abscissum.

Ver. 325. Δούπησεν.] Vide suprà ad ν', 181.

Υἷες ἀκοντισταὶ Ἀμισωδάρου· ὅς ῥα Χίμαιραν
Θρέψεν ἀμαιμακέτην, πολέσιν κακὸν ἀνθρώποισιν.
Αἴας δὲ Κλεόβουλον Ὀϊλιάδης ἐπορούσας
Ζωὸν ἕλε, βλαφθέντα κατὰ κλόνον· ἀλλά οἱ αὖθι
Λῦσε μένος, πλήξας ξίφει αὐχένα κωπήεντι.
Πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ' ὄσσε
Ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
Πηνέλεως δὲ, Λύκων τε, συνέδραμον· ἔγχεσι μὲν γὰρ
Ἤμβροτον ἀλλήλων, μέλεον δ' ἠκόντισαν ἄμφω·
Τὼ δ' αὖτις ξιφέεσσι συνέδραμον· ἔνθα Λύκων μὲν
Ἱπποκόμου κόρυθος φάλον ἤλασεν, ἀμφὶ δὲ καυλὸν
Φάσγανον ἐῤῥαίσθη· ὁ δ' ὑπ' οὔατος αὐχένα θεῖνε
Πηνέλεως, πᾶν δ' εἴσω ἔδυ ξίφος, ἔσχεθε δ' οἶον
Δέρμα· παρήερθη δὲ κάρη, ὑπέλυντο δὲ γυῖα.

Filii jaculatores Amisodari; qui Chimaeram
Nutrivit insuperabilem, multis perniciem hominibus.
Ajax verò Cleobulum Oïliades impetu-facto
Vivum cepit, impeditum in turbâ; sed ei ibi-statim
Solvit robur, percutiens ense cervicem capulum-magnum-habente.
Totus autem incaluit ensis sanguine: eique oculos
Occupavit purpurea mors, et fatum violentum.
Peneleus autem Lyconque concurrerunt; hastis enim
Aberrârant à se invicem, et incassùm jaculati erant ambo;
Hi igitur rursùs ensibus concurrerunt: tunc Lycon quidem
Setis-equinis-cristatae galeae conum percussit, et juxta capulum
Ensis fractus est: at *ei* sub aure cervicem percussit
Peneleus, totusque immersus est ensis; retinebat autem sola
Cutis; pendebatque *ab eâ* caput; solutaque sunt *ejus* membra.

Ver. 328. —— Ἀμισωδάρου· ὅς ῥα.] *Amisodari: ejus, qui* ——. *Ejus videlicèt, qui* —.

Ver. 329. — πολέσιν.] *Al.* πολέσι. Quod et ferri possit.

Ver. 333. —— Πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι.] Ἔστι καὶ ἡ ἔμφασις· ἥπερ, δι' ὑπονοίας, ἐπίτασιν τοῦ λεγομένου παρίστησιν· Οἷον "Πᾶν "δ' ὑπεθερμάνθη ξίφος αἵματι." Καὶ γὰρ ἐν τούτῳ παρέχει μείζονα ἔμφασιν, ὡς βαπτισθέντος οὕτω τοῦ ξίφους, ὥστε θερμανθῆναι. *Dionysius Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 7.

—— iit hasta Tago per tempus utrumque
Stridens, trajectoque hæsit *tepefacta* cerebro. *Æn.* IX, 418.

—— stomachoque infixa sub altum
Pectus abit; reddit specus atri vulneris undam
Spumantem, et fixo ferrum in pulmone *tepescit.* *Ibid.* 699.

Ver. 334. Ἔλλαβε πορφύρεος θάνατος.] *Homero* πορφύρεος θάνατος, non est *purpurea mors*, quâ ratione *Virgilius* dixit, de eo qui sanguinem ense trajectus vomeret, "*Purpuream vomit ille animam;*" sed, ut rectè interpretatur Scholiastes, *Atra mors.* Sic infrà, *ver.* 350.

—— θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψεν.

Et ρ', 551.

—— πορφυρέῃ νεφέλῃ πυκάσασα ἑ αὐτήν.

Porrò quâ analogiâ è πορφύρειν deducatur πορφύρεος, vide suprà ad ά, 338 et 482.

Ver. 335. — ἔγχεσι.] Cod. *Harleian.* ἔγχεϊ.

Ver. 336. —— μέλεον.] Vox, μέλεος, vim habet peculiarem. *Scholiastes* ad *Aristophanem* exponit, μάταιος, ἄθλιος, δυστυχής· ad istum versum,

Ἀλλ', ὦ μέλ', ἐξήλικας ἐμέ γ' ἐκ τῶν ἐμῶν.
Nub. 33.

Ibid. — ἠκόντισαν.] Vide suprà ad ά, 140.

Ver. 338. —— καυλὸν.] *Al.* καυλῷ.

Ver. 340. —— ἔσχεθε δ' οἶον.] Ita edidit *Barnesius* ex *Schol.* et MSS. Quocum facit Cod. *Harleian.* *Al.* ἔσχε δὲ οἶον.

Μηριόνης δ' Ἀκάμαντα, κιχεὶς ποσὶ καρπαλίμοισι,
Νύξ', ἵππων ἐπιβησόμενον, κατὰ δεξιὸν ὦμον·
Ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ὀφθαλμῶν κέχυτ' ἀχλύς.
Ἰδομενεὺς δ' Ἐρύμαντα κατὰ στόμα νηλέϊ χαλκῷ
Νύξε· τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε
Νέρθεν ὑπ' ἐγκεφάλοιο· κέασσε δ' ἄρ' ὀστέα λευκά·
Ἐκ δὲ τίναχθεν ὀδόντες· ἐνέπλησθεν δέ οἱ ἄμφω
Αἵματος ὀφθαλμοί· τὸ δ' ἀνὰ στόμα καὶ κατὰ ῥῖνας
Πρῆσε χανών· θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψεν.
Οὗτοι ἄρ' ἡγεμόνες Δαναῶν ἕλον ἄνδρα ἕκαστος.
Ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον, ἢ ἐρίφοισι,
Σίνται, ὑπ' ἐκ μήλων αἱρεύμενοι, αἵτ' ἐν ὄρεσσι,
Ποιμένος ἀφραδίῃσι διέτμαγεν· οἱ δὲ ἰδόντες,
Αἶψα διαρπάζουσιν ἀνάλκιδα θυμὸν ἐχούσας·
Ὣς Δαναοὶ Τρώεσσιν ἐπέχραον· οἱ δὲ φόβοιο
Δυσκελάδου μνήσαντο, λάθοντο δὲ θούριδος ἀλκῆς.
Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι χαλκοκορυστῇ
Ἵετ' ἀκοντίσσαι· ὁ δὲ ἰδρείῃ πολέμοιο,
Ἀσπίδι ταυρείῃ κεκαλυμμένος εὐρέας ὤμους,

Meriones autem Acamanta, assecutus pedibus velocibus,
Percussit, currum conscendentem, ad dextrum humerum:
Ceciditque *is* ex curru, oculisque offusa est caligo.
Idomeneus autem Erymanta in os saevo aere
Percussit: atque in-adversum hasta aerea pertransiit
Subtus sub cerebro; diffiditque ossa alba:
Excussi verò sunt dentes; impletique sunt ei ambo
Sanguine oculi; quem et per os *quoque* et per nares
Efflavit aperto-ore; Mortis autem nigra eum nubes obtexit.
Atque hi quidem ductores Danaorum, interfecerunt virum singuli.
Ut verò lupi agnis vehementi-impetu-irruunt, vel hoedis,
Exitiabiles, è gregibus surripientes, qui in montibus
Pastoris stultitiâ dispersi sunt; hi autem conspicati,
Statim discerpunt imbellem animum habentes:
Sic Danaï Trojanis vehementi-impetu-irruebant; Illi autem fugae
Horrisonae meminerunt, oblitique sunt strenuae fortitudinis.
Ajax verò ille magnus semper in Hectorem aere-armatum
Cupiebat jaculari; is autem scientiâ bellandi,
Clypeo taurino coopertus latos humeros,

Ver. 346. — ἐξεπέρησε.] *Al.* εἰσεπέρησε.

Ver. 351. —— ἄρ'.] Connectit sententiam hæc vocula, cum eo, quod præcessit, *ver.* 306. Cod. *Harleian.* à *Th. Bentleio* collatus, habet ἄμ'. Exponuntque Scholia ibidem inedita, ἐν ἑνὶ καιρῷ.

Ver. 353. —— αἵτ'.] *Qui utique* ——.

Ver. 358. — Αἴας δ' ὁ μέγας.] Pronuntiabatur ὀμμέγας. Vide suprà ad *ver.* 228. Ποιεῖ δὲ καὶ δυσφωνία συνθέσεως ἐν πολλοῖς μέγεθος. Οἷον τὸ "Αἴας δ' ὁ μέγας ——." Demet. Phaler. περὶ Ἑρμηνείας, § 48. Καὶ γὰρ τὸ δύσφωνον, πολλαχοῦ ὀγκηρόν· ὥσπερ, "Αἴας δ' ὁ μέγας —." Πολὺ γὰρ μᾶλλον τὸν Αἴαντα μέγαν ἐνέφηνεν, — τῆς ἑπταβοείης ἀσπίδος. Id. § 105. Consultò certè ita scripsit Poëta, cùm (ut rectè annotavit *Barnesius*) facilè dicere potuisset, Αἴας δ' αὖ μέγας —.

Σκέπτετ' ὀϊστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων.
Ἦ μὲν δὴ γίγνωσκε μάχης ἑτεραλκέα νίκην·
Ἀλλὰ καὶ ὣς ἀνέμιμνε, σάω δ' ἐριήρας ἑταίρους.
Ὡς δ' ὅτ' ἀπ' Οὐλύμπου νέφος ἔρχεται οὐρανὸν εἴσω,
Αἰθέρος ἐκ δίης, ὅτε τε Ζεὺς λαίλαπα τείνει·
Ὣς τῶν ἐκ νηῶν γένετο ἰαχή τε φόβος τε·
Οὐδὲ κατὰ μοῖραν πέραον πάλιν· Ἕκτορα δ' ἵπποι
Ἔκφερον ὠκύποδες σὺν τεύχεσι· λεῖπε δὲ λαὸν
Τρωϊκὸν, οὓς ἀέκοντας ὀρυκτὴ τάφρος ἔρυκε.
Πολλοὶ δ' ἐν τάφρῳ ἐρυσάρματες ὠκέες ἵπποι
Ἄξαντ' ἐν πρώτῳ ῥυμῷ λίπον ἅρματ' ἀνάκτων.
Πάτροκλος δ' ἕπετο, σφεδανὸν Δαναοῖσι κελεύων,
Τρωσὶ κακὰ φρονέων· οἱ δὲ ἰαχῇ τε φόβῳ τε

Observabat sagittarumque stridorem, et sonitum jaculorum.
Ac certè quidem jam videbat pugnae aliò-inclinatam victoriam:
Sed et sic manebat, servabatque charos socios.
Ut verò quandò ab Olympo nubes vadit in coelis,
Aetherem post serenum, cùm Jupiter nimbos-procellosos inducit:
Sic horum, à navibus *fugientium*, factus est clamorque fugaque:
Neque sine foedâ-clade *fossam* transibant rursùs: Hectorem autem equi
Efferebant veloces cum armis; deseruitque is populum
Trojanum, quos invitos profunda fossa coërcebat.
Multi verò in fossâ trahentes-currum veloces equi,
Fractos ad summum temonem liquerunt currus regum.
Patroclus autem insequebatur, vehementèr Danaos adhortans,
Trojanis mala cogitans: hi autem clamoreque fugâque

Ver. 361. *Σκέπτετ' ὀϊστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων.*] *Καὶ αὐτοί τε δὴ κατασκευάζουσιν οἱ ποιηταὶ ———, πρὸς χρῆμα ὁρῶντες, οἰκεῖα καὶ δηλωτικὰ τῶν ὑποκειμένων τὰ ὀνόματα, ——— καὶ μιμητικώτατα τῶν πραγμάτων· ὡς ἔχει ταυτὶ ——— "Σκέπτετ' ὀϊστῶν τε "ῥοῖζον καὶ δοῦπον ἀκόντων."* *Dionys. Halicarn. περὶ συνθέσεως*, § 16. Vide suprà ad β΄, 210. et ad γ΄, 363.

Ver. 363. Ἀλλὰ καὶ ὣς ἀνέμιμνε.] *Modò paululùm retrocedebat, modò adversus hostem consistebat;* vi scilicèt, non præpositionis solius, ut ait *Eustathius;* sed et temporis imperfecti. Vide suprà ad ϑ΄, 87. et ad ν΄, 84.

Ibid.—σάω.] *Barnesius* ex *Etymolog. Magn.* *Σάω δ' ἐριήρας ἑταίρους· ἔστι ῥῆμα, σέω, τὸ σώζω· τροπῇ γίνεται σάω· τὸ παθητικὸν σάομαι· ἐσαόμην, ἐσάου· καὶ τροπῇ Δωρικῇ τῆς ου εἰς ω, οὐ συναρχομένως σάω.* Malè; secunda enim persona minimè hìc cum sententiâ congruit. Meliùs *Eustathius: τὸ δὲ σάω ποιητικῶς ἀποκεκόπται ἐκ τοῦ σάωζεν, ὅ ἐστιν ἔσωζεν· ἵνα κατὰ μὲν τὸ ἀναύξητον, ἰωνίζηται ἡ λέξις· κατὰ δὲ τὴν ἀποκοπὴν αἰολίζηται.*

Ver. 365. — *ὅτε τε.*] *Quando utique* ———.

Ibid. ——— *τείνει.*] Cod. *Harleian. τείνῃ.*

Ver. 366. ——— *γένετο ἰαχή τε φόβος τε.*] De ultimâ vocis, *γένετο*, hìc, item δὲ, *ver.* 373. productâ; vide suprà ad δ΄, 456.

Ver. 367. Οὐδὲ κατὰ μοῖραν πέραον πάλιν.] — *οὐ κατὰ μοῖραν πέραον πάλιν οἱ Τρῶες· ἤγουν ἀτάκτως καὶ δυσδαιμόνως διεπέρων τὴν τάφρον ὡς φεύγοντες· ὅπερ ἐκεῖνος ἔφη, οὐ κατὰ κόσμον φεύξεσθαι. Ταὐτὰ γὰρ ὥσπερ μοῖρα καὶ κόσμος, οὕτω καὶ τὸ, οὐ κατὰ μοῖραν, καὶ τὸ, οὐ κατὰ κόσμον.* *Eustath.* Cæterùm quâ ratione, *κατὰ*, hìc ultimam producat; item *ὀρινόμενον*, *ver.* 377. et Ἀντικρὺ, *ver.* 380. Vide suprà ad ά, 51. n. 8.

Ibid. — Ἕκτορα δ' ἵπποι Ἔκφερον ὠκύποδες.] Absurdè hìc *Spondanus:* ——— "*Homere, ubi "est tuus nunc Jupiter, cujus auxilio freti "Trojani paulò antè triumphabant? An idem "quoque cum Trojanis aufugit? aut ejus po"tentia infirmata est?*" Quasi scilicèt hoc ipsum non prædixisset Jupiter.

Ver. 371. Ἄξαντ' ἐν πρώτῳ.] Numero duali, binos in singulis curribus equos fuisse indicatur. Vide suprà ad ά, 566.

Πάσας πλῆσαν ὁδοὺς, ἐπεὶ ἂρ τμάγεν· ὕψι δ' ἄελλα
Σκίδναθ' ὑπαὶ νεφέων· τανύοντο δὲ μώνυχες ἵπποι
Ἄψοῤῥον προτὶ ἄστυ, νεῶν ἄπο καὶ κλισιάων.
Πάτροκλος δ', ᾗ πλεῖστον ὀρινόμενον ἴδε λαὸν,
Τῇ ῥ' ἔχ' ὁμοκλήσας· ὑπὸ δ' ἄξοσι φῶτες ἔπιπτον
Πρηνέες ἐξ ὀχέων, δίφροι δ' ἀνεκυμβαλίαζον.
Ἀντικρὺ δ' ἀνὰ τάφρον ὑπέρθορον ὠκέες ἵπποι,
Ἄμβροτοι, οὓς Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα,
Πρόσσω ἱέμενοι· ἐπὶ δ' Ἕκτορι κέκλετο θυμός·
Ἵετο γὰρ βαλέειν· τὸν δ' ἔκφερον ὠκέες ἵπποι.
Ὡς δ' ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβριθε χθὼν
Ἤματ' ὀπωρινῷ, ὅτε λαβρότατον χέει ὕδωρ
Ζεὺς, ὅτε δή ῥ' ἄνδρεσσι κοτεσσάμενος χαλεπήνῃ,

Omnes implebant vias, postquam dissipati sunt: in altum autem procella *pulveris*
Spargebatur sub nubes; perniciterque currebant solidi-ungulis equi
Retrò ad urbem, à navibus et tentoriis.
Patroclus verò, quà plurimùm turbatum videbat populum,
Eà utique dirigebat *equos*, minacitèr-clamans: sub axibus autem viri cadebant
Proni de curribus, currusque cum-fragore-evertebantur.
E regione autem fossam transilierunt veloces equi,
Immortales, quos Peleo dii dederant praeclara dona,
Prorsùm pergere-cupientes: in Hectorem autem instigabat *eum* animus;
Cupiebat enim percutere: illum verò extulerunt veloces equi.
Ut verò à nimbo-procelloso tota nigra obruta-gravatur terra
Tempore autumnali, cùm rapidissimum fundit imbrem
Jupiter; quandò utique hominibus iratus saevit,

Ver. 374. —— ἐπεὶ ἂρ τμάγεν.] Vocula ista, ἂρ, nequaquam hîc supervacanea est; sed vim habet in *connectendâ sententiâ* cum eo quod præcessit, *ver.* 366. Ὡς τῶν ἐκ νηῶν γένετο ἰαχὴ, &c.

Ibid. — ἄελλα.] Ita rectè edidit *Barnesius*. *Al.* ἀέλλη; malè: Nam apud *Homerum* ᾰ naturâ brevis, ut in μοῦσα, τάττω, ἄελλα, et similibus, nunquam mutatur in ή. Vide suprà ad β', 314. et 633. et ad ν', 192.

Ver. 379. —— ἀνεκυμβαλίαζον.] Οἱ δὲ παλαιοὶ φασὶ, καὶ ὅτι τὸ ῥῆμα βομβῶδες ὂν, ἔμφασιν ἔχει τῆς μετὰ ἤχου τῶν ἁρμάτων ἀνατροπῆς. *Eustath.* Vide suprà ad γ', 363. et ad δ', 455.

Ver. 380. —— ἀνὰ.] *Al.* ἄρα.

Ibid. —— ὑπέρθορον.] *Al.* ὑπέκθορον.

Ver. 384. Ὡς δ' ὑπὸ λαίλαπι.]

Sæpe etiam immensum cœlo venit agmen aquarum,
Et fœdam glomerant tempestatem imbribus atris
Collectæ ex alto nubes; ruit arduus æther
Et pluviâ ingenti sata læta, boumque labores
Diluit: implentur fossæ et cava flumina crescunt
Cum sonitu, fervetque fretis spirantibus æquor. *Georgic.* I, 322.

Ibid. —— βέβριθε.] Vide suprà ad ά, 57. et ad β', 314. *Al.* βέβρυχε· ut infrà ρ', 264.

Ver. 385. — ὀπωρινῷ.] Vide suprà ad έ, 5.

Ibid. —— λαβρότατον.] *Al.* λαυρότατον.

Ibid. —— χέει ὕδωρ Ζεὺς, —— κοτεσσάμενος —— σκολιὰς κρίνωσι θέμιστας.] Τὰ δὲ λοιπὰ τῆς παραβολῆς ἐκφρασείδιόν τε ἔχει μεγάλου κατακλυσμοῦ, καὶ αἰτίαν αὐτοῦ ἠθικὴν, καὶ διδασκαλίαν εὐθυδικίας· ἢ ἐναντίον τὸ, Σκολιὰς κρίνειν θέμιστας· δῆλον δὲ ὅτι τε σεμναὶ πάντως αἱ τῆς εἰρημένης παραβολῆς ἔννοιαι· τοιαῦται γὰρ αἱ τῶν μεγάλων καὶ θείων πραγμάτων ἐκφράσεις, καὶ αἱ ἠθικαὶ παιδεύσεις· καὶ ὅτι σκοπὸς αὐτῇ, τοῦτο μόνον δηλῶσαι, ὡς αἱ Τρωϊκαὶ ἵπποι οὕτω ἀσθμαίνουσαι τῷ συντόνῳ δρόμῳ τῷ ἐκ τοῦ διώκεσθαι, καθὰ ἐν δεινῷ κατακλυσμῷ τῷ ἐκ θεομηνίας, χαράδραι μεγάλα στενάχουσι ῥέουσαι. *Eustath.*

Ver. 386. ——— ὅτε δή ῥ' ἄνδρεσσι.] *Al.* ὅτε δή τ' ἄνδρεσσι. Cæterùm de isto δὴ, vide suprà ad β', 158.

Οἳ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας,
Ἐκ δὲ δίκην ἐλάσωσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες·
Τῶν δέ τε πάντες μὲν ποταμοὶ πλήθουσι ῥέοντες,
Πολλὰς δὲ κλιτῦς τότ' ἀποτμήγουσι χαράδραι,
Ἐς δ' ἅλα πορφυρέην μεγάλα στενάχουσι ῥέουσαι
Ἐξ ὀρέων ἐπὶ κάρ· μινύθει δέ τε ἔργ' ἀνθρώπων·
Ὣς ἵπποι Τρωαὶ μεγάλα στενάχοντο θέουσαι.
Πάτροκλος δ', ἐπεὶ οὖν πρώτας ἐπέκερσε φάλαγγας,
Ἂψ ἐπὶ νῆας ἔεργε παλιμπετές, οὐδὲ πόληος
Εἴα ἱεμένους ἐπιβαινέμεν, ἀλλὰ μεσηγὺ
Νηῶν καὶ ποταμοῦ καὶ τείχεος ὑψηλοῖο
Κτεῖνε μεταΐσσων, πολέων δ' ἀπετίνυτο ποινήν.
Ἔνθ' ἤτοι Πρόνοον πρῶτον βάλε δουρὶ φαεινῷ,
Στέρνον γυμνωθέντα παρ' ἀσπίδα· λῦσε δὲ γυῖα.

Qui vi in foro perversa exercent judicia,
Justitiamque expellunt, deorum ultionem nihil verentes;
Horumque omnes quidem fluvii inundant fluentes,
Multasque montium-devexitates tunc abscindunt torrentes,
Et in mare purpureum valdè strepunt fluentes
Ex montibus in praeceps; corrumpunturque opera hominum:
Sic equae Trojanae valdè ingemiscebant currentes.
Patroclus autem, postquàm primas intercidisset phalangas,
Rursus ad naves coërcitos-egit retrorsùm, neque ad urbem
Sinebat cupientes ascendere, sed inter
Naves et fluvium et moenia sublimia
Occidebat rapidè-insequens, multorumque exigebat ultionem.
Tunc quidem Pronoum primum percussit hastâ fulgenti,
Pectore nudatum juxta clypeum: solvitque membra.

Ver. 387. 388. — κρίνωσι — ἐλάσωσι.] Cod. *Harleian.* κρίνουσι —— ἐλάσουσι.

Ver. 388. — θεῶν ὄπιν οὐκ ἀλέγοντες.] *Deorum ultionem.* Sic *Odyss.* φ', 28.

—— οὐδὲ θεῶν ὄπιν ᾐδέσατ' ——.

Et *Hesiod.* Ἔργ. καὶ ἡμέρ. I, 185:

—— οὐδὲ θεῶν ὄπιν εἰδότες ——.

Et *Theogon. ver.* 222:

Πρίν γ' ἄπο τῷ δώωσι κακὴν ὄπιν, ὅστις ἁμάρτῃ.

Ver. 390. —— κλιτῦς.] *Al.* κλειτῦς· Auctoribus non inidoneis. Quod autem *Barnesius* de *Metro*, nihili est. Ex κλῖνομαι enim tam rectè κλῖτὺς, quàm ex κέκλῐμαι, deducitur κλῐτὸς; ut λῦμα, λῠτὸς, ex λῦω, λέλῠμαι, &c. Vide suprà ad ά, 314. Sic *Odyss.* ί, 470:

Εἰ δέ κεν ἐς κλιτὺν ἀναβὰς ——.

Ver. 391. —— πορφυρέην.] Vide suprà ad ά, 338. et 482.

Ver. 394. — ἐπεὶ οὖν.] Ἔστι δὲ καὶ ἐνταῦθα τὸ οὖν, ἀντὶ τοῦ δή· ἵνα εἴη τὸ, ἐπεὶ οὖν, ταὐτὸν τῷ, ἐπειδή. *Eustath.* Verùm non hîc supervacuum est istud οὖν. Eam enim ferè vim habet ἐπεὶ οὖν, ac si latinè dicas: *Postquam, ut dixi;* vel *Postquam, eo modo quo dixi* ——.

Ibid. —— ἐπέκερσε.] *Al.* ἀπέκερσε.

Ver. 395. Ἂψ ἐπὶ νῆας ἔεργε παλιμπετὲς, οὐδὲ πόληος Εἴα ἱεμένους ἐπιβαινέμεν.] *Spondanus*, et *Eustathius*, et *Domina Dacier*, hæc de *Græcis* accipiunt; quasi *Patroclus* nimirùm partim, etsi non plenè, monitorum Achillis meminisset; suosque proindè, ne *Trojanos* ulteriùs insequerentur, urbemque aggrederentur, cohibuisset. Cum verò ἔεργε de hostibus propriùs dicatur, vocesque ἐπέκερσε et κτεῖνε ad *Trojanos* planè respiciant, nec ulla hîc Græcorum fiat mentio; istud, Ἂψ ἐπὶ νῆας ἔεργε, &c. de *Trojanis* potiùs à *Patroclo*, ne in urbem se reciperent, interclusis dictum crediderim.

Ver. 398. — μεταΐσσων.] *Al.* μεταΐγδην.

Ibid. — ἀπετίνυτο.] Vide suprà ad γ', 279.

Δούπησεν δὲ πεσών· ὁ δὲ Θέστορα, Ἤνοπος υἱὸν,
Δεύτερον ὁρμηθεὶς, (ὁ μὲν εὐξέστῳ ἐνὶ δίφρῳ
Ἧστο ἀλεὶς· ἐκ γὰρ πλήγη φρένας, ἐκ δ' ἄρα χειρῶν
Ἡνία ἠΐχθησαν· ὁ δ') ἔγχεϊ νύξε παραστὰς
Γναθμὸν δεξιτερὸν, διὰ δ' αὐτοῦ πεῖρεν ὀδόντων·
Εἷλκε δὲ δουρὸς ἑλὼν ὑπὲρ ἄντυγος· ὡς ὅτε τις φὼς
Πέτρῃ ἐπὶ προβλῆτι καθήμενος, ἱερὸν ἰχθὺν
Ἐκ πόντοιο θύραζε λίνῳ καὶ ἤνοπι χαλκῷ·
Ὣς εἷλκ' ἐκ δίφροιο κεχηνότα, δουρὶ φαεινῷ·
Κάδδ' ἄρ' ἐπὶ στόμ' ἔωσε· πεσόντα δέ μιν λίπε θυμός.
Αὐτὰρ ἔπειτ' Ἐρύαλον ἐπεσσύμενον βάλε πέτρῳ,
Μέσσην κακκεφαλήν· ἡ δ' ἄνδιχα πᾶσα κεάσθη
Ἐν κόρυθι βριαρῇ· ὁ δ' ἄρα πρηνὴς ἐπὶ γαίῃ
Κάππεσεν· ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής.
Αὐτὰρ ἔπειτ' Ἐρύμαντα, καὶ Ἀμφοτερὸν, καὶ Ἐπάλτην,
Τληπόλεμόν τε Δαμαστορίδην, Ἐχίον τε, Πύρην τε,
Ἰφέα τ', Εὔϊππόν τε, καὶ Ἀργεάδην Πολύμηλον,
Πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ.

Fragorem verò *is* edidit cadens: *Patroclus* autem Thestorem, Enopis filium,
Iterum impetu-facto, (qui quidem eleganter-politâ in sellâ
Sedebat contractus; perculsus enim erat animo, ex manibusque
Habenae defluxerant; *Patroclus* autem *eum*) percussit cominùs
Malam dextram, perque ejus transegit dentes:
Traxit autem *eum* hastâ levatum super orbile-ad-sellam-currûs-fixum; veluti cùm vir
Scopulo in prominenti sedens, sacrum piscem
Ex ponto foràs lino et splendido aere:
Sic *hunc* traxit è curru hiantem *Patroclus* hastâ fulgenti;
Inque os *demum* excussit: lapsumque ipsum liquit anima.
Tum deinde Eryalum irruentem percussit *Patroclus* saxo,
Medio in capite; illudque in duas-partes totum diffissum est
In casside validâ: is itaque pronus in terram
Decidit; ipsumque mors circumfusa est exitialis.
Ac postea Erymanta, et Amphoterum, et Epaltem,
Tlepolemumque Damastoridem, Echiumque, Pyremque,
Ipheaque, Euïppumque, et Argeadem Polymelum,
Omnes alium-super-alium dejecit in terram almam.

Ver. 403. —— ἀλεὶς.] *Al.* ἁλεὶς.
Ibid. —— πλήγη.] Vide suprà ad γ', 31.
Ibid. —— ἐκ δ' ἄρα χειρῶν.] *Adeóque è manibus.*
Ver. 405. —— αὐτοῦ.] Γναθμοῦ δεξιτεροῦ.
Ver. 407. —— ἱερὸν ἰχθὺν.] Λέγει δὲ ἱερὸν ἰχθὺν, κατά τινας, ὧν καὶ Ἀριστοτέλης, τὸν Ἀνθίαν, οἷα σημαντικὸν ὄντα τοῦ ἄθηρον εἶναι τὴν θάλασσαν· ἐπεὶ ὅπου Ἀνθίας, ἐκεῖ οὐκ ἔστι θηρίον θαλάσσιον· ᾧ σημείῳ χρώμενοι, κατακολυμβῶσιν ἀδεῶς οἱ σπογγεῖς· καὶ τὸν ἰχθὺν, διὰ τοῦτο καλοῦσιν ἱερόν. *Eustath.* Sic et *Athenæus, Lib.* VII. *cap.* 7.
Ver. 411. —— Ἐρύαλον.] Cod. *Harleian.* Ἐρύλαον.
Ibid. — ἐπεσσύμενον.] *Al.* ἐπεσσύμενος.
Ibid. — βάλε πέτρῳ, Μέσσην κακκεφαλήν.]
—— mediam ferro gemina inter tempora frontem
Dividit. —— *Æn.* IX, 750.
Ver. 416. —— Πύρην τε.] Cod. *Harleian.* Πύριν τε.
Ver. 418. —— πέλασε.] Vide suprà ad ά, 140.

Σαρπηδὼν δ' ὡς οὖν ἴδ' ἀμιτροχίτωνας ἑταίρους
Χέρσ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμέντας,
Κέκλετ' ἄρ' ἀντιθέοισι καθαπτόμενος Λυκίοισιν·
Αἰδὼς, ὦ Λύκιοι, πόσε φεύγετε; νῦν θοοὶ ἐστέ·
Ἀντήσω γὰρ ἐγὼ τοῦδ' ἀνέρος, ὄφρα δαείω,
Ὅστις ὅδε κρατέει· καὶ δὴ κακὰ πολλὰ ἔοργε
Τρῶας· ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ' ἔλυσεν.
Ἦ ῥα, καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε.
Πάτροκλος δ' ἑτέρωθεν, ἐπεὶ ἴδεν, ἔκθορε δίφρου.
Οἱ δ' ὥστ' αἰγυπιοὶ, γαμψώνυχες, ἀγκυλοχεῖλαι,
Πέτρῃ ἔφ' ὑψηλῇ μεγάλα κλάζοντε μάχονται·
Ὣς οἱ, κεκλήγοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Τοὺς δὲ ἰδὼν ἐλέησε Κρόνου παῖς ἀγκυλομήτεω,
Ἥρην δὲ προσέειπε κασιγνήτην, ἄλοχόν τε·

Sarpedon autem, postquam vidit discinctos socios
Manibus Patrocli Menoetiadae domitos,
Adhortatus est eximios increpans Lycios:
" *Proh* pudor, ô Lycii, quò fugitis? nunc strenui estote:
" Occurram enim huic viro, ut intelligam,
" Quisnam iste victor-grassetur: utique jam malis multis affecit
" Trojanos: quippe multorumque et fortium genua solvit."
Dixit, et de curru cum armis desiliit in terram.
Patroclus verò alterâ-ex-parte, ut vidit, desiliit de curru.
Hi autem, sicut vultures duo, unguibus-aduncis, rostris-curvis,
Petrâ super excelsâ ingentem clangorem-edentes pugnant:
Sic hi, clamantes, alter in alterum irruebant.
Hos autem intuitus, misertus est Saturni filius versuti,
Junonemque allocutus est sororem uxoremque:

Ver. 419.—Σαρπηδὼν δ' ὡς οὖν.] *Barnesius* hîc ex uno MS. edidit Σαρπηδὼν ὡς οὖν, omissâ voculâ δὲ, quæ tamen hoc in loco, ad narrationem connectendam, videtur necessaria.

Ibid. —— ἀμιτροχίτωνας ἑταίρους.] Vocem, ἀμιτροχίτωνας, ita explicat Domina *Dacier*: "*des gens, qui ont quitté leur cuirasse pour* "*mieux fuir.*" Mihi verò, non de iis, qui arma abjecerant, sed de gentis istius habitu singulari dicta videtur; ut ἑλκεσιπέπλους, λινοθώρηξ, &c. —— ἀμιτροχίτωνας τοὺς τοιούτους λέγει, οὐχ ὡς ἀζώστους κατὰ τοὺς πρὸ ὀλίγων εἰρημένους· οὐδέποτε γὰρ μίτρα παρὰ τῷ ποιητῇ ἁπλῶς ἡ ζώνη· ἀλλὰ τοὺς μὴ ὑποζωννυμένους μίτρας τοῖς χιτῶσιν, ὅ ἐστι τοῖς θώραξιν, ἀλλὰ ἅμα τῷ θώρακι συνηρτημένην ἔχοντας καὶ τὴν μίτραν, καὶ οὐ συμβλητὴν κατὰ τοὺς πολλούς· ὥστε τὸ ά ἐνταῦθα, καὶ στέρησιν δύναται δηλοῦν διὰ τὸ μὴ ὑποζώννυσθαι μίτρας, καὶ ἀντὶ τοῦ "ἅμα" δὲ λαμβάνεται διὰ τὸ ὁμοῦ τῷ θώρακι συνηρτῆσθαι αὐτάς. *Eustath.*

Ver. 422.—νῦν θοοὶ ἐστέ.] Sententia hæc duplici modo accipi potest: Vel, ut *Lycios* ad fortiter se gerendos adhortetur *Sarpedon*; *Jam acres estote*: Vel, ut eorum ignaviam increpet, quòd in pugnâ segnes essent, in fugâ celeres; *Jam celeres estis*: Atque ita *Eustathius*: Ὀνειδίζει δὲ ὁ λόγος, τοὺς ἀνδρίζεσθαι μὲν βραδεῖς, ὀξυκινήτους δὲ φεύγειν.

Ver. 423. —— τοῦδ' ἀνέρος —— Ὅστις ὅδε κρατέει.]

Unus homo ————
—— tantas strages impunè per urbem
Ediderit? juvenum primos tot miserit Orco? *Æn.* IX, 783.

Ver. 424.—καὶ δὴ κακὰ.] Vide suprà ad ξ′, 433.

Ver. 428.——αἰγυπιοὶ, —— κλάζοντε] *Duo* scilicèt *vultures*. Vide suprà *ver.* 371. et ad ά, 566. Nec alitèr rectè instituta esset comparatio.

Ver. 429. —— μάχονται.] *Al.* μάχωνται.

Ver. 432. —— κασιγνήτην, ἄλοχόν τε.]

—— Jovis ——
Et soror et conjux ——. *Æn.* I, 50.

Ὢ μοι ἐγὼν, ὅτε μοι Σαρπηδόνα, φίλτατον ἀνδρῶν,
Μοῖρ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι.
Διχθὰ δέ μοι κραδίη μέμονε, φρεσὶν ὁρμαίνοντι,
Ἤ μιν ζωὸν ἐόντα μάχης ἄπο δακρυοέσσης
Θείω ἀναρπάξας Λυκίης ἐνὶ πίονι δήμῳ,
Ἦ ἤδη ὑπὸ χερσὶ Μενοιτιάδαο δαμάσσω.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
Ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ,
Ἂψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
Ἕρδ'· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Αἴκε ζωὸν πέμψῃς Σαρπηδόνα ὅνδε δόμονδε,
Φράζεο, μή τις ἔπειτα θεῶν ἐθέλῃσι καὶ ἄλλος
Πέμπειν ὃν φίλον υἱὸν ἀπὸ κρατερῆς ὑσμίνης·

" Hei mihi, cùm mihi Sarpedonem, charissimum hominum,
" In fatis *sit* à Patroclo Menoetiade domari.
" Bifariàm autem animus mihi fertur, in praecordiis versanti,
" Utrúmne ipsum vivum pugnâ è lacrymosâ
" Ponam abreptum Lyciae in opulento populo,
" An jam sub manibus Menoetiadae domem."
Huic autem respondit deinde magnis-oculis veneranda Juno:
" Importunissime Saturnie, quale verbum dixisti?
" Virumne mortalem, jam-olim destinatum fato,
" Iterùm *nunc* vis à morte tristi liberare?
" Fac: at non ubi omnes assentiemur dii caeteri.
" Aliud autem tibi dicam, tu verò animo reconde tuo;
" Si vivum dimiseris Sarpedonem suam ad domum,
" Perpende, ne quis posthàc deorum velit et alius
" Abducendum-curare suum charum filium ex aspero proelio:

Ver. 433. Ὢ μοι ἐγών.] Vituperat hîc *Plato* non locutionem Poeticam, sed rem ipsam. — δεησόμεθα [Ὁμήρου] μή τοι — τὸν — μέγιστον τῶν θεῶν τολμῆσαι οὕτως ἀνομοίως μιμήσασθαι, ὥστε, — φάναι —— " Αἲ αἲ ἐγὼν, ὅτε " μοι Σαρπηδόνα φίλτατον, ἀνδρῶν Μοῖρ' ὑπὸ " Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι." *De Republ. lib.* 3. Ubi notandum legisse hîc *Platonem*, Αἲ αἲ ἐγὼν ———.

Ver. 436. Ἤ μιν ζωὸν ἐόντα μάχης ἄπο δακρυοέσσης Θείω ἀναρπάξας.]

Hunc tegere, et diræ valeam subducere pugnæ. *Æn.* X, 50.

" *Homerus querentem Jovem inducit, quòd* " *Sarpedonem filium à morte contrà fatum* " *eripere non posset.*" Cic. de Divinat. lib. 2. At non hîc *querentem* inducit Jovem, quòd filium à morte liberare *nequeat;* sed *dubitantem,* an hoc ipsum facere *oporteat* contra fatum. Ut rectè observavit *Victorius, Var. Lect. Lib.* 34. *cap.* 24.

Ver. 437. — ἀναρπάξας.] Vocem hanc vertit Domina *Dacier* "*tout d'un coup.*" Minùs rectè.

Ver. 439. —— βοῶπις.] Vide suprà ad ά, 43. 58. et 551.

Ver. 440. —— ἔειπες.] *Al.* ἔειπας.

Ver. 445. Αἴκε ζωὸν πέμψῃς.] Pronuntiabatur, ut opinor, ζῶν. Atque ita etiam scribendum conjicit Vir doctus *Henricus Stephanus* (etsi absque Exemplarium auctoritate nihil mutare est ausus) ex έ, 887. " Quid" ni," inquit, " hîc ζῶν scribamus, non " ζωὸν; ut *Il.* έ, *ver.* 887. Ἤ κεν ζὼς ἀ" μενηνὸς ἔα χαλκοῖο τυπῇσι, scriptum esse " videmus?" Quin et eo versimilius est aut scribendum aut saltem pronuntiandum ζῶν, quod in duobus MSS. scriptum repperit *Barnesius*, Αἴκεν ζῶν πέμψῃς. Porrò *Eustathius* in Commentario legit, Αἴκεν ζῶντα πέμψῃς.

Πολλοὶ γὰρ περὶ ἄστυ μέγα Πριάμοιο μάχονται
Υἱέες ἀθανάτων, τοῖσιν κότον αἰνὸν ἐνήσεις.
Ἀλλ' εἴ τοι φίλος ἐστὶ, τεὸν δ' ὀλοφύρεται ἦτορ,
Ἤτοι μέν μιν ἔασον ἐνὶ κρατερῇ ὑσμίνῃ
Χέρσ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι·
Αὐτὰρ ἐπὴν δὴ τόνγε λίπῃ ψυχή τε καὶ αἰὼν,
Πέμπειν μιν Θάνατόν τε φέρειν, καὶ νήδυμον Ὕπνον,
Εἰσόκε δὴ Λυκίης εὐρείης δῆμον ἵκωνται·
Ἔνθα ἑ ταρχύσουσι κασίγνητοί τε, ἔται τε,
Τύμβῳ τε, στήλῃ τε· τὸ γὰρ, γέρας ἐστὶ θανόντων.
  Ὣς ἔφατ'· οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε,
Παῖδα φίλον τιμῶν, τόν οἱ Πάτροκλος ἔμελλε
Φθίσειν ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρης.

"Multi enim circum urbem magnam Priami pugnant
"Filii immortalium, quibus iram gravem injicies.
"Sed si *hic* tibi dilectus est, tuumque *vicem ejus* miseratur cor:
"Eum quidem sinito in asperâ pugnâ
"Manibus sub Patrocli Menoetiadae domari:
"At postquam jam eum reliquerit animaque et vita,
"Mitte eum ut Mors ferat, et suavis Somnus,
"Donec Lyciae latae ad populum pervenerint:
"Ibi ei exequias-facient fratresque, amicique,
"*Cum* tumuloque, cippoque: hic enim honor est mortuorum."
Sic dixit: neque non-obsecutus-est pater hominumque deûmque:
Cruentas autem guttas demisit in terram,
Filium dilectum honorans, quem ei Patroclus erat
Interempturus in Trojâ glebosâ, procul à patriâ.

Ver. 449.——ἀθανάτων.] Vide suprà ad ά, 398.

Ver. 450.—φίλος ἐστὶ.] *Al.* φίλον ἐστί.

Ver. 451.—ἔασον.] Vide suprà ad δ', 42.

Ver. 453. Αὐτὰρ ἐπὴν δὴ τόνγε.]

Post ego nube cavâ miserandæ corpus et arma
Inspoliata feram tumulo, patriæque reponam. *Æn.* XI, 593.

Ver. 456.—ταρχύσουσι.] *Al.* ταρχύσωσι.

Ver. 459. Αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε.] Portentum, *pluvia sanguinea*, ut suprà λ', 53. Similitèr apud *Hesiodum:*

Κὰδδ' ἄρ' ἀπ' οὐρανόθεν ψιάδας βάλεν αἱματοέσσας
Σῆμα τιθεὶς πολέμοιο ἑῷ μεγαθαρσέϊ παιδί.
Ἀσπὶς Ἡρακλ. ver. 384.

Τάγε μὴν ἐπὶ Σαρπηδόνι δάκρυα, λύπην μὲν οὐ καταψεύδεται θεοῦ, ὃ καὶ παρ' ἀνθρώποις νόσημα· αὐτῷ δὲ βουλόμενῳ τ' ἀκριβὲς ἐρευνᾷν, ἐπινοεῖται τρόπος ἀλληγορουμένης ἀληθείας. Πολλάκις γὰρ ἐν ταῖς μεταβολαῖς τῶν μεγάλων πραγμάτων, ἱστοροῦσι τεράστια τῷ βίῳ συμφέρεσθαι σημεῖα, ποταμῶν τε καὶ πηγῶν καὶ ναμάτων αἱμοφρύκτοις, ῥεύμασιν ἐκμιαινομένων· ὥστ' ἐπ' Ἀσωποῦ τε καὶ Δίρκης παραδιδόασιν οἱ παλαιοὶ μῦθοι. Λόγος δ' ἔχει καὶ κατὰ νεφῶν ψεκάδας ὕεσθαι, φόνου τισὶ κηλῖσιν ἐπικεχρωσμένας. Ἐπεὶ τοίνυν ἡ μεταβολὴ τῆς μάχης ἀθρόαν φυγὴν ἐμποιήσειν ἔμελλε τοῖς βαρβάροις, ἐγγὺς δ' ἦν ὁ τοῦ κατ' ἀλκὴν ἀρίστου Σαρπηδόνος ὄλεθρος, ὡσπερεὶ τεράστια προὐφάνη ταύτης τῆς συμφορᾶς ἀγγελτικὰ, "Αἱματοέσσας "δὲ ψεκάδας κατέχευεν ἔραζε." Τοῦτον δὴ τὸν φονέα ὄμβρον, ἀλληγορικῶς εἴρηκεν αἰθέρος δάκρυα· Διὸς μὲν οὒ, ἄκλαυστος γὰρ, ἐκ δὲ τῶν ὑπεράνω τόπων, ὡσπερεὶ θρήνοις μεμιγμένου καταῤῥαγέντος ὑετοῦ. *Heraclid. Pontic.* Cæterùm observandum, legisse hîc *Heracliden*, Αἱματοέσσας δὲ ψεκάδας ———.

Ver. 460.—τόν οἱ.] Quâ ratione, τὸν, ultimam hîc, etiam extra cæsuram, producat; item δὲ, *ver.* 475. et Αἴθωνα, *ver.* 488. et μιν, *ver.* 502. vide suprà ad ά, 51. *Al.* τόν ῥ' οἱ.

Ver. 461. Φθίσειν.] De hujus vocis prosodiâ, vide suprà ad β'. 43 et 833.

Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Ἔνθ' ἤτοι Πάτροκλος μὲν ἀγακλειτὸν Θρασύμηλον,
Ὅς ῥ' ἠῢς θεράπων Σαρπηδόνος ἦεν ἄνακτος,
Τὸν βάλε νείαιραν κατὰ γαστέρα· λῦσε δὲ γυῖα.
Σαρπηδὼν δ' αὐτοῦ μὲν ἀπήμβροτε δουρὶ φαεινῷ,
Δεύτερος ὁρμηθείς· ὁ δὲ Πήδασον οὔτασεν ἵππον
Ἔγχεϊ δεξιὸν ὦμον· ὁ δ' ἔβραχε θυμὸν ἀΐσθων·
Κὰδδ' ἔπεσ' ἐν κονίησι μακὼν, ἀπὸ δ' ἔπτατο θυμός.
Τὼ δὲ διαστήτην· κρίγε δὲ ζυγὸν, ἡνία δέ σφι
Σύγχυτ', ἐπειδὴ κεῖτο παρήορος ἐν κονίησι.
Τοῖο μὲν Αὐτομέδων δουρικλυτὸς εὕρετο τέκμωρ,
Σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ,
Ἀΐξας ἀπέκοψε παρήορον· οὐδ' ἐμάτησε.
Τὼ δ' ἰθυνθήτην, ἐν δὲ ῥυτῆρσι τάνυσθεν·
Τὼ δ' αὖτις συνίτην ἔριδος πέρι θυμοβόροιο.
Ἔνθ' αὖ Σαρπηδὼν μὲν ἀπήμβροτε δουρὶ φαεινῷ,
Πατρόκλου δ' ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ' ἀκωκὴ
Ἔγχεος, οὐδ' ἔβαλ' αὐτόν· ὁ δ' ὕστερος ὤρνυτο χαλκῷ
Πάτροκλος· τοῦ δ' οὐχ ἅλιον βέλος ἔκφυγε χειρὸς,

Hi autem cùm jam propè erant alter-in-alterum irruentes,
Tum Patroclus quidem inclytum Thrasymelum,
Qui strenuus famulus Sarpedonis erat regis,
Hunc (*inquam*) percussit imum ad ventrem ; solvitque membra.
Sarpedon verò à *Patroclo* quidem aberravit hastâ fulgenti,
Secundus impetum-faciens ; at Pedasum vulneravit equum
Hastâ dextrum *in* humerum ; is autem gemuit animam expirans ;
Deciditque in pulvere ejulans, avolavitque anima.
Duo autem *reliqui equi* dissultabant ; crepuitque jugum, habenaeque ipsis
Confundebantur, quoniam jacebat equus-exterioris-lori in pulveribus.
Ac hujus-rei quidem Automedon hastâ-inclytus invenit finem,
Educto *nempè* longo ense robusto à femore,
Insurgens abscidit equum *istum* extra-jugalem ; neque segniter-agebat.
Itaque *bini equi iterùm* aptè-compositi-stabant, inque habenis directi-erant :
Patroclus verò *et Sarpedon* rursùs congressi-sunt pugnâ in exitiosâ.
Tum Sarpedon quidem aberravit hastâ fulgenti,
Patroclique supra humerum sinistrum abiit cuspis
Hastae, neque percussit ipsum : posterior autem irruit aere
Patroclus : hujus autem non irritum telum effugit manu,

Ver. 463. Θρασύμηλον.] Ita ex duobus MSS. edidit *Barnesius*. Atque ita in Commentario legit *Eustathius*. *Al.* Θρασυμήδην. At *Nestoris* filio nomen erat *Thrasymedes*, suprà ί, 81. Quare Θρασύμηλον videtur potior Lectio.

Ver. 469. — ἐν κονίησι.] Vide suprà ad ν', 508.

Ver. 470. — κρίγε.] Vide suprà ad β', 314.

Ver. 471. —— παρήορος.] Vide suprà ad *ver.* 152.

Ver. 473. Σπασσάμενος.] Ita edidit *Barnesius*. *Vulgg.* Σπασάμενος. Minùs rectè. Primam enim corripit.

Ver. 474. Ἀΐξας ἀπέκοψε.] Vide suprà ad θ', 87.

Ver. 478. — ἤλυθ'.] Vide suprà ad ό, 454. et ad ά, 37.

Ver. 479. — ὤρνυτο.] Vide suprà ad γ', 260.

Ver. 480. —— τοῦ δ' οὐχ ἅλιον βέλος.]

At non hoc telum, mea quod vi dextera versat,
Effugies. ———— *Æn.* IX, 747.

Ἀλλ' ἔβαλ', ἔνθ' ἄρα τε φρένες ἔρχαται ἀμφ' ἀδινὸν κῆρ·
Ἤριπε δ', ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ἀχερωῒς,
Ἠὲ πίτυς βλωθρὴ, τήν τ' οὔρεσι τέκτονες ἄνδρες
Ἐξέταμον πελέκεσσι νεήκεσι, νήϊον εἶναι·
Ὣς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθεὶς,
Βεβρυχὼς, κόνιος δεδραγμένος αἱματοέσσης.
Ἠΰτε ταῦρον ἔπεφνε λέων ἀγέληφι μετελθὼν,
Αἴθωνα, μεγάθυμον ἐν εἰλιπόδεσσι βόεσσιν,
Ὤλετό τε στενάχων ὑπὸ γαμφηλῇσι λέοντος·
Ὣς ὑπὸ Πατρόκλῳ Λυκίων ἀγὸς ἀσπιστάων
Κτεινόμενος μενέαινε, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
Γλαῦκε πέπον, πολεμιστὰ μετ' ἀνδράσι, νῦν σε μάλα χρὴ
Αἰχμητήν τ' ἔμεναι, καὶ θαρσαλέον πολεμιστήν·
Νῦν τοι ἐελδέσθω πόλεμος κακὸς, εἰ θοός ἐσσι.
Πρῶτα μὲν ὄτρυνον Λυκίων ἡγήτορας ἄνδρας,
Πάντη ἐποιχόμενος, Σαρπηδόνος ἀμφιμάχεσθαι·
Αὐτὰρ ἔπειτα καὶ αὐτὸς ἐμεῦ πέρι μάρναο χαλκῷ.
Σοὶ γὰρ ἐγὼ καὶ ἔπειτα κατηφείη καὶ ὄνειδος

Sed percussit, ubi utique praecordia complectuntur densum cor:
Cecidit autem, sicut quandò aliqua quercus cadit, vel populus,
Vel pinus alta, quam in montibus fabri
Exciderunt securibus recèns-exacutis, navale-lignum ut sit:
Sic ille ante equos et currum jacebat porrectus,
Dentibus-frendens, pulvere manibus-prehenso sanguinolento.
Veluti taurum interficit leo armento superveniens,
Fulvum, magnanimum inter flexipedes boves,
Peritque *is* gemens sub maxillis leonis;
Sic à Patroclo Lyciorum ductor clypeatorum
Interfectus indignante-animâ-gemebat, charumque nomine vocabat socium:
" Glauce charissime, bellator inter viros, nunc te admodùm oportet
" Pugnacemque esse, et audacem bellatorem:
" Nunc tibi cordi-sit pugna gravis, si proelio-impiger es.
" Primùm quidem adhortare Lyciorum ductores viros,
" Quaquaversùm obiens, pro Sarpedone proeliari:
" Quin deinceps et ipse super me pugnes aere.
" Tibi enim ego etiam posthàc pudor et opprobrium

Ver. 481. ——— ἔρχαται.] Καθείργνυνται. *Eustath.* Nempe ab εἴργω, non ab ἔρχομαι, deducitur ἔρχαται· ut rectè hîc annotavit *Barnesius.*

Ver. 482. Ἤριπε δ', ὡς ὅτε τις — πίτυς.] Vide suprà ad ν', 389.

Concidit; ut quondam cava concidit, aut
Erymantho,
Aut Idâ in magnâ, radicibus eruta pinus.
Æn. V, 448.

Ver. 483. ——— τήν τ'.] *Quam scilicèt* ———.

Ver. 485. Ὣς ὁ ——— κεῖτο τανυσθεὶς, Βεβρυχὼς, κόνιος δεδραγμένος αἱματοέσσης.]

——— cadit atque cruentam
Mandit humum, moriensque suo se in vulnere versat. *Æn.* XI, 669.

Ver. 488. ——— ἐν εἰλιπόδεσσι.] *Al.* ἐπ' εἰλιπόδεσσι.

Ver. 491. Κτεινόμενος.] *Quum interficeretur.*

Ver. 495. — ὄτρυνον.] Vide suprà ad ν', 44.

Ver. 496. Πάντη ἐποιχόμενος.] Cod. *Harleian.* Πάντας ἐποιχόμενος. Sed et iterùm occurrit Πάντη ἐποιχόμενος, infrà *ver.* 533.

῎Εσσομαι ἤματα πάντα διαμπερὲς, εἴκε μ' Ἀχαιοὶ
Τεύχεα συλήσωσι, νεῶν ἐν ἀγῶνι πεσόντα.
Ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα.
῞Ως ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψεν,
Ὀφθαλμοὺς, ῥῖνάς θ'· ὁ δὲ λὰξ ἐν στήθεσι βαίνων,
Ἐκ χροὸς εἷλκε δόρυ, προτὶ δὲ φρένες αὐτῷ ἕποντο·
Τοῖο δ' ἅμα ψυχήν τε, καὶ ἔγχεος ἐξέρυσ' αἰχμήν.
Μυρμιδόνες δ' αὐτοῦ σχέθον ἵππους φυσιόωντας,
Ἱεμένους φοβέεσθαι, ἐπεὶ λίπον ἅρματ' ἀνάκτων.
Γλαύκῳ δ' αἰνὸν ἄχος γένετο φθογγῆς ἀΐοντι·
Ὠρίνθη δέ οἱ ἦτορ, ὅτ' οὐ δύνατο προσαμῦναι.
Χειρὶ δ' ἑλὼν ἐπίεζε βραχίονα· τεῖρε γὰρ αἰνῶς
῞Ελκος, ὃ δή μιν Τεῦκρος ἐπεσσύμενον βάλεν ἰῷ,
Τείχεος ὑψηλοῖο ἀρὴν ἑτάροισιν ἀμύνων.
Εὐχόμενος δ' ἄρα εἶπεν ἑκηβόλῳ Ἀπόλλωνι·
Κλῦθι, ἄναξ, ὅς που Λυκίης ἐν πίονι δήμῳ

" Ero dies omnes perpetuò, si quidem mihi Achivi
" Arma detraxerint, in hoc ad naves certamine interfecto.
" Verùm capesse *pugnam* strenuè, adhortareque populum omnem."
Sic ipsum locutum finis mortis texit,
Oculos, naresque; *Patroclus* nempè, calcè pectoribus impresso,
E corpore traxit hastam, praecordiaque ipsam *adhaerentia* sequebantur;
Ejusque simul animamque, et hastae evulsit cuspidem.
Myrmidones autem illic detinuerunt *ejus* equos anhelantes,
Cupientes fugere, postquam reliquissent currus dominorum *suorum*.
Glauco verò gravis dolor ortus est vocem *amici* audienti:
Commotum autem est ei cor, quòd non posset opem-ferre.
Manu autem prehendens *cum* stringebat *sibi* brachium: affligebat enim eum gravitèr
Vulnus, quod jam ei Teucer irruenti inflixerat sagittâ,
E muro excelso malum à sociis propulsans.
Precans autem dixit longè-jaculanti Apollini:
" Exaudi, rex, qui alicubi Lyciae in opulento populo

Ver. 500. —— νεῶν ἐν ἀγῶνι πεσόντα.] Vituperat hìc *Homerum Terrassonus*, quòd *Sarpedonem*, etsi longè à navibus absentem, tamen *medias se inter naves occidisse* dicentem introducat. " Les Commentateurs" (inquit) " —ont dit là-dessus, que Sarpedon rêvoit, " étant à l'article de la mort.—Ainsi, Homére n' a point d' autre raison pour faire " dire à Sarpedon qu'il meurt au milieu des " vaisseaux, quoiqu'il fut bien loin de là; " si non que c'est un vers tout fait, une formule employée au 15e Livre, au sujet de " Caletor tué effectivement au milieu des " vaisseaux; νεῶν ἐν ἀγῶνι πεσόντα· ό, 428." *Dissert. sur l'Iliade, Part* IV. *cap.* 6. Verùm, ut opinor, " νεῶν ἐν ἀγῶνι πεσόντα" utrobique, non est, " *medias inter naves*, sed, " *in certamine de navibus, stratum.*" Atque ita hìc accipit Domina *Dacier:* " Il " me paroît que —— νεῶν ἐν ἀγῶνι peut signifier fort naturellement, *à l'attaque des* " *vaisseaux.*" Alteram tamen explicandi rationem sequitur *Eustathius*, Τὸ δὲ, " νεῶν " ἐν ἀγῶνι πεσόντα," μιμητικῶς ἔψευσται· ἔξω μὲν γὰρ καὶ τῆς τάφρου ἐν τῇ πεδιάδι πίπτει, καὶ οὐκ ἐν τῷ ἀθροίσματι καὶ τῇ ἀγορᾷ τῶν νεῶν. Ὁ δὲ ἤδη τεταραγμένος τὸ φρονεῖν, ἄλλως λέγει· ἤδη γὰρ πρὸς τῷ θνήσκειν ἐστί.

Ver. 502. —— τέλος θανάτοιο κάλυψεν Ὀφθαλμούς.]

Olli dura quies oculos et ferreus urget
Somnus: in æternam clauduntur lumina noctem. *Æn.* XII, 309.

Ver. 510. —— αἰνῶς.] *Al.* αὐτόν.

Ver. 511. — ὃ δή μιν Τεῦκρος ἐπεσσύμενον βάλεν ἰῷ.] Suprà, μ', 387.

Ver. 513. —— ἑκηβόλῳ Ἀπόλλωνι.] Cod. *Harleian.* ἑκηβόλον Ἀπόλλωνα.

Εἶς, ἢ ἐνὶ Τροίῃ· δύνασαι δὲ σὺ πάντοσ' ἀκούειν
Ἀνέρι κηδομένῳ, ὡς νῦν ἐμὲ κῆδος ἱκάνει.
Ἕλκος μὲν γὰρ ἔχω τόδε καρτερὸν, ἀμφὶ δέ μοι χεὶρ
Ὀξείης ὀδύνῃσιν ἐλήλαται, οὐδέ μοι αἷμα
Τερσῆναι δύναται· βαρύθει δέ μοι ὦμος ὑπ' αὐτοῦ·
Ἔγχος δ' οὐ δύναμαι σχεῖν ἔμπεδον, οὐδὲ μάχεσθαι
Ἐλθὼν δυσμενέεσσιν· ἀνὴρ δ' ὤριστος ὄλωλε,
Σαρπηδὼν, Διὸς υἱός· ὁ δ' οὐδ' ᾧ παιδὶ ἀμύνει.
Ἀλλὰ σὺ πέρ μοι, ἄναξ, τόδε καρτερὸν ἕλκος ἄκεσσαι,
Κοίμησον δ' ὀδύνας, δὸς δὲ κράτος, ὄφρ' ἑτάροισι
Κεκλόμενος Λυκίοισιν ἐποτρύνω πολεμίζειν·
Αὐτός τ' ἀμφὶ νέκυϊ κατατεθνειῶτι μάχωμαι.
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων·
Αὐτίκα παῦσ' ὀδύνας, ἀπὸ δ' ἕλκεος ἀργαλέοιο
Αἷμα μέλαν τέρσηνε, μένος δέ οἱ ἔμβαλε θυμῷ.
Γλαῦκος δ' ἔγνω ᾗσιν ἐνὶ φρεσὶ, γήθησέν τε,

" Es, vel in Trojâ: potes autem tu undecunque auscultare
" Viro dolenti, sicut nunc me dolor invadit.
" Vulnus enim habeo hoc grave, undique autem mihi manus
" Acutis doloribus transfixa est, neque mihi sanguis
" Siccari potest; gravatur autem mihi humerus per ipsum:
" Hastam autem non possum sustinere firmitèr, neque pugnare
" Congressus cum hostibus: Vir autem fortissimus periit,
" Sarpedon, Jovis filius: ille verò nè suo quidem filio opem-fert.
" Sed tu saltem mihi, rex, huic gravi vulneri medere;
" Sopi autem dolores, praebeque vires; ut socios
" Adhortans Lycios excitem ad pugnandum;
" Ipseque de cadavere mortuo pugnem."
Sic dixit precans; hunc autem exaudivit Phoebus Apollo:
Statim sedavit dolores, à vulnere autem gravi
Sanguinem atrum siccavit, fortitudinemque immisit animo.
Glaucus autem agnovit suâ mente, laetatusque est,

Ver. 515. —— *δύνασαι δὲ σὺ.*] Ita ex uno MS. edidit *Barnesius.* *Al.* *δύνασαι δέ τε.*

Ver. 518. 521. —— *ἐλήλαται,* —— *ὄλωλε.*] Vide suprà ad *κ'*, 186, 187. et ad *ά*, 37.

Ver. 521. —— *ἀνὴρ δ' ὤριστος.*] Cod. *Harleian.* *ἀνὴρ δ' ὃς ἄριστος.*

Ver. 523. — *ἕλκος.*] Cod. *Harleian.* *ἄλγος.*

Ver. 524. — Κοίμησον.] Ita edidit *Barnesius* ex ζ', 236. *Al.* Κοίμισον· ut opinor, minùs rectè: Vide suprà ad *ά*, 140. Cæterùm Codex *Harleianus* hîc legit Κοίμισσον.

Ver. 526. —— *ἀμφὶ νέκυϊ.*] Malè hîc *Barnesius:* " Pes (inquit) *Proceleusmaticus* pro " *Anapæsto.*" Quasi scilicèt syllabæ duæ *κυϊ* in unam facilè coalescere non possent. Vide suprà ad *ver.* 321.

Ibid. — *νέκυϊ κατατεθνειῶτι.*] Non esse hoc *ταυτολόγον* ex Scriptoribus Tragicis liquet, quorum locutio Sermoni propior est:

Οὐ μαρτυρήσει ταῦθ' ὁ κατθανὼν νέκυς.
Sophocl. Antigon. 525.

Ibid. —— *κατατεθνειῶτι.*] Vide suprà ad *ά*, 265. ad *β'*, 818. et ad *ζ'*, 464.

Ver. 527. *Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων.*]

Dixit: opemque Dei non cassa in vota vocavit. *Æn.* XII, 780.

Ver. 528. *Αὐτίκα παῦσ' ὀδύνας.*]

———— subitoque omnis de corpore fugit
Quippe dolor, omnis stetit imo vulnere sanguis.
—— atque novæ rediere in pristina vires.
Æn. XII, 421.

Ὅττι οἱ ὦκ' ἤκουσε μέγας θεὸς εὐξαμένοιο.
Πρῶτα μὲν ὤτρυνεν Λυκίων ἡγήτορας ἄνδρας,
Πάντη ἐποιχόμενος, Σαρπηδόνος ἀμφιμάχεσθαι.
Αὐτὰρ ἔπειτα μετὰ Τρῶας κίε, μακρὰ βιβάσθων,
Πουλυδάμαντ' ἐπὶ Πανθοΐδην, καὶ Ἀγήνορα δῖον·
Βῆ δὲ μετ' Αἰνείαν τε, καὶ Ἕκτορα χαλκοκορυστὴν,
Ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
  Ἕκτορ, νῦν δὴ πάγχυ λελασμένος εἶς ἐπικούρων,
Οἳ σέθεν εἵνεκα, τῆλε φίλων, καὶ πατρίδος αἴης,
Θυμὸν ἀποφθινύθουσι· σὺ δ' οὐκ ἐθέλεις ἐπαμύνειν.
Κεῖται Σαρπηδὼν, Λυκίων ἀγὸς ἀσπιστάων,
Ὃς Λυκίην εἴρυτο δίκησί τε καὶ σθένεϊ ᾧ·
Τὸν δ' ὑπὸ Πατρόκλῳ δάμασ' ἔγχεϊ χάλκεος Ἄρης.
Ἀλλὰ, φίλοι, πάρστητε, νεμεσσήθητε δὲ θυμῷ,
Μὴ ἀπὸ τεύχε' ἕλωνται, ἀεικίσσωσι δὲ νεκρὸν
Μυρμιδόνες, Δαναῶν κεχολωμένοι, ὅσσοι ὄλοντο,
Τοὺς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνομεν ἐγχείῃσιν.
  Ὣς ἔφατο· Τρῶας δὲ κατακρῆθεν λάβε πένθος
Ἄσχετον, οὐκ ἐπιεικτὸν, ἐπεί σφισιν ἕρμα πόληος
Ἔσκε, καὶ ἀλλοδαπός περ ἐών· πολέες γὰρ ἅμ' αὐτῷ

Quòd se citò exaudiverat magnus deus precatum.
Primùm quidem excitavit Lyciorum ductores viros,
Quaquaversùm obiens, *ut* super Sarpedone proeliarentur.
Deinde verò Troas accersitum ibat, magnis-passibus gradiens,
Polydamanta ad Panthoedem et Agenora nobilem:
Accersitum etiam ivit Aeneamque et Hectorem aere-armatum,
Propè autem stans verbis alatis allocutus est:
" Hector, nunc jam omninò oblitus es sociorum,
" Qui te propter, procul ab amicis, et patriâ terrâ,
" Animam deperdunt: tu verò non vis malum propulsare.
" Jacet Sarpedon, Lyciorum ductor clypeatorum,
" Qui Lyciam tuebatur jusque-dicendo et virtute suâ:
" Hunc utique sub Patroclo domuit hastâ aereus Mars.
" Sed, amici, adeste, indignaminique animo,
" Ne arma abstulerint, indignisque modis acceperint mortuum
" Myrmidones, de Danais irati, quotquot perierunt,
" Quos apud naves veloces interfecimus hastis."
Sic dixit: Trojanos verò prorsùs occupavit dolor
Intolerabilis, cedere-nescius; quippe ipsis columen urbis
Erat, alienigena licèt existens: Multae enim illum

Ver. 534. —— *μακρὰ βιβάσθων.*] Vide suprà ad γ′, 22.

Ver. 537. — *ἱστάμενος ἔπεα.*] Quâ ratione, ἱστάμενος, hîc ultimam producat; item Αἴαντε, *ver.* 556. et ὤμοιϊν, *ver.* 560. et Τρῶες, *ver.* 569. et Ἀχιλλῆϊ, *ver.* 575. vide suprà ad ά, 51.

Ver. 540. — *ἀποφθινύθουσι.*] Vide suprà ad β′, 43.

Ibid. —— *ἐπαμύνειν.*] *Al.* ἐπαμῦναι.

Ver. 545 — 559. ——— *ἀεικίσσωσι* ——— *ἀεικισσαίμεθ'.*] Rectè (ut opinor) cum duplici σ. Vide suprà ad ά, 140.

Ver. 548. —— *κατακρῆθεν.*] —— κατάκρηθεν, ἤγουν κατάκρης, ὡς ἀλλαχοῦ κεῖται· ἢ κατακρῆθεν προπερισπωμένως ἀντὶ τοῦ κατὰ κάρηθεν, καὶ ἐν συγκοπῇ κατακρῆθεν, ὅ ἐστι κατὰ κεφαλῆς λάβε πένθος. *Eustath.*

Λαοὶ ἕποντ᾽, ἐν δ᾽ αὐτὸς ἀριστεύεσκε μάχεσθαι.
Βὰν δ᾽ ἰθὺς Δαναῶν λελιημένοι· ἦρχε δ᾽ ἄρα σφιν
Ἕκτωρ, χωόμενος Σαρπηδόνος· αὐτὰρ Ἀχαιοὺς
Ὦρσε Μενοιτιάδαο Πατροκλῆος λάσιον κῆρ·
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ·
  Αἴαντε, νῦν σφῶϊν ἀμύνεσθαι φίλον ἔστω,
Οἷοί περ πάρος ἦτε μετ᾽ ἀνδράσιν, ἢ καὶ ἀρείους.
Κεῖται ἀνὴρ, ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν,
Σαρπηδών· ἀλλ᾽ εἴ μιν ἀεικισσαίμεθ᾽ ἑλόντες,
Τεύχεά τ᾽ ὤμοιϊν ἀφελοίμεθα, καί τιν᾽ ἑταίρων,
Αὐτοῦ ἀμυνομένων δαμασαίμεθα νηλέϊ χαλκῷ.
  Ὣς ἔφαθ᾽· οἱ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον.
Οἱ δ᾽ ἐπεὶ ἀμφοτέρωθεν ἐκαρτύναντο φάλαγγας,
Τρῶες καὶ Λύκιοι, καὶ Μυρμιδόνες καὶ Ἀχαιοὶ,
Σύμβαλον ἀμφὶ νέκυϊ κατατεθνειῶτι μάχεσθαι,
Δεινὸν ἀΰσαντες· μέγα δ᾽ ἔβραχε τεύχεα φωτῶν.
Ζεὺς δ᾽ ἐπὶ νύκτ᾽ ὀλοὴν τάνυσε κρατερῇ ὑσμίνῃ,
Ὄφρα φίλῳ περὶ παιδὶ μάχης ὀλοὸς πόνος εἴη.
Ὦσαν δὲ πρότεροι Τρῶες ἑλίκωπας Ἀχαιούς·

Copiae sequebantur, inter quas ipse fortissimus erat in pugnâ.
Ibant autem rectà in Danaos ardentes: praeibatque ipsis
Hector, iratus de Sarpedone: At Achivos
Concitabat *ad certamen* Menoetiadae Patrocli animosum cor:
Ajaces primos allocutus est, animis-incitatos etiam per-se:
" Ajaces, jam vobis hostes propulsare cordi sit,
" Quales quidem anteà eratis inter viros, vel et fortiores.
" Jacet vir, qui primus insiliit in murum Achivorum,
" Sarpedon; sed *ô* si ipsum contumeliâ-afficere potuerimus ablatum,
" Armaque ab humeris auferre, et aliquem sociorum
" Ab eo *nos* propulsantium domare saevo aere."
Sic dixit: Hi verò etiam per-se *hostes* arcere promptis-erant-animis.
Postquam autem utrinque firmârant phalangas,
Trojani et Lycii, et Myrmidones et Achivi;
Concurrerunt super cadavere mortuo pugnaturi,
Horrendùm clamantes: ingenti autem fragore sonuerunt arma virorum.
Jupiter verò noctem perniciosam extendit super asperâ pugnâ,
Ut dilecto de filio pugnae perniciosus labor esset.
Moverunt autem loco priores Trojani nigros-oculis Achivos:

Ver. 552. —— ἦρχε δ᾽ ἄρα.] *Præibatque, ut solitus est.*

Ver. 555. —— μεμαῶτε.] Vide suprà ad ν', 46.

Ver. 556. Αἴαντε, νῦν σφῶϊν ———— Οἷοί περ πάρος ἦτε.]

———— nunc illas promite vires,
Nunc animos, quibus in Gaetulis syrtibus usi. *Æn.* V, 191.

Ver. 558. Κεῖται ἀνὴρ, ὃς πρῶτος.]

—— Cadit ipse Tolumnius augur,
Primus in adversos telum qui torserat hostes. *Æn.* XII, 461.

Ver. 563. — ἐκαρτύναντο.] De hujus vocis prosodiâ, vide suprà ad λ', 215.

Ver. 565. ——— νέκυϊ κατατεθνειῶτι.] Vide suprà ad *ver.* 526. et ad β', 818.

Ver. 566. — μέγα δ᾽ ἔβραχε τεύχεα φωτῶν.]

———————— et arma
Horrendùm sonuere. — *Æn.* IX, 731.

Cæterùm de voce, ἔβραχε, et similibus; vide suprà ad δ', 125 et 455.

Βλῆτο γὰρ οὔτι κάκιστος ἀνὴρ μετὰ Μυρμιδόνεσσιν,
Υἱὸς Ἀγακλῆος μεγαθύμου, δῖος Ἐπειγεὺς,
Ὅς ῥ' ἐν Βουδείῳ εὐναιομένῳ ἤνασσε
Τοπρίν· ἀτὰρ τότε γ' ἐσθλὸν ἀνεψιὸν ἐξεναρίξας
Ἐς Πηλῆ' ἱκέτευσε, καὶ ἐς Θέτιν ἀργυρόπεζαν·
Οἵ δ' ἅμ' Ἀχιλλῆϊ ῥηξήνορι πέμπον ἕπεσθαι
Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο.
Τόν ῥα τόθ' ἁπτόμενον νέκυος βάλε φαίδιμος Ἕκτωρ
Χερμαδίῳ κεφαλήν· ἡ δ' ἄνδιχα πᾶσα κεάσθη
Ἐν κόρυθι βριαρῇ· ὁ δ' ἄρα πρηνὴς ἐπὶ νεκρῷ
Κάππεσεν, ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής.
Πατρόκλῳ δ' ἄρ' ἄχος γένετο φθιμένου ἑτάροιο·
Ἴθυσεν δὲ διὰ προμάχων, ἴρηκι ἐοικὼς
Ὠκέϊ, ὅστ' ἐφόβησε κολοιούς τε, ψῆράς τε·
Ὣς ἰθὺς Λυκίων, Πατρόκλεις ἱπποκέλευθε,
Ἔσσυο καὶ Τρώων· κεχόλωσο δὲ κῆρ, ἑτάροιο.
Καί ῥ' ἔβαλε Σθενέλαον, Ἰθαιμένεος φίλον υἱὸν,
Αὐχένα χερμαδίῳ, ῥῆξεν δ' ἀπὸ τοῖο τένοντας.
Χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ.

Percussus enim erat nequaquam ignavissimus vir inter Myrmidonas,
Filius Agaclei magnanimi, nobilis Epigeus,
Qui in Budio benè-habitato imperabat
Anteà: sed tunc strenuum consobrinum cùm occidisset,
Ad Peleum venit-supplex, et ad Thetin argenteis-pedibus-decoram:
Hi autem unà cum Achille hostium-agmina-perrumpente miserunt comitem
Ilium ad generosis-equis-foecundam, ut adversus Trojanos pugnaret.
Hunc quidem tunc manum-injicientem cadaveri percussit illustris Hector
Saxo caput: illud verò in-duas-partes totum diffissum est
In casside validâ; is itaque pronus super cadavere
Decidit, ipsumque mors circumfusa est exitialis.
Patroclo autem dolor ortus est de interfecto socio;
Rectà verò prorupit per primos-pugnatores, accipitri similis
Veloci, qui fugatos-persequitur graculosque, sturnosque:
Sic rectà-in Lycios, Patrocle equestris,
Ruisti et Trojanos; iratus nempè eras corde, de socio.
Et percussit Sthenelaum, Ithaemenei dilectum filium,
Cervicem saxo, abrupitque ejus tendines.
Cesserunt autem retrò et primi-pugnatores et illustris Hector.

Ver. 570. Βλῆτο γὰρ οὔτι κάκιστος ἀνὴρ.] Ἡ ἀπόφασις τῇ καταφάσει ποτὲ μὲν τὸ ἴσον δύναται, ποτὲ δὲ πλέον. *Hermogenes* περὶ μεθόδου δεινότητος, *cap.* 37. Vide suprà ad ό, 11. et ad ά, 330.

Ver. 571.——— Ἐπειγεὺς.] Cod. *Harleian.* Ἐπηγεύς.

Ver. 572. — ἤνασσε.] Vide suprà ad *ver.* 172.

Ver. 575. ——— Οἵ δ' ἅμ' Ἀχιλλῆϊ.] Vide suprà ad ν', 324.

Ver. 577. Τόν ῥα.] *Hunc, inquam* ——.

Ver. 578. — ἡ δ' ἄνδιχα πᾶσα κεάσθη.]
——— atque illi partibus æquis
Huc caput atque illuc humero ex utroque pependit. *Æn.* IX, 755.

Ver. 579. —— ἄρα.] *Ut ex tali vulnere necesse erat.*

Ver. 581. ——— φθιμένου.] De syllabâ φθι correptâ, vide suprà ad β', 43. et ad ά, 309 et 314.

Ver. 583. — κολοιούς τε, ψῆράς τε.] " Illud

Ὅσση δ' αἰγανέης ῥιπὴ ταναοῖο τέτυκται,
Ἥν ῥά τ' ἀνὴρ ἀφέῃ πειρώμενος ἢ ἐν ἀέθλῳ,
Ἠὲ καὶ ἐν πολέμῳ, δηΐων ὑπὸ θυμοραϊστέων·
Τόσσον ἐχώρησαν Τρῶες, ὤσαντο δ' Ἀχαιοί.
Γλαῦκος δὲ πρῶτος, Λυκίων ἀγὸς ἀσπιστάων,
Ἐτράπετ', ἔκτεινεν δὲ Βαθυκλῆα μεγάθυμον,
Χάλκωνος φίλον υἱὸν, ὃς Ἑλλάδι οἰκία ναίων,
Ὄλβῳ τε πλούτῳ τε μετέπρεπε Μυρμιδόνεσσι.
Τὸν μὲν ἄρα Γλαῦκος, στῆθος μέσον, οὔτασε δουρὶ,
Στρεφθεὶς ἐξαπίνης, ὅτε μιν κατέμαρπτε διώκων·
Δούπησεν δὲ πεσών· πυκινὸν δ' ἄχος ἔλλαβ' Ἀχαιοὺς,
Ὡς ἔπεσ' ἐσθλὸς ἀνὴρ, μέγα δὲ Τρῶες κεχάροντο·
Στὰν δ' ἀμφ' αὐτὸν ἰόντες ἀολλέες· οὐδ' ἄρ' Ἀχαιοὶ
Ἀλκῆς ἐξελάθοντο, μένος δ' ἰθὺς φέρον αὐτῶν.
Ἔνθ' αὖ Μηριόνης Τρώων ἕλεν ἄνδρα κορυστὴν
Λαόγονον, θρασὺν υἱὸν Ὀνήτορος, ὃς Διὸς ἱρεὺς
Ἰδαίου ἐτέτυκτο, θεὸς δ' ὣς, τίετο δήμῳ·

Quantus autem jaculi jactus longi est,
Quod quidem vir emiserit connixus vel in certamine-ludi,
Vel etiam in-pugnâ, hostes propter animam-perdentes:
Tantum recesserunt Trojani; locoque moverunt *eos* Achivi.
Glaucus autem primus, Lyciorum ductor clypeatorum,
Conversus est, interfecitque Bathyclem magnanimum,
Chalconis dilectum filium, qui in Hellade domos habitans,
Opibusque divitiisque excellebat inter Myrmidonas.
Hunc quidem Glaucus, pectore medio, vulneravit hastâ,
Conversus repentè, quandò ipsum jam-assequebatur insequens;
Fragorem verò *is* edidit cadens: Vehemens autem dolor cepit Achivos,
Quod-ità ceciderat strenuus vir; admodùm verò Trojani gavisi sunt:
Steterunt verò circa ipsum progressi frequentes; neque sanè Achivi
Fortitudinis obliti sunt, sed vires rectà ferebant in eos.
Tum verò Meriones Trojanorum interfecit virum armis-acrem
Laogonum, audacem filium Onetoris, qui Jovis sacerdos
Idaei erat, deusque veluti, honorabatur à populo:

" verò *(sc. verborum sonitum jucundiorem)* " cumprimis apud Homerum veteres grammatici annotaverunt: quòd quum dixisset " quodam in loco κολοίους τε ψῆράς τε, alio " in loco non ψηρῶν τε sed ψαρῶν dixit: " Τῶν δ' ὥστε ψαρῶν νέφος ἔρχεται ἠὲ κολοιῶν· " (ῥ', 755.) sequutus non communem, sed " propriam in quoque vocis situ jucunditatem. Nam si alterum in alterius loco " ponas, utrumque feceris sonitu insuave." *Gell. lib.* XIII. *cap.* 19.

Ver. 589. —— τέτυκται.] Vide suprà ad ν', 736. et ad ά, 37.

Ver. 591. — θυμοραϊστέων.] Pronuntiabatur θυμοραϊστῶν.

Ver. 592. — Τρῶες, ὤσαντο.] Quâ ratione, Τρῶες, hîc ultimam producat; item Βαθυκλῆα, *ver.* 594. et ἀπὸ, *ver.* 607. et τε, *ver.* 636. vide suprà ad ά, 51. n. 8.

Ver. 594. Ἐτράπετ'.] Observandus hîc maximè propriùs *vocis mediæ* usus: *Convertit se.* Vide suprà ad ά, 199. et ad γ', 141.

Ibid. —— Βαθυκλῆα.] Vide suprà ad ά, 265.

Ver. 597. —— οὔτασε.] Vide suprà ad ν', 192. et ad ά, 140.

Ver. 599. Δούπησεν δὲ.] Vide suprà ad ν' 181.

Ver. 602. — ἐξελάθοντο.] *Al.* ἐκλελάθοντο.

Τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυμὸς
Ὤχετ' ἀπὸ μελέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλεν.
Αἰνείας δ' ἐπὶ Μηριόνῃ δόρυ χάλκεον ἧκεν·
Ἔλπετο γὰρ τεύξεσθαι ὑπασπίδια προβιβῶντος·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος,
Πρόσσω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν
Οὔδει ἐνισκίμφθη, ἐπὶ δ' οὐρίαχος πελεμίχθη
Ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος ἄρης·
Αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης
Ὤχετ', ἐπεί ῥ' ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.
Αἰνείας δ' ἄρα θυμὸν ἐχώσατο, φώνησέν τε·
  Μηριόνη, τάχα κέν σε, καὶ ὀρχηστήν περ ἐόντα,
Ἔγχος ἐμὸν κατέπαυσε διαμπερὲς, εἴ σ' ἔβαλόν περ.
  Τὸν δ' αὖ Μηριόνης δουρικλυτὸς ἀντίον ηὔδα·
Αἰνεία, χαλεπόν σε, καὶ ἴφθιμόν περ ἐόντα,
Πάντων ἀνθρώπων σβέσσαι μένος, ὅς κέ σευ ἄντα
Ἔλθῃ ἀμυνόμενος· θνητὸς δέ νυ καὶ σὺ τέτυξαι.

Hunc percussit sub malâ et aure: confestim verò anima
Abiit è membris; horrendaeque illum tenebrae occupârunt.
Aeneas autem in Merionem hastam aeream misit;
Sperabat enim *se* assecuturum sub-clypei-tegmine progredientem:
Sed ille quidem ex-adverso conspicatus evitavit aeream hastam;
In anteriorem enim partem proclinavit, à tergo autem hasta longa
Solo infixa est, supraque pars-posterior quassabatur
Hastae; tum deinde remisit impetum rapidè-actum aes:
Cuspis adeò Aeneae vibrans in terram
Abiit; quippe incassùm robustâ è manu exilierat.
Aeneas autem animo iratus est, dixitque:
" Merione, citò certè te, saltatorem quantumvis *egregium*,
" Hasta mea compescuisset in-perpetuum, si quidem te percussissem."
Illum vero Meriones hastâ-inclytus vicissim affatus est:
" Aenea, arduum *est*, te, fortis licèt sis,
" Omnium hominum extinguere robur, quicunque te contra
" Venerit propulsaturus; mortalis certè et tu es.

Ver. 607. ——— *στυγερὸς δ' ἄρα μιν σκότος εἷλεν.*]
  Immolat, ingentique umbrâ tegit ——.
  Æn. X, 541.

Ver. 610. ——— *ἄντα ἰδὼν ἠλεύατο.*] Vide suprà ad ν', 404.

Ibid. —— *χαλκέον ἔγχος.*] Vide suprà ad γ', 380.

Ver. 613. —— *ἀφίει μένος.*] Vide suprà ad ν', 444.

Ver. 614. 615. Αἰχμὴ —Ὤχετ' —.] Versus hi duo, quos in uno MS. deesse annotat *Barnesius*, desunt etiam in Codice *Harleiano*.

Ver. 615. —— ἐπεί ῥ'.] *Quippe, ut dictum est,* ——— *ver.* 610.

Ver. 617. Μηριόνη, τάχα κέν σε, καὶ ὀρχηστήν περ ἐόντα.] Ὅμηρος τὸν Μηριόνην οὐκ αἰσχῦναι βουλόμενος, ἀλλὰ κοσμῆσαι, ὀρχηστὴν προσεῖπε· καὶ οὕτως ἄρα ἐπίσημος ἦν, καὶ γνώριμος ἅπασιν ἐπὶ τῇ ὀρχηστικῇ, ὥστε οὐχ οἱ Ἕλληνες μόνον ταῦτα ἠπίσταντο περὶ αὐτοῦ, ἀλλὰ καὶ οἱ Τρῶες αὐτοὶ, καί τοι πολέμιοι ὄντες. Ἑώρων γὰρ, οἶμαι, καὶ τὴν ἐν τῷ πολεμεῖν αὐτοῦ κουφότητα, καὶ εὐρυθμίαν ἣν ἐξ ὀρχήσεως ἐκέκτητο. Φησὶ δὲ τὰ ἔπη ὧδέ πως, " Μηριόνη, τάχα κέν σε, καὶ " ὀρχηστήν περ ἐόντα, Ἔγχος ἐμὸν κατέπαυσε." *Lucian.* περὶ ὀχρήσεως.

Ver. 622. —— θνητὸς δέ νυ καὶ σὺ τέτυξαι.]
  —— mortali urgemur ab hoste
  Mortales: totidem nobis animæque manusque.
  Æn. X, 375.

Εἰ καὶ ἐγώ σε βάλοιμι τυχὼν μέσον ὀξέϊ χαλκῷ,
Αἶψά κε, καὶ κρατερός περ ἐὼν καὶ χερσὶ πεποιθὼς,
Εὖχος ἐμοὶ δώης, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ.
Ὣς φάτο· τὸν δ' ἐνένιπτε Μενοιτίου ἄλκιμος υἱός·
Μηριόνη, τί συ ταῦτα, καὶ ἐσθλὸς ἐὼν, ἀγορεύεις;
Ὦ πέπον, οὔτι Τρῶες ὀνειδείοις ἐπέεσσι
Νεκροῦ χωρήσουσι, πάρος τινὰ γαῖα καθέξει·
Ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ', ἐνὶ βουλῇ·
Τῷ, οὔτι χρὴ μῦθον ὀφέλλειν, ἀλλὰ μάχεσθαι.
Ὣς εἰπὼν, ὁ μὲν ἦρχ', ὁ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς.
Τῶν δ' ὥστε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὄρωρεν
Οὔρεος ἐν βήσσῃς, ἕκαθεν δέ τε γίνετ' ἀκουή·
Ὣς τῶν ὤρνυτο δοῦπος ἀπὸ χθονὸς εὐρυοδείης,
Χαλκοῦ τε, ῥινοῦ τε, βοῶν τ' εὐποιητάων,
Νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν.
Οὐδ' ἂν ἔτι φράδμων περ ἀνὴρ Σαρπηδόνα δῖον
Ἔγνω, ἐπεὶ βελέεσσι, καὶ αἵματι, καὶ κονίῃσιν,
Ἐκ κεφαλῆς εἴλυτο διαμπερὲς ἐς πόδας ἄκρους.
Οἱ δ' αἰεὶ περὶ νεκρὸν ὁμίλεον, ὡς ὅτε μυῖαι
Σταθμῷ ἔνι βρομέωσι περιγλαγέας κατὰ πέλλας,

"Si et ego te percussero assecutus medium acuto aere,
"Statim, strenuus licèt sis et manibus fretus,
"Gloriam mihi dederis, animam autem Plutoni equis-insigni."
Sic dixit: hunc autem objurgavit Menoetii fortis filius:
"Merione, cur tu haec, strenuus licèt, concionaris?
"O amice, neutiquam Trojani contumeliosis verbis
"A cadavere cedent, antequàm aliquem terra tenebit;
"In manibus enim finis pugnae, verborum autem *finis* in concilio;
"Quapropter haudquaquam oportet verba multiplicare, sed pugnare."
Sic fatus, hic quidem praeibat, ille verò unà sequebatur deo-par vir.
Horum autem veluti ligna-caedentium virorum fragor exoritur
Montis in saltibus, longéque exauditur:
Sic horum excitabatur strepitus à terrâ latè-patente,
Aereque, corioque, boumque-tergoribus scitè-compositis,
Percussorum ensibusque et hastis utrinque acutis.
Neque jam vel solers vir Sarpedona nobilem
Agnôsset; quippe telis et sanguine, et pulveribus,
A vertice obvolutus erat usque ad pedes imos.
Illi verò assiduè circa mortuum versabantur, ut quum muscae
In stabulo murmurant lacte-plenas ad mulctras,

Ver. 625. —— δώης.] *Al.* δοίης.

Ver. 628. —— οὔτι Τρῶες.] Cod. *Harleian.* οὔ τοι Τρῶες.

Ibid. — ὀνειδείοις ἐπέεσσι.] Ita edidit *Barnesius*: Quocum facit et Codex *Harleianus*. *Al.* ὀνειδίοις ἐπέεσσι. Sed, ut opinor, minùs rectè. Vide suprà ad ά, 519.

Ver. 633. —— ὄρωρεν.] Vide suprà ad β', 810.

Ver. 635. — ὤρνυτο.] Vide suprà ad γ', 260.

Ibid. — δοῦπος.] Vide suprà ad δ', 455.

Ver. 642. —— βρομέωσι.] Cod. *Harleian.* βρεμέωσι.

Ibid. — περιγλαγέας κατὰ πέλλας.] Πέλλα,

Ὥρῃ ἐν εἰαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύει·
Ὣς ἄρα τοὶ περὶ νεκρὸν ὁμίλεον· οὐδέ ποτε Ζεὺς
Τρέψεν ἀπὸ κρατερῆς ὑσμίνης ὄσσε φαεινώ,
Ἀλλὰ κατ' αὐτοὺς αἰὲν ὅρα, καὶ φράζετο θυμῷ
Πολλὰ μάλ' ἀμφὶ φόνῳ Πατρόκλου, μερμηρίζων,
Ἢ ἤδη κἀκεῖνον ἐνὶ κρατερῇ ὑσμίνῃ
Αὐτοῦ ἐπ' ἀντιθέῳ Σαρπηδόνι φαίδιμος Ἕκτωρ
Χαλκῷ δῃώσῃ, ἀπό τ' ὤμων τεύχε' ἕληται,
Ἦ ἔτι καὶ πλεόνεσσιν ὀφέλλειεν πόνον αἰπύν.
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
Ὄφρ' ἠῢς θεράπων Πηληϊάδεω Ἀχιλῆος
Ἐξαῦτις Τρῶάς τε καὶ Ἕκτορα χαλκοκορυστὴν
Ὤσαιτο προτὶ ἄστυ, πολέων δ' ἀπὸ θυμὸν ἕλοιτο.
Ἕκτορι δὲ πρωτίστῳ ἀνάλκιδα θυμὸν ἐνῶρσεν·
Ἐς δίφρον δ' ἀναβὰς φύγαδ' ἔτραπε, κέκλετο δ' ἄλλους
Τρῶας φευγέμεναι· γνῶ γὰρ Διὸς ἱρὰ τάλαντα.
Ἔνθ' οὐδ' ἴφθιμοι Λύκιοι μένον, ἀλλ' ἐφόβηθεν
Πάντες· ἐπεὶ βασιλῆα ἴδον βεβλημένον ἦτορ,
Κείμενον ἐν νεκύων ἀγύρει· πολέες γὰρ ἐπ' αὐτῷ

Tempore in verno, quandò lac vasa rigat:
Sic utique ii circa mortuum versabantur: Nec unquam Jupiter
Vertebat ab asperâ pugnâ oculos fulgentes,
Sed in ipsos usque aspiciebat, et consultabat animo
Multa admodùm de caede Patrocli, anxiè-deliberans,
An jam et illum in asperâ pugnâ
Illic super deo-parem Sarpedonem illustris Hector
Aere caederet, deque humeris arma auferret;
An adhuc etiam pluribus augeret laborem gravem.
Sic autem ei cogitanti visum est satius esse,
Ut strenuus famulus Pelidae Achillis
Retrò Trojanos et Hectorem aereis-armis-acrem
Repelleret ad urbem, multorumque animum eriperet.
Hectori autem primo imbellem animum immisit:
Curruque *is* conscenso in-fugam vertit-*se*, hortatusque est caeteros
Trojanos fugere: agnovit enim Jovis sacras lances.
Tum verò nè fortes quidem Lycii sustinuerunt, sed in-fugam-versi sunt
Omnes; regem enim viderunt vulneratum corde,
Jacentem in cadaverum acervo: multi enim super ipsum

ἀγγεῖον σκυφοειδὲς, πυθμένα ἔχον πλατύτερον, εἰς ὃ ἤμελγον τὸ γάλα. Ὅμηρος, " ὡς ὅτε μυῖαι " Σταθμῷ ἐνιβρομέωσιν ἐϋγλαγίας κατὰ πέλ- " λας." *Athenæus, lib.* 11. cap. 13.

Ver. 644. —— *ἄρα.*] *Ut diximus — ver.* 641.

Ver. 647. —— *μερμηρίζων.*]

—— animum nunc huc celerem, nunc
dividit illuc;
In partesque rapit varias, perque omnia
versat. *Æn.* IV, 285.

Ver. 652. *Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι.*]

Hæc alternanti potior sententia visa est.
Ibid. 287.

Ver. 653. —— *Πηληϊάδεω Ἀχιλῆος.*] Vide suprà ad *ά*, 1.

Ver. 654. —— *χαλκοκορυστὴν.*] Vide suprà ad *β'*, 1.

Ver. 655. — *πολέων.*] Enuntiabatur, ac si scriptum fuisset *πολῶν.* Vide suprà ad *β'*, 811.

Ver. 656. — *θυμὸν ἐνῶρσεν.*] Cod. *Harleian.* *θυμὸν ἐνῆκεν. Al. φῦζαν ἐνῆκεν.*

Ver. 660. — *βασιλῆα.*] Vide suprà ad *ά*, 265.

Κάππεσον, εὖτ' ἔριδα κρατερὴν ἐτάνυσσε Κρονίων.
Οἱ δ' ἄρ' ἀπ' ὤμοιϊν Σαρπηδόνος ἔντε' ἕλοντο,
Χάλκεα, μαρμαίροντα, τὰ μὲν κοίλας ἐπὶ νῆας
Δῶκε φέρειν ἑτάροισι Μενοιτίου ἄλκιμος υἱός.
Καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς·
  Εἰ δ' ἄγε νῦν, φίλε Φοῖβε, κελαινεφὲς αἷμα κάθηρον
Ἐλθὼν ἐκ βελέων Σαρπηδόνα, καί μιν ἔπειτα,
Πολλὸν ἀπὸ προφέρων, λοῦσον ποταμοῖο ῥοῇσι,
Χρῖσόν τ' ἀμβροσίῃ, περὶ δ' ἄμβροτα εἵματα ἕσσον.
Πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Ὕπνῳ καὶ Θανάτῳ διδυμάοσιν, οἵ ῥά μιν ὦκα
Θήσουσιν Λυκίης εὐρείης πίονι δήμῳ·
Ἔνθα ἑ ταρχύσουσι κασίγνητοί τε, ἔται τε,
Τύμβῳ τε, στήλῃ τε· τὸ γὰρ, γέρας ἐστὶ θανόντων.
  Ὣς ἔφατ'· οὐδ' ἄρα πατρὸς ἀνηκούστησεν Ἀπόλλων·
Βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἐς φύλοπιν αἰνήν·
Αὐτίκα δ' ἐκ βελέων Σαρπηδόνα δῖον ἀείρας,
Πολλὸν ἀπὸ προφέρων, λοῦσεν ποταμοῖο ῥοῇσι,
Χρῖσέν τ' ἀμβροσίῃ, περὶ δ' ἄμβροτα εἵματα ἕσσε·

Deciderant, quandò certamen asperum intendebat Saturnius.
Illi verò ab humeris Sarpedonis arma abstulerunt,
Aerea, coruscantia, quae quidem cavas ad naves
Dedit ferenda sociis Menoetii fortis filius.
Et tunc Apollinem allocutus est nubes-cogens Jupiter:
" Eja age nunc, dilecte Phoebe, atro sanguine purga
" Profectus è telorum-acervo *sublatum* Sarpedonem, et ipsum deindè,
" Procul illinc efferens, lava fluminis fluentis,
" Ungeque ambrosiâ, immortalibusque vestibus induito.
" Deducendum autem eum da deductoribus velocibus qui ferant,
" Somno et Morti gemellis, qui quidem eum celeritèr
" Ponent Lyciae latae *in* opulento populo:
" Ibi ei exequias-facient fratresque familiaresque,
" Tumuloque cippoque: hic enim honor est mortuorum."
Sic dixit: neque patri non-fuit-dicto-audiens Apollo;
Descendit autem ab Idaeis montibus ad pugnam gravem:
Statimque è telorum-acervo Sarpedonem nobilem sublatum,
Procul inde efferens lavit fluminis fluentis,
Unxitque ambrosiâ, immortalibusque vestibus induit;

Ibid. —— βεβλημένον ἦτορ.] Ita ex MSS. edidit *Barnesius*. *Al.* βεβλαμμένον ἦτορ. Codex *Harleianus* legit, δεδαϊγμένον ἦτορ.

Ver. 662. —— Κρονίων.] De prosodiâ vocis Κρονῖων, Κρωνῖονος, Κρονἴωνος· vide suprà ad ά, 265. et 397.

Ver. 666. —— νεφεληγερέτα Ζεύς.] Vide suprà ad ά, 175.

Ver. 667. Εἰ δ' ἄγε.] Vide suprà ad ί, 167.

Ver. 668. Ἐλθὼν ἐκ βελέων Σαρπηδόνα.] Cod. *Harleian.* Ἐλθὼν ἐκ μελέων Σαρπηδόνα ——. Cæterùm scribendum hîc conjicit *Tho. Bentleius*, Ἕλκων ἐκ βελέων Σαρπηδόνα, ex *ver.* 678. 781. et ρ', 126.

Ver. 673. Θήσουσιν Λυκίης.] Cod. *Harleian.* Θήσουσ' ἐν Λυκίης, ut infrà *ver.* 683. Κάτθεσαν ἐν Λυκίης ——.

Ver. 674. 675. Ἔνθα ἑ ταρχύσουσι —— τὸ γὰρ, γέρας ἐστὶ θανόντων.]

Interea socios inhumataque corpora terræ
Mandemus: qui solus honos Acheronte sub imo est. *Æn.* XI, 22.

Πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Ὕπνῳ καὶ Θανάτῳ διδυμάοσιν· οἵ ῥά μιν ὦκα
Κάτθεσαν ἐν Λυκίης εὐρείης πίονι δήμῳ.
Πάτροκλος δ' ἵπποισι καὶ Αὐτομέδοντι κελεύσας,
Τρῶας καὶ Λυκίους μετεκίαθε, καὶ μέγ' ἀάσθη,
Νήπιος· εἰ δὲ ἔπος Πηληϊάδαο φύλαξεν,
Ἦτ' ἂν ὑπέκφυγε κῆρα κακὴν μέλανος θανάτοιο.
Ἀλλ' αἰεί γε Διὸς κρείσσων νόος, ἠέ περ ἀνδρῶν,
Ὅστε καὶ ἄλκιμον ἄνδρα φοβεῖ, καὶ ἀφείλετο νίκην
Ῥηϊδίως, ὅτε δ' αὐτὸς ἐποτρύνησι μάχεσθαι·
Ὅς οἱ καὶ τότε θυμὸν ἐνὶ στήθεσσιν ἀνῆκεν.
Ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξας,
Πατρόκλεις, ὅτε δή σε θεοὶ θάνατόνδε κάλεσσαν;
Ἄδρηστον μὲν πρῶτα, καὶ Αὐτόνοον, καὶ Ἔχεκλον,
Καὶ Πέριμον Μεγάδην, καὶ Ἐπίστορα, καὶ Μελάνιππον·

Deducendum autem eum dedit ductoribus velocibus qui ferrent,
Somno et Morti gemellis: qui quidem eum celeritèr
Deposuerunt in Lyciae latae opulento populo.
Patroclus autem equos et Automedontem exhortatus,
Trojanos et Lycios insequebatur, et magnum accepit-malum,
Demens: quòd si mandatum Pelidae observâsset,
Certè effugisset fatum exitiale atrae mortis.
Sed semper Jovis validius consilium, quàm hominum;
Qui et fortem virum in-fugam-vertit, et aufert victoriam
Facilè, etiam cùm ipse excitaverit ad pugnandum:
Qui ei et tunc animum in pectoribus extimulavit.
Tum quem primum, quem et postremum interfecisti,
Patrocle, quandò jam te dii ad mortem vocârunt?
Adrestum quidem primùm, et Autonoum, et Echeclum,
Et Perimum Megadem, et Epistorem, et Melanippum:

Ver 682. —— ῥά.] *Ut jussi erant* ——.

Ver. 685. — ἀάσθη.] Vide suprà ad ί, 116.

Ver. 686. Νήπιος.]
Infelix; qui —— *Æn.* II, 345.

Ibid. —— Πηληϊάδαο φύλαξεν.] Cod. *Harleian.* Πηληϊάδεω ἐφύλαξεν.

Ver. 688. —— Ἀλλ' αἰεί γε.] Ita ex uno MS. edidit *Barnesius.* Quam lectionem et probat *Henricus Stephanus* ad ῥ', 176. *Al.* Ἀλλ' αἰεί τε.

Ibid. —— ἠέ περ ἀνδρῶν.] Cod. *Harleian.* ἠέ περ ἀνδρός. *Al.* αἰγιόχοιο.

Ver. 689. 690. Ὅστε καὶ —— ὅτε δ' αὐτὸς ἐποτρύνησι μάχεσθαι.] *Al.* ὅτε δ' αὐτὸς ἐποτρύνει μαχέσασθαι. *Al.* ὅτε δ' αὐτὸς ἐποτρύνει καὶ ἀνώγει. *Henricus Stephanus* legendum censet, ὁτὲ δ' αὐτὸς ἐποτρύνει μαχέσασθαι, itaque explicat: "*Sed semper Jovis sententia superior est sententiâ hominum, quippe qui strenuum etiam virum terret, adeò ut ei victoriam facilè auferat; aliàs verò ad pugnam accendit.*" Quod (ut et ipse annotat,) meliùs cum sequente, "Ὅς οἱ καὶ τότε," &c. congruit: Itemque, ubi iterùm occurrunt iidem hi duo versus, *Il.* ῥ', 177, 178. Codices omnes habent, ἐποτρύνει μαχέσασθαι, nec ullus intellectui ambiguo est locus. Cæterùm hos duos versus in quibusdam codicibus deesse annotat *Eustathius:* Ἰστέον δὲ ὅτι ἔν τισι τῶν ἀντιγράφων μετὰ τὸ, "κρείσσων νόος ἠέπερ ἀνδρῶν," οὐ κεῖνται οἱ ἀναγεγραμμένοι ἐφεξῆς δύο γνωμικοὶ στίχοι, ἀλλὰ μόνος εἷς οὗτος, "Ὅς οἱ καὶ τότε θυμὸν ἐνὶ στήθεσσιν ἀνῆκε."

Ver. 691. — Ὅς οἱ.] Vide suprà ad ά, 51.

Ibid. —— ἀνῆκεν.] Cod. *Harleian.* ἐνῆκεν.

Ver. 692. Ἔνθα τίνα πρῶτον.] [virgo
Quem telo primum, quem postremum aspera
Dejicis? —— *Æn.* XI, 664.

Ver. 694. —— Ἔχεκλον.] Cod. *Harleian.* Ὀπίτην.

Αὐτὰρ ἔπειτ' Ἔλασον, καὶ Μύλιον, ἠδὲ Πυλάρτην·
Τοὺς ἕλεν· οἱ δ' ἄλλοι φύγαδ' ἐμνώοντο ἕκαστος.
Ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν,
Πατρόκλου ὑπὸ χερσί· περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν·
Εἰ μὴ Ἀπόλλων Φοῖβος ἐϋδμήτου ἐπὶ πύργου
Ἔστη, τῷ ὀλοὰ φρονέων, Τρώεσσι δ' ἀρήγων.
Τρὶς μὲν ἐπ' ἀγκῶνος βῆ τείχεος ὑψηλοῖο
Πάτροκλος, τρὶς δ' αὐτὸν ἀπεστυφέλιξεν Ἀπόλλων,
Χείρεσιν ἀθανάτῃσι φαεινὴν ἀσπίδα νύσσων·
Ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο, δαίμονι ἶσος,
Δεινὰ δ' ὁμοκλήσας προσέφη ἑκάεργος Ἀπόλλων·
Χάζεο, διογενὲς Πατρόκλεις· οὔ νύ τοι αἶσα
Σῷ ὑπὸ δουρὶ πόλιν πέρθαι Τρώων ἀγερώχων,
Οὐδ' ὑπ' Ἀχιλλῆος, ὅσπερ σέο πολλὸν ἀμείνων.
Ὣς φάτο· Πάτροκλος δ' ἀνεχάζετο πολλὸν ὀπίσσω,
Μῆνιν ἀλευόμενος ἑκατηβόλου Ἀπόλλωνος.
Ἕκτωρ δ' ἐν Σκαιῇσι πύλῃς ἔχε μώνυχας ἵππους·
Δῖζε γὰρ, ἠὲ μάχοιτο κατὰ κλόνον αὖθις ἐλάσσας,

Deindè verò Elasum, et Mulium, atque Pylartem;
Hos interfecit: cæteri autem in-fugam-*eundi* memores fuere quisque.
Tum certè altam-portis Trojam cepissent filii Achivorum,
Patrocli sub manibus, suprà-modum enim ante alios hastâ furebat;
Nisi Apollo Phoebus benè-structâ super turri
Stetisset, illi exitialia cogitans, Trojanisque auxilians.
Ter quidem in cubitum scandebat muri excelsi
Patroclus, ter autem ipsum asperè-exceptum deturbavit Apollo,
Manibus immortalibus fulgentem clypeum feriens:
Sed quandò jam quartò irruebat deo par,
Minacitèr tum verò increpitans allocutus est longè-jaculans Apollo:
" Recede, nobilissime Patrocle: neque enim fatum
" Tuâ sub hastâ urbem vastatum iri Trojanorum magnanimorum,
" Neque sub Achille, qui tamen te multò fortior."
Sic dixit: Patroclus autem recessit longè retrò,
Iram devitans longè-jaculantis Apollinis.
Hector verò in Scaeis portis tenebat solidos-ungulis equos:
Secum enim ambigebat, an pugnaret in turbam iterùm actis equis,

Ver. 700. — Ἀπόλλων Φοῖβος.] Vide suprà ad ά, 43.

Ver. 704. Χείρεσιν ἀθανάτῃσι.] Cod. *Harleian.* Χείρεσσ' ἀθανάτῃσι.

Ibid. — ἀθανάτῃσι.] Vide suprà ad ά, 398.

Ver. 706. Δεινὰ δ'.] Malè hîc edidit *Barnesius* Δεινάδ', contenditque παρέλκειν τὸ Δέ. Quod nullo modo fert linguæ Græcæ ratio. Vide suprà ad ί, 439. et ad ά, 57.

Ibid. —— προσέφη ἑκάεργος Ἀπόλλων.] *Al.* ἔπεα πτερόεντα προσηύδα.

Ver. 708. — πέρθαι.] Cod. *Harleian.* πέρσαι.

Ver. 709. — Ἀχιλλῆος, ὅσπερ.] Quâ ratione, Ἀχιλλῆος, hîc ultimam producat; item, ἀλευόμενος, *ver.* 711. et εἰσάμενος, *ver.* 716. et Αὐτοκασίγνητος, *ver.* 718. vide suprà ad ά, 51.

Ver. 711. — ἀλευόμενος.] *Al.* ἀλευάμενος, ut suprà έ, 444.

Ibid. — ἑκατηβόλου Ἀπόλλωνος.] Vide suprà ad ά, 75.

Ver. 712—719. — πύλῃς ἔχε — ῥοῇς ἔπι.] Cod. *Harleian.* πύλῃσ' ἔχε —— ῥοῇσ' ἔπι.

Ver. 712—724—732. —— μώνυχας ἵππους· —— κρατερώνυχας ἵππους.]

—— solido ——— ungula cornu.
Virg. Georg. III, 88.

Ἢ λαοὺς ἐς τεῖχος ὁμοκλήσειεν ἀλῆναι.
Ταῦτ' ἄρα οἱ φρονέοντι παρίστατο Φοῖβος Ἀπόλλων,
Ἀνέρι εἰσάμενος αἰζηῷ τε, κρατερῷ τε,
Ἀσίῳ, ὃς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο,
Αὐτοκασίγνητος Ἑκάβης, υἱὸς δὲ Δύμαντος,
Ὃς Φρυγίην ναίεσκε ῥοῇς ἔπι Σαγγαρίοιο·
Τῷ μιν ἐεισάμενος προσεφώνεε Φοῖβος Ἀπόλλων·
  Ἕκτορ, τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή.
Αἴθ' ὅσον ἥσσων εἰμὶ, τόσον σέο φέρτερος εἴην·
Τῷ κε τάχα στυγερῶς πολέμου ἀπερωήσειας.
Ἀλλ' ἄγε, Πατρόκλῳ ἔφεπε κρατερώνυχας ἵππους,
Αἴκεν πώς μιν ἕλῃς, δώῃ δέ τοι εὖχος Ἀπόλλων.
  Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἔβη Θεὸς ἀμπόνον ἀνδρῶν·
Κεβριόνῃ δ' ἐκέλευσε δαΐφρονι φαίδιμος Ἕκτωρ
Ἵππους ἐς πόλεμον πεπληγέμεν· αὐτὰρ Ἀπόλλων
Δύσεθ' ὅμιλον ἰών· ἐν δὲ κλόνον Ἀργείοισιν
Ἧκε κακὸν, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζεν.
Ἕκτωρ δ' ἄλλους μὲν Δαναοὺς ἔα, οὐδ' ἐνάριζεν·

An copias ad murum clamore-imperaret congregari.
Haec quidem ei cogitanti astitit Phoebus Apollo,
Viro cum-se-assimulâsset juvenique, fortique,
Asio, qui avunculus erat Hectoris equûm-domitoris,
Frater-germanus Hecubae, filiusque Dymantis,
Qui Phrygiam habitabat fluenta ad Sangarii:
Huic se cùm assimulâsset, allocutus est Phoebus Apollo:
" Hector, cur à pugnâ cessas? neque enim omninò te decet.
" Utinam quanto deterior sum, tanto te fortior essem:
" Tum profectò statim tuo-malo à pugnâ recessisses.
" Sed age, in Patroclum impellito validos-ungulis equos,
" Si quà ipsum interficere poteris, dederitque tibi gloriam Apollo."
Sic fatus, rursùs quidem abiit Deus per-laborem virorum:
Cebrionem verò jussit bellicosum illustris Hector
Equos ad proelium verberantem agere: At Apollo
Ingressus est medium-agmen profectus; perturbationem autem Argivis
Immisit exitialem, Trojanisque et Hectori gloriam praebuit.
Hector autem caeteros quidem Danaos omittebat, neque occidebat:

Ver. 713. Δῖζε γὰρ.] Vide suprà ad *ver.* 647.

Ver. 716. Ἀνέρι εἰσάμενος.]

——— formâ tum vertitur oris
Antiquum in Buten. — *Æn.* IX, 646.

Ibid. —— εἰσάμενος.] Vide suprà ad ν', 45. et ad γ', 141.

Ver. 717. —— ἱπποδάμοιο.] Vide suprà ad β', 23.

Ver. 718. Αὐτοκασίγνητος Ἑκάβης, υἱὸς δὲ Δύμαντος.] *Virgilio*, non *Dymantis*, sed *Cissei* filia erat Hecuba.

——— et face prægnans
Cisseïs regina Parin creat. — *Æn.* X, 704.

Vide suprà ad ζ', 299.

Ver. 720. Τῷ μιν ἐεισάμενος.] Vide suprà ad γ', 389.

Ibid. ——— προσεφώνεε Φοῖβος Ἀπόλλων.] *Al.* προσέφη Διὸς υἱὸς Ἀπόλλων.

Ver. 725. —— ἕλῃς, δώῃ δέ τοι.] *Al.* ἕλοις, δῷοι δέ τοι.

Ver. 728. —— πεπληγέμεν.] Vide suprà ad γ', 31. et ad β', 314.

Ver. 729. Δύσεθ'.] Vide suprà ad β', 35. et ad ἑ, 109.

Ver. 731. Ἕκτωρ δ' ἄλλους μὲν Δαναοὺς ἔα, ——— Αὐτὰρ ὁ Πατρόκλῳ.]

Αὐτὰρ ὁ Πατρόκλῳ ἔπεχε κρατερώνυχας ἵππους.
Πάτροκλος δ' ἑτέρωθεν ἀφ' ἵππων ἆλτο χαμᾶζε,
Σκαιῇ ἔγχος ἔχων· ἑτέρῃφι δὲ λάζετο πέτρον
Μάρμαρον, ὀκριόεντα, τόν οἱ περὶ χεὶρ ἐκάλυψεν.
Ἧκε δ' ἐρεισάμενος· οὐδὲ δὴν χάζετο φωτὸς,
Οὐδ' ἁλίωσε βέλος· βάλε δ' Ἕκτορος ἡνιοχῆα
Κεβριόνην, νόθον υἱὸν ἀγακλῆος Πριάμοιο,
Ἵππων ἡνί' ἔχοντα, μετώπιον ὀξέϊ λᾶϊ·
Ἀμφοτέρας δ' ὀφρῦς σύνελεν λίθος, οὐδέ οἱ ἔσχεν
Ὀστέον· ὀφθαλμοὶ δὲ χαμαὶ πέσον ἐν κονίῃσιν
Αὐτοῦ πρόσθε ποδῶν· ὁ δ' ἄρ', ἀρνευτῆρι ἐοικὼς,
Κάππεσ' ἀπ' εὐεργέος δίφρου· λίπε δ' ὀστέα θυμός.
Τὸν δ' ἐπικερτομέων προσέφης, Πατρόκλεις ἱππεῦ·
  Ὦ πόποι, ἦ μάλ' ἐλαφρὸς ἀνὴρ, ὡς ῥεῖα κυβιστᾷ·
Εἰ δή που καὶ πόντῳ ἐν ἰχθυόεντι γένοιτο,
Πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε, τήθεα διφῶν,
Νηὸς ἀποθρώσκων, εἰ καὶ δυσπέμφελος εἴη·

Sed ille in Patroclum dirigebat validos-ungulis equos.
Patroclus autem ex-alterâ-parte ab equis desiliit in terram,
Sinistrâ hastam tenens: alterâque arripuit saxum
Candidum, asperum, quod ejus manus capiebat.
Misit verò connixus, neque diu aberat à viro,
Neque frustra-misit telum: percussit enim Hectoris aurigam
Cebrionem, nothum filium illustris Priami,
Equorum habenas tenentem, *in* frontem acuto lapide;
Ambo autem supercilia confregit lapis, neque ejus restitit
Os; oculi autem humi ceciderunt in pulveres
Ipsius ante pedes: Ipse verò, urinatori similis,
Decidit ab affabre-factâ sellâ; liquitque ossa anima.
Illum autem asperè-deridens allocutus es, Patrocle eques:
" Papae, profectò perquam agilis vir, quum-ita facilè urinatur;
" Sicubi sanè et ponto in piscoso esset,
" Multos satiare posset vir hic, ostrea quaerens,
" Nave desiliens, etsi tempestuosus esset:

Ipse neque aversos dignatur sternere morti:
Nec pede congressos æquo, nec tela ferentes
Insequitur: solum densâ in caligine Turnum
Vestigat lustrans, solum in certamina poscit. *Æn.* XII, 464.

Ibid. —— ἐνάριζεν.] Cod. *Harleian.* ἐνάριξεν. Quo modo et in uno MS. scriptum repperit *Barnesius.*

Ver. 732. —— ἔπεχε.] *Al.* ἔφεπε· ut suprà *ver.* 724.

Ver. 733. —— ἆλτο χαμᾶζε.] Vide suprà ad γ', 29.

Ver. 735. —— ὀκριόεντα.] Cod. *Harleian.* ὀκρυόεντα

Ver. 736. —— ἐρεισάμενος· οὐδὲ δὴν.] Quâ ratione et ἐρεισάμενος, et οὐδὲ, hîc ultimam producant; item τε, *ver.* 767. et ἀπὸ, *ver.* 733. et χερμάδια, *ver.* 774. vide suprà ad ά, 51. n. 8.

Ibid. —— χάζετο φωτὸς.] *Al.* ἄζετο φωτός.

Ver. 741. —— ἐν κονίῃσιν.] Vide suprà ad ν', 508.

Ver. 742. —— ὁ δ' ἄρ', ἀρνευτῆρι ἐοικὼς.] Vide suprà ad μ', 385.

Ver. 743. —— εὐεργέος δίφρου.] Pronuntiabatur εὐεργοῦς, vel εὐεργεῦς. Ut rectè hîc annotavit *Barnesius.* Vide suprà ad ξ', 116.

Ver. 745. —— ὡς ῥεῖα κυβιστᾷ.] Cod. *Harleian.* ὃς ῥεῖα κυβιστᾷ.

῝Ως νῦν ἐν πεδίῳ ἐξ ἵππων ῥεῖα κυϐιστᾷ·
Ἦ ῥα καὶ ἐν Τρώεσσι κυϐιστητῆρες ἔασιν.
῝Ως εἰπὼν, ἐπὶ Κεϐριόνῃ ἥρωϊ βεϐήκει,
Οἶμα λέοντος ἔχων, ὅστε σταθμοὺς κεραΐζων,
῎Εϐλητο πρὸς στῆθος, ἑή τέ μιν ὤλεσεν ἀλκή·
῝Ως ἐπὶ Κεϐριόνῃ, Πατρόκλεις, ἆλσο μεμαώς.
῞Εκτωρ δ' αὖθ' ἑτέρωθεν ἀφ' ἵππων ἆλτο χαμᾶζε.
Τὼ περὶ Κεϐριόναο, λέονθ' ὣς, δηρινθήτην,
῝Ωτ' ὄρεος κορυφῇσι περὶ κταμένης ἐλάφοιο,
῎Αμφω πεινάοντε, μέγα φρονέοντε μάχεσθον·
῝Ως περὶ Κεϐριόναο δύω μήστωρες ἀϋτῆς,
Πάτροκλός τε Μενοιτιάδης καὶ φαίδιμος ῞Εκτωρ,
῞Ιεντ' ἀλλήλων ταμέειν χρόα νηλέϊ χαλκῷ.
῞Εκτωρ μὲν κεφαλῆφιν ἐπεὶ λάϐεν, οὐχὶ μεθίει·
Πάτροκλος δ' ἑτέρωθεν ἔχεν ποδός· οἱ δὲ δὴ ἄλλοι
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.
῾Ως δ' Εὖρός τε Νότος τ' ἐριδαίνετον ἀλλήλοιϊν

" Adeò nunc in campo è curru facilè urinatur:
" Profectò et inter Trojanos urinatores utique sunt."
Sic locutus, Cebrionem heroëm invasit,
Impetum leonis habens, qui stabula vastans,
Vulneratur ad pectus, suaque ipsum perdit virtus:
Sic in Cebrionem, Patrocle, insiliisti ardens.
Hector verò ex-alterâ-parte ab equis desiliit in-terram.
Hi duo de Cebrione, leones tanquam, pugnabant;
Qui *in* montis verticibus de interemptâ cervâ,
Ambo esurientes, magnis animis pugnant:
Sic de Cebrione duo artifices pugnae,
Patroclusque Menoetiades et illustris Hector,
Cupiebant alter alterius incîdere corpus saevo aere.
Hector quidem capite postquam prehendit, non dimittebat;
Patroclus autem ex-alterâ-parte tenebat pede: Et jam caeteri
Trojani et Danai committebant acre proelium.
Ut verò Eurusque Notusque certant inter-se.

Ver. 751. ῝Ως εἰπὼν, — βεϐήκει.] Si βέϐηκε dixisset, jam non constitisset Temporum ratio. Vide suprà ad ά, 37.

Ver. 755. —— ἆλτο χαμᾶζε.] Vide suprà ad γ′, 29.

Ver. 757. ῝Ωτ'.] *Qui utique* ——. *Qui scilicèt* ——.

Ver. 762. —— οὐχὶ μεθίει.] *Al.* οὐχὶ μεθείη. Utrumque salvâ prosodiâ. Nam vox μεθίει *mediam naturâ* producit:

—— ἐπεὶ λάϐεν, οὐχὶ μεθίει. ό, 716.
—— ἔχεν ἔγχος ἀκαχμένον, οὐδὲ μεθίει. φ′, 72.
'Αργεῖοι, μήπω τι μεθίετε —— δ′, 234.

Quòd autem eadem hæc vox nonnullis in locis *media* correpta occurrat; ut,

Πολλάκι γὰρ μεθίεις —— κ′, 121.
'Αλλὰ ἑκὼν μεθίεις. —— ζ′, 523.

et alibi; positioni hoc soli debetur. Vide suprà ad ν′, 103. et ad ό, 24.

Ver. 765. ῾Ως δ' Εὖρός τε Νότος τ' ἐριδαίνετον ἀλλήλοιϊν —— ῝Ως Τρῶες.]

Ac velut annoso validam cùm robore quercum
Alpini Boreæ, nunc hinc, nunc flatibus illinc
Eruere inter se certant; it stridor, et altè
Consternunt terram concusso stipite frondes ——
Haud secus ——. *Æn.* IV, 441.
Adversi rupto ceu quondam turbine venti

Οὔρεος ἐν βήσσῃς, βαθέην πελεμιζέμεν ὕλην,
Φηγόν τε, μελίην τε, τανύφλοιόν τε κράνειαν,
Αἵ τε πρὸς ἀλλήλας ἔβαλον τανυήκεας ὄζους
Ἠχῇ θεσπεσίῃ, πάταγος δέ τε ἀγνυμενάων·
Ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες
Δήουν, οὐδ' ἕτεροι μνώοντ' ὀλοοῖο φόβοιο.
Πολλὰ δὲ Κεβριόνην ἀμφ' ὀξέα δοῦρα πεπήγει,
Ἰοί τε πτερόεντες ἀπὸ νευρῆφι θορόντες·
Πολλὰ δὲ χερμάδια μεγάλ' ἀσπίδας ἐστυφέλιξε
Μαρναμένων ἀμφ' αὐτόν· ὁ δ' ἐν στροφάλιγγι κονίης
Κεῖτο μέγας μεγαλωστὶ, λελασμένος ἱπποσυνάων.
Ὄφρα μὲν ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
Τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο· πίπτε δὲ λαός·
Ἦμος δ' ἠέλιος μετενείσσετο βουλυτόνδε,
Καὶ τότε δή ῥ' ὑπὲρ αἶσαν Ἀχαιοὶ φέρτεροι ἦσαν·

Montis in saltibus, profundam concutere sylvam,
Fagumque, fraxinumque, corticosamque cornum,
Quae altera alteri affligunt extensos-in-longum ramos
Sono immenso, fragor autem *exoritur* inter frangendum:
Sic Trojani et Achivi mutuis assultibus
Caedebant, neutri verò meminerant perniciosae fugae.
Multae autem Cebrionem circa acutae hastae defixae sunt,
Sagittaeque alatae à nervis salientes:
Multa et saxa ingentia clypeos contudêre
Pugnantium circa ipsum; is autem in vortice pulveris
Jacebat ingens ingenti-spatio, oblitus aurigationis.
Quamdiù quidem sol medium coelum ascendebat,
Tamdiù valdè utrosque tela attingebant; cadebatque populus:
Cùm verò sol transibat ad occasum,
Et tum quidem praeter fatum Achivi superiores erant:

Confligunt Zephyrusque Notusque, et lætus Eoïs
Eurus equis: stridunt sylvæ.———— *Æn.* II, 416.

Macrobius hunc locum inter eos citat, in quibus *Virgilius Homerici* carminis majestatem non æquat. *Lib.* V. *cap.* 13.

Ver. 766. ———— *πελεμιζέμεν ὕλην.*] *Al.* *πολεμιζέμεν ὕλην.*

Ibid. —— *ὕλην.*] Vide suprà ad γ', 151.

Ver. 769. —— *ἀγνυμενάων.*] Vide suprà ad γ', 260.

Ver. 772. —— *δοῦρα πεπήγει.*] Cod. *Harleian.* *δοῦρ' ἐπεπήγει.*

Ver. 775. ———— *ὁ δ' ἐν στροφάλιγγι κονίης.*] Cod. *Harleian.* *ὁ δὲ στροφάλιγγι κονίης.*

Ver. 776. *Κεῖτο μέγας μεγαλωστὶ.*]
——— ingentem, atque ingenti vulnere victum. *Æn.* X, 842.

Porro, de istiusmodi verborum sono, rem ipsam aptissimè depingente, vide suprà ad γ', 363. et ad δ', 455.

Ver. 777. *Ὄφρα μὲν ἠέλιος.*]
—— medios cum Sol accenderit æstus. *Georgic.* IV, 401.
—— medium Sol igneus orbem
Hauserat. ———— *Ibid.* 426.
Sol medium cœli conscenderat igneus orbem. *Æn.* VIII, 97.

Ibid. —— *ἀμφιβεβήκει.*] Vide suprà ad ά, 37. et ad δ', 492.

Ver. 778. *Τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο· πίπτε δὲ λαός.*]
Jam gravis aequabat luctus et mutua Mavors
Funera: cædebant pariter, pariterque ruebant. *Æn.* X, 755.

Ver. 779. *Ἦμος δ' ἠέλιος μετενείσσετο βουλυτόνδε.*]
——— aratra jugo referunt suspensa juvenci,
Et sol crescentes decedens duplicat umbras. *Eclog.* II, 65.

Ἐκ μὲν Κεβριόνην βελέων ἥρωα ἔρυσσαν,
Τρώων ἐξ ἐνοπῆς, καὶ ἀπ᾽ ὤμων τεύχε᾽ ἕλοντο.
Πάτροκλος δὲ Τρωσὶ κακὰ φρονέων ἐνόρουσε·
Τρὶς μὲν ἔπειτ᾽ ἐπόρουσε, θοῷ ἀτάλαντος Ἄρηϊ,
Σμερδαλέα ἰάχων· τρὶς δ᾽ ἐννέα φῶτας ἔπεφνεν·
Ἀλλ᾽ ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο, δαίμονι ἶσος,
Ἔνθ᾽ ἄρα τοι, Πάτροκλε, φάνη βιότοιο τελευτή·
Ἤντετο γάρ τοι Φοῖβος ἐνὶ κρατερῇ ὑσμίνῃ
Δεινός· ὁ μὲν τὸν ἰόντα κατὰ κλόνον οὐκ ἐνόησεν·
Ἠέρι γὰρ πολλῇ κεκαλυμμένος ἀντεβόλησε·
Στῆ δ᾽ ὄπιθε, πλῆξεν δὲ μετάφρενον, εὐρέε τ᾽ ὤμω
Χειρὶ καταπρηνεῖ· στρεφεδίνηθεν δέ οἱ ὄσσε.
Τοῦ δ᾽ ἀπὸ μὲν κρατὸς κυνέην βάλε Φοῖβος Ἀπόλλων·
Ἡ δὲ κυλινδομένη καναχὴν ἔχε ποσσὶν ὑφ᾽ ἵππων
Αὐλῶπις τρυφάλεια· μιάνθησαν δὲ ἔθειραι
Αἵματι καὶ κονίῃσι· πάρος γε μὲν οὐ θέμις ἦεν,
Ἱπποκόμον πήληκα μιαίνεσθαι κονίῃσιν·
Ἀλλ᾽ ἀνδρὸς θείοιο κάρη, χαρίεν τε μέτωπον
Ῥύετ᾽ Ἀχιλλῆος· τότε δὲ Ζεὺς Ἕκτορι δῶκεν

Cebrionem quidem è telorum-acervo heroëm extraxerunt,
Trojanorum è tumultu, et humeris arma ademerunt.
Patroclus verò Trojanis infesto animo irruit:
Ter quidem deindè irruit, veloci par Marti,
Horrendùm clamans; ter autem novenos viros interfecit:
Sed cùm jam quartum impetum-faceret, deo par,
Tum verò tibi, Patrocle, manifestus-imminebat vitae finis:
Occurrebat enim tibi Phoebus in asperâ pugnâ
Terribilis: Hic quidem illum euntem per turbam non vidit;
Caligine enim multâ tectus obvius-veniebat;
Stetit autem à-tergo, percussitque interscapilium, latosque humeros,
Manu pronâ: vertigine autem correpti-sunt ei oculi.
Hujus verò à capite quidem galeam dejecit Phoebus Apollo:
Volvens autem tinnitum dabat pedibus sub equorum
Oblonga galea; foedataeque sunt jubae
Sanguine et pulveribus: Anteà quidem fas utique non erat,
Setis-equinis-comantem cassidem foedari pulveribus;
Sed viri divini caput, venustamque frontem
Tuebatur Achillis: tum verò Jupiter Hectori dedit

Ibid. —— μετενείσσετο.] *Al.* μετενίσσετο.

Ver. 781. —— ἔρυσσαν.] Ita *Barnesius*, ex MSS. Rectè. *Al.* ἔρυσαν, quod penultimam corripit: —— ἔγχεος ἐξέρυσ᾽ αἰχμήν· suprà *ver. 505.*

Ver. 784. —— ἀτάλαντος.] Vide suprà ad β΄, 627.

Ver. 785. Σμερδαλέα ἰάχων.] Vide suprà ad δ΄, 456.

Ver. 786.—ἐπέσσυτο.] Vide suprà ad ν΄, 260.

Ver. 787. Ἔνθ᾽ ἄρα τοι, —— φάνη βιότοιο τελευτή.]

Hîc tibi mortis erant metæ. ——
Æn. XII, *546.*

Ver. 792. — στρεφεδίνηθεν.] Cod. *Harleian.* στρεφεδίνησεν.

Ver. 794.—καναχὴν.] Vide suprà ad δ΄, 455.

Ver. 798. — μέτωπον.] *Al.* πρόσωπον.

Ἠ κεφαλῇ φορέειν· σχεδόθεν δέ οἱ ἦεν ὄλεθρος·
Πᾶν δέ οἱ ἐν χείρεσσιν ἄγη δολιχόσκιον ἔγχος,
Βριθὺ, μέγα, στιβαρὸν, κεκορυθμένον· αὐτὰρ ἀπ᾽ ὤμων
Ἀσπὶς σὺν τελαμῶνι χαμαὶ πέσε τερμιόεσσα·
Λῦσε δέ οἱ θώρηκα ἄναξ, Διὸς υἱὸς, Ἀπόλλων.
Τὸν δ᾽ ἄτη φρένας εἷλε, λύθεν δ᾽ ὑπὸ φαίδιμα γυῖα·
Στῆ δὲ ταφών· ὄπιθεν δὲ μετάφρενον ὀξέϊ δουρὶ
Ὤμων μεσσηγὺ σχεδόθεν βάλε Δάρδανος ἀνὴρ,
Πανθοΐδης Εὔφορβος, ὃς ἡλικίην ἐκέκαστο
Ἔγχεΐ θ᾽, ἱπποσύνῃ τε, πόδεσσί τε καρπαλίμοισι·
Καὶ γὰρ δή ποτε φῶτας ἐείκοσι βῆσεν ἀφ᾽ ἵππων,
Πρῶτ᾽ ἐλθὼν σὺν ὄχεσφι, διδασκόμενος πολέμοιο.
Ὅς τοι πρῶτος ἐφῆκε βέλος, Πατρόκλεις ἱππεῦ,
Οὐδὲ δάμασσ᾽· ὁ μὲν αὖθις ἀνέδραμε, μίκτο δ᾽ ὁμίλῳ,
Ἐκ χροὸς ἁρπάξας δόρυ μείλινον· οὐδ᾽ ὑπέμεινε
Πάτροκλον, γυμνόν περ ἐόντ᾽, ἐν δηϊοτῆτι.
Πάτροκλος δὲ θεοῦ πληγῇ καὶ δουρὶ δαμασθεὶς,
Ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο, κῆρ᾽ ἀλεείνων.
Ἕκτωρ δ᾽, ὡς εἶδεν Πατροκλῆα μεγάθυμον

Suo capite ferendam: propè enim ei erat exitium:
Tota verò ei in manibus fracta est praelonga hasta,
Gravis, magna, valida, *aere*-praemunita; et ab humeris
Clypeus cum loro in humum cecidit talaris:
Solvit porrò ei thoracem rex, Jovis filius, Apollo.
Illi verò stupor animum occupavit, solutaque sunt pulchra membra:
Stetit itaque attonitus: à-tergo autem interscapilium acutâ hastâ
Humeros inter ex-propinquo percussit Dardanus vir,
Panthoides Euphorbus, qui supra aequales ornatus erat
Hastâque, aurigandique-peritiâ, pedibusque velocibus:
Etenim jam olim viros viginti deturbaverat de curribus,
Cùm primùm venit curru-vectus, discens proeliari.
Qui tibi primus immisit telum, Patrocle eques,
Neque domuit: Is quidem retrò recurrit, immistusque est turbae,
E corpore abreptâ hastâ fraxineâ; neque sustinuit
Patroclum, nudum licèt, in pugnâ.
Patroclus autem Dei plagâ et hastâ domitus
Retrò sociorum in agmen recedebat, mortem evitans.
Hector verò, ut vidit Patroclum magnanimum

Ver. 806. Στῆ δὲ ταφών.]
——— obmutuit amens.
Æn. IV, 279.

Ibid. —— ὀξέϊ δουρὶ.] Cod. *Harleian.* ὀξέϊ χαλκῷ.

Ver. 808. —— ἐκέκαστο.] Vide suprà ad ό, 153. et ad δ', 492.

Ver. 813. —— ὁ μὲν αὖθις ἀνέδραμε, μίκτο δ' ὁμίλῳ, — οὐδ' ὑπέμεινε Πάτροκλον.]
—— fugit ante omnes exterritus Aruns
—— nec jam ampliùs hastæ
Credere, nec telis occurrere virginis audet.
Æn. XI, 806.
—— ex oculis se —— abstulit Aruns,
Contentusque fugâ mediis se immiscuit armis.
Ibid. 814.

Ver. 818. — Πατροκλῆα μεγάθυμον.] Quâ ratione, vox, Πατροκλῆα, hîc ultimam naturâ brevem producat; itemque ἐπευχόμενος, *ver.* 829. et πρὶν, *ver.* 839. et μιν, *ver.* 855. vide suprà ad ά, 51. n. 8. Cæterùm, quæ vocis, βασιλία, formam sequuntur, eæ

Ἂψ ἀναχαζόμενον, βεβλημένον μοῖρα κραταιὴ,
Ἀγχίμολόν ῥά οἱ ἦλθε κατὰ στίχ Αἰακίδαο.
Νείατον ἐς κενεῶνα· διὰ πρὸ δὲ χαλκιο κάλυψε.
Δούπησεν δὲ πεσὼν, μέγα δ' ἤκαχε λαοήκει,
Ὡς δ' ὅτε σῦν ἀκάμαντα λέων ἐβιήσατο χαῆβην.
Τώ τ' ὄρεος κορυφῇσι μέγα φρονέοντε μάχεσθον,
Πίδακος ἀμφ' ὀλίγης· ἐθέλουσι δὲ πιέμεν ἄμφω· ;
Πολλὰ δέ τ' ἀσθμαίνοντα λέων ἐδάμασσε βίηφιν·
Ὣς πολέας πέφνοντα Μενοιτίου ἄλκιμον υἱὸν
Ἕκτωρ Πριαμίδης σχεδὸν ἔγχεϊ θυμὸν ἀπηύρα·
Καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντ' ἀγόρευε·
Πάτροκλ', ἦπου ἔφησθα πόλιν κεραϊζέμεν ἀμὴν,
Τρωϊάδας δὲ γυναῖκας, ἐλεύθερον ἦμαρ ἀπούρας,
Ἄξειν ἐν νήεσσι φίλην ἐς πατρίδα γαῖαν,
Νήπιε· τάων δὲ πρόσθ' Ἕκτορος ὠκέες ἵπποι
Ποσσὶν ὀρωρέχαται πολεμίζειν· ἔγχεϊ δ' αὐτὸς
Τρωσὶ φιλοπτολέμοισι μεταπρέπω, ὅς σφιν ἀμύνω
Ἦμαρ ἀναγκαῖον· σὲ δέ τ' ἐνθάδε γῦπες ἔδονται.
Ἆ δεῖλ', οὐδέ τοι, ἐσθλὸς ἐὼν, χραίσμησεν Ἀχιλλεὺς,

Retrò cedentem, vulneratum acuto aere,
Prope eum venit per ordines, comínúsque percussit hastâ
Imum ad ile: penitùs autem aes adegit:
Fragorem verò *is* edidit cadens, magnoque affecit-dolore populum Achivorum.
Ut autem cùm aprum viribus-ingentem leo urget pugnâ,
Hique montis *in* verticibus magnis animis decertant,
Fonte de exiguo; volunt quippe bibere ambo:
Multùm autem anhelantem *aprum* leo domat vi:
Sic multos occidenti Menoetii forti filio
Hector Priamides cominùs hastâ animam abstulit:
Et super eum glorians verba alata dixit:
" Patrocle, credidisti utique urbem *te* vastatúrum nostram,
" Trojanasque mulieres, libero die erepto,
" Abducturum esse in navibus dilectam in patriam terram,
" Demens! pro his enim Hectoris veloces equi
" Pedibus contendunt pugnatum: hastâ verò ipse
" Inter Trojanos bellicosos excello, qui ab ipsis arceo
" Diem servilem: te autem hîc vultures comedent.
" Infelix, neque tibi fortis *licèt*, auxilio fuit Achilles,

---

ultimam *naturâ* semper *producunt.* Vide suprà ad ά, 265.

Ver. 820. — οὖτα.] Vide suprà ad ν', 192.

Ver. 822. Δούπησεν δὲ.] Vide suprà ad δ', 435. et ad ν', 181.

Ver. 824. Τώ τ' ὄρεος.] Cod. *Harleian.* Ὣ τ' ὄρεος.

Ver. 825. ——— πιέμεν.] *Al.* πινέμεν. Utrumque ferri possit. Vide suprà ad *ver.* 762.

Ver. 828. — Πριαμίδης.] Vide suprà ad ά, 398.

Ver. 829. ——— ἔπεα πτερόεντ' ἀγόρευε.] *Al.* ἔπεα πτερόεντα προσηύδα.

Ver. 830. — ἀμὴν.] Cod. *Harleian.* ἄμμιν.

Ver. 834. ——— ὀρωρέχαται.] Vide suprà ad ν', 736. et ad ά, 57.

Ver. 836. — σὲ δέ τ' ἐνθάδε γῦπες ἔδονται.] Alitibus linquère feris ———.
Æn. X, 559.

Ἡ κεφαλῇ φορέειν· σχεδόθεν δέ
Πᾶν δέ οἱ ἐν χείρεσσιν ἄγη δο
Βριθὺ, μέγα, στιβαρὸν, κεκ
Ἀσπὶς σὺν τελαμῶνι χα
Λῦσε δέ οἱ θώρηκα ἄ
Τὸν δ' ἄτη φρένας
Στῆ δὲ ταφών·
Ὤμων μεσσ
Πανθοΐδη
Ἔγχε
Κα
Τ

ΟΥ ΙΛΙΑΔΟΣ Π.

181

ἰόντι,
οφόνοιο
τεῖθε.
ις ἱππεῦ·
ἰδωκε
δάμασσαν
ο.
μέντες.
ιος,
ρίζεις.
σῆσιν,

Οὐ θὴν οὐδ' αὐτὸς δηρὸν ... η

" Qui nimirùm tibi admodùm multis remanens mandavit proficiscenti,
" Nè mihi antè revertere, Patrocle equestris,
" Naves ad cavas; quàm Hectoris homicidae
" Sanguinolentam loricam circa pectora disciderís:
" Sic nimirùm te allocutus est, tibique animum vecordi persuasit."
Illum verò languens allocutus es, Patrocle eques:
" Jam nunc, Hector, magnis-verbis gloriator; tibi enim dedit
" Victoriam Jupiter Saturnius et Apollo, qui me domuerunt
" Facilè: ipsi enim ab humeris arma detraxerunt.
" Tales verò etiam si mihi viginti occurrissent,
" Omnes hîc periissent, meâ hastâ domiti.
" Sed me fatum perniciosum et Latonae interfecit filius,
" Eque mortalibus Euphorbus: tu verò me tertius interfectum-spolias.
" Aliud autem tibi dicam, tu verò in animo reconde tuo,
" Haud sanè nè tu quidem ipse diù in-vitâ progredieris, sed tibi jam

---

Ver. 838. —— ἐπετέλλετ' ἰόντι.] *Al.* ἐπέτελλεν ἰόντι.

Ver. 840. Νῆας ἀνὰ γλαφυράς.] *Al.* Νῆας ἐπὶ γλαφυράς.

Ibid. — ἀνδροφόνοιο.] Vide suprà ad *ver.* 77.

Ver. 842. —— σοὶ δὲ φρένας.] Cod. *Harleian.* σοὶ δ' οὐ φρένας.

Ver. 847. Τοιοῦτοι δ' εἴπερ μοι ἐείκοσιν ἀντεβόλησαν.] Ἀνὴρ ὑπὸ τύχης σφαλλόμενος, ἑαυτὸν εἰς ὀρθὸν καθιστὰς καὶ ἀντίπαλον, πύκτης ὅπως εἰς χεῖρας, ἐκ τοῦ ταπεινοῦ καὶ οἰκτροῦ τῇ μεγαλαυχίᾳ μεταφέρων εἰς τὸ γαῦρον καὶ ὑψηλὸν, οὐκ ἐπαχθὴς, οὐδὲ θρασὺς, ἀλλὰ μέγας εἶναι δοκεῖ καὶ ἀήττητος. Ὡς που καὶ τὸν Πάτροκλον ὁ Ποιητὴς μέτριον καὶ ἀνεπίφθονον ἐν τῷ κατορθοῦν, ἐν δὲ τῷ τελευτᾷν μεγαλήγορον πεποίηκε λέγοντα· " Τοιοῦτοι δ' εἴπερ μοι ἐείκοσιν ἀντεβόλησαν." *Plutarch. de sui Laude.*

Ver. 848. Πάντες ἂν αὐτόθ' ὄλοντο.] *Al.* Πάντες κ' αὐτόθ' ὄλοντο.

Ver. 851. — σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.]
Καὶ ταῦτ' ἐπίστω, καὶ γράφου φρενῶν ἔσω.
Sophocl. Philoctet. ver. 1318.

Sensibus hæc imis, res est non parva, reponas. *Virg. Eclog.* III, 54.

Accipite ergo animis, atque hæc mea figite dicta. *Æn.* III, 250.

——— Tu condita mente teneto.
Ibid. 588.

——— Simul hæc animo hauri.
Æn. XII, 26.

Ver. 852. Οὔ θην οὐδ' αὐτὸς δηρὸν βίῃ.]
——— non me, quicunque es, inulto,
Victor, nec longum lætabere; te quoque fata
Prospectant paria, atque eadem mox arva tenebis. *Æn.* X, 739.

Quem locum *Macrobius* inter eos recenset, in quibus Poëtarum "*par penè splendor am*" *borum est.*" *Lib.* V, *cap.* 12.

Ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιὴ,
Χερσὶ δαμέντ' Ἀχιλῆος ἀμύμονος Αἰακίδαο.
Ὡς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε.
Ψυχὴ δ' ἐκ ῥεθέων πταμένη ἄϊδόσδε βεβήκει,
Ὃν πότμον γοόωσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην.
Τὸν καὶ τεθνειῶτα προσηύδα φαίδιμος Ἕκτωρ·
Πατρόκλεις, τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον;
Τίς δ' οἶδ', εἴκ' Ἀχιλεὺς, Θέτιδος πάϊς ἠϋκόμοιο,
Φθήῃ ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσαι;
Ὡς ἄρα φωνήσας δόρυ χάλκεον ἐξ ὠτειλῆς
Εἴρυσε, λὰξ προσβάς· τὸν δ' ὕπτιον ὦσ' ἀπὸ δουρός.
Αὐτίκα δὲ ξὺν δουρὶ μετ' Αὐτομέδοντα βεβήκει,
Ἀντίθεον θεράποντα ποδώκεος Αἰακίδαο·
Ἵετο γὰρ βαλέειν· τὸν δ' ἔκφερον ὠκέες ἵπποι
Ἄμβροτοι, οὓς Πηλῆϊ θεοὶ δόσαν, ἀγλαὰ δῶρα.

" Propè astat mors et fatum violentum,
" Manibus domando Achillis eximii Aeacidae."
Sic illum quidem locutum finis mortis obtexit.
Anima autem è membris volans ad orcum descendit,
Suam sortem lugens, relicto robore-virili et juventâ.
Hunc et mortuum allocutus est illustris Hector:
" Patrocle, cur mihi vaticinaris grave exitium?
" Quis verò scit, an Achilles Thetidis filius comas-pulchrae,
" Prior meâ hastâ percussus animam perdiderit?"
Sic sanè locutus hastam aeream è vulnere
Traxit, calce impresso; illum verò supinum repulit ab hastâ.
Statim autem cum hastâ in Automedontem ibat,
Deo-parem famulum velocis Aeacidae;
Cupiebat enim percutere: Illum verò extulerunt veloces equi
Immortales, quos Peleo dii dederant, splendida dona.

Ver. 856. Ψυχὴ δ' ἐκ ῥεθέων.]
Vitaque cum gemitu fugit indignata sub umbras. *Æn.* XI, 831. XII, 952.

Ibid. —— βεβήκει.] Similiterque *ver.* 864. Αὐτίκα — βεβήκει. Vide suprà ad *ver.* 751.

Ver. 857. Ὃν πότμον γοόωσα.] Vituperat hunc locum *Plato.* Δεῖ δὴ (ὡς ἔοικεν) ἡμᾶς ἐπιστατεῖν καὶ περὶ τούτων τῶν μύθων τοῖς ἐπιχειροῦσι λέγειν, καὶ δεῖσθαι μὴ λοιδορεῖν ἁπλῶς οὕτω τὰ ἐν ᾅδου, ἀλλὰ μᾶλλον ἐπαινεῖν, ὡς οὔτ' ἀληθῆ λέγοντας, οὔτ' ὠφέλιμα τοῖς μέλλουσι μαχίμοις ἔσεσθαι. —— Ἐξαλείψωμεν ἄρα — πάντα τὰ τοιαῦτα ——, " Ψυχὴ δ' ἐκ ῥεθέων " πταμένη ἄϊδόσδε βεβήκει, Ὃν πότμον γοόω- " σα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην." ——Ταῦτα καὶ τὰ τοιαῦτα πάντα, παραιτησόμεθα Ὅμηρόν τε καὶ τοὺς ἄλλους ποιητὰς μὴ χαλεπαίνειν, ἂν διαγράφωμεν· οὐχ ὡς οὐ ποιητικὰ καὶ ἡδέα τοῖς πολλοῖς ἀκούειν· ἀλλ', ὅσῳ ποιητικώτερα, τοσούτῳ ἧττον ἀκουστέον παισὶ καὶ ἀνδράσιν, οὓς δεῖ ἐλευθέρους εἶναι, δουλείαν θανάτου μᾶλλον πεφοβημένους. *De Republ. lib.* 3. Similitèr et *Plutarchus:* Ὅσοι—τὸν θάνατον ὡς οἰκτρὸν, ἢ τὴν ἀταφίαν ὡς δεινὸν ὀλοφυρόμενοι καὶ δεδιότες, φωνὰς ἐξενηνόχασι. —" Ψυχὴ δ' ἐκ ῥεθέων πταμένη " ἄϊδόσδ' ἐβεβήκει, Ὃν πότμον γοόωσα, λιποῦσ' " ἁδροτῆτα καὶ ἥβην," ——αὗται πεπονθότων εἰσὶ καὶ προσεαλωκότων ὑπὸ δόξης καὶ ἀπάτης. Διὸ μᾶλλον ἅπτονται καὶ διαταράττουσιν ἡμᾶς, ἀναπιμπλαμένους τοῦ πάθους καὶ τῆς ἀσθενείας, ἀφ' ἧς λέγονται. *De audiend. Poëtis.*

Ibid. —— ἀνδροτῆτα.] *Al.* ἁδροτῆτα. Quo modo et legit *Plutarchus*, loco suprà citato.

Ver. 858. —τεθνειῶτα.] Vide suprà ad β', 818.

Ver. 861.——Φθήῃ.] *Al.* Φθαίῃ.

Ver. 862. Ὡς ἄρα φωνήσας δόρυ χάλκεον ἐξ ὠτειλῆς Εἴρυσε.]

——Hoc dicens eduxit corpore telum.
Æn. X, 744.

ΤΗΣ

ΟΜΗΡΟΥ ΙΛΙΑΔΟΣ

ῬΑΨΩΙΔΙΑ, ἢ ΓΡΑΜΜΑ Ρ'.

Ὑπόθεσις τῆς Ρ'. ὉΜΗΡΟΥ Ῥαψῳδίας.

Περὶ τοῦ Πατρόκλου σώματος κρατερὰ συνίσταται μάχη, καθ' ἣν καὶ Εὔφορβος μὲν ἀναιρεῖται ὑπὸ Μενελάου· Ἕκτωρ δὲ τὴν Ἀχιλλέως ἐνδύεται πανοπλίαν, καὶ ἀνθίσταται τοῖς Ἕλλησιν. Οἱ δὲ περὶ Μενέλαον, Ἀντίλοχον διαπέμπονται πρὸς Ἀχιλλέα, τὸν Πατρόκλου θάνατον ἀγγέλλοντα. Ὑποδύντες δὲ καὶ ἀράμενοι τὸ σῶμα τοῖς ὤμοις, ἐκφέρουσι τῆς μάχης· οἱ δὲ Αἴαντες προμαχοῦσι καὶ ἀπείργουσι τοὺς πολεμίους.

Ἐπιγραφαί.

Αριστεία Μενελάου.

Ἄλλως.

Ῥῶ, Δαναοὶ, Τρῶές τε, νέκυν πέρι, χεῖρας ἔμισγον.

Ἄλλη.

Ῥῶ, Δαναοὶ, Τρῶές τε, περὶ νέκυν ἀμφεμάχοντο.

Ἄλλη.

Ῥῶ, κατερὴ ἔρις ὦρτο, Μενοιτιάδαο πεσόντος.

Οὐδ' ἔλαθ' Ἀτρέος υἱὸν, ἀρηΐφιλον Μενέλαον,
Πάτροκλος Τρώεσσι δαμεὶς ἐν δηϊοτῆτι·
Βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ·
Ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖν', ὥς τις περὶ πόρτακι μήτηρ,
Πρωτοτόκος, κινυρὴ, οὐ πρὶν εἰδυῖα τόκοιο·
Ὣς περὶ Πατρόκλῳ βαῖνε ξανθὸς Μενέλαος·

Neque latuit Atrei filium, bellicosum Menelaum,
Patroclus à Trojanis domitus in prœlio:
Processit autem per primos-pugnatores armatus corusco aere;
Ipsumque circumiens-protegebat, tanquam aliqua circum vitulum mater,
Tum-primum-enixa, querula, non antè experta partum:
Ita circa Patroclum ibat flavus Menelaus:

Ver. 1. Οὐδ' ἔλαθ' Ἀτρέος υἱὸν.] Cod. *Harleian.* Οὐδ' ἔλαθ' Ἄτρεως υἱόν. Quod et ferri possit. Vide suprà ad β', 811.

Ver. 4. —— ἄρ'.] *Ut par erat*, ——.

Ver. 5. —— οὐ πρὶν εἰδυῖα.] Quâ ratione, πρὶν, hîc ultimam producat; item, δὲ, *ver.* 17. et ἀδήριτος, *ver.* 42. et Ἀντικρὺ, *ver.* 49. et ἄλις, *ver.* 54. vide suprà ad ά, 51. n. 8.

Πρόσθε δέ οἱ δόρυ τ' ἔσχε καὶ ἀσπίδα πάντοσ' ἐίσην,
Τὸν κτάμεναι μεμαὼς, ὅστις τοῦ γ' ἀντίος ἔλθοι.
Οὐδ' ἄρα Πάνθου υἱὸς ἐϋμμελίης ἀμέλησε
Πατρόκλοιο πεσόντος ἀμύμονος· ἄγχι δ' ἄρ' αὐτοῦ
Ἔστη, καὶ προσέειπεν ἀρηΐφιλον Μενέλαον·
  Ἀτρείδη Μενέλαε, διοτρεφὲς, ὄρχαμε λαῶν,
Χάζεο, λεῖπε δὲ νεκρὸν, ἔα δ' ἔναρα βροτόεντα·
Οὐ γάρ τις πρότερος Τρώων κλειτῶν τ' ἐπικούρων
Πάτροκλον βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην·
Τῷ με ἔα κλέος ἐσθλὸν ἐνὶ Τρώεσσιν ἀρέσθαι,
Μή σε βάλω, ἀπὸ δὲ μελιηδέα θυμὸν ἕλωμαι.
  Τὸν δὲ μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος·
Ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι.
Οὔτ' οὖν πορδάλιος τόσσον μένος, οὔτε λέοντος,
Οὔτε συὸς κάπρου ὀλοόφρονος, οὗ τε μέγιστος
Θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει,
Ὅσσον Πάνθου υἷες ἐϋμμελίαι φρονέουσιν.
Οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο
Ἧς ἥβης ἀπόνηθ', ὅτε μ' ὤνατο, καί μ' ὑπέμεινε,
Καί μ' ἔφατ' ἐν Δαναοῖσιν ἐλέγχιστον πολεμιστὴν
Ἔμμεναι· οὐδέ ἑ φημὶ ποδεσσί γε οἷσι κιόντα,

Praetendit autem ipsi hastamque et clypeum undique aequale,
Illum interficere paratus, quicunque sibi adversum veniret.
Neque verò Panthi filius hastâ-praestans neglexit
Patroclum stratum eximium: prope autem ipsum
Stetit, et allocutus est bellicosum Menelaum:
" Atridae Menelaë, Jovis alumne, dux populorum,
" Recede, et linque mortuum, sinitoque spolia cruenta:
" Non enim quisquam prior Trojanorum inclytorumque sociorum
" Patroclum percussit hastâ in asperâ pugnâ:
" Quare me sine gloriam magnam inter Trojanos reportare,
" Ne te percutiam, dulcemque animam eripiam."
Illum verò graviter indignans allocutus est flavus Menelaus:
" Jupiter pater, haud sanè decorum superbè gloriari.
" Nec verò pantherae tanti spiritus, neque leonis,
" Neque suis apri infesti, (cujus tamen maximus
" Animus in pectoribus supra-modum robore truculentus-effertur)
" Quantam Panthi filii hastae-peritiâ-insignes ferociam-spirant.
" Atqui neque vis Hyperenoris equûm-domitoris
" Suæ juventutis fructum-percepit, cùm me probris-incessit, et me expectavit,
" Et me dicebat inter Danaos ignavissimum bellatorem
" Esse: Neque ipsum autumo pedibus suis reversum,

Ver. 10. —— ἄρ'.] *Proindè* ——.
Ver. 14. — κλειτῶν.] Cod. *Harleian.* κλητῶν.
Ver. 19. καλὸν.] Vide suprà ad β', 43.
Ver. 20. — πορδάλιος.] *Al.* παρδάλιος.

Ver. 22. — περὶ σθένεϊ.] *Al.* μέγα σθένεϊ.
Ver. 23. —— φρονέουσιν.] *Al.* φορέουσιν.
Ver. 24. — βίη Ὑπερήνορος.] Vide suprà ad ν', 758.
Ibid. — ἱπποδάμοιο.] Vide suprà ad β', 23.

Εὐφρῆναι ἄλοχόν τε φίλην, κεδνούς τε τοκῆας.
Ὣς θὴν καὶ σὸν ἐγὼ λύσω μένος, εἴκε μεῦ ἄντα
Στήῃς· ἀλλά σ' ἐγὼν ἀναχωρήσαντα κελεύω
Ἐς πληθὺν ἰέναι· μηδ' ἀντίος ἵστασ' ἐμεῖο,
Πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω.
Ὣς φάτο· τὸν δ' οὐ πεῖθεν· ἀμειβόμενος δὲ προσηύδα·
Νῦν μὲν δὴ, Μενέλαε διοτρεφὲς, ἦ μάλα τίσεις
Γνωτὸν ἐμὸν, τὸν ἔπεφνες· ἐπευχόμενος δ' ἀγορεύεις·
Χήρωσας δὲ γυναῖκα μυχῷ θαλάμοιο νέοιο,
Ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας.
Ἦ κέ σφιν δειλοῖσι γόου κατάπαυμα γενοίμην,
Εἴκεν ἐγὼ κεφαλήν τε τεὴν καὶ τεύχε' ἐνείκας,
Πάνθῳ ἐν χείρεσσι βάλω καὶ Φρόντιδι δίῃ.
Ἀλλ' οὐ μὰν ἔτι δηρὸν ἀπείρητος πόνος ἔσται,
Οὐδέ τ' ἀδήριτος, οὔτ' ἀλκῆς, οὔτε φόβοιο.
Ὣς εἰπὼν, οὔτησε κατ' ἀσπίδα πάντοσε ἴσην·
Οὐδ' ἔρρηξεν χαλκὸν, ἀνεγνάμφθη δέ οἱ αἰχμὴ

" Oblectâsse uxoremque dilectam, venerandosque parentes.
" Sic certè et tuum ego solvam robur, si me contra
" Steteris: sed te ego recedentem hortor
" In turbam abire; neque adversus consistas mihi,
" Antequàm aliquod malum passus fueris: factum verò et stultus agnovit."
Sic dixit: illi verò non persuasit; sed vicissim affatus est:
" Nunc ergo jam, Menelaë Jovis alumne, omninò certè ultionem-dabis
" Fratri meo, quem interfecisti; et jactabundus praedicas:
" Viduâsti autem uxorem in conclavi thalami recentis,
" Immensumque parentibus luctum et moerorem fecisti.
" Ipsis equidem miseris luctûs finis essem,
" Si quidem ego caputque tuum et arma reportata,
" Pantho in manus dedero et Phrontidi nobili.
" Sed non quidem jam diutiùs intentatus labor erit,
" Neque certaminis-expers, neque virtutis, neque terroris."
Sic fatus, feriit clypeum undique aequale:
Neque perrupit aes, recurvata autem est ei cuspis

Ver. 30. ——— ἐγὼν ἀναχωρήσαντα.] Cod. *Harleian.* ἔγωγ' ἀναχωρήσαντα.

Ver. 32. ——— ῥεχθὲν δέ τε νήπιος ἔγνω.] Sic *Hesiodus :*

——— παθὼν δέ τε νήπιος ἔγνω.
Ἔργ. καὶ Ἡμερ. I, 216.

Atque hinc *Plato :* Εὐλαβηθῆναι, καὶ μὴ, κατὰ τὴν παροιμίαν, ὥσπερ νήπιον, παθόντα γνῶναι. *Convivium,* haud longè à fine.

Ver. 34. — τίσεις.] Vide suprà ad ί, 508.

Ver. 35. —— τὸν ἔπεφνες.] Cod. *Harleian.* ὃν ἔπεφνες.

Ver. 37. Ἀρητὸν.] *Al.* Ἄῤῥητον. Quo modo legit et Codex *Harleianus.*

Ibid. —— τοκεῦσι.] γονεῦσι. Cod. à. *Tho. Bentleio* collatus.

Ver. 42. Οὐδέ τ' ἀδήριτος, οὔτ' ἀλκῆς, οὔτε φόβοιο.] Cod. *Harleian.* Οὐδ' ἔτ' ἀδήριτος, ἠδ' ἀλκῆς ἠδὲ φόβοιο.

Ibid. —— ἀδήριτος.] *Al.* ἀδήριντος.

Ver. 43. 44. —— οὔτησε κατ' ἀσπίδα —— Οὐδ' ἔρρηξεν χαλκὸν.

—— rauco quod protinus ære repulsum,
Et summo clypei nequicquam umbone pependit. *Æn.* II, 545.

Ibid. —— οὔτησε.] Vide suprà ad λ', 260.

Ver. 44. Οὐδ' ἔρρηξεν χαλκὸν.] *Al.* Οὐδ' ἔρρηξεν χαλκός.

Ἀσπίδι ἐν κρατερῇ· ὁ δὲ δεύτερος ὤρνυτο χαλκῷ
Ἀτρείδης Μενέλαος, ἐπευξάμενος Διῒ πατρί.
Ἄψ δ' ἀναχαζομένοιο κατὰ στομάχοιο θέμεθλα
Νύξ', ἐπὶ δ' αὐτὸς ἔρεισε, βαρείῃ χειρὶ πιθήσας·
Ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή.
Δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Αἵματί οἱ δεύοντο κόμαι, Χαρίτεσσιν ὁμοῖαι,
Πλοχμοί θ', οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.
Οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης
Χώρῳ ἐν οἰοπόλῳ, ὅθ' ἅλις ἀναβέβρυχεν ὕδωρ,
Καλὸν, τηλεθάον, τὸ δέ τε πνοιαὶ δονέουσι
Παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῷ·
Ἐλθὼν δ' ἐξαπίνης ἄνεμος σὺν λαίλαπι πολλῇ,
Βόθρου τ' ἐξέστρεψε καὶ ἐξετάνυσσ' ἐπὶ γαίῃ·
Τοῖον Πάνθου υἱὸν ἐϋμμελίην Εὔφορβον
Ἀτρείδης Μενέλαος, ἐπεὶ κτάνε, τεύχε' ἐσύλα.
Ὡς δ' ὅτε τίς τε λέων ὀρεσίτροφος, ἀλκὶ πεποιθὼς,

Scuto in valido: Secundus verò impetum-fecit aere
Atrides Menelaus, precatus Jovem patrem.
Pedem autem retrahentis gulam imam
Percussit, et ipse connixus-imprimebat, robustâ manu fretus:
E-regione autem mollem per cervicem abiit cuspis.
Fragorem verò edidit cadens, sonitumque dedêre arma super ipsum.
Sanguine ei rigabantur comae, Gratiis similes,
Cincinnique, qui auroque et argento constricti erant.
Qualem verò nutrit plantam vir latè-frondentem olivae
Loco in solitario, ubi abundè scaturit aqua,
Pulchram, germinantem, quam flatus motant
Omnium ventorum, et pullulat *ea* flore albo;
Veniens autem repentè ventus cum turbine multo,
Fossâque evertit, et extendit super terram:
Talem Panthi filium hastae-peritiâ-insignem Euphorbum
Atrides Menelaus, postquam interfecerat, armis spoliabat.
Ut verò quando quis leo in-montibus-nutritus, robore fretus,

Ver. 45. Ἀσπίδι ἐν κρατερῇ.] *Al.* Ἀσπίδ' ἐνὶ κρατερῇ.

Ibid. —— ὤρνυτο.] Vide suprà ad γ', 260.

Ver. 49. — ἤλυθ'.] Vide suprà ad ό, 484. et ad ά, 37.

Ver. 50. Δούπησεν —— ἀράβησε.] Vide suprà ad ν', 181.

Ver. 51. Αἵματί οἱ δεύοντο κόμαι.] Τῶν Ὁμηρικῶν στίχων ἐκείνους μάλιστα ἐξύμνει [ὁ Πυθαγόρας,] καὶ μετὰ λύρας ἐμμελέστατα ἀπέπεμπεν. "Αἵματί οἱ δεύοντο κόμαι χαρίτεσ-"σιν ὁμοῖαι, Πλοχμοί θ'," &c. *Porphyrius de vitâ Pythagoræ.* Eadem et *Iamblichus de vitâ Pythagoræ, cap.* XIV. nisi quòd pro ἀπέπεμπεν, legatur ἀνέμελπε.

Ver. 53. Οἷον δὲ τρέφει ἔρνος.] Εὕροις δ' ἂν καὶ Ὅμηρον, τὸν μέγαν ποιητὴν, ἐκεῖνα τὰ ἔπη, "Οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης," καὶ τὰ ἑξῆς, κατὰ λέξιν μετενηνοχότα παρ' Ὀρφέως ἐκ τοῦ Διονύσου ἀφανισμοῦ. *Clemens Alexandrinus, Strom.* 6.

Ver. 54. —— ἀναβέβρυχεν.] Vide suprà ad ν', 736. et ad ά, 37.

Ver. 58. —— ἐξετάνυσσ'.] Ita rectè ex uno MS. edidit *Barnesius.* *Al.* ἐξετάνυσ'. Quod penultimam corripit: —— νύκτ' ὀλοὴν τάνυσε κρατερῇ ὑσμίνῃ, suprà, π', 567.

Ver. 61. —— ἀλκὶ.] Vide suprà ad έ, 299.

Βοσκομένης ἀγέλης βοῦν ἁρπάσῃ, ἥτις ἀρίστη·
Τῆς δ' ἐξ αὐχέν' ἔαξε, λαϐὼν κρατεροῖσιν ὀδοῦσι,
Πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύσσει
Δῃῶν, ἀμφὶ δὲ τόν γε κύνες τ' ἄνδρες τε νομῆες
Πολλὰ μάλ' ἰΰζουσιν ἀπόπροθεν, οὐδ' ἐθέλουσιν
Ἀντίον ἐλθέμεναι· μάλα γὰρ χλωρὸν δέος αἱρεῖ·
Ὣς τῶν οὔ τινι θυμὸς ἐνὶ στήθεσσιν ἐτόλμα
Ἀντίον ἐλθέμεναι Μενελάου κυδαλίμοιο.
Ἔνθα κε ῥεῖα φέροι κλυτὰ τεύχεα Πανθοΐδαο
Ἀτρείδης, εἰ μή οἱ ἀγάσσατο Φοῖϐος Ἀπόλλων,
Ὅς ῥά οἱ Ἕκτορ' ἐπῶρσε, θοῷ ἀτάλαντον Ἄρηϊ,
Ἀνέρι εἰσάμενος Κικόνων ἡγήτορι Μέντῃ·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων
Ἵππους Αἰακίδαο δαΐφρονος· οἱ δ' ἀλεγεινοὶ
Ἀνδράσι γε θνητοῖσι δαμήμεναι, ἠδ' ὀχέεσθαι,
Ἄλλῳ γ', ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
Τόφρα δέ τοι Μενέλαος, ἀρήϊος Ἀτρέος υἱὸς,
Πατρόκλῳ περιϐὰς, Τρώων τὸν ἄριστον ἔπεφνε,
Πανθοΐδην Εὔφορϐον, ἔπαυσε δὲ θούριδος ἀλκῆς.

Pascentis armenti bovem rapuerit, quae optima:
Hujus autem cervicem frangit, correptam validis dentibus,
Primùm, deindè verò sanguinemque et viscera omnia haurit
Dilanians; circum autem hunc canesque virique pastores
Crebrò admodùm clamant è longinquo, neque animus fert
Contrà ire; valde enim pallidus timor occupat:
Sic horum nemini animus in pectoribus audebat
Contra ire Meneláum gloriâ-sublimem.
Tunc quidem facilè abstulisset inclyta arma Panthoidae
Atrides, nisi ipsi invidisset Phoebus Apollo,
Qui in eum Hectorem incitavit veloci parem Marti,
Viro se-cum-assimulâsset Ciconum ductori Mentae:
Et ipsum editâ-voce verbis alatis allocutus est:
" Hector, nunc tu quidem sic curris, quos-non-assequêris persequens
" Equos Aeacidae bellicosi: illi verò difficiles
" Viris quidem mortalibus domitu, et equitatu,
" Alii saltem, quàm Achilli, quem immortalis peperit mater.
" Interim autem tibi Menelaus, Mavortius Atrei filius,
" Patroclum protegens, Trojanorum fortissimum occidit
" Panthoidem Euphorbum, finemque imposuit impetuosae fortitudini.

Ver. 62. —— ἁρπάσῃ.] Vide suprà ad ν΄, 192. et ad ά, 140.

Ver. 64.—αἷμα καὶ ἔγκατα πάντα λαφύσσει.] Vide suprà ad λ΄, 176.

Ver. 66. —— ἰΰζουσιν.] Vide suprà ad γ΄, 363. et ad δ΄, 455.

Ver. 72. — ἀτάλαντον.] Vide sup. ad β΄, 627.

Ver. 73. — εἰσάμενος.] Vide suprà ad ν΄, 45. et ad γ΄, 141.

Ver. 78. Ἄλλῳ γ', ἢ Ἀχιλῆϊ.] Vide suprà ad ν΄, 324.

Ibid. — ἀθανάτη.] Vide suprà ad ά, 398.

Ὣς εἰπὼν, ὁ μὲν αὖθις ἔβη θεὸς ἄμπονον ἀνδρῶν·
Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἀμφὶ μελαίνας·
Πάπτηνεν δ' ἄρ' ἔπειτα κατὰ στίχας· αὐτίκα δ' ἔγνω
Τὸν μὲν ἀπαινύμενον κλυτὰ τεύχεα, τὸν δ' ἐπὶ γαίῃ
Κείμενον· ἔῤῥει δ' αἷμα κατ' οὐταμένην ὠτειλήν.
Βῆ δὲ διὰ προμάχων, κεκορυθμένος αἴθοπι χαλκῷ,
Ὀξέα κεκληγὼς, φλογὶ εἴκελος Ἡφαίστοιο
Ἀσβέστῳ· οὐδ' υἱὸν λάθεν Ἀτρέος ὀξὺ βοήσας·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὤ μοι ἐγὼν, εἰ μέν κε λίπω κατὰ τεύχεα καλὰ,
Πάτροκλόν θ', ὃς κεῖται ἐμῆς ἕνεκ' ἐνθάδε τιμῆς,
Μή τις μοὶ Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται·
Εἰ δέ κεν Ἕκτορι μοῦνος ἐὼν καὶ Τρωσὶ μάχωμαι
Αἰδεσθεὶς, μήπως με περιστείωσ' ἕνα πολλοί·

Sic fatus, rursus quidem abiit deus per-laborem virorum:
Hectori verò gravis dolor circumtexit mentem profundam:
Circumspectabat autem deinde per ordines; statim verò animadvertit
Hunc quidem auferentem inclyta arma, illum autem in terrâ
Jacentem: Fluebat verò sanguis per inflictum vulnus.
Processit autem per primos-pugnatores, armatus corusco aere,
Acutùm clamans, flammae similis Vulcani
Inextinguibili; neque filium latuit Atrei acutùm vociferans:
Ingemiscens verò *is* dixit ad suum magnum animum:
" Hei mihi; si quidem dereliquero arma pulchra,
" Patroclumque, qui jacet meum propter hîc honorem;
" *Vereor*, ne quis mihi Danaorum succenseat, qui viderit:
" Si verò cum Hectore solus et Trojanis pugnem
" Prae-verecundiâ-*fugae*, *metuo* ne quà me circumveniant unum multi:

Ver. 83. —— πύκασε.] Vide suprà ad ά, 140.

Ibid. — φρένας ἀμφὶ μελαίνας.] " Fallitur " —— [*Hadrianus Junius*] quòd φρένας μελαίνας, sive *nigra præcordia*, pro *prudentiæ* argumento haberi opinatur, ubi Homerus eas Hectori tribuit, *Il.* ρ', *ver.* 83: " cum *fortitudinis* sint potiùs; neque enim " illa, sed ista est Hectoris laus." *Gataker. in Antoninum, lib.* IV. § 28. Vide et suprà ad ά, 103.

Ver. 85. —— ἀπαινύμενον.] Vide suprà ad γ', 260.

Ver. 86. —— οὐταμένην ὠτειλήν.] *Al.* οὐταμένης ὠτειλῆς. Cæterùm non est hoc ταυτολόγον, sed *vulnus cominùs inflictum* denotat.

Ἄψ δ' ἀναχαζομένοιο κατὰ στομάχοιο θέμεθλα
Νύξ', ἐπὶ δ' αὐτὸς ἔρεισε, βαρείῃ χειρὶ πιθήσας.
suprà *ver.* 47.

Οἱ νεώτεροι οὐκ ἴσασι τὴν διαφορὰν τοῦ " οὐτάσαι," καὶ " βαλεῖν." Ὅμηρος δὲ " οὐτάσαι" μὲν τὸ ἐκ χειρὸς καὶ ἐκ τοῦ συνεγγὺς τρῶσαι, " βαλεῖν" δὲ τὸ πόῤῥωθεν. *Schol. ad Euripid. Hippolyt.* 684. Vide et suprà ad δ', 540.

Ver. 88. Ὀξέα κεκληγὼς.] Vide suprà ad β', 222 et 314.

Ibid. —— εἴκελος.] Ita ex uno MS. edidit *Barnesius. Al.* ἴκελος. Minùs rectè. Vide suprà ad ν'. 53.

Ver. 89. Ἀσβέστῳ· οὐδ' υἱὸν λάθεν Ἀτρέος.] Edidit *Barnesius* ex conjecturâ, Ἀσβέστῳ οὐδ' υἷα λάθ' Ἀτρέος. Dubitari tamen potest, annon *media* vocis " Ἀσβέστῳ" hoc in loco corripiatur. Vide suprà ad β', 537.

Ver. 91. — καλὰ.] Vide suprà ad β', 43.

Ver. 95. — μήπως με περιστείωσ' ἕνα πολλοί· Τρῶας δ' ἐνθάδε πάντας ἄγει.] *Henricus Stephanus* legendum conjicit: —— μήπως με περιστείωσ' ἕνα πολλοὶ, Τρῶας δ' ἐνθάδε πάντας ἄγῃ· Ut scilicèt vox " ἄγῃ" ad μήπως referatur.

Ibid. —— περιστείωσ'.] *Al.* περιστιχόωσ'.

Τρῶας δ' ἐνθάδε πάντας ἄγει κορυθαίολος Ἕκτωρ.
Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
Ὁππότ' ἀνὴρ ἐθέλει πρὸς δαίμονα φωτὶ μάχεσθαι,
Ὅν κε θεὸς τιμᾷ, τάχα οἱ μέγα πῆμα κυλίσθη·
Τῷ μ' οὔτις Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται
Ἕκτορι χωρήσαντ', ἐπεὶ ἐκ θεόφιν πολεμίζει.
Εἰ δέ που Αἴαντός γε βοὴν ἀγαθοῖο πυθοίμην,
Ἄμφω κ' αὖτις ἰόντες ἐπιμνησαίμεθα χάρμης,
Καὶ πρὸς δαίμονά περ, εἴ πως ἐρυσαίμεθα νεκρὸν
Πηλείδῃ Ἀχιλῆϊ· κακῶν δέ κε φέρτερον εἴη.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμὸν,
Τόφρα δ' ἐπὶ Τρώων στίχες ἤλυθον· ἦρχε δ' ἄρ' Ἕκτωρ.
Αὐτὰρ ὅγ' ἐξοπίσω ἀνεχάζετο, λεῖπε δὲ νεκρὸν
Ἐντροπαλιζόμενος· ὥστε λῖς ἠϋγένειος,
Ὅν ῥα κύνες τε καὶ ἄνδρες ἀπὸ σταθμοῖο δίωνται
Ἔγχεσι καὶ φωνῇ· τοῦ δ' ἐν φρεσὶν ἄλκιμον ἦτορ
Παχνοῦται, ἀέκων δέ τ' ἔβη ἀπὸ μεσσαύλοιο·
Ὣς ἀπὸ Πατρόκλοιο κίε ξανθὸς Μενέλαος.

" Trojanos enim huc omnes adducit pugnam-expeditè-ciens Hector.
" Sed cur mihi haec meus secum-disserit animus?
" Quandocunque homo velit adversus deum cum viro pugnare,
" Quem deus honorat, statim in eum magna clades devolvitur:
" Ideò mihi nemo Danaorum succensebit, qui viderit
" Hectori cedentem, quoniam deo-jubente pugnat.
" Sicubi verò Ajacem proelio strenuum audire-potuero,
" Ambo tum reversi reminisceremur pugnae,
" Etiam adversus deum; si quo modo eripere poterimus mortuum
" In gratiam Pelidae Achillis: inter mala sanè melius esset."
Dum is haec versabat in mente et in animo,
Intereà Troüm ordines supervenerunt; praeibat autem Hector.
Hic verò retrocessit, reliquitque mortuum
Subinde-se-convertens; ut leo benè-barbatus,
Quem canesque et viri è stabulo abigunt
Contis et clamore: ejus autem in praecordiis forte cor
Cohorrescit, invitusque *is* abit à caulâ:
Sic à Patroclo discessit flavus Menelaus.

Ver. 96. —— κορυθαίολος.] Vide suprà ad β', 816.

Ver. 98. —— ἐθέλει.] *Al.* ἐθέλῃ.

Ver. 99. Ὅν κε θεὸς τιμᾷ.] Post hunc versum inserit *Barnesius*, nullâ satis idoneâ auctoritate:

Ζεὺς γάρ οἱ νεμέσησ'· ὅς ἀμείνονι φωτὶ μάχοιτο.

Vide suprà ad λ', 542.

Ver. 102. —— βοὴν ἀγαθοῖο.] Vide suprà ad β', 408.

Ver. 104. —— περ, εἴ.] Quâ ratione, περ, hîc producatur; item ultimæ vocum, Ἐντροπαλιζόμενος· et ὥστε, *ver.* 109. et παριστάμενος, *ver.* 119. vide suprà ad ά, 51.

Ver. 106. Ἕως ὁ.] Pronuntiabatur ὥσω, vel ὥσου. Vide suprà ad ό, 539.

Ibid. —— κατὰ φρένα καὶ κατὰ θυμὸν.]
— mentem animumque. *Æn.* VI, 11.

Ver. 107. Τόφρα δ'.] Vide suprà ad ό, 540. Malè *Barnesius*, Τοφράδ'.

Ibid. —— ἄρ'.] *Ut solitus est* ——.

Ver. 110. —— Ὅν ῥα.] *Quem scilicèt* ——.

Ver. 111. —— τοῦ δ' ἐν φρεσὶν ἄλκιμον ἦτορ Παχνοῦται.] Sic apud *Hesiodum*:

—— ἐπάχνωσεν φίλον ἦτορ.
Ἔργ. καὶ Ἡμερ. *ver.* 357.

Στῆ δὲ μεταστρεφθεὶς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων,
Παπταίνων Αἴαντα μέγαν, Τελαμώνιον υἱόν·
Τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχης ἐπ' ἀριστερὰ πάσης,
Θαρσύνονθ' ἑτάρους, καὶ ἐποτρύνοντα μάχεσθαι·
Θεσπέσιον γάρ σφιν φόβον ἔμβαλε Φοῖβος Ἀπόλλων·
Βῆ δὲ θέειν, εἶθαρ δὲ παριστάμενος ἔπος ηὔδα·
Αἶαν, δεῦρο, πέπον, περὶ Πατρόκλοιο θανόντος
Σπεύσομεν, αἴκε νέκυν περ Ἀχιλλῆϊ προφέρωμεν
Γυμνόν· ἀτὰρ τάγε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ.
Ὣς ἔφατ'· Αἴαντι δὲ δαΐφρονι θυμὸν ὄρινε·
Βῆ δὲ διὰ προμάχων, ἅμα δὲ ξανθὸς Μενέλαος.
Ἕκτωρ μὲν Πάτροκλον, ἐπεὶ κλυτὰ τεύχε' ἀπηύρα,
Ἕλχ', ἵν' ἀπ' ὤμοιϊν κεφαλὴν τάμοι ὀξέϊ χαλκῷ,
Τὸν δὲ νέκυν Τρωῇσιν ἐρυσσάμενος κυσὶ δοίη·
Αἴας δ' ἐγγύθεν ἦλθε, φέρων σάκος, ἠΰτε πύργον.
Ἕκτωρ δ' ἂψ ἐς ὅμιλον ἰὼν ἀνεχάζεθ' ἑταίρων·
Ἐς δίφρον δ' ἀνόρουσε· δίδου δ' ὅγε τεύχεα καλὰ
Τρωσὶ φέρειν προτὶ ἄστυ, μέγα κλέος ἔμμεναι αὐτῷ.
Αἴας δ' ἀμφὶ Μενοιτιάδῃ σάκος εὐρὺ καλύψας,
Εἱστήκει, ὥς τίς τε λέων περὶ οἷσι τέκεσσιν·

Constitit autem conversus, postquam venit ad agmen sociorum,
Circumspectando-quaerens Ajacem magnum Telamonium filium:
Hunc autem perquam celeritèr advertit pugnae ad laevam totius,
Confirmantem socios, et concitantem ad pugnam;
Divinitùs enim iis terrorem immiserat Phoebus Apollo:
Perrexit autem currere, et statim astans verbum dixit:
" Ajax, huc, amice, de Patroclo mortuo *pugnaturi*
" Festinemus, si cadaver saltem Achilli referre possimus
" Nudum: arma autem habet expeditè-pugnam-ciens Hector."
Sic dixit; Ajaci verò bellicoso animum commovit:
Processit autem per primos-pugnatores, simulque flavus Menelaus.
Hector quidem Patroclum, postquam inclytis armis exuerat,
Trahebat, ut ab humeris caput abscinderet acuto aere,
Et cadaver Trojanis raptatum canibus daret:
Ajax autem propè venit, gestans scutum, tanquam turrim.
Hector verò retrò in turbam abiens recedebat sociorum;
In currum autem concito-nisu-ascendit: deditque ille arma pulchra
Trojanis ferenda ad urbem, magna gloria ut-essent ipsi.
Ajax verò Menoetiadae scuto lato obtento,
Constitit, tanquam leo circumeundo-defensans suos natos:

Ver. 117. —— Θαρσύνονθ'.] Vide suprà ad ν', 825. et ad ά, 338.

Ibid. — ἐποτρύνοντα.] Vide suprà ad ν', 44.

Ver. 123. — Αἴαντι δὲ.] Quâ ratione, Αἴαντι, hîc ultimam producat; item ἐπακτῆρες, *ver.* 135. et Ἕκτορ, *ver.* 142. et πτολεῖ, *ver.* 152. et Πάτροκλον, *ver.* 159. et μιν, *ver.* 161. vide suprà ad ά, 51. n. 8.

Ver. 130. —— δίδου δ' ὅγε.] Vide suprà ad γ', 409.

Ver. 133—137—139. Εἱστήκει — βεβήκει. — Εἱστήκει.] Vide suprà ad δ', 434, 492. et ad ά, 37.

Ibid. — ὥς τίς τε λέων περὶ οἷσι τέκεσσιν.] Ὁ δὲ Ὁμηρικὸς λέων ———— ὅν ῥά τε
Νήπια τέκνα ἄγοντα συναντήσονται ἐν ὕλῃ

Ὧ ῥά τε νήπι' ἄγοντι συναντήσονται ἐν ὕλῃ
Ἄνδρες ἐπακτῆρες, ὁ δέ τε σθένεϊ βλεμεαίνει,
Πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται, ὄσσε καλύπτων·
Ὣς Αἴας περὶ Πατρόκλῳ ἥρωϊ βεβήκει.
Ἀτρείδης δ' ἑτέρωθεν, ἀρηΐφιλος Μενέλαος,
Εἱστήκει, μέγα πένθος ἐνὶ στήθεσσιν ἀέξων.
Γλαῦκος δ', Ἱππολόχοιο πάϊς, Λυκίων ἀγὸς ἀνδρῶν,
Ἕκτορ' ὑπόδρα ἰδὼν χαλεπῷ ἠνίπαπε μύθῳ·
"Ἕκτορ, εἶδος ἄριστε, μάχης ἄρα πολλὸν ἐδεύεο·
Ἦ σ' αὕτως κλέος ἐσθλὸν ἔχει, φύξηλιν ἐόντα.
Φράζεο νῦν, ὅππως κε πόλιν καὶ ἄστυ σαώσῃς
Οἶος σὺν λαοῖσι, τοὶ Ἰλίῳ ἐγγεγάασιν·
Οὐ γάρ τις Λυκίων γε μαχησόμενος Δαναοῖσιν
Εἶσι περὶ πτόλιος· ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
Μάρνασθαι δηΐοισι μετ' ἀνδράσι νωλεμὲς αἰεί.
Πῶς κε σὺ χείρονα φῶτα σαώσειας μεθ' ὅμιλον,
Σχέτλι'· ἐπεὶ Σαρπηδόν' ἅμα ξεῖνον καὶ ἑταῖρον
Κάλλιπες Ἀργείοισιν ἕλωρ καὶ κύρμα γενέσθαι·

Cui scymnos ducenti occurrerint in sylvâ
Viri venatores, hìc autem prae robore truces-oculos volvit,
Totumque supercilium deorsùm trahit, oculos tegens:
Sic Ajax Patroclum heroëm circumiens-protegebat.
Atrides autem ex-alterâ-parte, bellicosus Menelaus,
Stabat magnum luctum in pectoribus augens.
Glaucus verò, Hippolochi filius, Lyciorum ductor virorum,
Hectorem torvè intuitus gravi objurgavit sermone:
" Hector, formâ praestantissime, à bellicâ sanè virtute longè abes:
" Certè te sine causâ fama bona tenet, fugax cum-sis.
" Considera nunc, quomodò civitatem et urbem servare-possis
" Solus cum populis, qui in Ilio nati sunt:
" Non enim quisquam Lyciorum saltem pugnaturus cum Danaïs
" Ibit pro urbe; quoniam nulla utique gratia fuit
" Pugnare hostibus cum viris indesinentèr usque.
" Quomodò tu deteriorem virum servaveris in turbâ,
" Improbe; cùm Sarpedonem simul hospitem et socium
" Reliquisti Argivis capturam et praedam fieri:

Ἄνδρες ἐπακτῆρες, ὁ δὲ σθένεϊ βλεμεαίνει,
Πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται, ὄσσε καλύπτων,

ἆρα οὐχ ὅμοιός ἐστι διανοουμένῳ πρὸς τοὺς κυνηγοὺς σπένδεσθαι περὶ τῶν τέκνων; καθόλου γὰρ ἡ πρὸς τὰ ἔγγονα φιλοστοργία, καὶ τὰ τολμηρὰ δειλὰ ποιεῖ, καὶ φιλόπονα τὰ ῥᾴθυμα, &c. *Plutarch. de Amore prolis.*

Ver. 134. —— συναντήσονται.] *Al.* συναντήσωνται.

Ibid. —— ὕλῃ.] Vide suprà ad γʹ, 151.

Ver. 137. —— περὶ Πατρόκλῳ.] Cod. *Harleian.* ἐπὶ Πατρόκλῳ.

Ver. 142. — ἐδεύεο.] Pronuntiabatur ἐδεύου, vel ἐδεύευ· quomodo et scribi posteà cœptum est.

Ver. 147. —— πτόλιος· ἐπεὶ.] Edidit *Barnesius*, πτόλεως· ἐπεί· Sed nihil opus. Vide suprà ad ά, 51.

Ibid. —— ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν Μάρνασθαι.] *Quippe haud ei gratia fuerit tributa, qui pugnaverit, &c.*

Ver. 151. —— Ἀργείοισιν ἕλωρ.] Cod. *Harleian.* οἰωνοῖσι ἕλωρ.

Ὅς τοι πόλλ' ὄφελος γένετο πτόλεΐ τε καὶ αὐτῷ,
Ζωὸς ἐών· νῦν δ' οὔ οἱ ἀλαλκέμεναι κύνας ἔτλης.
Τῷ νῦν εἴτις ἐμοὶ Λυκίων ἐπιπείσεται ἀνδρῶν,
Οἴκαδ' ἴμεν, Τροίῃ δὲ πεφήσεται αἰπὺς ὄλεθρος
Εἰ γὰρ νῦν Τρώεσσι μένος πολυθαρσὲς ἐνείη
Ἄτρομον, οἷόν τ' ἄνδρας ἐσέρχεται, οἳ περὶ πάτρης
Ἀνδράσι δυσμενέεσσι πόνον καὶ δῆριν ἔθεντο·
Αἶψά κε Πάτροκλον ἐρυσαίμεθα Ἴλιον εἴσω.
Εἰ δ' οὗτος προτὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος
Ἔλθοι τεθνειὼς, καί μιν ἐρυσαίμεθα χάρμης,
Αἶψά κεν Ἀργεῖοι Σαρπηδόνος ἔντεα καλὰ
Λύσειαν, καί κ' αὐτὸν ἀγοίμεθα Ἴλιον εἴσω·
Τοίου γὰρ θεράπων πέφατ' ἀνέρος, ὃς μέγ' ἄριστος
Ἀργείων παρὰ νηυσὶ, καὶ ἀγχέμαχοι θεράποντες.
Ἀλλὰ σύγ' Αἴαντος μεγαλήτορος οὐκ ἐτάλασσας
Στήμεναι ἄντα, κατ' ὄσσε ἰδὼν δηΐων ἐν ἀϋτῇ,

" Qui magno commodo fuit urbique et ipsi tibi,
" Vivus existens: nunc verò non ab eo arcere canes sustinuisti.
" Itaque nunc si quis mihi Lyciorum obsequetur virorum,
" *Suadeo*, domum ire: Trojae verò manifesta-aderit gravis pernicies.
" Si enim nunc Trojanis vis animosa inesset
" Intrepida, qualis viros subit, qui pro patriâ
" Adversùs hostes laborem et certamen suscipiunt;
" Statim Patroclum traheremus in Ilium.
" Quòd si ille ad urbem magnam Priami regis
" Ascendisset mortuus, et ipsum traxissemus è pugnâ;
" Illico certè Argivi Sarpedonis arma pulchra
" *Hoc* pretio-redderent, et ipsum duceremus in Ilium:
" Ejus enim famulus interfectus est viri, qui longè fortissimus
" Argivorum apud naves, et cominus-pugnantes famuli.
" Sed tu Ajacem magnanimum non sustinuisti
" Stare contra, oculos intuitus hostium in pugnâ,

Ver. 157. ——— οἷόν τ' ἄνδρας ἐσέρχεται, οἳ περὶ πάτρης.] Ἡ μὲν γὰρ προαίρεσις ἔστω τοῦ πολιτικοῦ τῆς ἀσφαλείας ἐχομένη, καὶ φεύγουσα τὸ ταρακτικὸν τῆς κενῆς δόξης καὶ μανικὸν, ὡς εἴρηται· τῇ μέν τοι διαθέσει φρόνημα καὶ " μένος πολυθαρσὲς ἐνέστω Ἄτρομον, οἷόν τ' ἄνδρας ἐπέρχεται, οἳ περὶ πάτρης Ἀνδράσι δυσμενέεσσι" καὶ πράγμασι δυσκόλοις καὶ καιροῖς ἀντερείδουσι καὶ διαμάχονται. *Plutarch.* Πολιτ. παραγγέλμ.

Non ille pro charis amicis,
Aut patriâ timidus perire.
Horat. Carm. Lib. IV. *Od.* 9. *ver.* 51.

Ibid. — ἐσέρχεται.] Apud *Plutarchum*, loco jam citato, ἐπέρχεται.

Ver. 158. ——— δῆριν ἔθεντο.] δῆριν ἔχουσιν. MS. *Cantab.* à *Barnesio*, item MSS. *Vatican.* et *Harleian.* à *Th. Bentleio* collati.

Ver. 164. — πέφατ'.] Postulat Temporum ratio, ut vox " πέφατ' " hoc in loco non πέφατο sed πέφαται intelligatur; eliso nempè " αι," ut *Il.* μ', 68.

——— ἀλαπάζει
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ βούλετ' ἀρήγειν.

Item δ', 235.

——— Ζεὺς ἔσσετ' ἀρωγός.

Et *ver.* 271.

Ἔσσετ', ἐπεὶ ———.

Sic infrà *ver.* 689. hujus libri:

——— πέφαται δ' ὤριστος Ἀχαιῶν.

Vide suprà ad β', 137. et ad ά, 37. Cæterùm Codex *Vaticanus* hîc legit πέφνετ'.

Οὐδ᾽ ἰθὺς μαχέσασθαι· ἐπεὶ σέο φέρτερός ἐστι.
Τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη κορυθαίολος Ἕκτωρ·
Γλαῦκε, τίη δὲ σὺ τοῖος ἐὼν ὑπέροπλον ἔειπες;
Ὦ πέπον, ἦτ᾽ ἐφάμην σε περὶ φρένας ἔμμεναι ἄλλων
Τῶν, ὅσσοι Λυκίην ἐριβώλακα ναιετάουσι·
Νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες·
Ὅς τέ με φῇς Αἴαντα πελώριον οὐχ ὑπομεῖναι.
Οὔτοι ἐγὼν ἔῤῥιγα μάχην, οὐδὲ κτύπον ἵππων·
Ἀλλ᾽ αἰεί γε Διὸς κρείσσων νοός αἰγιόχοιο,
Ὅστε καὶ ἄλκιμον ἄνδρα φοβεῖ, καὶ ἀφείλετο νίκην
Ῥηϊδίως· ὅτε δ᾽ αὐτὸς ἐποτρύνει μαχέσασθαι.
Ἀλλ᾽ ἄγε δεῦρο, πέπον, παρ᾽ ἔμ᾽ ἵστασο, καὶ ἴδε ἔργον·
Ἠὲ πανημέριος κακὸς ἔσσομαι, ὡς ἀγορεύεις,
Ἤ τινα καὶ Δαναῶν, ἀλκῆς μέγα περ μεμαῶτα,
Σχήσω ἀμυνέμεναι περὶ Πατρόκλοιο θανόντος.
Ὣς εἰπὼν, Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας·
Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταὶ,
Ἀνέρες ἐστὲ, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς·

" Neque ex-adverso pugnare: te nempè fortior est."
Hunc autem torvè intuitus allocutus est expeditè-pugnam-ciens Hector:
" Glauce, curnam tu talis existens superbè locutus es?
" O amice, putabam equidem te prudentiâ superare caeteros
" Eos, quotquot Lyciam glebosam habitant:
" Nunc verò tuam reprehendo omninò mentem, cùm ita dixisti;
" Qui me ais Ajacem ingentem non sustinuisse.
" Nequaquam ego horrui pugnam, neque strepitum equorum;
" Sed semper Jovis validius consilium Aegiochi,
" Qui et fortem virum in-fugam-vertit, et aufert victoriam
" Facilè: aliàs et ipse excitat ad pugnam.
" Sed agè huc adsis, amice, prope me sta, et aspice opus:
" An totâ-die ignavus ero, ut dicis;
" An aliquem etiam Danaorum, bellicâ licèt virtute promptissimum,
" Reprimam à defensione Patrocli mortui."
Sic locutus, Trojanos hortabatur altùm clamans:
" Trojani, et Lycii, et Dardani cominùs-pugnantes,
" Viri estote, amici, recordaminique impetuosae fortitudinis:

Ver. 170 et 173. ——— ἔειπες.] *Al.* ἔειπας. Quod perinde est.

Ver. 171. Ὦ πέπον.] *Al.* Ὦ πόποι.

Ibid. —— Ὦ πέπον, ἦτ᾽ ἐφάμην.] Μὴ τοῖς ἁμαρτάνουσι σὺν ὀργῇ καὶ πρὸς ὕβριν ἐπιφυόμενον, ἀλλ᾽, ὡς Ὅμηρος, ἠθικώτερον,

Ὦ πέπον, ἦτ᾽ ἐφάμην σε περὶ φρένας ἔμμεναι ἄλλων.

Plutarch. πολιτικὰ παραγγέλμ.

Ver. 175. Οὔτοι ἐγὼν ἔῤῥιγα μάχην ——— Ἀλλ᾽ αἰεί γε Διὸς.] Cod. *Harleian.* Οὔτι ἐγὼν ἔῤῥιγα ———.

——— non me tua fervida terrent
Dicta, ferox; Dii me terrent; et Jupiter hostis. *Æn.* XII, 894.

Ibid. —— ἔῤῥιγα.] Vide suprà ad β′, 314.

Ver. 176. Ἀλλ᾽ αἰεί γε.] Ita *Barnesius*: Quam lectionem et probat *Henricus Stephanus.* Vide suprà ad π′, 688. *Al.* Ἀλλ᾽ αἰεί τε.

Ibid. — αἰγιόχοιο.] *Al.* ἠέ περ ἀνδρῶν. *Al.* ἠέ περ ἀνδρός.

Ver. 178. —— ὅτε δ᾽ αὐτὸς ἐποτρύνει μαχέσασθαι.] Vide suprà ad π′, 689, 690.

Ver. 181. — μέγα.] Cod. *Harleian.* μάλα.

Ibid. — μεμαῶτα.] Vide suprà ad γ′, 46.

Ὄφρ' ἂν ἐγὼν Ἀχιλῆος ἀμύμονος ἔντεα δύω,
Καλὰ, τὰ Πατρόκλοιο βίην ἐνάριξα κατακτάς.
Ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ
Δηΐου ἐκ πολέμοιο· θέων δ' ἐκίχανεν ἑταίρους
Ὦκα μάλ', οὔπω τῆλε, ποσὶ κραιπνοῖσι μετασπὼν,
Οἳ προτὶ ἄστυ φέρον κλυτὰ τεύχεα Πηλείδαο.
Στὰς δ' ἀπάνευθε μάχης πολυδακρύτου, ἔντε' ἄμειβεν·
Ἤτοι ὁ μὲν τὰ ἃ δῶκε, φέρειν προτὶ Ἴλιον ἱρὴν,
Τρωσὶ φιλοπτολέμοισιν· ὁ δ' ἄμβροτα τεύχε' ἔδυνεν
Πηλείδεω Ἀχιλῆος, ἅ οἱ θεοὶ οὐρανίωνες
Πατρὶ φίλῳ ἔπορον· ὁ δ' ἄρα ᾧ παιδὶ ὄπασσε
Γηράς· ἀλλ' οὐχ υἱὸς ἐν ἔντεσι πατρὸς ἐγήρα.
Τὸν δ' ὡς οὖν ἀπάνευθεν ἴδεν νεφεληγερέτα Ζεὺς
Τεύχεσι Πηλείδαο κορυσσόμενον θείοιο,
Κινήσας ῥα κάρη προτὶ ὃν μυθήσατο θυμόν·
Ἆ δεῖλ', οὐδέ τι τοὶ θάνατος καταθύμιός ἐστιν,
Ὃς δή τοι σχεδόν ἐστι· σὺ δ' ἄμβροτα τεύχεα δύνεις
Ἀνδρὸς ἀριστῆος, τόν τε τρομέουσι καὶ ἄλλοι·
Τοῦ δὴ ἑταῖρον ἔπεφνες ἐνηέα τε, κρατερόν τε·

" Dum ego Achillis eximii arma induam,
" Pulchra, quibus Patroclum fortem spoliavi interfectum."
Sic quidem locutus abiit pugnam-expeditè-ciens Hector
Ardenti è proelio: currens autem assecutus est socios
Citò admodùm, necdum longo-intervallo, pedibus velocibus insequutus,
Qui ad urbem portabant inclyta arma Pelidae.
Stans verò seorsùm à proelio lachrymoso, arma mutabat:
Ille quidem sua dedit, ferenda ad Ilium sacram,
Trojanis bellicosis; ipse verò immortalia arma induebat
Pelidae Achillis, quae ejus dii coelites
Patri charo dederant: Is autem suo filio praebuit
Jam senex: sed non filius in armis patris ad-senectutem-pervenit.
Illum verò ut seorsùm vidit nubes-cogens Jupiter
Armis Pelidae armari divini,
Quassans utique caput ad suum locutus est animum:
" Ah miser, haudquaquàm tibi mors in animo est,
" Quae jam te prope est: tu verò immortalia arma induis
" Viri fortissimi, quem tremunt et alii:
" Hujus jam socium interfecisti mitemque, fortemque;

Ver. 186. Ὄφρ' ἂν ἐγὼν Ἀχιλῆος.]
Quo nunc Turnus ovat spolio, gaudetque potitus. *Æn.* X, 500.

Ver. 187. — Πατρόκλοιο βίην.] Vide suprà ad ν', 758.

Ver. 191. —— Πηλείδαο.] *Al.* Πηλείωνος.

Ver. 192. —— μάχης πολυδακρύτου.]
———————— lacrymabile bellum. *Æn.* VII, 604.

Ver. 196. —— ἔπορον· ὁ δ' ἄρα ᾧ.] Quâ ratione, et ἔπορον, et ἄρα, hîc ultimam producant; item ἐποιχόμενος, *ver.* 215. et τε, *ver.* 217. et Αἴαντος, *ver.* 235. vide suprà ad ά, 51.

Ver. 198. — οὖν.] *Ut dictum est, — ver.* 192.

Ibid. — ἀπάνευθεν.] Vide suprà ad ά, 349.

Ibid. — νεφεληγερέτα.] Vide suprà ad ά, 175.

Ver. 200. Κινήσας ῥα κάρη.]
Ille caput quassans ————————. *Æn.* XII, 89.

Τεύχεα δ' οὐ κατὰ κόσμον ἀπὸ κρατός τε καὶ ὤμων
Εἵλευ· ἀτάρ τοι νῦν γε μέγα κράτος ἐγγυαλίξω,
Τῶν ποινὴν, ὅ τοι οὔτι μάχης ἐκνοστήσαντι
Δέξεται Ἀνδρομάχη κλυτὰ τεύχεα Πηλείωνος.
Ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων.
Ἕκτορι δ' ἥρμοσε τεύχε' ἐπὶ χροΐ· δῦ δέ μιν Ἄρης
Δεινὸς ἐνυάλιος· πλῆσθεν δ' ἄρα οἱ μέλε' ἐντὸς
Ἀλκῆς καὶ σθένεος· μετὰ δὲ κλειτοὺς ἐπικούρους
Βῆ ῥα μέγα ἰάχων· ἰνδάλλετο δέ σφισι πᾶσι,
Τεύχεσι λαμπόμενος μεγαθύμου Πηλείωνος.
Ὤτρυνεν δὲ ἕκαστον ἐποιχόμενος ἐπέεσσι,
Μέσθλην τε, Γλαῦκόν τε, Μέδοντά τε, Θερσίλοχόν τε,
Ἀστεροπαῖόν τε, Δεισήνορά θ', Ἱππόθοόν τε,
Φόρκυν τε, Χρομίον τε, καὶ Ἔννομον οἰωνιστήν·
Τοὺς ὅγ' ἐποτρύνων, ἔπεα πτερόεντα προσηύδα·
Κέκλυτε, μυρία φῦλα περικτιόνων ἐπικούρων,
Οὐ γὰρ ἐγὼ πληθὺν διζήμενος, οὐδὲ χατίζων,

"Arma autem contumeliosè à capiteque et humeris
"Abstulisti: veruntamen tibi nunc saltem ingentem victoriam dabo,
"Ejus compensationem, quod tibi haudquaquam è pugnâ reverso,
"Excipiet Andromache inclyta arma Pelidae."
Dixit, et nigris superciliis annuit Saturnius.
Hectori autem apta erant arma ad corpus; subiit verò eum Mars
Horrendus bellicus; impletaque sunt ei membra intùs
Vigoris et roboris: Ad inclytos autem socios
Ivit magno clamore: *Achilli* verò similis-videbatur ipsis omnibus,
Armis resplendens magnanimi Pelidae.
Hortabatur autem unumquemque obiens verbis,
Mesthlemque, Glaucumque, Medontaque, Thersilochumque,
Asteropaeumque, Disenoraque, Hippothoumque,
Phorcynque, Chromiumque, et Ennomum augurem:
Hos ille incitans, verbis alatis allocutus est:
"Audite, innumerae copiae circumcircà-habitantium sociorum;
"Non enim ego multitudinem quaerens, neque egens *eâ*,

Ver. 206. Εἵλευ.] *Al.* Εἷλες.

Ver. 209. —— κυανέῃσιν ἐπ' ὀφρύσι.] Vide suprà ad ά, 528.

Ibid. — Κρονίων.] Vide suprà ad ά, 397.

Ver. 210. Ἕκτορι δ' ἥρμοσε τεύχε'.] *Hectori autem apta erant arma.* Sic suprà γ', 333.

———————— ἥρμοσε δ' αὐτῷ.

Item infrà τ', 385.

Πειρήθη δ' ἕο αὐτοῦ ἐν ἔντεσι δῖος Ἀχιλλεὺς,
Εἴ οἱ ἐφαρμόσσειε, ————.

Atque hoc modo accipit *Eustathius* in Comment. ad *ver.* 142. Ἕκτορι δ' ἥρμοσε τεύχεα ἐπὶ χροΐ, τούτεστι προσηρμόσθησαν—. Alitèr tamen explicare videntur Scholia inedita, in Cod. *Harleiano*, à *Tho. Bentleio* communicata: Τὸν Δία ἀκουστέον ἁρμόσαι τὰ ὅπλα τῷ Ἀχιλλεῖ [Ἕκτορι,] οὐ τὰ ὅπλα συγκαθίσαι, οὐ γὰρ Ἀχιλλεῖ ὁ Ἕκτωρ ἰσομεγέθης.

Ver. 213. Βῆ ῥα μέγα ἰάχων.] Vide suprà ad δ', 456.

Ver. 215—219. Ὤτρυνεν δὲ ——— Τοὺς ὅγ' ἐποτρύνων.] Vide suprà ad ν', 44.

Ver. 216. — Γλαῦκόν τε, Μέδοντά τε, Θερσίλοχόν τε.]

——— Glaucumque, Medontaque, Thersilochumque. *Æn.* VI, 483.

Ibid. ——— Θερσίλοχόν τε.] *Al.* Ὀρσίλοχόν τε.

Ver. 217. —— Δεισήνορά θ'.] Ita ex *Etymolog. Magn.* edidit *Barnesius.* *Al.* Δεισίνορά θ'.

Ἐνθάδ' ἀφ' ὑμετέρων πολίων ἤγειρα ἕκαστον·
Ἀλλ' ἵνα μοι Τρώων ἀλόχους καὶ νήπια τέκνα
Προφρονέως ῥύοισθε φιλοπτολέμων ὑπ' Ἀχαιῶν·
Τὰ φρονέων, δώροισι κατατρύχω καὶ ἐδωδῇ
Λαοὺς, ὑμέτερον δὲ ἑκάστου θυμὸν ἀέξω.
Τῷ τις νῦν ἰθὺς τετραμμένος, ἢ ἀπολέσθω,
Ἠὲ σαωθήτω· ἡ γὰρ πολέμου ὀαριστύς.
Ὃς δέ κε Πάτροκλον, καὶ τεθνειῶτά περ, ἔμπης
Τρῶας ἐς ἱπποδάμους ἐρύσει, εἴξει δέ οἱ Αἴας,
Ἥμισυ τῶν ἐνάρων ἀποδάσσομαι, ἥμισυ δ' αὐτὸς
Ἕξω ἐγώ· τὸ δέ οἱ κλέος ἔσσεται, ὅσσον ἐμοί περ.
Ὣς ἔφαθ'· οἱ δ' ἰθὺς Δαναῶν βρίσαντες ἔβησαν
Δούρατ' ἀνασχόμενοι· μάλα δέ σφισιν ἔλπετο θυμὸς
Νεκρὸν ὑπ' Αἴαντος ἐρύειν Τελαμωνιάδαο·
Νήπιοι· ἦτε πολέσσιν ἐπ' αὐτῷ θυμὸν ἀπηύρα.
Καὶ τότ' ἄρ' Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
Ὦ πέπον, ὦ Μενέλαε διοτρεφὲς, οὐκέτι νῶϊ
Ἔλπομαι αὐτώ περ νοστησέμεν ἐκ πολέμοιο.
Οὔτι τόσον νέκυος περὶ δείδια Πατρόκλοιο,
Ὅς κε τάχα Τρώων κορέσει κύνας, ἠδ' οἰωνοὺς,

" Huc è vestris urbibus excivì quemque;
" Sed ut mihi Trojanorum uxores et infantes liberos
" Promptis-animis defenderetis bellicosis ab Achivis:
" Haec in-animo-habens, donis-praebendis exhaurio et commeatu
" Populos, vestrumque cujusque animum recreo.
" Idcircò aliquis nunc rectà conversus, aut pereat,
" Aut salvus sit: hoc enim belli commercium.
" Quicunque verò Patroclum, mortuum licèt, tamen
" Trojanos ad equûm-domitores pertraxerit, cesseritque ei Ajax,
" *Illi* dimidium exuviarum tribuam, dimidium verò ipse
" Habebo ego: gloria autem ei erit, quanta vel mihi."
Sic dixit: Illi verò rectà in Danaos magnâ-mole ferebantur,
Hastis elevatis; admodùm autem ipsis sperabat animus
Mortuum ab Ajace abstrahere Telamonio:
Stulti; certè multis super ipso animam abstulit.
Et tunc Ajax allocutus est pugnâ strenuum Menelaum:
" O amice, ô Menelaë, Jovis-alumne, haud jam nos
" Spero vel ipsos redituros è proelio.
" Haudquaquam tantum de cadavere timeo Patrocli,
" Qui mox utique Trojanorum saturabit canes atque alites,

Ver. 227. —— ἢ ἀπολέσθω, Ἠὲ σαωθήτω.] — aut cita mors venit, aut victoria læta.
Horat. Sermon. Lib. I. *Eclog.* 1, 8.

Ver. 229. — τεθνειῶτά.] Vide suprà ad ν', 46.

Ver. 230. — ἐρύσει, εἴξει δέ οἱ.] *Al.* ἐρύσῃ, εἴξῃ δέ οἱ.

Ver. 233.—βρίσαντες.] Vide suprà ad ή, 343.

Ver. 234. — μάλα δέ σφισιν ἔλπετο.] Cod. *Harleian.* μάλα δέ σφιν ἔλπετο. Unde fortasse legendum, μάλα δέ σφιν ἐέλπετο.

Ver. 237 — 246. —— βοὴν ἀγαθὸν —— βοὴν ἀγαθός.] Vide suprà ad β', 408.

Ver. 240. et 242. — δείδια.] Vide suprà ad ν', 481. et ad ά, 37.

Ver. 241. —— τάχα Τρώων κορέσει κύνας, ἠδ' οἰωνούς.]

Ὅσσον ἐμῇ κεφαλῇ περὶ δείδια, μήτι πάθῃσι,
Καὶ σῇ· ἐπεὶ πολέμοιο νέφος περὶ πάντα καλύπτει,
Ἕκτωρ· ἡμῖν δ' αὖτ' ἀναφαίνεται αἰπὺς ὄλεθρος.
Ἀλλ' ἄγ', ἀριστῆας Δαναῶν κάλει, ἤντις ἀκούσῃ.
 Ὣς ἔφατ'· οὐδ' ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος·
Ἤϋσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς·
 Ὦ φίλοι, Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες,
Οἵτε παρ' Ἀτρείδῃ Ἀγαμέμνονι καὶ Μενελάῳ,
Δήμια πίνουσιν, καὶ σημαίνουσιν ἕκαστος
Λαοῖς· ἐκ δὲ Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ.
Ἀργαλέον δέ μοι ἐστὶ διασκοπιᾶσθαι ἕκαστον
Ἡγεμόνων· τόσση γὰρ ἔρις πολέμοιο δέδηεν.
Ἀλλά τις αὐτὸς ἴτω, νεμεσιζέσθω δ' ἐνὶ θυμῷ
Πάτροκλον Τρῳῇσι κυσὶν μέλπηθρα γενέσθαι.
 Ὣς ἔφατ'· ὀξὺ δ' ἄκουσεν Ὀϊλῆος ταχὺς Αἴας·
Πρῶτος δ' ἀντίος ἦλθε, θέων ἀνὰ δηϊοτῆτα.
Τὸν δὲ μέτ' Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος

"Quantum meo capiti metuo, ne quid *gravius* patiatur,
"Et tuo; proelii enim nubes omnia contegit,
"Hector: nobis verò manifestus-imminet gravis interitus.
"Sed age, fortissimos Danaorum voca, si quis audierit."
Sic dixit; neque non-obsecutus-est pugnâ strenuus Menelaus:
Vociferatus autem est altâ-voce Danaos inclamans:
"O amici, Argivorum ductores, atque principes,
"Qui juxta Atridem Agamemnonem et Menelaum,
"Publicè-praebitum-*vinum* bibunt, et imperant singuli
"Copiis; à Jove autem honor et gloria sequitur.
"Difficile verò mihi est despicere unumquemque
"Ducum: tantum enim certamen pugnae ardet.
"Sed aliquis sponte prodeat, indigneturque animo,
"Patroclum Trojanis canibus ludibrium fieri."
Sic dixit: confestim autem exaudiit Oïlei *filius* velox Ajax;
Primusque obvius prodiit, currens per proelium.
Hunc verò post Idomeneus et armiger Idomenei

Heu! terrâ ignotâ, canibus data præda Latinis,
Alitibusque jaces! —— *Æn.* IX, 485.

Ibid. —— κορέσει.] *Al.* κορέσῃ.

Ver. 243. ——— ἐπεὶ πολέμοιο νέφος περὶ πάντα καλύπτει, Ἕκτωρ.]

Μάντιν Οἰκλείδαν πολέμοιο νέφος.
Pindar. Nemeor. Od. X, 16.

———— obrutus undique telis
Æneas, *nubem belli*, dum detonet, omnem
Sustinet ————. *Æn.* X, 808.

Ver. 248, 249, 250. Ὦ φίλοι —— Οἵτε — Δήμια πίνουσιν.]

Τοίγαρ πολυμηλοτάταν
Ἑστίαν οἰκεῖς ————.
Πόντιον τ', αἰγαῖον ἐπ' ἀκτὰν
Ἀλίμενον Πηλίου κρατύνει.
Eurip. Alcest. ver. 588.

Ἔστι δὲ μετάβασις προσώπου ἀπὸ δευτέρου εἰς τρίτον· οἷον παρ' Ὁμήρῳ, "Ὦ φίλοι, οἳ παρ' "Ἀτρείδαις δήμια πίνουσιν." *Schol. ibid.*

Ver. 249. —— παρ' Ἀτρείδῃ Ἀγαμέμνονι καὶ Μενελάῳ.] Cod. *Harleian.* παρ' Ἀτρείδῃ Ἀγαμέμνονι ποιμένι λαῶν. Quæ et proba Lectio.

Ver. 250. — καὶ σημαίνουσιν ἕκαστος.] Cod. *Harleian.* καὶ σημαίνουσιν ἕκαστα.

Ver. 251. —— ἐκ δὲ Διὸς τιμή.]
Τιμὴ δ' ἐκ Διός ἐστι ——. *Iliad.* β', 197.

Ver. 252. —— ἕκαστον.] Cod. *Harleian.* et hîc legit ἕκαστα, exponuntque Scholia ibidem inedita ἕκαστα ἀξιώματα.

Ver. 253. — δέδηεν.] Vide suprà ad ν', 736.

Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδρειφόντῃ.
Τῶν δ' ἄλλων τίς ἂν ᾗσιν ἐνὶ φρεσὶν οὐνόματ' εἴποι,
Ὅσσοι δὴ μετόπισθε μάχην ἤγειραν Ἀχαιῶν;
Τρῶες δὲ προὔτυψαν ἀολλέες· ἦρχε δ' ἄρ' Ἕκτωρ.
Ὡς δ' ὅτ' ἐπὶ προχοῇσι διϊπετέος ποταμοῖο
Βέβρυχεν μέγα κῦμα ποτὶ ῥόον, ἀμφὶ δέ τ' ἄκραι
Ἠϊόνες βοόωσιν, ἐρευγομένης ἁλὸς ἔξω·
Τόσση ἄρα Τρώων ἰαχὴ γένετ'· αὐτὰρ Ἀχαιοὶ
Ἕστασαν ἀμφὶ Μενοιτιάδῃ, ἕνα θυμὸν ἔχοντες,
Φραχθέντες σάκεσιν χαλκήρεσιν· ἀμφὶ δ' ἄρα σφιν
Λαμπρῇσι κορύθεσσι Κρονίων ἠέρα πολλὴν
Χεῦ'· ἐπεὶ οὐδὲ Μενοιτιάδην ἤχθηρε πάρος γε,

Meriones, par Marti homicidae.
Caeterorum verò quisnam suâ mente nomina dicere posset,
Quotquot jam posteà pugnam instaurârunt Achivorum?
Trojani verò priores *in eos* impetum-fecerunt conferti: praeibat autem Hector.
Ut autem cùm in ostiis à-Jove-fluentis fluvii
Fremit ingens fluctus adversus *ejus* fluentum, circumque extrema
Littora clamant, eructato mari extrà:
Tantus utique Trojanorum clamor ortus est: at Achivi
Stabant circum Menoetiadem, unum animum habentes,
Septi scutis aeratis: illis autem
Splendidis galeis Saturnius caliginem multam
Circumfudit: neque enim Menoetiadem oderat vel anteà,

Ver. 259. —— *ἀτάλαντος Ἐνυαλίῳ ἀνδρειφόντῃ.*] Vide suprà ad β', 627. et 651.

Ver. 260. Τῶν δ' ἄλλων τίς ἂν ᾗσιν ἐνὶ φρεσὶν οὐνόματ' εἴποι.] Ita ex conjecturâ edidit *Barnesius*. *Al.* Τῶν δ' ἄλλων τίς κεν ᾗσι φρεσὶν οὐνόματ' εἴπῃ. Codex unus *Italicus* legit Τῶν δ' ἄλλων τίς χ' ᾗσιν ἐνὶ φρεσὶν οὐνόματ' εἴπῃ. Quæ fortè est vera lectio. Quod autem habent Vulgati, "Τῶν ἄλλων τίς ἂν ᾗσι "φρεσὶν οὐνόματ' εἴποι," vix (ut opinor) ferri potest.

Ver. 262. —— ἄρ'.] *Ut solitus est.*

Ver. 263. Ὡς δ' ὅτ' ἐπὶ προχοῇσι.] "Porphyrius in Scholiis MSS. ad Iliada, "olim penes doctissimum Is. Vossium, ob"servat Solonem, qui in reliquis omnibus "Homeri poema fuerat æmulatus; cùm ad "hunc versum pervenisset, illius ac duorum "sequentium, quibus de hisce Nili ostiis à "Poeta agitur, admiratione motum, com"bussisse sua Poemata. Idem quoque fe"cisse Platonem. Id verò haud prætereun"dum videbatur, quòd alibi haud putem "legi." *Ezech. Spanhem. Notæ in Nubes Aristoph. ad ver.* 271.

Ibid. —— διϊπετέος.] Vide suprà ad π', 174.

Ver. 264. Βέβρυχεν.] Vide suprà ad ά, 37.

Ibid. — ποτὶ ῥόον.] ποτίρρόον· Codd. à *Th. Bentleio* collati.

Ibid. —— ἀμφὶ δέ τ' ἄκραι Ἠϊόνες βοόωσιν, ἐρευγομένης ἁλὸς ἔξω.] *Al.* ἀμφὶ δέ τ' ἄκραι Ἠϊόνος βοόωσιν.

—— et scopulis illisa reclamant
Æquora ——. *Georgic.* III, 261.

Non assecutus est, hoc in loco, *Homeri* artem *Virgilius*. Nam, ut ait *Eustathius*, Τὸ δὲ, "Ἠϊόνες βοόωσιν," πάνυ τί φασιν οἱ Παλαιοὶ μιμητικὸν εἶναι τοῦ κατὰ θάλασσαν ἤχου πλέον τῶν ἄλλων. Similitèr et *Dionysius Halicarnassensis*: Οἱ χαριέστατοι ποιητῶν —— τὰ μὲν αὐτοί τε κατασκευάζουσιν ὀνόματα, συμπλέκοντες ἐπιτηδείως, ἀλλήλοις τὰ γράμματα· καὶ τὰς συλλαβὰς δὲ οἰκείως, οἷς ἂν βούλωνται παραστῆσαι πάθεσι, ποικίλως φιλοτεχνοῦσι· ὡς ποιεῖ πολλάκις Ὅμηρος. Ἐπὶ μὲν προσηνέμων αἰγιαλῶν τῇ παρεκτάσει τῶν συλλαβῶν τὸν ἄπαυστον ἐμφαίνειν βουλόμενος ἦχον· "Ἠϊόνες βοόωσιν, "ἐρευγομένης ἁλὸς ἔξω." Περὶ συνθέσεως· § 15. Quòd siquis pro Ἠϊόνες βοόωσιν, Ἠϊόνες κράζουσιν, vel aliud istiusmodi quicquam substituerit, τὸ ἁρμόττον ὅσον διαφέρει ἐπὶ τῶν ἐπῶν, θεωρείσθω· —— τὸ μὲν φαίνεται καλὸν, τὸ δὲ εὐτελές. Ut rectè observavit *Aristoteles, Poetic. cap.* 22.

Ver. 266. Τόσση ἄρα Τρώων ἰαχὴ γένετ'.] Τόσσῃ ἄρα Τρῶες ἰαχῇ ἴσαν· Codd. *Cantab.* et *Oxon.* à *Barnesio*, item Codd. *Vatican.* à *Tho. Bentleio*, collati.

Ver. 267. Ἕστασαν.] Vide suprà ad μ', 55.

Ὄφρα, ζωὸς ἐὼν, θεράπων ἦν Αἰακίδαο·
Μίσησεν δ' ἄρα μιν δηΐων κυρὶ κύρμα γενέσθαι
Τρωῇσιν· τῷ καί οἱ ἀμυνέμεν ὦρσεν ἑταίρους.
Ὦσαν δὲ πρότεροι Τρῶες ἑλίκωπας Ἀχαιούς·
Νεκρὸν δὲ προλιπόντες ὑπέτρεσαν, οὐδέ τιν' αὐτῶν
Τρῶες ὑπέρθυμοι ἕλον ἔγχεσιν, ἱέμενοί περ·
Ἀλλὰ νέκυν ἐρύοντο· μίνυνθα δὲ καὶ τοῦ Ἀχαιοὶ
Μέλλον ἀπέσσεσθαι· μάλα γάρ σφέας ὦκ' ἐλέλιξεν
Αἴας, ὃς περὶ μὲν εἶδος, περὶ δ' ἔργα τέτυκτο
Τῶν ἄλλων Δαναῶν, μετ' ἀμύμονα Πηλείωνα.
Ἴθυσεν δὲ διὰ προμάχων, συῒ εἴκελος ἀλκὴν
Καπρίῳ, ὅστ' ἐν ὄρεσσι κύνας θαλερούς τ' αἰζηοὺς
Ῥηϊδίως ἐκέδασσεν, ἑλιξάμενος διὰ βήσσας·
Ὣς υἱὸς Τελαμῶνος ἀγαυοῦ φαίδιμος Αἴας,
Ῥεῖα μετεισάμενος Τρώων ἐκέδασσε φάλαγγας,
Οἳ περὶ Πατρόκλῳ βέβασαν, φρόνεον δὲ μάλιστα
Ἄστυ ποτὶ σφέτερον ἐρύειν, καὶ κῦδος ἀρέσθαι.
Ἤτοι τὸν, Λήθοιο Πελασγοῦ φαίδιμος υἱὸς,
Ἱππόθοος ποδὸς εἷλκε κατὰ κρατερὴν ὑσμίνην,
Δησάμενος τελαμῶνι παρὰ σφυρὸν ἀμφὶ τένοντας,

Dum, vivus existens, famulus erat Aeacidae:
Odiosum autem habebat utique illum hostium canibus praedam fieri
Trojanis; ideóque cum ut-defenderent excitavit socios,
Moverunt autem loco priores Trojani nigris-oculis Achivos:
Mortuo verò *illi* derelicto trepidi-fugerunt, neminem tamen eorum
Trojani magnanimi interfecerunt hastis, cupidi licèt;
Sed cadaver trahebant: haud diu verò ab illo neque Achivi
Abfuturi erant: admodùm enim illos celeritèr convertit
Ajax, qui superabat quidem formâ, superabat et factis
Caeteros Danaos, post eximium Pelidem.
Rectà autem perrupit per-primos-pugnatores, sui similis vi
Apro, qui in montibus canes florentesque-aetate juvenes
Facilè dissipat, se subito-impetu-convertens per fruticeta:
Sic filius Telamonis praeclari illustris Ajax,
Facilè aggressus Troüm dissipavit phalangas,
Qui Patroclum circumdederant, sperabantque maximè
Urbem ad suam trahere, et gloriam reportare.
Illum quidem, Lethi Pelasgi illustris filius,
Hippothous pede trahebat per acrem pugnam,
Ligatum loro ad malleolum circa tendines,

Ver. 273. —— τῷ καί οἱ.] *Al.* τῷ κέν οἱ.

Ver. 274. ——— Τρῶες ἑλίκωπας.] Quâ ratione, Τρῶες, hîc ultimam producat; item νέκυν, *ver.* 277. et μὲν, *ver.* 279. et σφέτερον, *ver.* 287. vide suprà ad ά, 51.

Ver. 278. — σφέας ὦκ'.] Pronuntiabatur σφᾶς. Nam σφέας ultimam producit.

Ver. 281. ——— εἴκελος.] Vide suprà ad *ver.* 88. *Al.* ἴκελος.

Ver. 283. 285. —— ἑλιξάμενος ——— μετεισάμενος.] Vide suprà ad π', 594. et ad ν', 90 et 168.

Ver. 290. ——— ἀμφὶ τένοντας.] *Al.* ἀμφὶ τένοντε.

Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ' αὐτῷ
Ἦλθε κακὸν, τό οἱ οὔτις ἐρύκακεν ἱεμένων περ.
Τὸν δ' υἱὸς Τελαμῶνος, ἐπαΐξας δι' ὁμίλου,
Πλῆξ' αὐτοσχεδίην, κυνέης διὰ χαλκοπαρήου·
Ἤρικε δ' ἱπποδάσεια κόρυς περὶ δουρὸς ἀκωκῇ,
Πληγεῖσ' ἔγχεΐ τε μεγάλῳ καὶ χειρὶ παχείῃ·
Ἐγκέφαλος δὲ, παρ' αὐλὸν, ἀνέδραμεν ἐξ ὠτειλῆς,
Αἱματόεις· τοῦ δ' αὖθι λύθη μένος· ἐκ δ' ἄρα χειρῶν
Πατρόκλοιο πόδα μεγαλήτορος ἧκε χαμᾶζε
Κεῖσθαι· ὁ δ' ἄγχ' αὐτοῖο πέσε πρηνὴς ἐπὶ νεκρῷ,
Τῆλ' ἀπὸ Λαρίσσης ἐριβώλακος· οὐδὲ τοκεῦσι
Θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δέ οἱ αἰὼν
Ἔπλεθ', ὑπ' Αἴαντος μεγαθύμου δουρὶ δαμέντι.
Ἕκτωρ δ' αὖτ' Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
Τυτθόν· ὁ δὲ Σχεδίον, μεγάθυμον Ἰφίτου υἱὸν,
Φωκήων ὄχ' ἄριστον, ὃς ἐν κλειτῷ Πανοπῆϊ
Οἰκία ναιετάασκε, πολέσσ' ἄνδρεσσιν ἀνάσσων·

Hectori et Trojanis gratificans: Repentè autem ipsi
Venit malum, quod ab eo nemo arcuit cupientium licèt.
Illum utique filius Telamonis, impetu-facto per turbam,
Percussit cominùs, galeam per aeneis-munitam-malis:
Scissa est autem equinis-setis-densa galea transfixa hastae cuspide,
Percussa hastâque magnâ et manu robustâ:
Cerebrum verò, ubi hastile-spiculo-induitur, prosiliebat ex vulnere,
Cruentum; ejus autem ibidem solutum est robur: è manibus verò *is*
Patrocli pedem magnanimi remisit in terram
Jacere; prope autem ipsum cecidit cernuus super mortuum,
Longè à Larissâ glebosâ; neque parentibus
Nutritia charis reddidit; brevis autem ei aetas
Fuit, Ajacis magnanimi hastâ domito.
Hector verò in Ajacem jaculatus est hastâ fulgenti:
Sed is quidem ex-adverso conspicatus evitavit aeream hastam
Paululùm: ille autem Schedium, magnanimum Iphiti filium,
Phocensium longè fortissimum, qui in inclyto Panopeo
Domos habitabat, multis viris imperans:

Ver. 292. — *ἱεμένων περ.*] *Al.* *ἱεμένῳ περ.* Uti in Vulgatis scriptum est suprà *ό*, 452.

Ver. 296. Πληγεῖσ'.] Vide suprà ad *γ'*, 51.

Ibid. — *τε μέγαλῳ.*] Quâ ratione, *τε*, hîc producatur; item *πόδα*, *ver.* 299. et *μεγάθυμον*, etiam extra cæsuram, *ver.* 306. et *ὅς*, *ver.* 324. et *σθένεϊ*, *ver.* 329. vide suprà ad *ά*, 51.

Ver. 297. Ἐγκέφαλος δὲ, παρ' αὐλὸν, ἀνέδραμεν ἐξ ὠτειλῆς, Αἱματόεις.]

Ossaque dispergit cerebro permixta cruento. *Æn.* X, 416.

Ver. 298. —— *ἐκ δ' ἄρα χειρῶν.*] *Adeoque è manibus* ——.

Ver. 301. —— *οὐδὲ τοκεῦσι Θρέπτρα φίλοις ἀπέδωκε.*] Sic apud *Hesiodum*:

—— —— *οὐδὲ μὲν οἵγε*
Γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν.
Ἔργ. καὶ Ἡμερ. I, 185.

Ver. 302. —— Θρέπτρα.] *Al.* Θρέπτα.

Ver. 304. — *ἀκόντισε.*] Vide suprà ad *ά*, 140. 309. 314.

Ver. 305. — *ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο.*] Vide suprà ad *ν'*, 404.

Ver 306. — *μεγάθυμον.*] *Al.* *μεγαθύμου.*

Ibid. — Ἰφίτου υἱὸν.] Vide suprà ad *β'*, 518.

Ver. 308. —— *ἄνδρεσσιν.*] Ita ex uno MS.

Τὸν βάλ' ὑπὸ κλῆϊδα μέσην· διὰ δ' ἀμπερὲς ἄκρη
Αἰχμὴ χαλκείη παρὰ νείατον ὦμον ἀνέσχε·
Δούπησεν δὲ πεσὼν, ἀράϐησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Αἴας δ' αὖ Φόρκυνα δαΐφρονα, Φαίνοπος υἱὸν,
Ἱπποθόῳ περιϐάντα, μέσην κατὰ γαστέρα τύψε·
Ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ' ἔντερα χαλκὸς
Ἤφυσ'· ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
Χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ·
Ἀργεῖοι δὲ μέγα ἴαχον, ἐρύσαντο δὲ νεκροὺς,
Φόρκυν θ', Ἱππόθοόν τε· λύοντο δὲ τεύχε' ἀπ' ὤμων.
Ἔνθα κεν αὖτε Τρῶες, ἀρηϊφίλων ὑπ' Ἀχαιῶν,
Ἴλιον εἰσανέϐησαν, ἀναλκείῃσι δαμέντες·
Ἀργεῖοι δέ κε κῦδος ἕλον, καὶ ὑπὲρ Διὸς αἶσαν,
Κάρτεϊ καὶ σθένεϊ σφετέρῳ· ἀλλ' αὐτὸς Ἀπόλλων
Αἰνείαν ὄτρυνε, δέμας Περίφαντι ἐοικὼς,
Κήρυκι Ἠπυτίδῃ, ὅς οἱ παρὰ πατρὶ γέροντι
Κηρύσσων γήρασκε, φίλα φρεσὶ μήδεα εἰδώς·
Τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
Αἰνεία, πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσαισθε

Hunc percussit sub jugulum medium; penitùs autem extrema
Cuspis aerea prope summum humerum evasit:
Fragorem verò edidit cadens, sonitumque-dedere arma super ipso.
Ajax autem Phorcyna bellicosum, Phaenopis filium,
Hippothoum defendentem, medium ad ventrem percussit;
Rupitque thoracis cavitatem, intestina autem aes
Penetrans-hausit: ille verò in pulverem lapsus, prehendit terram palmâ.
Cesserunt autem retrò primique-pugnatores et illustris Hector:
Argivi autem altùm clamârunt, traxeruntque mortuos,
Phorcynque, Hippothoumque; solvebantque arma ab humeris.
Tum verò prorsùs Trojani, bellicosis *acti* ab Achivis,
In Ilium ascendissent, prae ignaviâ *suâ* domiti;
Argivi autem gloriam retulissent, etiam praeter Jovis fatum,
Fortitudine et robore proprio: verùm ipse Apollo
Aeneam instigavit, corpore Periphanti similis,
Praeconi Epytidae, qui ei apud patrem senem
Praeconem-agens consenuerat, benevolis mentem consiliis instructus:
Huic se-cùm-assimulâsset, ipsum allocutus est Jovis filius Apollo:
" Aenea, quo pacto etiam invito deo servare possetis

edidit *Barnesius*, quocum facit Cod. *Harleian.* *Al.* ἀνδράσσιν.

Ver. 311. Δούπησεν δὲ —— ἀράϐησε.] Vide suprà ad ν', 181.

Ver. 315. —— ἐν κονίῃσι.] Vide suprà ad ν', 508.

Ibid. —— ἕλε γαῖαν ἀγοστῷ.] Vide suprà ad λ', 425.

Ver. 317. Ἀργεῖοι δὲ μέγα ἴαχον, ἐρύσαντο δὲ νεκρούς.] Ita rectè edidit *Barnesius.* Vide suprà ad δ', 506. *Al.* Ἀργεῖοι δὲ μέγ' ἴαχον, εἰρύσαντο δὲ νεκρούς.

Ver. 323. —— Περίφαντι ἐοικώς.] Vide suprà ad ξ', 136.

Ver. 324. Κήρυκι Ἠπυτίδῃ.] Ita Codd. omnes. Pronuntiabatur, ut opinor, Κήρυκ' Ἠπυτίδῃ, quo modo et edidit *Barnesius*: Nam Κήρυκι mediam semper producit.

Ver. 326. Τῷ μιν ἐεισάμενος.] Vide suprà ad γ' 389.

Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους
Κάρτεΐ τε σθένεΐ τε πεποιθότας, ἠνορέῃ τε,
Πλήθεΐ τε σφετέρῳ, καὶ ὑπερδέα δῆμον ἔχοντας·
Ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται, ἢ Δαναοῖσι,
Νίκην· ἀλλ' αὐτοὶ τρεῖτ' ἄσπετον, οὐδὲ μάχεσθε.
Ὣς ἔφατ'· Αἰνείας δ' ἑκατηβόλον Ἀπόλλωνα
Ἔγνω ἐσάντα ἰδών· μέγα δ' Ἕκτορα εἶπε βοήσας·
Ἕκτορ τ', ἠδ' ἄλλοι Τρώων ἀγοὶ, ἠδ' ἐπικούρων,
Αἰδὼς μὲν νῦν ἥδε γ' ἀρηϊφίλων ὑπ' Ἀχαιῶν
Ἴλιον εἰσαναβῆναι, ἀναλκείῃσι δαμέντας.
Ἀλλ' ἔτι γάρ τις φησὶ θεῶν, ἐμοὶ ἄγχι παραστὰς,
Ζῆν' ὕπατον μήστωρα μάχης ἐπιτάῤῥοθον εἶναι·
Τῷ ῥ' ἰθὺς Δαναῶν ἴομεν, μήδ' οἵ γε ἕκηλοι
Πάτροκλον νηυσὶν πελασαίατο τεθνειῶτα.
Ὣς φάτο· καί ῥα πολὺ προμάχων ἐξάλμενος ἔστη·
Οἱ δ' ἐλελίχθησαν, καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν.
Ἔνθ' αὖτ' Αἰνείας Λειόκριτον οὔτασε δουρὶ,
Υἱὸν Ἀρίσβαντος, Λυκομήδεος ἐσθλὸν ἑταῖρον.
Τὸν δὲ πεσόντ' ἐλέησεν ἀρηΐφιλος Λυκομήδης·

" Ilium excelsam? ut jam vidi viros alios
" Fortitudineque roboreque confisos, virtuteque,
" Multitudineque suâ, et immotas-pavore copias habentes:
" Nobis verò Jupiter quidem potiùs annuit, quàm Danais,
" Victoriam: sed ipsi fugitis-territi admodùm, neque pugnatis."
Sic dixit: Aeneas autem longè-jaculantem Apollinem
Agnovit coràm intuitus: magnâ autem voce Hectorem allocutus est clamans:
" Hectorque, et caeteri Trojanorum ductores atque sociorum,
" Dedecus quidem nunc hoc *est nos* bellicosis *actos*-ab Achivis
" In Ilium ascendere per ignaviam domitos.
" Verùm enim et jam aliquis ait deorum, mihi propè astans,
" Jovem summum consiliarium in pugnâ auxiliatorem esse:
" Ideò rectà-in Danaos eamus, neque illi quieti saltem
" Patroclum navibus admoverint mortuum."
Sic dixit: et multò ante primos pugnatores-prosiliens, stetit;
Illi verò conversi sunt, et adversi steterunt Achivis.
Tum verò Aeneas Leocritum vulneravit hastâ,
Filium Arisbantis, Lycomedis fortem socium.
Hunc autem lapsum miseratus est bellicosus Lycomedes:

Ver. 333. — ἑκατηβόλον Ἀπόλλωνα.] Vide suprà ad ά, 75.

Ver. 334. — εἶπε βοήσας.] Cod. *Harleian.* εἶπε παραστάς.

Ver. 340. — μήδ' οἵ γε ἕκηλοι.] Cod. *Harleian.* μὴ δή γε ἕκηλοι.

Ver. 341. — πελασαίατο.] Vide suprà ad ά, 140.

Ibid. — τεθνειῶτα.] Vide suprà ad ν', 46.

Ver. 342, 343. Ὣς φάτο· —— Οἱ δ' ἐλελίχθησαν, καὶ ἐναντίοι ἔσταν.]

Talibus accensi firmantur, et agmine denso
Consistunt ———. *Æn.* IX, 788.
—— densi cuneis se quisque coactis
Agglomerant ———.
Æn. XII, 457.

Ibid. —— ἔσταν Ἀχαιῶν.] Vide suprà ad ά, 535.

Ver. 344—347. —— οὔτασε —— ἀκόντισε.] Vide suprà ad ν', 192. et ad ά, 140.

Στῆ δὲ μάλ' ἐγγὺς ἰὼν, καὶ ἀκόντισε δουρὶ φαεινῷ,
Καὶ βάλεν Ἱππασίδην Ἀπισάονα, ποιμένα λαῶν,
Ἧπαρ ὑπὸ πραπίδων· εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσεν·
Ὅς ῥ' ἐκ Παιονίης ἐριβώλακος εἰληλούθει,
Καὶ δὲ μετ' Ἀστεροπαῖον ἀριστεύεσκε μάχεσθαι.
Τὸν δὲ πεσόντ' ἐλέησεν ἀρήϊος Ἀστεροπαῖος,
Ἴθυσεν δὲ καὶ ὁ πρόφρων Δαναοῖσι μάχεσθαι·
Ἀλλ' οὔπως ἔτι εἶχε· σάκεσσι γὰρ ἔρχατο πάντη
Ἑσταότες περὶ Πατρόκλῳ, πρὸ δὲ δούρατ' ἔχοντο·
Αἴας γὰρ μάλα πάντας ἐπῴχετο, πολλὰ κελεύων·
Οὔτε τιν' ἐξοπίσω νεκροῦ χάζεσθαι ἀνώγει,
Οὔτε τινὰ προμάχεσθαι Ἀχαιῶν ἔξοχον ἄλλων,
Ἀλλὰ μάλ' ἀμφ' αὐτῷ βεβάμεν, σχεδόθεν δὲ μάχεσθαι.
Ὣς Αἴας ἐπέτελλε πελώριος· αἵματι δὲ χθὼν
Δεύετο πορφυρέῳ· τοὶ δ' ἀγχηστῖνοι ἔπιπτον
Νεκροὶ ὁμοῦ Τρώων καὶ ὑπερμενέων ἐπικούρων,
Καὶ Δαναῶν· οὐδ' οἱ γὰρ ἀναιμωτεί γ' ἐμάχοντο·
Παυρότεροι δὲ πολὺ φθίνυθον· μέμνητο γὰρ αἰεὶ

Stetitque admodùm propè cum-accesserat, et jaculatus est hastâ fulgenti,
Et percussit Hippasidem Apisaonem, pastorem populorum,
Hepar subter praecordia; statimque genua solvit:
Qui utique à Paeoniâ glebosâ venerat,
Et post Asteropaeum fortissimè-se-gerebat in pugnâ.
Hunc autem lapsum miseratus est Mavortius Asteropaeus,
Rectâque prorupit et hic promptus cum Danais pugnare:
Sed haudquaquam jam poterat; scutis enim obsepti erant undique,
Qui stabant circa Patroclum, hastasque praetendebant:
Ajax enim valdè omnes obibat, multis adhortans;
Nec quenquam vel retrò-à mortuo cedere sinebat,
Nec quenquam procurrere-ad-pugnandum Achivos ante alios,
Sed strenuè ipsum circumeuntes-defendere, cominusque pugnare.
Sic Ajax praecipiebat ingens: sanguine autem terra
Rigabatur purpureo: illi verò alii-super-alios cadebant
Mortui simul Trojanorum, et animosorum sociorum,
Et Danaorum: Neque enim vel illi sine sanguine pugnabant;
Pauciores tamen multò peribant; recordabantur enim perpetuò

Ver. 348. — Ἀπισάονα.] *Al.* Ἀμυθάονα.

Ver. 349. Ἧπαρ ὑπὸ πραπίδων.] Cod. *Harleian.* à *Tho. Bentleio* collatus, Ἧπαρ ὑπὸ πραπίδων. Cæterùm deest totus hic versus in Codd. *Italic.* ab eodem collatis.

Ver. 350. —— Παιονίης.] Cod. *Harleian.* Παιωνίης.

Ibid. — εἰληλούθει] Vide suprà ad λ', 230.

Ver. 354. —— ἔρχατο.] Vide suprà ad π', 481.

Ver. 359. — σχεδόθεν δὲ μάχεσθαι.] Cod. *Harleian.* σχεδόθεν τε μάχεσθαι.

Ver. 361. — πορφυρέῳ.] Vide suprà ad ά, 338 et 482.

Ver. 363. — οὐδ' οἱ γὰρ ἀναιμωτεί γ' ἐμάχοντο.]

—— et Trojanis cum multo gloria venit
Sanguine, sunt illis sua funera, parque per omnes
Tempestas: ————— *Æn.* XI, 421.

Ibid. — ἀναιμωτεί.] Ita edidit *Barnesius* ex *Odyss.* ώ, 531. *Al.* ἀναιμωτί.

Ver. 364. ——— φθίνυθον.] Vide suprà ad β', 45.

Ἀλλήλοις ἀν' ὅμιλον ἀλεξέμεναι πόνον αἰπύν.
 Ὣς οἱ μὲν μάρναντο δέμας πυρός· οὐδέ κε φαίης
Οὔτε ποτ' ἠέλιον σόον ἔμμεναι, οὔτε σελήνην·
Ἠέρι γὰρ κατέχοντο μάχης ἔπι, ὅσσοι ἄριστοι
Ἕστασαν ἀμφὶ Μενοιτιάδῃ κατατεθνειῶτι.
Οἱ δ' ἄλλοι Τρῶές τε καὶ εὐκνήμιδες Ἀχαιοὶ
Εὔκηλοι πολέμιζον ὑπ' αἰθέρι· πέπτατο δ' αὐγὴ
Ἠελίου ὀξεῖα, νέφος δ' οὐ φαίνετο πάσης
Γαίης, οὐδ' ὀρέων· μεταπαυόμενοι δὲ μάχοντο,
Ἀλλήλων ἀλεείνοντες βέλεα στονόεντα,
Πολλὸν ἀφεσταότες· τοὶ δ' ἐν μέσῳ, ἄλγε' ἔπασχον
Ἠέρι καὶ πολέμῳ· τείροντο δὲ νηλέϊ χαλκῷ,
Ὅσσοι ἄριστοι ἔσαν· δύο δ' οὔπω φῶτε πεπύσθην,
Ἀνέρε κυδαλίμω, Θρασυμήδης, Ἀντίλοχός τε,
Πατρόκλοιο θανόντος, ἀμύμονος, ἀλλ' ἔτ' ἔφαντο
Ζωὸν ἐνὶ πρώτῳ ὁμάδῳ Τρώεσσι μάχεσθαι.
Τὼ δ' ἐπιοσσομένω θάνατον καὶ φύζαν ἑταίρων,
Νόσφιν ἐμαρνάσθην, ἐπεὶ ὣς ἐπετέλλετο Νέστωρ,

A se mutuò per turbam arcere laborem gravem.
Sic hi quidem pugnabant instar ignis; neque prorsùs dixisses
Aut solem omnino salvum esse, aut lunam:
Caligine enim occupabantur in proelio, quotquot fortissimi
Stabant circa Menoetiadem mortuum.
Alii verò Trojanique et benè-ocreati Achivi,
Liberi pugnabant sub aëre-sereno: expansus autem erat splendor
Solis acutus, nubesque non exurgebat à toto
Campo, neque montibus: interquiescentes autem pugnabant,
Sua-invicem evitantes tela luctuosa,
Longè dissiti: hi vero in medio, dolores patiebantur
Caligine et pugnâ; affligebanturque saevo aere,
Quotquot fortissimi erant: duo verò nondum viri audierant,
Viri gloriosi, Thrasymedes, Antilochusque,
De Patroclo mortuo eximio, sed adhuc putabant
Vivum in primo tumultu cum Trojanis pugnare.
Hi autem intuentes caedem et trepidationem sociorum,
Seorsùm pugnabant, quoniam sic jusserat Nestor,

Ver. 365. Ἀλλήλοις ἀν' ὅμιλον ἀλεξέμεναι πόνον αἰπύν.] Cod. *Harleian.* Ἀλλήλοις καθ' ὅμιλον ἀλεξέμεναι φόνον αἰπύν.

Ver. 366. —— δέμας πυρός.] Vide suprà ad ν', 673.

Ver. 368. Ἠέρι γὰρ κατέχοντο μάχης ἔπι.]
 ———— fundunt simul undique tela
Crebra nivis ritu; coelumque obtexitur umbrâ. *Æn.* XI, 610.

Ibid. —— μάχης ἔπι, ὅσσοι ἄριστοι.] Cod. *Harleian.* μάχης ἔπι θ' ὅσσον ἄριστοι· explicantque Scholia ibidem inedita, ἐφ' ὅσσον τόπον.

Ver. 369. Ἕστασαν.] Vide suprà ad μ', 53.

Ibid. —— κατατεθνειῶτι.] Vide suprà ad ά, 265. et ad β', 818.

Ver. 370. ———— Τρῶές τε καὶ εὐκνήμιδες Ἀχαιοὶ.] *Al.* Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοὶ.

Ver. 382. — 403. Νόσφιν ———— ἀπάνευθε.] Vide suprà ad ά, 349.

Ὀτρύνων πόλεμόνδε μελαινάων ἀπὸ νηῶν.
Τοῖς δὲ πανημερίοις ἔριδος μέγα νεῖκος ὀρώρει
Ἀργαλέης· καμάτῳ δὲ καὶ ἱδρῷ νωλεμὲς αἰεὶ
Γούνατά τε, κνῆμαί τε, πόδες θ' ὑπένερθεν ἑκάστου,
Χεῖρές τ', ὀφθαλμοί τε, παλάσσετο μαρναμένοιϊν,
Ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο.
Ὡς δ' ὅτ' ἀνὴρ ταύροιο βοὸς μεγάλοιο βοείην
Λαοῖσιν δώῃ τανύειν, μεθύουσαν ἀλοιφῇ·
Δεξάμενοι δ' ἄρα τοίγε διαστάντες τανυοῦσι
Κυκλόσ', ἄφαρ δέ τε ἰκμὰς ἔβη, δύνει δέ τ' ἀλοιφὴ,
Πολλῶν ἑλκόντων, τάνυται δέ τε πᾶσα διαπρό·
Ὣς οἵγ' ἔνθα καὶ ἔνθα νέκυν ὀλίγῃ ἐνὶ χώρῃ
Εἵλκεον ἀμφότεροι· μάλα γάρ σφισιν ἤλπετο θυμὸς,
Τρωσὶν μὲν, ἐρύειν προτὶ Ἴλιον, αὐτὰρ Ἀχαιοῖς,
Νῆας ἐπὶ γλαφυράς· περὶ δ' αὐτοῦ μῶλος ὀρώρει
Ἄγριος· οὐδέ κ' Ἄρης λαοσσόος, οὐδέ κ' Ἀθήνη
Τόν γ' ἰδοῦσ' ὀνόσαιτ', οὐδ' εἰ μάλα μιν χόλος ἵκοι·
Τοῖον Ζεὺς ἐπὶ Πατρόκλῳ ἀνδρῶν τε καὶ ἵππων
Ἤματι τῷ ἐτάνυσσε κακὸν πόνον. Οὐδ' ἄρα πώ τι
Ἤδεε Πάτροκλον τεθνήοτα δῖος Ἀχιλλεύς·

Hortatibus-impellens ad pugnam nigris à navibus.
His autem per-totum-diem contentionis magnum certamen ortum erat
Gravis: defatigatione autem et sudore indesinentèr assiduè
Genuaque, tibiaeque, pedesque subtùs uniuscujusque,
Manusque, oculique, foedabantur pugnantium,
Circa strenuum famulum pedibus-velocis Aeacidae.
Ut verò cùm vir tauri bovis magni pellem
Populis dederit distendendam, ebriam pinguedine;
Acceptam autem hi seorsùm-dispositi extendunt
In orbem, statimque humor exiit, subitque adeps,
Multis trahentibus, tenditur autem tota undique:
Sic hi huc et illuc cadaver parvo in spatio
Trahebant utrique: admodùm enim ipsis sperabat animus,
Trojanis quidem, trahere ad Ilium, at Achivis,
Naves ad cavas: de ipso autem tumultus ortus erat
Atrox; neque omninò Mars copiarum-concitator, neque Minerva
Hunc conspicata vituperâsset, nè quidem si maximè ipsam ira cepisset:
Talem Jupiter super Patroclo virorumque et equorum
Die illo intendit exitialem laborem. Nec dum quicquam
Sciebat Patroclum mortuum nobilis Achilles:

Ver. 384. —— ὀρώρει.] Similiterque infrà *ver.* 397. vide suprà ad β', 810.

Ver. 387. — μαρναμένοιϊν.] *Al.* μαρναμένοισιν.

Ver. 391. —— ἄρα.] *Proindè* ——.

Ver. 393. — τάνυται.] Vide suprà ad γ', 260.

Ver. 394. —— νέκυν ὀλίγῃ.] Quâ ratione, νέκυν, hic ultimam producat; item μὲν, *ver.* 396. et γὰρ, *ver.* 403. et τις, *ver.* 414. et 423. et σφίτερον, *ver.* 419. vide suprà ad ά, 51.

Ver. 395. — μάλα γάρ σφισιν.] Cod. *Harleian.* μάλα δέ σφισιν.

Ver. 401. — ἐτάνυσσε.] Rectè cum duplici σ. Vide suprà ad *ver.* 58.

Ver. 402. — τεθνήοτα.] Similiterque infrà

Πολλὸν γὰρ ἀπάνευθε νεῶν μάρναντο θοάων,
Τείχει ὕπο Τρώων· τό μιν οὔποτε ἤλπετο θυμῷ
Τεθνάμεν, ἀλλὰ ζωὸν, ἐνιχριμφθέντα πύλησιν,
Ἂψ ἀπονοστήσειν· ἐπεὶ οὐδὲ τὸ ἔλπετο πάμπαν,
Ἐκπέρσειν πτολίεθρον ἄνευ ἕθεν, οὐδὲ σὺν αὐτῷ.
Πολλάκι γὰρ τόγε μητρὸς ἐπεύθετο, νόσφιν ἀκούων,
Ἥ οἱ ἀπαγγέλλεσκε Διὸς μεγάλοιο νόημα.
Δὴ τότε γ' οὔ οἱ ἔειπε κακὸν τόσον, ὅσσον ἐτύχθη,
Μήτηρ, ὅττι ῥά οἱ πολὺ φίλτατος ὤλεθ' ἑταῖρος.
Οἱ δ' αἰεὶ περὶ νεκρὸν ἀκαχμένα δούρατ' ἔχοντες,
Νωλεμὲς ἐγχρίμπτοντο, καὶ ἀλλήλους ἐνάριζον·
Ὧδε δέ τις εἴπεσκεν Ἀχαιῶν χαλκοχιτώνων·
Ὦ φίλοι, οὐ μὰν ἧμιν ἐϋκλεὲς ἀπονέεσθαι
Νῆας ἐπὶ γλαφυρὰς, ἀλλ' αὐτοῦ γαῖα μέλαινα
Πᾶσι χάνοι· τό κεν ἧμιν ἄφαρ πολὺ κέρδιον εἴη,
Ἢ τοῦτον Τρώεσσι μεθήσομεν ἱπποδάμοισιν
Ἄστυ ποτὶ σφέτερον ἐρύσαι, καὶ κῦδος ἀρέσθαι.
Ὧδε δέ τις Τρώων μεγαθύμων αὐδήσασκεν·

Longè enim seorsùm-à navibus pugnabant velocibus,
Muro sub Trojanorum: quare illum nunquam existimabat animo
Mortuum esse; sed vivum, ubi accessisset ad portas,
Reversurum: neque enim hoc credebat omninò,
Eversurum urbem sine se, sed neque secum.
Saepe enim hoc ex matre didicerat, seorsùm audiens,
Quae ei referebat Jovis magni sententiam.
Tum tamen non ei dixerat malum tantum, quantum acciderat,
Mater, quòd scilicèt ei multò charissimus periisset socius.
Illi verò assiduè circa mortuum acutas hastas tenentes,
Indesinentèr concurrebant, et alii alios interficiebant:
Sic autem aliquis dicebat Achivorum aere-loricatorum:
" O amici, non sanè nobis honestum *est* redire
" Naves ad cavas, sed hîc terra nigra
" Omnibus dehiscat: hoc prorsùs-nobis continuò multo satius esset,
" Quàm *si* hunc Trojanis permittamus equûm-domitoribus
" Urbem ad suam trahere, et gloriam referre."
Sic autem aliquis et Trojanorum magnanimorum dicebat:

---

ver. 345. τεθνηότος, vide suprà ad ά, 265. et ad β', 818.

Ver. 403. — γὰρ ἀπάνευθε.] Cod. *Harleian.* γάρ ῥ' ἀπάνευθε.

Ver. 404. —— ἤλπετο.] *Al.* ἔλπετο.

Ver. 409. —— ἀπαγγέλλεσκε.] *Renuntiare solita erat.* Ita optimè constat Temporum ratio. Vide suprà ad β', 221. et ad ά, 37.

Ver. 410. Δὴ τότε γ' οὔ οἱ ἔειπε κακὸν τόσον, ὅσσον ἐτύχθη.]

Nec vates Helenus, cùm multa horrenda moneret,
Hos mihi praedixit luctus. ——
Æn. III, 712.

Ver. 411. — ὅττι ῥά.] Vide suprà ad ά, 56.

Ver. 415. 476. — ἀπονέεσθαι —— ἀθανάτων.] Vide suprà ad ά, 398.

Ver. 416. — ἀλλ' αὐτοῦ γαῖα μέλαινα Πᾶσι χάνοι.]

Sed mihi vel tellus optem priùs ima dehiscat. *Æn.* IV, 24.

—— O quæ satis ima dehiscat
Terra mihi —— *Æn.* XII, 883.

Ver. 418. Ἢ τοῦτον.] Cod. *Harleian.* Εἰ τοῦτον.

Ver. 419. — ἐρύσαι.] Cod. *Harleian.* ἐρύσειν.

Ver. 420. Ὧδε δέ τις Τρώων.] Ὣς δέ τις αὖ Τρώων. Cod. *Italic.* à *Th. Bentleio* collatus.

Ὦ φίλοι, εἰ καὶ μοῖρα παρ' ἀνέρι τῷδε δαμῆναι
Πάντας ὁμῶς, μήπω τις ἐρωείτω πολέμοιο.
Ὣς ἄρα τις εἴπεσκε, μένος δ' ὄρσασκεν ἑταίρου.
Ὣς οἱ μὲν μάρναντο· σιδήρειος δ' ὀρυμαγδὸς
Χάλκεον οὐρανὸν ἷκε, δι' αἰθέρος ἀτρυγέτοιο.
Ἵπποι δ' Αἰακίδαο, μάχης ἀπάνευθεν ἐόντες,
Κλαῖον, ἐπειδὴ πρῶτα πυθέσθην ἡνιόχοιο
Ἐν κονίῃσι πεσόντος ὑφ' Ἕκτορος ἀνδροφόνοιο·
Ἦ μὰν Αὐτομέδων, Διώρεος ἄλκιμος υἱὸς,
Πολλὰ μὲν ἂρ μάστιγι θοῇ ἐπεμαίετο θείνων,
Πολλὰ δὲ μειλιχίοισι προσηύδα, πολλὰ δ' ἀρειῇ·
Τὼ δ' οὔτ' ἂψ ἐπὶ νῆας ἐπὶ πλατὺν Ἑλλήσποντον
Ἠθελέτην ἰέναι, οὔτ' ἐς πόλεμον μετ' Ἀχαιούς·
Ἀλλ' ὥστε στήλη μένει ἔμπεδον, ἥτ' ἐπὶ τύμβῳ
Ἀνέρος εἱστήκει τεθνηότος, ἠὲ γυναικός·
Ὣς μένον ἀσφαλέως περικαλλέα δίφρον ἔχοντες,
Οὔδει ἐνισκήψαντε καρήατα· δάκρυα δέ σφιν
Θερμὰ κατὰ βλεφάρων χαμάδις ῥέε μυρομένοισιν,
Ἡνιόχοιο πόθῳ· θαλερὴ δὲ μιαίνετο χαίτη,

" O amici, etiam si fatale juxta virum hunc domari
" Omnes simul, nunquam aliquis recedat à pugnâ."
Sic utique aliquis dicebat, animosque excitabat socii.
Sic hi quidem pugnabant: ferreus autem strepitus
Aereum ad coelum ibat, per aërem infructuosum.
Equi autem Aeacidae, à pugnâ seorsùm stantes,
Flebant, ut primùm senserunt aurigam
In pulvere prostratum Hectoris vi homicidae:
Et Automedon quidem, Dioris fortis filius,
Saepè et scuticâ argutâ urgebat verberans,
Saepè et blandis *verbis* alloquebatur, saepè et minis:
Illi verò neque retrò ad naves latum versus Hellespontum
Volebant ire, neque in pugnam ad Achivos:
Sed veluti cippus manet firmiter, qui super tumulo
Viri stat mortui, aut mulieris;
Sic manebant immotè perpulchro currui juncti,
Solo admotis capitibus: lacrymae autem illis
Calidae de palpebris in-terram fluebant plorantibus,
Aurigae desiderio; floridaque foedabatur juba,

Ver. 423. —— ἑταίρου.] *Al.* ἑκάστου.

Ver. 424. —— σιδήρειος δ' ὀρυμαγδὸς Χάλκεον οὐρανὸν ἷκε.]

—— it toto turbida cœlo
Tempestas telorum, ac ferreus ingruit imber. *Æn.* XII, 283.

Ver. 425. —— ἷκε.] *Al.* ἧκε.

Ibid. — ἀτρυγέτοιο.] Vide suprà ad ό, 27.

Ver. 428. Ἐν κονίῃσι πεσόντος.] Vide suprà ad ν', 508.

Ibid. — ἀνδροφόνοιο.] Vide suprà ad π', 77.

Ver. 432. —— πλατὺν Ἑλλήσποντον.] Vide suprà ad ή, 86.

Ver. 437. Οὔδει ἐνισκήψαντε καρήατα· δάκρυα δέ σφιν Θερμὰ κατὰ βλεφάρων χαμάδις ῥέε.] *Al.* Οὔδει ἐνισκίμψαντε.

Post bellator equus positis insignibus Æthon
It lacrymans, guttisque humectat grandibus ora. *Æn.* XI, 89.

Ver. 439. —— πόθῳ.] *Al.* ποθῇ.

Ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν ἀμφοτέροισι.
Μυρομένω δ' ἄρα τώ γε ἰδὼν, ἐλέησε Κρονίων,
Κινήσας δὲ κάρη, προτὶ ὃν μυθήσατο θυμόν·
Ἆ δειλὼ, τί σφῶϊ δόμεν Πηλῆϊ ἄνακτι
Θνητῷ; ὑμεῖς δ' ἐστὸν ἀγήρω τ', ἀθανάτω τε·
Ἦ ἵνα δυστήνοισι μετ' ἀνδράσιν ἄλγε' ἔχητον;
Οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς
Πάντων, ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.
Ἀλλ' οὐ μὰν ὑμῖν γε καὶ ἅρμασι δαιδαλέοισιν
Ἕκτωρ Πριαμίδης ἐποχήσεται· οὐ γὰρ ἐάσω.
Ἦ οὐχ ἅλις, ὡς καὶ τεύχε' ἔχει, καὶ ἐπεύχεται αὔτως;
Σφῶϊν δ' ἐν γούνασσι βαλῶ μένος, ἠδ' ἐνὶ θυμῷ,
Ὄφρα καὶ Αὐτομέδοντα σαώσετον ἐκ πολέμοιο
Νῆας ἐπὶ γλαφυράς· ἔτι γάρ σφισι κῦδος ὀρέξω,
Κτείνειν, εἰσόκε νῆας ἐϋσσέλμους ἀφίκωνται,
Δύῃ τ' ἠέλιος, καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ.

Circulo profusa juxta jugum ambobus.
Plorantes autem illos conspicatus, miseratus est Saturnius,
Motoque capite, ad suum dixit animum:
" Ah miseri, cur vos dedimus Peleo regi
" Mortali? vos autem estis senii-expertes, immortalesque:
" An ut aerumnosos inter homines dolores haberetis?
" Non enim quicquam alicubi est calamitosius homine
" Omnium, quotquot super terram spirantque et moventur.
" At non sanè vobis tamen et curribus artificiosè-factis
" Hector Priamides vehetur: haud enim permittam.
" Annon satis, quòd et arma habet, et gloriatur temerè?
" Vobis autem in genua mittam robur, et in animum,
" Ut et Automedontem salvum-evehatis è pugnâ
" Naves ad cavas: Adhuc enim istis, [*Trojanis*] gloriam praebebo,
" Ut caedem-edant, usque-dum ad naves bonis-transtris-instructas pervenerint,
" Occideritque Sol, et tenebrae sacrae supervenerint."

Ver. 440. — ἀμφοτέροισι.] *Al.* ἀμφοτέρωθεν.

Ver. 441. — ἄρα.] *Ut jam dictum est* —.

Ver. 442. Κινήσας δὲ κάρη.] Vide suprà ad *ver.* 200.

Ver. 444—449. —— ἀθανάτω —— Πριαμίδης.] Vide suprà ad ά, 398.

Ver. 446. Οὐ μὲν γάρ τί που ἐστὶν ὀϊζυρώτερον ἀνδρὸς
Πάντων, ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.] Τοῦτο οὐ ψεύδεται λέγων ἐπὶ νηπίου καὶ ἀρτιγενοῦς· οὐδὲν γάρ ἐστιν οὕτως ἀτελὲς, οὐδὲ ἄπορον, οὐδὲ γυμνὸν, οὐδὲ ἄμορφον, οὐδὲ μιαρὸν, ὡς ἄνθρωπος ἐν γοναῖς ὁρώμενος· ᾧ μόνῳ σχεδὸν οὐδὲ καθαρὰν ἔδωκεν εἰς φῶς ὁδὸν ἡ φύσις· ἀλλ' αἵματι πεφυρμένος, καὶ λύθρου περίπλεως, καὶ φονευομένῳ μᾶλλον ἢ γενωμένῳ ἐοικὼς, οὐδενός ἐστιν ἅψασθαι καὶ ἀνελέσθαι καὶ ἀσπάσασθαι καὶ περιλαβεῖν, ἢ τοῦ φύσει φιλοῦντος. *Plutarch. de Amore prolis.* Ὅμηρος μὲν ἐπιβλέψας τὰ θνητὰ τῶν ζώων γένη καὶ πρὸς ἄλληλα συγκρίνας κατὰ τοὺς βίους καὶ τὰς διαιτήσεις, ἐξεφώνησεν ὡς οὐδέν ἐστιν ὀϊζυρώτερον ἀνδρὸς, " Πάντων ὅσσα τε γαῖαν ἐπι-" πνείει τε καὶ ἕρπει" πρωτεῖον οὐκ εὐτυχὲς εἰς κακῶν ὑπεροχὴν ἀποδιδοὺς τῷ ἀνθρώπῳ. *Id. Animi ne an Corporis affectiones sint pejores; ipso initio.* Citat porrò hunc *Homeri* locum *Dio Chrysost. Orat.* 23. *sub initio.*

Ver. 447. —— ἐπιπνείει τε καὶ ἕρπει.] Codd. *Italic.* à *Tho. Bentleio* collati, ἐπιπνείει καὶ ἕρπει.

Ver. 449.—ἐάσω.] Vide suprà ad δ', 42.

Ver. 450. Ἦ οὐχ ἅλις.] Pronuntiabatur ἦυχ ἅλις. Vide suprà ad ό, 18. et ad ί, 349.

Ibid. — αὔτως.] Cod. *Harleian.* ἄλλως.

Ver. 455. Δύῃ τ' ἠέλιος.] Deest hic ver-

Ὣς εἰπὼν, ἵπποισιν ἐνέπνευσεν μένος ἠΰ·
Τὼ δ' ἀπὸ χαιτάων κονίην οὖδάσδε βαλόντε,
Ῥίμφ' ἔφερον θοὸν ἅρμα μετὰ Τρῶας καὶ Ἀχαιούς.
Τοῖσι δ' ἔπ' Αὐτομέδων μάχετ', ἀχνύμενός περ ἑταίρου,
Ἵπποις ἀΐσσων, ὥστ' αἰγυπιὸς μετὰ χῆνας.
Ῥέα μὲν γὰρ φεύγεσκεν ὑπ' ἐκ Τρώων ὀρυμαγδοῦ,
Ῥεῖα δ' ἐπαΐξασκε πολὺν καθ' ὅμιλον ὀπάζων.
Ἀλλ' οὐχ' ᾕρει φῶτας, ὅτ' ἐσσεύαιτο διώκειν·
Οὐ γάρ πως ἦν, οἷον ἐόνθ' ἱερῷ ἐνὶ δίφρῳ,
Ἔγχει ἐφορμᾶσθαι, καὶ ἐπίσχειν ὠκέας ἵππους.
Ὀψὲ δὲ δή μιν ἑταῖρος ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν
Ἀλκιμέδων, υἱὸς Λαέρκεος Αἱμονίδαο·
Στῆ δ' ὄπιθεν δίφροιο, καὶ Αὐτομέδοντα προσηύδα·
Αὐτόμεδον, τίς τοί νυ θεῶν νηκερδέα βουλὴν
Ἐν στήθεσσιν ἔθηκε, καὶ ἐξέλετο φρένας ἐσθλάς;
Οἷον πρὸς Τρῶας μάχεαι πρώτῳ ἐν ὁμίλῳ
Μοῦνος· ἀτάρ τοι ἑταῖρος ἀπέκτατο· τεύχεα δ' Ἕκτωρ
Αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται Αἰακίδαο.
Τὸν δ' αὖτ' Αὐτομέδων προσέφη, Διώρεος υἱός·
Ἀλκίμεδον, τίς γάρ τοι Ἀχαιῶν ἄλλος ὁμοῖος,

Sic locutus, equis inspiravit robur validum:
Illi verò à jubis pulvere in-solum excusso,
Velocitèr ferebant citum currum inter Trojanos et Achivos.
His autem *vectus* Automedon pugnabat, dolens licèt de socio,
Curru ruens, tanquam vultur in anseres.
Facilè enim et refugiebat è Trojanorum tumultu,
Facilè et irruebat confertam per turbam persequens.
Sed non interficiebat viros, cùm impetum sumebat ad persequendum:
Haudquaquàm enim licuit, solus cùm esset sacrâ in sellâ,
Hastâ impetum-facere, et inhibere veloces equos.
Tandem verò illum socius vir vidit oculis
Alcimedon, filius Laërcei Aemonidae:
Stetit autem post currum, et Automedontem allocutus est:
" Automedon, quisnam tibi deorum inutile consilium
" Pectoribus indidit, et abstulit mentem sanam?
" Quòd ita in Trojanos pugnas primâ in turbâ
" Solus; tibi verò socius occisus est: arma autem Hector
" Ipse gerens humeris exultat Aeacidae."
Illum verò Automedon allocutus est, Dioris filius:
" Alcimedon, quisnam tibi Achivorum alius similis,

sus in uno ex MSS. *Italicis* à *Th. Bentleio* collatis.

Ver. 459. —— ἀχνύμενος.] Vide suprà ad γ', 260.

Ver. 461. Ῥέα μὲν γὰρ.] Ita ex duobus MSS. edidit *Barnesius*. *Al.* Ῥεῖα μὲν γάρ. Pronuntiabatur, ut opinor, Ῥᾶ μὲν γὰρ —. Vide suprà ad ί, 5. Sic apud *Hesiodum*:
Ῥεῖα μὲν γὰρ βριάει ———. Ἐργ. ver. 5.

Ver. 463. —— ἐσσεύαιτο.] Ita MS. *Cantab.* à *Barnesio* et MSS. *Italic.* à *Tho. Bentleio* collati. *Al.* ἐσσεύετο. Quod nullo modo ferri potest.

Ver. 471. —— πρώτῳ ἐν ὁμίλῳ.] Codd. à *Tho. Bentleio* collati, ἐν ὁμίλῳ πρώτῳ.

Ver. 475. —— τίς γάρ τοι.] Cod. *Harleian.* τίς τ' ἄρ τοι.

Ἵππων ἀθανάτων ἐχέμεν δμῆσίν τε μένος τε,
Εἰ μὴ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος,
Ζωὸς ἐών; νῦν δ' αὖ θάνατος καὶ μοῖρα κιχάνει.
Ἀλλὰ σὺ μὲν μάστιγα καὶ ἡνία σιγαλόεντα
Δέξαι, ἐγὼ δ' ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι.
Ὣς ἔφατ'· Ἀλκιμέδων δὲ βοηθόον ἅρμ' ἐπορούσας,
Καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν·
Αὐτομέδων δ' ἀπόρουσε· νόησε δὲ φαίδιμος Ἕκτωρ,
Αὐτίκα δ' Αἰνείαν προσεφώνεεν ἐγγὺς ἐόντα·
Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων,
Ἵππω τώδ' ἐνόησα ποδώκεος Αἰακίδαο
Ἐς πόλεμον προφανέντε σὺν ἡνιόχοισι κακοῖσι·
Τῷ κεν ἐελποίμην αἱρησέμεν, εἰ σύ γε θυμῷ
Σῷ ἐθέλεις· ἐπεὶ οὐκ ἂν ἐφορμηθέντε γε νῶϊν
Τλαῖεν ἐναντίβιον στάντες μαχέσασθαι Ἄρηϊ.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησεν ἐῢς πάϊς Ἀγχίσαο.
Τὼ δ' ἰθὺς βήτην, βοέῃς εἰλυμένω ὤμους
Αὔῃσι, στερεῇσι· πολὺς δ' ἐπελήλατο χαλκός.
Τοῖσι δ' ἅμα Χρόμιός τε, καὶ Ἄρητος θεοειδὴς,
Ἤϊσαν ἀμφότεροι· μάλα δέ σφισιν ἤλπετο θυμὸς
Αὐτώ τε κτενέειν, ἐλάαν τ' ἐριαύχενας ἵππους.

" Equorum immortalium qui teneat domituramque animosque,
" Nisi Patroclus, diis artifex par,
" Dum viveret? Nunc verò mors et fatum occupat.
" Quin tu scuticam et habenas miro-artificio-factas
" Accipe, ego verò de equis descendam, ut pugnem."
Sic dixit: Alcimedon autem celerem-proelio currum ut-conscendit,
Statim scuticam et habenas cepit manibus;
Automedon verò desiliit: Animadvertit autem illustris Hector,
Statimque Aeneam allocutus est propè astantem:
" Aenea, Trojanorum princeps aere-loricatorum,
" Equos hos animadverti velocis Aeacidae
" In pugnam progressos, cum aurigis imbellibus:
" Ideò speraverim *me* capturum, si modò tu animo
" Tuo velis: neque enim irruentes utique nos
" Sustinuerint contrà stantes pugnare Marte."
Sic dixit: neque non-obsecutus-est fortis filius Anchisae.
Hi autem rectà ibant, tergoribus boum tecti humeros,
Aridis, solidis: multiplex verò super-inductum erat aes.
Cum his autem Chromiusque, et Aretus divinâ-formâ-praeditus,
Ibant ambo: admodùm verò iis sperabat animus
Ipsosque interficere, abigereque arduos-cervicibus equos.

Ver. 476.—ἀθανάτων.] Vide suprà ad ά, 398.

Ver. 477.—— ἀτάλαντος.] Vide suprà ad β', 627.

Ver. 478.—— νῦν δ' αὖ θάνατος.] *Al.* νῦν αὖ θάνατος.

Ibid.—— κιχάνει.] *Al.* κάλυψεν.

Ver. 480.——— ἐγὼ δ' ἵππων ἀποβήσομαι.] Vide suprà ad έ, 227.

Ver. 486.—ποδώκεος.] Vide suprà ad ά, 58.

Ver. 494.—θεοειδὴς.] Vide suprà ad β', 623.

Ver. 495.—— ἤλπετο.] *Al.* ἔλπετο.

Νήπιοι, οὐδ' ἄρ' ἔμελλον ἀναιμωτεί γε νέεσθαι
Αὖτις ἀπ' Αὐτομέδοντος· ὁ δ', εὐξάμενος Διῒ πατρὶ,
Ἀλκῆς καὶ σθένεος πλῆτο φρένας ἀμφιμελαίνας·
Αὐτίκα δ' Ἀλκιμέδοντα προσηύδα, πιστὸν ἑταῖρον·
Ἀλκίμεδον, μὴ δή μοι ἀπόπροθεν ἰσχέμεν ἵππους,
Ἀλλὰ μάλ' ἐμπνείοντε μεταφρένῳ· οὐ γὰρ ἔγωγε
Ἕκτορα Πριαμίδην μένεος σχήσεσθαι ὀΐω,
Πρίν γ' ἐπ' Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω,
Νῶϊ κατακτείναντα, φοβῆσαι δὲ στίχας ἀνδρῶν
Ἀργείων· ἤ κ' αὐτὸς ἐνὶ πρώτοισιν ἁλώη.
Ὣς εἰπὼν, Αἴαντε καλέσσατο, καὶ Μενέλαον·
Αἴαντ', Ἀργείων ἡγήτορε, καὶ Μενέλαε,
Ἤτοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ' ὅσσοι ἄριστοι,
Ἀμφ' αὐτῷ βεβάμεν, καὶ ἀμύνεσθαι στίχας ἀνδρῶν·
Νῶϊν δὲ ζωοῖσιν ἀμύνετε νηλεὲς ἦμαρ.
Τῆδε γὰρ ἔβρισαν πόλεμον κατὰ δακρυόεντα
Ἕκτωρ, Αἰνείας θ', οἳ Τρώων εἰσὶν ἄριστοι.
Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται·

Stulti, neque enim erant sine-sanguine utique reversuri
Retrò ab Automedonte: ille autem, precatus Jovem patrem,
Fortitudine et robore repletus est praecordia circumfusa-caligine:
Statim verò Alcimedontem affatus est fidum socium:
" Alcimedon, ne jam à me longè tene equos,
" Sed proximè inspirantes in tergum: haud enim ego
" Hectorem Priamidem à robore temperaturum puto,
" Antequam Achillis pulchrè-jubatos conscenderit equos,
" Nobis interfectis; fugaveritque ordines virorum
" Argivorum: vel ipse inter primos captus-fuerit."
Sic fatus, Ajaces vocavit, et Menelaum:
" Ajaces, Argivorum ductores, et Menelaë,
" Mortui quidem curam committite *iis*, quotquot fortissimi,
" Ut eum circumeuntes defendant, et propulsent ordines virorum;
" A nobis verò vivis propulsate crudelem diem.
" Hàc enim ingruunt pugnam per lachrymosam
" Hector, Aeneasque, qui Trojanorum sunt fortissimi.
" Sed haec quidem Deorum in genibus posita-sunt:

Ver. 497. —— ἀναιμωτεί.] Vide suprà ad *ver.* 363. *Al.* ἀνιδρωτί.

Ver. 499. —— φρένας ἀμφιμελαίνας.] Vide suprà ad *ver.* 83.

Ver. 501. — ἵππους.] Cod. *Harleian.* ἵππω.

Ver. 503. —— Πριαμίδην.] Vide suprà ad ά, 398.

Ver. 505. —— φοβῆσαι δὲ στίχας ἀνδρῶν.] *Al.* φοβῆσαί τε στίχας ἀνδρῶν.

Ver. 506. — ἁλώη.] Cod. *Harleian.* ἁλοίη.

Ver. 509. —— ὅσσοι ἄριστοι.] *Al.* οἵπερ ἄριστοι.

Ver. 512. — ἔβρισαν.] Vide suprà ad *μ'*, 359.

Ver. 513. Ἕκτωρ, Αἰνείας θ', οἳ Τρώων εἰσὶν ἄριστοι.]

Hectoris Æneæque manu victoria Graiûm
Hæsit; ——————
Ambo animis, ambo insignes præstantibus armis. *Æn.* XI, 289.

Ver. 514. Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται.] Sic apud *Euripidem*:

Ἀλλ' εἰς θεοὺς χρὴ ταῦτ' ἀναρτήσαντ' ἔχειν.
Phœniss. ver. 712.

Ἥσω γὰρ καὶ ἐγώ· τὰ δέ κεν Διῒ πάντα μελήσει.
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
Καὶ βάλεν Ἀρήτοιο κατ' ἀσπίδα πάντοσ' ἐΐσην·
Ἡ δ' οὐκ ἔγχος ἔρυτο, διὰ πρὸ δὲ εἴσατο χαλκὸς,
Νειαίρῃ δ' ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσεν.
Ὡς δ' ὅταν ὀξὺν ἔχων πέλεκυν αἰζήϊος ἀνὴρ,
Κόψας ἐξόπιθεν κεράων βοὸς ἀγραύλοιο,
Ἶνα τάμῃ διὰ πᾶσαν, ὁ δὲ προθορὼν ἐρίπῃσιν·
Ὣς ἄρ' ὅγε προθορὼν πέσεν ὕπτιος· ἐν δέ οἱ ἔγχος
Νηδυΐοισι μάλ' ὀξὺ κραδαινόμενον λύε γυῖα.
Ἕκτωρ δ' Αὐτομέδοντος ἀκόντισε δουρὶ φαεινῷ·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος·
Πρόσσω γὰρ κατέκυψε· τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν
Οὔδει ἐνισκίμφθη, ἐπὶ δ' οὐρίαχος πελεμίχθη
Ἔγχεος· ἐνθάδ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.
Καί νύ κε δὴ ξιφέεσσ' αὐτοσχεδὸν ὡρμηθήτην,
Εἰ μή σφω Αἴαντε διέκριναν μεμαῶτε,

"Jaculabor enim et ego: haec autem Jovi omnia curae erunt."
Dixit, et vibratam emisit praelongam hastam,
Et intorsit Areti in clypeum undique aequalem:
Is verò non hastam inhibuit, penitùs autem transiit aes,
Imumque in ventrem per balteum trajecit.
Ut verò cùm acutam tenens securim juvenis vir,
Ictu incusso post cornua bovis agrestis,
Nervum perscindit totum; hic autem saltu dato cadit:
Sic utique et ille saltu dato cecidit supinus: ei autem hasta
In visceribus perquàm acuta vibrata solvit membra.
Hector verò in Automedontem jaculatus est hastâ fulgenti:
Sed is quidem ex adverso conspicatus evitavit aeream hastam;
In anteriorem enim partem proclinavit: à tergo verò hasta longa
Solo infixa est, supraque pars posterior quassabatur
Hastae: tum verò deindè remisit impetum *suum* valida hasta.
Et omnino tunc ensibus cominùs concurrissent,
Si non ipsos Ajaces diremissent ardentes,

Ver. 518. — ἔρυτο.] Vide suprà ad ν', 555.

Ver. 520. Ὡς δ' ὅταν ὀξὺν ἔχων πέλεκυν.]

Quales mugitus, fugit cum saucius aram
Taurus, et incertam excussit cervice securim. *Æn.* II, 223.

Quo in loco *Virgilium Homero* longè superiorem existimat *Scaliger*, *Poetic. Lib.* V, *cap.* 3. Sed non rectè instituta est comparatio. *Virgilius* enim Taurum depingit, qui, priùs quàm interficiatur, ab arâ se proripuerit, maximosque edens mugitus, aufugiat; *Homerus* Taurum, qui lethali ictu percussus saltu dato moribundus humi decidat. Cæterùm quâ ratione, πέλεκυν, hîc ultimam producat; item ἐποιχόμενος, *ver.* 537. vide suprà ad ά, 51. n. 8.

Ver. 522. Ἶνα τάμῃ διὰ πᾶσαν.] Καὶ ἐν τοῖς ἑξῆς δὲ ὅπου ἐρεῖ, "Ὡς γ' ὅταν ὀξὺν ἔχων πέλεκυν ἀνὴρ, βοὸς ἶνα τάμῃ διὰ πᾶσαν," ἀντὶ τοῦ διατάμῃ τὴν ἶνα· φασὶν οἱ παλαιοὶ ὅτι τῇ τῆς λέξεως διακοπῇ μεμίμηται τὸ γενόμενον. *Eustath.* in Comment. ad ό, 1.

Ver. 524. Νηδυΐοισι.] *Al.* Νηδύοισι.

Ver. 526. ——— ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο.] Vide suprà ad ν', 404.

Ibid. —— χάλκεον ἔγχος.] Vide suprà ad γ', 380.

Ver. 529. ——— ἀφίει μένος.] Vide suprà ad ν', 444. et ad π', 613.

Ver. 531. —— διέκριναν.] De hujus vocis prosodiâ, vide suprà ad ά, 309.

Ibid. — μεμαῶτε.] Vide suprà ad ν', 46.

Οἵ ῥ' ἦλθον καθ' ὅμιλον, ἑταίρου κικλήσκοντος.
Τοὺς δ' ὑποταρβήσαντες ἐχώρησαν πάλιν αὖτις
Ἕκτωρ, Αἰνείας τ', ἠδὲ Χρομίος θεοειδής·
Ἄρητον δὲ κατ' αὖθι λίπον, δεδαϊγμένον ἦτορ,
Κείμενον· Αὐτομέδων δὲ, θοῷ ἀτάλαντος Ἄρηϊ,
Τεύχεά τ' ἐξενάριξε, καὶ εὐχόμενος ἔπος ηὔδα·
Ἦ δὴ μὰν ὀλίγον γε Μενοιτιάδαο θανόντος
Κῆρ ἄχεος μεθέηκα, χερείονά περ καταπέφνων.
Ὣς εἰπὼν, ἐς δίφρον ἑλὼν ἔναρα βροτόεντα
Θῆκ', ἂν δ' αὐτὸς ἔβαινε, πόδας καὶ χεῖρας ὕπερθεν
Αἱματόεις, ὥς τίς τε λέων κατὰ ταῦρον ἐδηδώς.
Ἂψ δ' ἐπὶ Πατρόκλῳ τέτατο κρατερὴ ὑσμίνη,
Ἀργαλέη, πολύδακρυς· ἔγειρε δὲ νεῖκος Ἀθήνη,
Οὐρανόθεν καταβᾶσα· προῆκε γὰρ εὐρύοπα Ζεὺς
Ὀρνύμεναι Δαναούς· δὴ γὰρ νόος ἐτράπετ' αὐτοῦ.
Ἠΰτε πορφυρέην ἶριν θνητοῖσι τανύσσῃ
Ζεὺς ἐξ οὐρανόθεν, τέρας ἔμμεναι ἢ πολέμοιο,
Ἢ καὶ χειμῶνος δυσθαλπέος· ὅς ῥά τε ἔργων

Qui adveniebant per turbam, socio vocante.
Hos autem subveriti cesserunt rursùs retrò
Hector, Aeneasque, atque Chromius divinâ-formâ-praeditus;
Aretum verò ibidem dereliquerunt, laceratum corde,
Jacentem: Automedon autem, veloci par Marti,
Armisque spoliavit, et glorians verbum dixit:
" Profectò jam paululùm saltem de Menoetiade mortuo
" Cor dolore levavi, deteriorem licèt interfecerim."
Sic fatus, in currum sumptas exuvias cruentas
Posuit, ipseque conscendebat, pedes et manus supernè
Sanguinolentus, tanquam leo taurum depastus.
Rursùs autem super Patroclo intendebatur aspera pugna,
Gravis, lacrymosa: excitabat nempè certamen Minerva,
E-coelo delapsa; miserat enim latè-sonans Jupiter
Ut concitaret Danaos: jam enim animus conversus erat ejus.
Veluti cum purpuream irin mortalibus extendit
Jupiter coelitùs, quae portendat vel pugnam,
Vel etiam tempestatem frigidam; quae continuò ab operibus

Ver. 533. Τοὺς δ' ὑποταρβήσαντες.] *Al.* Τοὺς ὑποταρβήσαντες.

Ver. 534. — θεοειδής.] Vide suprà ad β', 623.

Ver. 538. —— θανόντος.] Cod. *Harleian.* δαμέντος.

Ver. 542. —— ὥς τίς τε λέων κατὰ ταῦρον ἐδηδώς.] Καὶ τὸ " ὥς τίς τε λέων κατὰ ταῦρον " ἐδηδώς," αἰτιολογοῦσι [οἱ παλαιοί·] τῇ γὰρ ἐγκοπῇ φασὶ τῆς λέξεως, τὸν εἰς πολλὰ διεσπασμένον ταῦρον παρίστησιν. Οὐ γὰρ τὸ μέτρον, φασὶν, ἠνάγκαζεν οὕτως εἰπεῖν, ἐπεί περ ἦν καὶ οὕτω γράψαι, " λέων ταῦρον κατεδηδώς.' *Eustath.* in Comment. ad ό, 1.

Ver. 545. —— εὐρύοπα Ζεὺς.] Vide suprà ad ά, 175.

Ver. 546. —— Ὀρνύμεναι.] Vide suprà ad γ', 260.

Ibid. —— νόος ἐτράπετ' αὐτοῦ.] Vide suprà ad κ', 45.

Ver. 547 — 551. —— πορφυρέην —— πορφυρέη.] Vide suprà ad ά, 482.

Ver. 549. — ὅς ῥά τε.] *Quæ scilicèt* ——.

Ἀνθρώπους ἀνέπαυσεν ἐπὶ χθονὶ, μῆλα δὲ κήδει·
Ὣς ἣ, πορφυρέῃ νεφέλῃ πυκάσασά ἑ αὐτὴν,
Δύσετ' Ἀχαιῶν ἔθνος, ἔγειρε δὲ φῶτα ἕκαστον.
Πρῶτον δ' Ἀτρέος υἱὸν ἐποτρύνασα προσηύδα,
Ἴφθιμον Μενέλαον, ὃ γάρ ῥά οἱ ἐγγύθεν ἦεν,
Εἰσαμένη Φοίνικι δέμας καὶ ἀτειρέα φωνήν·
Σοὶ μὲν δὴ, Μενέλαε, κατηφείη καὶ ὄνειδος
Ἔσσεται, εἴ κ' Ἀχιλῆος ἀγαυοῦ πιστὸν ἑταῖρον
Τείχει ὕπο Τρώων ταχέες κύνες ἑλκύσωσιν·
Ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα.
Τὴν δ' αὖτε προσέειπε βοὴν ἀγαθὸς Μενέλαος·
Φοῖνιξ, ἄττα, γεραιὲ παλαιγενὲς, εἰ γὰρ Ἀθήνη
Δοίη κάρτος ἐμοὶ, βελέων δ' ἀπερύκοι ἐρωήν·
Τῷ κεν ἔγωγ' ἐθέλοιμι παρεστάμεναι καὶ ἀμύνειν
Πατρόκλῳ· μάλα γάρ με θανὼν ἐσεμάσσατο θυμόν·
Ἀλλ' Ἕκτωρ πυρὸς αἰνὸν ἔχει μένος, οὐδ' ἀπολήγει

Homines cessare-facit super-terram, pecudesque contristat:
Sic haec, caeruleâ nube quùm contexerat se,
Ingressa est Achivorum gentem, excitabatque virum quemque.
Primùm verò Atrei filium incitans allocuta est,
Fortem Menelaum, hic enim eam prope erat,
Postquàm-semet-assimulaverat Phoenici corpore et indefessâ voce:
" Tibi certè jam, Menelaë, pudor et opprobrium
" Erit, si quidem Achillis illustris fidum socium
" Muro sub Trojanorum veloces canes discerpserint:
" Sed capesse *pugnam* strenuè, adhortareque populum omnem."
Hanc autem vicissim affatus est pugnâ strenuus Menelaus:
" Phoenix, pater, senex olim-nate, utinam Minerva
" Daret robur mihi, telorumque averteret impetum:
" Ita equidem vellem adesse et auxilium ferre
" Patroclo: graviter enim mihi mortuus desiderio-percussit animum:
" Sed Hector ignis horrendam habet vim, neque cessat

Ver. 551. —— *πορφυρέῃ νεφέλῃ πυκάσασά ἑ αὐτὴν.*] Vide suprà ad π', 334.

Ibid. — *πυκάσασά.*] Vide suprà ad ά, 140.

Ibid. —— *ἑ αὐτὴν.*] Ita ex uno MS. edidit *Barnesius*: Ἑαυτὴν, ἢ μᾶλλον διαλελυμένως, ἓ αὐτήν· ὡς Ὁμήρῳ γράφειν σύνηθες. *Eustath.*

Ver. 552. Δύσετ'.] Vide suprà ad β, 35. et ad ί, 109.

Ver. 553. — *ἐποτρύνασα.*] *Al.* ἐποτρύνουσα.

Ver. 555. Εἰσαμένη Φοίνικι δέμας καὶ ἀτειρέα φωνήν.] Vide suprà ad ν', 45.

Ver. 558. —— *ἑλκύσωσιν.*] *Al.* ἑλκύσουσι, ἑλκήσουσι, et ἑλκύσσωσι.

Ver. 560. ——— *βοὴν ἀγαθὸς.*] Vide suprà ad β', 408.

Ver. 561. Φοῖνιξ.] Vide suprà ad β', 267.

Ibid. —— *παλαιγενὲς.*] *Al.* διοτρεφές.

Ver. 564. —— *ἐσεμάσσατο.*] *Barnesius* ex uno MS. edidit ἐσεμάσσετο, atque ita omninò scribendum contendit; " *μάσσομαι* " enim," inquit, " facit ἐμάξατο in *Aoristo* " *primo Medio*, non ἐμάσσατο." Atqui vox hæc sæpè apud *Homerum* in *Futuro* et *Aoristo primo* occurrit:

Ἕλκος δ' ἰητὴρ ἐπιμάσσεται, ἠδ' ἐπιθήσει. *Iliad.* δ', 190.

Χεῖρ' ἐπιμασσάμενος. — *Odyss.* ί, 302.

Τῶν ὁπότ' ἰθύσει' ὁ γέρων ἐπὶ χερσὶ μάσασθαι. *Ibid.* μ', 590.

——— αἱ δὲ σπόγγοισι τραπέζας
Πάσας ἀμφιμάσασθε ——. *Ibid.* ύ, 152.

Vide et infrà ad ύ, 425.

Ver. 565. —— *αἰνὸν.*] αἰὲν· MS. *Italic.* à *Tho. Bentleio* collatus.

Χαλκῷ δηϊόων· τῷ γὰρ Ζεὺς κῦδος ὀπάζει.
Ὣς φάτο· γήθησεν δὲ θεὰ γλαυκῶπις Ἀθήνη,
Ὅττι ῥά οἱ πάμπρωτα θεῶν ἠρήσατο πάντων·
Ἐν δὲ βίην ὤμοισι καὶ ἐν γούνασσιν ἔθηκε,
Καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἐνῆκεν,
Ἥτε καὶ ἐργομένη μάλα περ χροὸς ἀνδρομέοιο,
Ἰσχανάᾳ δακέειν, λαρόν τέ οἱ αἷμ' ἀνθρώπου·
Τοίου μιν θάρσευς πλῆσεν φρένας ἀμφιμελαίνας.
Βῆ δ' ἐπὶ Πατρόκλῳ, καὶ ἀκόντισε δουρὶ φαεινῷ.
Ἔσκε δ' ἐνὶ Τρώεσσι Ποδῆς, υἱὸς Ἠετίωνος,
Ἀφνειός τ', ἀγαθός τε· μάλιστα δέ μιν τίεν Ἕκτωρ
Δήμου, ἐπεί οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναστής·
Τόν ῥα κατὰ ζωστῆρα βάλε ξανθὸς Μενέλαος,
Ἀΐξαντα φόβονδε· διὰ πρὸ δὲ χαλκὸν ἔλασσε·
Δούπησεν δὲ πεσών· ἀτὰρ Ἀτρείδης Μενέλαος
Νεκρὸν ὑπ' ἐκ Τρώων ἔρυσεν μετὰ ἔθνος ἑταίρων.
Ἕκτορα δ' ἐγγύθεν ἱστάμενος ὤτρυνεν Ἀπόλλων,
Φαίνοπι Ἀσιάδῃ ἐναλίγκιος, ὅς οἱ ἁπάντων
Ξείνων φίλτατος ἔσκεν, Ἀβυδόθι οἰκία ναίων·

"Aere caedem-edere: ei enim Jupiter gloriam praebet."
Sic dixit: Gavisa est autem oculos-caesia Minerva,
Quòd se ante deos precatus esset omnes:
Vim autem humeris et genibus indidit,
Et ei muscae audaciam pectoribus immisit,
Quae licèt abacta crebrò à corpore humano,
Appetit mordere, dulcisque illi sanguis hominis *est:*
Tali eum audaciâ replevit praecordia circumfusa-caligine.
Accessit verò ad Patroclum, et jaculatus est hastâ fulgenti.
Erat autem in Trojanis Podes, filius Eëtionis,
Divesque, fortisque; maximè verò eum honorabat Hector
Inter populares, sibi enim sodalis erat charus conviva:
Hunc ad balteum percussit flavus Menelaus
Ruentem in-fugam; penitusque aes adegit:
Fragorem verò edidit cadens: at Atrides Menelaus
Mortuum à Trojanis subtrahebat ad agmen sociorum.
Hectorem autem propè stans hortans-excitabat Apollo,
Phaenopi Asiadae similis, qui illi omnium
Hospitum charissimus erat, in-Abydo aedes habitans:

Ver. 567. ——— γλαυκῶπις Ἀθήνη.] Vide suprà ad ά, 206.

Ver. 570. —— ἐνῆκεν.] *Al.* ἔθηκεν.

Ver. 571. —— ἐργομένη.] *Al.* εἰργομένη.

Ver. 573. —— θάρσευς.] Ita ex MSS. et *Schol.* edidit *Barnesius.* *Al.* θάρσους.

Ibid. ——— φρένας ἀμφιμελαίνας.] Vide suprà ad *ver.* 83.

Ver. 575. Ἔσκε δ' ἐνὶ Τρώεσσι.] Cod. *Harleian.* Ἦν δέ τις ἐν Τρώεσσι.

Ver. 577. —— ἐπεί οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναστής.] Τὸν γὰρ ἐν εἰλαπίνῃ φίλον εἴρηκεν, τὸν ἐν τῷ δειπνεῖν· διὸ καὶ ποιεῖ αὐτὸν ὑπὸ Μενελάου τιτρωσκόμενον, κατὰ τὴν γαστέρα. *Athenæus, lib.* VI, *cap.* 8.

Ver. 578. Τόν ῥα.] *Hunc utique ——— Hunc inquam ———.*

Ver. 582. ——— ἱστάμενος ὤτρυνεν.] Quâ ratione, ἱστάμενος, hîc ultimam producat; item ὅς, *ver.* 583. et κατὰ, *ver.* 594. et μάλα, *ver.* 595. vide suprà ad ά, 51. n. 8.

Τῷ μιν ἐεισάμενος προσέφη ἑκάεργος Ἀπόλλων·
Ἕκτορ, τίς κέ σ' ἔτ' ἄλλος Ἀχαιῶν ταρβήσειεν;
Οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος περ
Μαλθακὸς αἰχμητὴς, νῦν δ' οἴχεται οἶος ἀείρας
Νεκρὸν ὑπ' ἐκ Τρώων· σὸν δ' ἔκτανε πιστὸν ἑταῖρον,
Ἐσθλὸν, ἐνὶ προμάχοισι, Ποδῆν, υἱὸν Ἠετίωνος.
Ὣς φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
Βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ.
Καὶ τότ' ἄρα Κρονίδης ἕλετ' αἰγίδα θυσσανόεσσαν,
Μαρμαρέην, Ἴδην δὲ κατὰ νεφέεσσι κάλυψεν·
Ἀστράψας δὲ, μάλα μεγάλ' ἔκτυπε· τὴν δ' ἐτίναξε·
Νίκην δὲ Τρώεσσι δίδου, ἐφόβησε δ' Ἀχαιούς.
Πρῶτος Πηνέλεως Βοιώτιος ἦρξε φόβοιο·
Βλῆτο γὰρ ὦμον δουρὶ, πρόσω τετραμμένος αἰεὶ,
Ἄκρον ἐπιλίγδην· γράψεν δέ οἱ ὀστέον ἄχρις
Αἰχμὴ Πουλυδάμαντος· ὁ γάρ ῥ' ἔβαλε σχεδὸν ἐλθών.
Λήϊτον αὖθ' Ἕκτωρ σχεδὸν οὔτασε χεῖρ' ἐπὶ καρπῷ,
Υἱὸν Ἀλεκτρυόνος μεγαθύμου· παῦσε δὲ χάρμης·

Huic sese cùm assimulâsset, ipsum affatus est longè-jaculans Apollo:
"Hector, quis omninò te ampliùs alius Achivorum formidaverit?
"Cùm ità nunc Menelaum territus-fugis, qui tamen antehàc
"Mollis bellator, nunc verò abiit solus sublatum auferens
"Mortuum è Trojanis: tuum autem interfecit fidum socium,
"Strenuum, inter primos-pugnatores, Poden, filium Eëtionis."
Sic dixit: Illum verò doloris nubes obtexit nigra:
Processit autem per primos-pugnatores armatus corusco aere.
Tum verò Saturnius sumpsit aegidem fimbriatam,
Splendentem, Idamque nubibus cooperuit:
Fulguribus etiam emissis, admodùm grande intonuit; eamque concussit:
Victoriam autem Trojanis dedit, inque-fugam-vertit Achivos.
Primus Peneleus Boeotius fuit-dux fugae:
Percussus enim fuerat in humerum hastâ, cùm facie in-hostem-esset usque versâ,
Summum levitèr; perstrinxit nempè ei ad os usque
Cuspis Polydamantis: is enim percusserat propè accedens.
Leïtum deindè Hector cominùs percussit in manum ad carpum,
Filium Alectryonis magnanimi; cessare autem fecit à pugnâ:

Ver. 585. Τῷ μιν ἐεισάμενος.] Vide suprà ad γ', 389.

Ibid. —— ἑκάεργος.] Vide suprà ad ά, 43. et 58.

Ver. 591. —— τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα.] Vide infrà ad σ', 22.

Ver. 593. Καὶ τότ' ἄρα Κρονίδης.]

—— Jovem: cum sæpè nigrantem
Ægida concuteret dextrâ, nimbosque cieret. *Æn.* VIII, 353.

Ibid. — θυσσανόεσσαν.] Ita edidit *Barnesius*, ex έ, 738. et ό, 229. *Al.* θυσανόεσσαν· ut opinor, minùs rectè; nam θύσανος primam corripit: —— ἑκατὸν θυσάνοις ἀραρυῖαν· Vide suprà ξ', 181.

Ver. 597. —— ἦρξε φόβοιο.] Cod. *Harleian.* ἦρχε φόβοιο.

Ver. 599. — ἐπιλίγδην.] Vide suprà ad π', 174.

Ver. 600. —— ὁ γάρ ῥ' ἔβαλε.] Cod. *Harleian.* ὁ γὰρ ἔβαλε.

Ver. 601. — οὔτασε.] Vide suprà ad ν', 192.

Τρέσσε δὲ παπτήνας, ἐπεὶ οὐκέτι ἤλπετο θυμῷ
Ἔγχος ἔχων ἐν χειρὶ μαχήσεσθαι Τρώεσσιν.
Ἕκτορα δ' Ἰδομενεὺς μετὰ Λήϊτον ὁρμηθέντα
Βεβλήκει θώρηκα κατὰ στῆθος παρὰ μαζόν·
Ἐν καυλῷ δ' ἐάγη δολιχὸν δόρυ· τοὶ δ' ἐβόησαν
Τρῶες· ὁ δ' Ἰδομενῆος ἀκόντισε Δευκαλίδαο
Δίφρῳ ἐφεστάοτος· τοῦ μέν ῥ' ἀπὸ τυτθὸν ἅμαρτεν·
Αὐτὰρ ὁ Μηριόναο ὀπάονά θ', ἡνίοχόν τε,
Κοίρανον, ὅς ῥ' ἐκ Λύκτου ἐϋκτιμένης ἕπετ' αὐτῷ·
Πεζὸς γὰρ τὰ πρῶτα, λιπὼν νέας ἀμφιελίσσας,
Ἤλυθε, καί κεν Τρωσὶ μέγα κράτος ἐγγυάλιξεν,
Εἰ μὴ Κοίρανος ὦκα ποδώκεας ἤλασεν ἵππους·
Καὶ τῷ μὲν φάος ἦλθεν, ἄμυνε δὲ νηλεὲς ἦμαρ·
Αὐτὸς δ' ὤλεσε θυμὸν ὑφ' Ἕκτορος ἀνδροφόνοιο.
Τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος, ἐκ δ' ἄρ' ὀδόντας
Ὦσε δόρυ πρυμνὸν, διὰ δὲ γλῶσσαν τάμε μέσσην·
Ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ἡνία χεῦεν ἔραζε·
Καὶ τάγε Μηριόνης ἔλαβεν χείρεσσι φίλησι
Κύψας ἐκ πεδίοιο, καὶ Ἰδομενῆα προσηύδα·
  Μάστιε νῦν, εἵως κε θοὰς ἐπὶ νῆας ἵκηαι·

Trepidus autem fugit circumspectans; haud enim ampliùs sperabat animo
Hastam tenentem manu *se* pugnaturum cum Trojanis.
Hectorem verò Idomeneus in Leïtum irruentem
Percussit thoracem ad pectus juxta papillam:
Ad cuspidis autem juncturam fracta est longa hasta; et clamaverunt
Trojani: hic autem in Idomeneum jaculatus est Deucalidem
In curru stantem: ab eo quidem paululùm aberravit;
Caeterùm hic Merionis armigerumque aurigamque,
Coeranum, qui è Lycto benè-habitatâ comitabatur eum:
Pedes enim primò, relictis navibus utrinque-remis-actis,
Venerat, et omninò Trojanis magnam victoriam praebuisset;
Nisi Coeranus confestim celeres adduxisset equos:
Et huic quidem salus venit, arcuitque saevum diem;
Ipse autem perdidit animam Hectoris vi homicidae.
Hunc percussit sub malam et aurem; dentes autem
Excussit hasta extrema, linguamque perscidit mediam:
Cecidit autem è curru, habenasque effudit in-terram:
Et illas Meriones cepit manibus suis
Inclinans se à solo, et Idomeneum allocutus est:
" Urge nunc scuticâ *equos*, usque dum veloces ad naves perveneris:

Ver. 603. —— ἤλπιτο.] *Al.* ἔλπιτο.

Ver. 604. Ἔγχος ἔχων.] *Al.* Ἕλκος ἔχων.

Ver. 606. Βιβλήκει.] Vide suprà ad δ', 492.

Ver. 607. —— τοὶ δ' ἰβόησαν.] τοὶ δ' ἐφόβηθεν· MS. *Cantab.* à *Barnesio*, et MS. *Harleian.* à *Tho. Bentleio* collatus.

Ver. 608. —— ἀκόντισε Δευκαλίδαο.] Cod. *Harleian.* ἀκόντισε δουρὶ φαεινῷ.

Ver. 611. —— ὅς ῥ'.] *Qui utique* ——. *Qui videlicèt* ——.

Ver. 613. —— Ἤλυθε.] Vide suprà ad ό, 484. et ad ά, 37.

Ver. 616 et 638. —— ἀνδροφόνοιο.] Vide suprà ad π', 77.

Ver. 617. —— ἐκ δ' ἄρ' ὀδόντας.] Cod. *Harleian.* ἐκ δ' ἄρ' ὀδόντων, *Dentium aliquos.*

Γινώσκεις δὲ καὶ αὐτὸς, ὅτ' οὐκέτι κάρτος Ἀχαιῶν.
  Ὣς ἔφατ'· Ἰδομενεὺς δ' ἵμασεν καλλίτριχας ἵππους
Νῆας ἐπὶ γλαφυράς· δὴ γὰρ δέος ἔμπεσε θυμῷ.
Οὐδ' ἔλαθ' Αἴαντα μεγαλήτορα καὶ Μενέλαον
Ζεὺς, ὅτε δὴ Τρώεσσι δίδου ἑτεραλκέα νίκην·
Τοῖσι δὲ μύθων ἦρχε μέγας Τελαμώνιος Αἴας·
  Ὢ πόποι, ἤδη μέν γε καὶ ὃς μάλα νήπιός ἐστι,
Γνοίη, ὅτι Τρώεσσι πατὴρ Ζεὺς κῦδος ὀπάζει.
Τῶν μὲν γὰρ πάντων βέλε' ἅπτεται, ὅστις ἀφείη,
Ἢ κακὸς, ἢ ἀγαθός· Ζεὺς δ' ἔμπης πάντ' ἰθύνει·
Ἡμῖν δ' αὔτως πᾶσιν ἐτώσια πίπτει ἔραζε.
Ἀλλ' ἄγετ', αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην,
Ἠμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ
Χάρμα φίλοις ἑτάροισι γενώμεθα νοστήσαντες·
Οἵ που δεῦρ' ὁρόωντες ἀκηχέδατ', οὐδ' ἔτι φασὶν
Ἕκτορος ἀνδροφόνοιο μένος καὶ χεῖρας ἀάπτους
Σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι.
Εἴη δ', ὅστις ἑταῖρος ἀπαγγείλειε τάχιστα
Πηλείδῃ· ἐπεὶ οὔ μιν ὀΐομαι οὐδὲ πεπύσθαι
Λυγρῆς ἀγγελίης, ὅτι οἱ φίλος ὤλεθ' ἑταῖρος.

" Sentis enim et ipse, quòd non ampliùs victoria *est* Achivorum."
Sic dixit: Idomeneus autem sscutica-impellebat pulchros-jubis equos
Naves versus cavas: jam enim timor inciderat animo.
Neque latuit Ajacem magnanimum et Menelaum
Jupiter, quum jam Trojanis dabat alternantem victoriam:
Hisce autem sermonem orsus est magnus Telamonius Ajax:
" Eheu, jam quidem etiam qui admodùm stultus est,
" Senserit, quòd Trojanis pater Jupiter gloriam praebet.
" Illorum enim omnium tela assequuntur, quicunque emittat,
" Seu imbellis, seu strenuus; Jupiter nempè omninò omnia dirigit:
" Nobis verò incassùm omnibus irrita cadunt in terram.
" Sed agite, per nos tamen excogitemus consilium optimum,
" Quo pacto et mortuum extrahamus, et ipsi
" Gaudio dilectis sociis simus reversi;
" Qui huc utique respicientes tristantur, neque jam putant
" Hectoris homicidae robur et manus invictas
" Sustenturos *nos*, sed in navibus nigris casuros esse.
" Utinam verò esset socius, qui nunciaret citissimè
" Pelidae: non enim illum opinor nè audiisse quidem
" Tristem nuncium, quòd sibi charus periit socius.

Ver. 624. —— ἵμασεν.] Vide suprà ad ά, 140.

Ver. 626. —— Αἴαντα μεγαλήτορα.] Vide suprà ad ά, 51.

Ver. 630. —— Ζεὺς κῦδος ὀπάζει.] Ζεὺς αὐτὸς ἀρήγει· Cod. *Harleian.* item Cod. *Cantab.* et *Oxon.* à *Barnesio* collati.

Ver. 631. — ἀφείη.] *Al.* ἀφίει. Quæ fortè est verior lectio. Vide suprà ad π', 762.

Ver. 636. —— γενώμεθα.] *Al.* γενοίμεθα.

Ver. 637. Οἵ που.] Cod. *Harleian.* Ἥ που. *Ibid.* — ἀκηχέδατ'.] Vide suprà ad *ver.* 164.

Ver. 641. —— πεπύσθαι.] Cod. *Harleian.* πυθέσαι.

Ἀλλ' οὔπη δύναμαι ἰδέειν τοιοῦτον Ἀχαιῶν·
Ἠέρι γὰρ κατέχονται ὁμῶς αὐτοί τε καὶ ἵπποι.
Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν·
Ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι·
Ἐν δὲ φάει καὶ ὄλεσσον, ἐπεί νύ τοι εὔαδεν οὕτως.
  Ὣς φάτο· τὸν δὲ πατὴρ ὀλοφύρατο δακρυχέοντα·
Αὐτίκα δ' ἠέρα μὲν σκέδασεν, καὶ ἀπῶσεν ὀμίχλην·
Ἠέλιος δ' ἐπέλαμψε, μάχη δ' ἐπὶ πᾶσα φαάνθη·
Καὶ τότ' ἄρ' Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
  Σκέπτεο νῦν, Μενέλαε διοτρεφὲς, αἴκεν ἴδηαι
Ζωὸν ἔτ' Ἀντίλοχον, μεγάθυμον Νέστορος υἱόν·
Ὄτρυνον δ' Ἀχιλῆϊ δαΐφρονι θᾶσσον ἰόντα
Εἰπεῖν, ὅττι ῥά οἱ πολὺ φίλτατος ὤλεθ' ἑταῖρος.
  Ὣς ἔφατ'· οὐδ' ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος·
Βῆ δ' ἰέναι, ὥς τίς τε λέων ἀπὸ μεσσαύλοιο,
Ὅστ' ἐπεὶ ἄρ κεκάμησι κύνας τ' ἄνδρας τ' ἐρεθίζων,
Οἵτε μιν οὐκ εἰῶσι βοῶν ἐκ πῖαρ ἑλέσθαι,
Πάννυχοι ἐγρήσσοντες· ὁ δὲ, κρειῶν ἐρατίζων,

"Atqui nondum possum conspicari talem inter Achivos:
"Caligine enim occupati sunt simul ipsique et equi.
"Jupiter pater, quin tu libera à caligine filios Achivorum;
"Facque serenitatem, daque oculis videre:
"In luce verò vel perde; quandoquidem tibi placuit ita."
Sic dixit: Eum autem pater miseratus est lachrymantem;
Statim autem caliginem quidem dissipavit, et amovit nebulam:
Sol verò affulsit, aciesque tota illustrata est:
Et tunc Ajax allocutus est pugnâ strenuum Menelaum:
"Circumspice nunc, Menelaë Jovis-alumne, si quo modo videre possis
"Vivum adhuc Antilochum, magnanimum Nestoris filium:
"Hortare verò, ut Achilli bellicoso ocyùs profectus
"Nunciet, quòd quidem ei multò charissimus periit socius."
Sic dixit: Neque non-obsecutus-est pugnâ strenuus Menelaus:
Perrexit autem ire, tanquam leo à caulâ,
Qui postquam fatigatus utique fuerit canesque virosque lacessens,
Qui ipsum non sinunt boum pinguedinem eripere,
Totam-noctem vigilantes; ille autem carnium cupidus,

Ver. 643. —— οὔπη.] *Al.* οὔπω.

Ver. 645. Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι —— Ἐν δὲ φάει καὶ ὄλεσσον.] Ἐστὶν ὡς ἀληθῶς τὸ πάθος Αἴαντος· οὐ γὰρ ζῆν εὔχεται, (ἦν γὰρ τὸ αἴτημα τοῦ ἥρωος ταπεινότερον·) ἀλλ' ἐπειδὴ ἐν ἀπράκτῳ σκότει τὴν ἀνδρίαν εἰς οὐδὲν γενναῖον εἶχε διαθέσθαι, διὰ ταῦτ' ἀγανακτῶν, ὅτι πρὸς τὴν μάχην ἀργεῖ, φῶς ὅτι τάχιστα αἰτεῖται, ὡς πάντως τῆς ἀρετῆς εὑρήσων ἄξιον ἐντάφιον, κἂν αὐτῷ Ζεὺς ἀντιτάττηται. Longinus, § 9.

Ver. 647. —— εὔαδεν.] Vide suprà ad ά, 37.

Ver. 648. — ὀλοφύρατο.] Vide suprà ad ά, 338.

Ver. 649. — σκέδασεν.] Vide suprà ad ά, 140.

Ver. 651. Καὶ τότ' ἄρ'.] *Et tum deinceps* ——.

Ver. 651—656—665. —βοὴν ἀγαθὸν — βοὴν ἀγαθὸς.] Vide suprà ad β', 408.

Ver. 653. — μεγάθυμον.] *Al.* μεγαθύμου.

Ver. 657. —— ὥς τίς τε λέων ἀπὸ μεσσαύλοιο.] Vide suprà ad λ', 547.

Ver. 659. Οἵτε.] *Qui scilicèt* ——.

Ἰθύει, ἀλλ' οὔτι πρήσσει· θαμέες γὰρ ἄκοντες
Ἀντίοι ἀΐσσουσι θρασειάων ἀπὸ χειρῶν,
Καιόμεναί τε δεταὶ, τάς τε τρεῖ ἐσσύμενός περ·
Ἠῶθεν δ' ἀπονόσφιν ἔβη τετιηότι θυμῷ·
Ὣς ἀπὸ Πατρόκλοιο βοὴν ἀγαθὸς Μενέλαος
Ἤϊε πόλλ' ἀέκων· πέρι γὰρ δίε, μή μιν Ἀχαιοὶ
Ἀργαλέου πρὸ φόβοιο ἕλωρ δηΐοισι λίποιεν·
Πολλὰ δὲ Μηριόνῃ τε καὶ Αἰάντεσσι κέλευεν·
  Αἴαντ', Ἀργείων ἡγήτορε, Μηριόνη τε,
Νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο
Μνησάσθω· πᾶσιν γὰρ ἐπίστατο μείλιχος εἶναι
Ζωὸς ἐών· νῦν δ' αὖ θάνατος καὶ μοῖρα κιχάνει.
  Ὣς ἄρα φωνήσας ἀπέβη ξανθὸς Μενέλαος,
Πάντοσε παπταίνων, ὥστ' αἰετὸς, ὅν ῥά τε φασὶν
Ὀξύτατον δέρκεσθαι ὑπουρανίων πετεηνῶν,
Ὅν τε καὶ ὑψόθ' ἐόντα πόδας ταχὺς οὐκ ἔλαθε πτὼξ,

Rectà-irruit; sed nihil proficit: crebra enim jacula
Adversa volant audacibus à manibus,
Incensaeque faces, quas quidem horrens-recedit incitatus licèt;
Manè autem seorsùm discedit moesto animo:
Sic à Patroclo pugnâ strenuus Menelaus
Abibat perquàm invitus: admodùm enim timebat, ne ipsum Achivi
Gravi prae metu capturam hostibus relinquerent:
Multis autem Merionique et Ajacibus mandabat:
" Ajaces, Argivorum ductores, Merioneque,
" Nunc aliquis mansuetudinis Patrocli miseri
" Recordetur; omnibus enim nôrat mitis esse
" Dum viveret: nunc verò mors et fatum occupat."
Sic fatus abiit flavus Menelaus,
Quaquaversùm circumspectans, veluti aquila, quam aiunt
Acutissimè cernere inter aërias volucres,
Quam licèt in alto existentem pedibus velox non latet lepus,

Ver. 661. Ἰθύει.] *Al.* Ἰθύνει. Quod nullo modo ferri potest: Nam vox ἰθύνω mediam semper producit. Quin et ipsum ἰθύει mediam *naturâ* habere longam, *positione* tantum corripere crediderim. Nam in vocibus, ἰθύσει, ἴθυσεν, ἴθυσαν, ubi *duæ Vocales* non concurrunt, semper producitur τὸ ύ.

  Ὅππη τ' ἰθύσει τῇ τ' —— *Il.* μ', 48.

ubi nonnulli legunt Ὅππη τ' ἰθύει.

  Ἴθυσεν δὲ διὰ προμάχων ————
  π', 582. ρ', 281.
  Ἴθυσαν δὲ, κύνεσσιν ἐοικότες — ρ', 725.

Vide suprà ad ν', 103.

Ibid. — πρήσσει.] Vide suprà ad ν', 192.

Ver. 662. Ἀντίοι ἀΐσσουσι.] *Al.* Ἀντίον ἀΐσσουσι.

Ver. 663. Καιόμεναί τε δεταὶ.] Αἱ συνδεδεμέναι δᾷδες· Schol. inedita in Cod. *Harleiano.* Porrò impetum leonis subitò repressum, cursuque in medio identidem impeditum, pulchrè depingunt numeri isti quodammodo impediti, τάς τε τρεῖ ἐσσύμενός περ.

Ver. 668. —— Αἰάντεσσι κέλευεν.] *Al.* Αἰάντεσσ' ἐπέτελλεν.

Ver. 672. ——— νῦν δ' αὖ θάνατος.] *Al.* νῦν αὖ θάνατος.

Ver. 674. — ὅν ῥά τε.] *Quàm scilicèt* —.

Ver. 676. —— οὐκ ἔλαθε πτὼξ.] Sic apud *Virgilium :*

  ——— sæpe exiguus mus.
  Georg. I, 181.

Quem ad locum *Quintilianus :* " At Virgilii (inquit) miramur illud, *Sæpè exiguus mus.* Nam Epitheton, *exiguus*, aptum, " proprium effecit ne plùs expectaremus, et " casus singularis magis decuit, et clausula " ipsa unius syllabæ non usitata, addit gratiam." *Lib.* VII. *cap.* 3.

Θάμνῳ ὑπ' ἀμφικόμῳ κατακείμενος· ἀλλά τ' ἐπ' αὐτῷ
Ἔσσυτο, καί τέ μιν ὦκα λαβὼν ἐξείλετο θυμόν.
Ὣς τότε σοὶ, Μενέλαε διοτρεφὲς, ὄσσε φαεινὼ
Πάντοσε δινείσθην, πολέων κατὰ ἔθνος ἑταίρων,
Εἴ που Νέστορος υἱὸν ἔτι ζώοντα ἴδοιο.
Τὸν δὲ μάλ' αἶψ' ἐνόησε, μάχης ἐπ' ἀριστερὰ πάσης,
Θαρσύνονθ' ἑτάρους, καὶ ἐποτρύνοντα μάχεσθαι·
Ἀγχοῦ δ' ἱστάμενος προσέφη ξανθὸς Μενέλαος·
Ἀντίλοχ', εἴδ' ἄγε δεῦρο, διοτρεφὲς, ὄφρα πύθηαι
Λυγρῆς ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
Ἤδη μέν σε καὶ αὐτὸν ὀΐομαι εἰσορόωντα
Γινώσκειν, ὅτι πῆμα θεὸς Δαναοῖσι κυλίνδει,
Νίκη δὲ Τρώων· πέφαται δ' ὤριστος Ἀχαιῶν
Πάτροκλος, μεγάλη δὲ ποθὴ Δαναοῖσι τέτυκται.
Ἀλλὰ σύ γ' αἶψ' Ἀχιλῆϊ, θέων ἐπὶ νῆας Ἀχαιῶν,
Εἰπεῖν, αἴκε τάχιστα νέκυν ἐπὶ νῆα σαώσῃ
Γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ.
Ὣς ἔφατ'· Ἀντίλοχος δὲ κατέστυγε, μῦθον ἀκούσας·
Δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε· τὼ δέ οἱ ὄσσε
Δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.

Arbusto sub latè-comanti jacens; sed in ipsum ea
Impetum facit, eique celeritèr rapto eximit animam.
Sic tunc tibi, Menelaë Jovis-alumne, oculi lucidi
Quaquaversùm versabantur, multorum per agmen sociorum,
Sicubi Nestoris filium adhuc viventem videre posses.
Illum verò citissimè animadvertit, pugnae ad sinistram totius,
Confirmantem socios, et concitantem ad-pugnandum:
Propè verò astans allocutus est flavus Menelaus:
" Antiloche, eja age huc-ades, Jovis-alumne, ut audias
" Tristem nuncium, qui non debuit fuisse.
" Jam quidem te quoque ipsum opinor inspicientem
" Sentire, quòd cladem deus Danais advolvit,
" Victoria autem Trojanorum: occisus est nempè fortissimus Achivorum
" Patroclus, magnumque desiderium Danais contigit.
" Sed tu citò Achilli, currens ad naves Achivorum,
" Nuncia, si quo modo celerrimè cadaver ad navem integrum-auferre-potuerit
" Nudum: arma enim habet pugnam-expeditè-ciens Hector."
Sic dixit: Antilochus autem horrore-correptus-est, sermone audito:
Diù verò eum inopia vocis tenuit; eique oculi
Lacrymis impleti sunt, liquidaque ei haesit vox.

Ver. 681. —— ἴδοιο.] *Al.* ἴδοιτο.

Ver. 683. Θαρσύνονθ'.] Vide suprà ad ν', 823. et ad ά, 338.

Ver. 685. — εἴδ' ἄγε.] Vide suprà ad ί, 167.

Ver. 689, 690. —— πέφαται —— τέτυκται.] Vide suprà ad *ver.* 164. et ad ά, 37.

Ver. 692. — νέκυν ἐπὶ.] Quâ ratione, νέκυν, hîc ultimam producat; item ὅς etiam extra cæsuram, *ver.* 699. et κακὸν, *ver.* 701. vide suprà ad ά, 51. n. 8.

Ver. 693. — κορυθαίολος.] Vide suprà ad β', 816.

Ver. 696. — θαλερὴ δέ οἱ ἴσχετο φωνή.] — vox faucibus hæsit. *Æn.* IV, 280.

Ἀλλ' οὐδ' ὧς Μενελάου ἐφημοσύνης ἀμέλησε·
Βῆ δὲ θέειν, τὰ δὲ τεύχε' ἀμύμονι δῶκεν ἑταίρῳ
Λαοδόκῳ, ὅς οἱ σχεδὸν ἔστρεφε μώνυχας ἵππους.
Τὸν μὲν, δακρυχέοντα πόδες φέρον ἐκ πολέμοιο,
Πηλείδῃ Ἀχιλῆϊ κακὸν ἔπος ἀγγελέοντα.
Οὐδ' ἄρα σοὶ, Μενέλαε διοτρεφὲς, ἤθελε θυμὸς
Τειρομένοις ἑτάροισιν ἀμυνέμεν, ἔνθεν ἀπῆλθεν
Ἀντίλοχος, μεγάλη δὲ ποθὴ Πυλίοισιν ἐτύχθη·
Ἀλλ' ὅγε τοῖσιν μὲν Θρασυμήδεα δῖον ἀνῆκεν,
Αὐτὸς δ' αὖτ' ἐπὶ Πατρόκλῳ ἥρωϊ βεβήκει·
Στῆ δὲ παρ' Αἰάντεσσι κιὼν, εἶθαρ δὲ προσηύδα·
Κεῖνον μὲν δὴ νηυσὶν ἐπιπροέηκα θοῇσιν,
Ἐλθεῖν εἰς Ἀχιλῆα πόδας ταχύν· οὐδέ μιν οἴω
Νῦν ἰέναι, μάλα περ κεχολωμένον Ἕκτορι δίῳ·
Οὐ γάρ πως ἂν γυμνὸς ἐὼν Τρώεσσι μάχοιτο·
Ἡμεῖς δ' αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην,
Ἠμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ
Τρώων ἐξ ἐνοπῆς θάνατον καὶ κῆρα φύγοιμεν.
Τὸν δ' ἠμείβετ' ἔπειτα μέγας Τελαμώνιος Αἴας·
Πάντα κατ' αἶσαν ἔειπες, ἀγακλεὲς ὦ Μενέλαε·

Sed nè sic quidem Menelai mandatum neglexit:
Perrexit autem currere, armaque eximio dedit socio
Laodoco, qui eum prope flectebat solidos-ungulis equos.
Hunc quidem, lacrymas-fundentem pedes ferebant è proelio,
Pelidae Achilli tristem nuncium nunciaturum.
Neque sane tibi, Menelaë Jovis-alumne, voluit animus
Laborantibus sociis auxiliari, undè discesserat
Antilochus, magnum autem desiderium Pyliis factum-erat:
Sed ille his *ut-auxiliaretur* Thrasymedem nobilem excitavit;
Ipse vero rursùs ad Patroclum heroëm profectus est;
Constitit autem ut ad Ajaces venit, et statim allocutus est:
" Illum quidem jam ad naves misi celeres
" Ut-eat ad Achillem pedibus velocem: neque tamen illum puto
" Nunc venturum, vehementèr licèt iratum Hectori nobili;
" Nullo enim modo inermis cum-Trojanis pugnaverit:
" Nos autem etiam per-nos excogitemus consilium optimum,
" Quo-pacto et mortuum extrahamus, et ipsi
" Trojanorum è clamore mortem et fatum effugiamus."
Huic autem respondit deindè ingens Telamonius Ajax:
" Omnia rectè dixisti, admodùm-inclyte ô Menelaë:

Ver. 699. —— ὅς οἱ.] *Al.* ὅς ῥ' οἱ.
Ver. 706. —— ἐπὶ Πατρόκλῳ ἥρωϊ.] Cod. *Harleian.* ἐπὶ Πάτροκλον ἥρωα.
Ibid. — βεβήκει.] Vide suprà ad π', 751.
Ver. 707. Στῆ δὲ παρ' Αἰάντεσσι.] Ita ex ribus MSS. edidit *Barnesius,* quocum facit et Codex *Harleianus: Al.* Στῆ δ' ἄρ' ἐπ' Αἰάντεσσι.
Ibid. —— κιὼν.] Cod. *Harleian.* θέων.
Ver. 714. —— φύγοιμεν.] *Al.* φύγωμεν.
Ver. 716. —— ἔειπες.] *Al.* ἔειπας. Quod idem.

Ἀλλὰ σὺ μὲν, καὶ Μηριόνης, ὑποδύντε μάλ' ὦκα,
Νεκρὸν ἀείραντες φέρετ' ἐκ πόνου· αὐτὰρ ὀπίσσω
Νῶϊ μαχησόμεθα Τρωσίν τε καὶ Ἕκτορι δίῳ,
Ἶσον θυμὸν ἔχοντες ὁμώνυμοι, οἳ τὸ πάρος περ
Μίμνομεν ὀξὺν ἄρηα παρ' ἀλλήλοισι μένοντες.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα νεκρὸν ἀπὸ χθονὸς ἀγκάζοντο
Ὕψι μάλα μεγάλως· ἐπὶ δ' ἴαχε λαὸς ὄπισθε
Τρωϊκὸς, ὡς εἴδοντο νέκυν αἴροντας Ἀχαιούς·
Ἴθυσαν δὲ, κύνεσσιν ἐοικότες, οἵτ' ἐπὶ κάπρῳ
Βλημένῳ ἀΐξωσι πρὸ κούρων θηρητήρων·
Ἕως μὲν γάρ τε θέουσι, διαῤῥαῖσαι μεμαῶτες·
Ἀλλ' ὅτε δή ῥ' ἐν τοῖσιν ἑλίξεται, ἀλκὶ πεποιθὼς,
Ἂψ τ' ἀνεχώρησαν, διά τ' ἔτρεσαν ἄλλυδις ἄλλος·
Ὣς Τρῶες, εἵως μὲν ὁμιλαδὸν αἰὲν ἕποντο,
Νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν·
Ἀλλ' ὅτε δή ῥ' Αἴαντε μεταστρεφθέντε κατ' αὐτοὺς
Σταίησαν, τῶν δὲ τρέπετο χρὼς, οὐδέ τις ἔτλη
Πρόσσω ἀΐξας, περὶ νεκροῦ δηριάασθαι.

"Sed tu quidem, et Meriones, subeuntes valdè citò,
"Mortuum sublatum ferte è proelio: à-tergo autem
"Nos pugnabimus cum Trojanisque et Hectore nobili,
"Parem animum habentes cognomines, qui et anteà
"Sustinebamus acrem Martem propè invicem manentes."
Sic dixit: Illi verò mortuum à terrâ ulnis-sustulerunt
Altè admodùm strenuè: acclamavit autem populus retrò
Trojanus, ut viderunt cadaver tollentes Achivos:
Rectà verò irruerunt, canibus similes, qui in aprum
Percussum impetum-faciunt ante juvenes venatores:
Aliquantispèr etenim currunt, dilacerare cupidi;
Sed cùm jam in illos convertitur, robore fretus,
Continuò retroceduntque, diffugiuntque trepidi aliò alius:
Sic Trojani, aliquantispèr quidem catervatim assiduè sequebantur,
Ferientes ensibusque et hastis utrinque-acutis;
At ubi jam Ajaces conversi contra ipsos
Constitissent, eorum mutabatur color, neque quis sustinebat
Impetu in-adversum facto, de mortuo pugnare.

Ver. 718. —— ὀπίσσω.] *Al.* ὄπισθεν· ut infrà, *ver.* 723.

Ver. 722. — ἄρα.] *Ut præceperat Ajax* —. *ver.* 717.

Ver. 723. — μάλα μεγάλως.] Quâ ratione, μάλα, hîc ultimam producat; item νέκυν, *ver.* 724. et Τρῶες, *ver.* 730. et σίλαϊ, *ver.* 739. et δόρυ, *ver.* 744. et σθένεϊ, *ver.* 751. vide suprà ad ά, 51.

Ver. 724. ——— αἴροντας.] Cod. *Harleian.* αἴραντας.

Ver. 727. Ἕως μὲν γάρ.] Enuntiabatur, ac si scriptum fuisset, Ὣς μὲν γάρ. Vide suprà ad *ver.* 106.

Ibid. — μεμαῶτες.] Vide suprà ad ν', 46.

Ver. 728. et 732. Ἀλλ' ὅτε δή.] Vide suprà ad ξ', 433.

Ver. 728. — ἑλίξεται.] Vide suprà ad *ver.* 283. et ad π', 594.

Ibid. ἀλκὶ.] Vide suprà ad ί, 299.

Ver. 733. —— τῶν δὲ τρέπετο.] *Al.* τῶν δ' ἐτράπετο.

Ver. 734. — δηριάασθαι.] *Al.* δηρίσασθαι.

Ὣς οἵ γ' ἐμμεμαῶτε νέκυν φέρον ἐκ πολέμοιο
Νῆας ἐπὶ γλαφυράς· ἐπὶ δὲ πτόλεμος τέτατό σφιν
Ἄγριος, ἠΰτε πῦρ, τό, τ' ἐπεσσύμενον, πόλιν ἀνδρῶν
Ὄρμενον ἐξαίφνης φλεγέθει, μινύθουσι δὲ οἶκοι
Ἐν σέλαϊ μεγάλῳ· τὸ δ' ἐπιβρέμει ἲς ἀνέμοιο·
Ὣς μὲν τοῖς ἵππων τε καὶ ἀνδρῶν αἰχμητάων
Ἀζηχὴς ὀρυμαγδὸς ἐπήϊεν ἐρχομένοισιν.
Οἱ δ' ὥσθ' ἡμίονοι, κρατερὸν μένος ἀμφιβαλόντες,
Ἕλκωσ' ἐξ ὄρεος κατὰ παιπαλόεσσαν ἀταρπὸν,
Ἢ δοκὸν, ἠὲ δόρυ μέγα νήϊον· ἐν δέ τε θυμὸς
Τείρεθ' ὁμοῦ καμάτῳ τε καὶ ἱδρῷ σπευδόντεσσιν·
Ὣς οἵ γ' ἐμμεμαῶτε νέκυν φέρον· αὐτὰρ ὄπισθεν
Αἴαντ' ἰσχανέτην, ὥσπερ πρὼν ἰσχάνει ὕδωρ
Ὑλήεις, πεδίοιο διαπρύσιον τετυχηκώς·
Ὅστε καὶ ἰφθίμων ποταμῶν ἀλεγεινὰ ῥέεθρα
Ἴσχεν, ἄφαρ δέ τε πᾶσι ῥόον πεδίονδε τίθησι
Πλάζων, οὐδέ τί μιν σθένει ῥηγνῦσι ῥέοντες·
Ὣς αἰεὶ Αἴαντε μάχην ἀνέεργον ὀπίσσω
Τρώων· οἱ δ' ἅμ' ἕποντο, δύω δ' ἐν τοῖσι μάλιστα,
Αἰνείας τ' Ἀγχισιάδης, καὶ φαίδιμος Ἕκτωρ.
Τῶν δ' ὥστε ψαρῶν νέφος ἔρχεται, ἠὲ κολοιῶν,

Sic hi utique alacres cadaver efferebant ex proelio
Naves versus cavas: pugna verò gliscebat ipsis
Atrox, velut ignis, qui ingruens, urbem hominum
Impetu-citato-latus ex-improviso incendit, pereuntque aedes
In flammâ magnâ; eamque fremebunda agitat vis venti:
Sic quidem hos equorumque et virorum bellicosorum
Horrisonus tumultus insequebatur abeuntes.
Illi verò tanquam muli, validum robur induti,
Trahunt ex monte per asperam viam,
Vel trabem, vel lignum ingens navale; in *ipsis* verò et animus
Affligitur simul laboreque et sudore magnoperè-contendentibus:
Sic illi alacres cadaver ferebant: at à-tergo
Ajaces arcebant *Trojanos*, sicut agger arcet aquam
Sylvosus campum per totum porrectus;
Qui vel rapidorum fluminum violentos cursus
Reprimit, et continuò omnibus fluentem in campum dirigit
Repellens, haudquaquàm enim eum vi perrumpunt fluentes:
Sic usque Ajaces aciem reprimebant retrò
Trojanorum: illi tamen simul sequebantur, duoque in iis maximè,
Aeneasque Anchisiades, et illustris Hector.
Ut verò sicut sturnorum nubes aufugit, vel graculorum

Ver. 735. 746. Ὣς οἵ γ' ἐμμεμαῶτε.] Rectè se habet ista syntaxis. Vide suprà ad ά, 566. et ad ί, 778.

Ibid. —— ἐμμεμαῶτε.] Similiterque infrà *ver.* 746. Vide suprà ad ν', 46.

Ver. 738. —— ἐξαίφνης.] *Al.* ἐξαπίνης.

Ver. 747. —— ὥσπερ πρὼν.] *Al.* ὥστε πρών.

Ver. 748. Ὑλήεις.] Vide suprà ad γ', 151.

Ver. 754. Αἰνείας τ' Ἀγχισιάδης, καὶ φαίδιμος Ἕκτωρ.] Vide suprà ad *ver.* 515.

Ver. 755. Τῶν δ' ὥστε ψαρῶν νέφος ἔρχεται.] Vide suprà ad π', 583.

Οὖλον κεκλήγοντες, ὅτε προΐδωσιν ἰόντα
Κίρκον, ὅ,τε σμικρῇσι φόνον φέρει ὀρνίθεσσιν·
Ὣς ἄρ' ὑπ' Αἰνείᾳ τε καὶ Ἕκτορι κοῦροι Ἀχαιῶν,
Οὖλον κεκλήγοντες ἴσαν, λήθοντο δὲ χάρμης.
Πολλὰ δὲ τεύχεα καλὰ πέσον περί τ' ἀμφί τε τάφρον,
Φευγόντων Δαναῶν· πολέμου δ' οὐ γίνετ' ἐρωή.

Acutùm vociferantium, cùm vident ingruentem
Circum, qui parvis caedem infert avibus:
Sic utique acti vi Aeneaeque et Hectoris filii Achivorum
Acutùm vociferantes abibant, obliviscebanturque pugnae.
Multa verò arma pulchra ceciderunt inque circumque fossam,
Fugientium Danaorum: pugnae tamen non erat cessatio.

Ver. 756 et 759. ——— κεκλήγοντες.] Vide suprà ad β', 314. et ad γ', 31.

Ver. 758. —— ἄρ'.] *Ut dictum est* ——.

Ver. 760. — καλά.] Vide suprà ad β', 43.

ΤΗΣ

ΟΜΗΡΟΥ ΙΛΙΑΔΟΣ

ῬΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ Σ΄.

Ὑπόθεσις τῆς Σ΄. ὉΜΗΡΟΥ Ῥαψῳδίας.

Ἀχιλλεὺς τὸν Πατρόκλου θάνατον ἐπιγνοὺς ὀδύρεται· ἀνελθοῦσα δὲ ἡ Θέτις ἐκ τῆς θαλάσσης, παρηγορεῖ αὐτὸν, καὶ παραινεῖ ἀπέχεσθαι τοῦ πολέμου, ἕως ἂν αὐτῷ ὅπλα κομίσῃ παρὰ τοῦ Ἡφαίστου· κελευσάσης δὲ Ἥρας, ἄοπλος προσελθὼν ἐπὶ τὴν τάφρον, ἐπιφαίνεται τοῖς πολεμίοις, οἳ καὶ αὐτὸν ἐκπλαγέντες φεύγουσι· καὶ κατὰ τὴν φυγὴν πολλοὶ διαφθείρονται· τὸ δὲ τοῦ Πατρόκλου σῶμα διασώσαντες οἱ Μυρμιδόνες λούουσιν· Ἥφαιστος δὲ Ἀχιλλεῖ πανοπλίαν κατασκευάζει.

Ἐπιγραφαί.

Ὁπλοποιΐα.

Ἄλλως.

Σῖγμα, Θέτις Ἀχιλῆϊ παρ᾽ Ἡφαίστου φέρεν ὅπλα.

Ἄλλη.

Σίγματι, τεύχεα τεῦξε καμὼν Ἥφαιστος Ἀχιλλεῖ.

Ὣς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο·
Ἀντίλοχος δ᾽ Ἀχιλῆϊ πόδας ταχὺς ἄγγελος ἦλθε.
Τὸν δ᾽ εὗρε προπάροιθε νεῶν ὀρθοκραιράων,
Τὰ φρονέοντ᾽ ἀνὰ θυμὸν, ἃ δὴ τετελεσμένα ἦεν·
Ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὤ μοι ἐγὼ, τί τ᾽ ἄρ᾽ αὖτε καρηκομόωντες Ἀχαιοὶ

Sic illi quidem pugnabant instar ignis ardentis:
Antilochus verò Achilli pedibus celer nuncius venit.
Illum autem invenit ante naves puppibus-excelsas,
Ea cogitantem animo, quae jam perfecta erant:
Ingemiscens autem dicebat ad suum magnum animum:
" Hei mihi, quid est, quòd rursùs comantes Achivi

Ver. 1. Ὣς οἱ μὲν μάρναντο δέμας πυρός.] Vide suprà ad ν΄, 673.

Ver. 4. Τὰ φρονέοντ᾽ ἀνὰ θυμὸν, ἃ δὴ τετελεσμένα ἦεν.]

Agnovit longè gemitum præsaga mali mens.
Æn. X, 843.

Ver. 5. —— ἄρα.] *Proindè* ——.

Ver. 6.—καρηκομόωντες.] Vide suprà ad ν΄, 310.

Νηυσὶν ἐπικλονέονται, ἀτυζόμενοι πεδίοιο;
Μὴ δή μοι τελέσωσι θεοὶ κακὰ κήδεα θυμῷ,
Ὥς ποτέ μοι μήτηρ διεπέφραδε, καί μοι ἔειπε,
Μυρμιδόνων τὸν ἄριστον, ἔτι ζώοντος ἐμεῖο,
Χερσὶν ὑπὸ Τρώων λείψειν φάος ἠελίοιο.
Ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱὸς,
Σχέτλιος· ἦτ' ἐκέλευον ἀπωσάμενον δήϊον πῦρ,
Αψ ἐπὶ νῆας ἴμεν, μήδ' Ἕκτορι ἶφι μάχεσθαι.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμὸν,
Τόφρα οἱ ἐγγύθεν ἦλθεν ἀγαυοῦ Νέστορος υἱὸς,
Δάκρυα θερμὰ χέων, φάτο δ' ἀγγελίην ἀλεγεινήν·
Ὦ μοι, Πηλέος υἱὲ δαΐφρονος, ἦ μάλα λυγρῆς
Πεύσεαι ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
Κεῖται Πάτροκλος· νέκυος δὲ δὴ ἀμφιμάχονται
Γυμνοῦ· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαιόλος Ἕκτωρ.
Ὣς φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
Ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν,

" Ad naves fugati-aguntur, turbati per campum?
" *Metuo*, ne jam mihi perfecerint dii tristes solicitudines animo,
" Ut olim mihi mater narravit, et mihi dixit,
" Myrmidonum fortissimum, adhuc vivente me,
" Manibus domitum Trojanorum deserturum esse lucem Solis.
" Certè omninò jam mortuus est Menoetii fortis filius,
" Miserandus: certè jusseram eum repulso hostili igne,
" Ad naves redire, neque cum Hectore magno-animo pugnare."
Dum is haec versabat in mente et in animo,
Intereà ad eum propè accessit illustris Nestoris filius,
Lacrymas calidas fundens, dixitque nuncium gravem:
" Hei mihi, Pelei fili bellicosi, profectò perquàm tristem
" Audies nuncium, qui non debuit fuisse.
" Jacet Patroclus; de cadavere autem jam pugnant
" Nudo: arma enim habet pugnam-expeditè-ciens Hector."
Sic dixit: Illum verò doloris nubes obtexit nigra:
Ambabus autem manibus sublatos cineres,

Ver. 9. —— διεπέφραδε.] Vide suprà ad β', 314. et ad ξ', 500.

Ver. 12. Ἦ μάλα δὴ.] Vide suprà ad ξ', 433 et 460.

Ibid. —— τέθνηκε.] Vide suprà ad ά, 37.

Ver. 14. Ἂψ ἐπὶ νῆας ἴμεν.] *Al.* Νῆας ἐπ' ἂψ ἴεναι.

Ver. 15. Ἕως ὁ.] Pronuntiabatur ὥσω, vel ὥσου.] Vide suprà ad ρ', 106. et ad ό, 539.

Ver. 18. Ὦ μοι, Πηλέος υἱὲ δαΐφρονος, —— Κεῖται Πάτροκλος.] " Narrare verò quis *bre-* " *viùs* [potest,] quàm qui mortem nunciat " Patrocli?" *Quintilian. Lib.* X. *cap.* 1.

Ver. 22. Ὣς φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα.] Οὐκ ἤρεσκεν οὖν μοι — ὁ Ἱερώνυμος ἐν οἷς οὔ φησι γενομένης, ἀλλὰ γεγεννημένης καὶ οὔσης αἴσθησιν ὀργῆς εἶναι διὰ τὸ τάχος. Οὐδὲν γὰρ οὕτω τῶν παθῶν συλλεγόμενον καὶ διακινούμενον ἔχει τὴν γένεσιν ἐμφανῆ καὶ τὴν αὔξησιν· ὡς δὴ καὶ Ὅμηρος ἐμπείρως διδάσκει, λυπηθέντα μὲν εὐθὺς ἐξαίφνης ποιῶν τὸν Ἀχιλλέα, τοῦ λόγου προσπεσόντος, (ἐν οἷς λέγει, " Ὣς φά- " το· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·") θυμούμενον δὲ βραδέως τὸν Ἀγαμέμνονα, καὶ διὰ λόγων πολλῶν ἐκκαιόμενον. *Plutarch. de Irâ cohibendâ.*

Ver. 23, 24. Ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν, Χεύατο κὰκ κεφαλῆς.

Χεύατο κὰκ κεφαλῆς, χαρίεν δ' ᾔσχυνε πρόσωπον·
Νεκταρέῳ δὲ χιτῶνι μέλαιν' ἀμφίζανε τέφρη.
Αὐτὸς δ' ἐν κονίῃσι μέγας μεγαλωστὶ τανυσθεὶς
Κεῖτο, φίλῃσι δὲ χερσὶ κόμην ᾔσχυνε δαΐζων.
Δμωαὶ δ', ἃς Ἀχιλεὺς ληΐσσατο, Πάτροκλός τε,
Θυμὸν ἀκηχέμεναι μεγάλ' ἴαχον, ἐκ δὲ θύραζε
Ἔδραμον ἀμφ' Ἀχιλῆα δαΐφρονα· χερσὶ δὲ πᾶσαι
Στήθεα πεπλήγοντο, λύθεν δ' ὑπὸ γυῖα ἑκάστης.
Ἀντίλοχος δ' ἑτέρωθεν ὀδύρετο, δάκρυα λείβων,
Χεῖρας ἔχων Ἀχιλῆος· ὁ δ' ἔστενε κυδάλιμον κῆρ·
Δείδιε γὰρ μὴ λαιμὸν ἀποτμήξειε σιδήρῳ.
Σμερδαλέον δ' ᾤμωξεν· ἄκουσε δὲ πότνια μήτηρ,
Ἡμένη ἐν βένθεσσιν ἁλὸς, παρὰ πατρὶ γέροντι,
Κώκυσέν τ' ἄρ' ἔπειτα· θεαὶ δέ μιν ἀμφαγέροντο
Πᾶσαι, ὅσαι κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν.
Ἔνθ' ἄρ' ἔην Γλαύκη τε, Θάλειά τε, Κυμοδόκη τε,
Νησαίη, Σπειώ τε, Θόη θ', Ἁλίη τε βοῶπις,
Κυμοθόη τε, καὶ Ἀκταίη, καὶ Λιμνώρεια,

Fudit super caput, venustamque deturpabat faciem
Divinae porrò tunicae niger undique-adhaesit cinis.
Ipse verò in pulveribus ingens ingenti-spatio porrectus
Jacebat, suisque manibus comam deturpabat scindens.
Ancillae autem, quas Achilles in-praedâ-ceperat, Patroclusque,
Animo tristatae altùm ejulabant, et foràs
Procurrebant circa Achillem bellicosum; manibus verò omnes
Pectora plangebant, resolutaque sunt membra cujusque.
Antilochus autem ex-alterâ-parte lugebat, lacrymas fundens,
Manus tenens Achillis: Ille autem suspirabat generoso corde:
Timebat enim, ne jugulum discinderet ferro.
Horrendùm verò ejulabat: audivit autem veneranda mater,
Sedens in fundo maris, apud patrem senem;
Tum protinus ululavit: Deae autem circa ipsam congregabantur
Omnes, quotquot in fundo maris Nereïdes erant.
Illic quidem erat Glauceque, Thaliaque, Cymodoceque,
Nesaea, Spioque, Thoaque, Haliaque bubulis-oculis-decora,
Cymothoëque, et Actaea, et Limnorea,

Canitiem immundo deformat pulvere, et ambas
Ad cœlum tendit palmas ———.
Æn. X, 844.

Ver. 26. Αὐτὸς δ' ἐν κονίῃσι μέγας μεγαλωστὶ τανυσθεὶς Κεῖτο.] Vide suprà ad π', 776.

Ver. 31. Στήθεα πεπλήγοντο.] Similitérque infrà *ver.* 51. vide suprà ad ὁ, 397.

Ver. 32. —— ὀδύρετο, δάκρυα λείβων.]

Multa gemens, largoque humectat flumine vultum.
Æn. I, 469.

Ver. 35. — ἄκουσε δὲ πότνια μήτηρ, Ἡμένη ἐν βένθεσσιν ἁλὸς.]

At mater sonitum thalamo sub fluminis alti
Sensit: ——— *Georg.* IV, 333.

Ver. 37. Κώκυσέν.] Producit hæc vox mediam, quippe ex κωκύω deducta; eâdem analogiâ ac μηνίσας, ex μηνίω. Vide suprà ad ί, 426. et infrà ad τ', 284.

Ver. 40. —— βοῶπις.] Vide suprà ad ά, 551.

Καὶ Μελίτη, καὶ Ἴαιρα, καὶ Ἀμφιθόη, καὶ Ἀγαύη,
Δωτώ τε, Πρωτώ τε, Φέρουσά τε, Δυναμένη τε,
Δεξαμένη τε, καὶ Ἀμφινόμη, καὶ Καλλιάνειρα,
Δωρὶς, καὶ Πανόπη, καὶ ἀγακλειτὴ Γαλάτεια,
Νημερτής τε, καὶ Ἀψεύδης, καὶ Καλλιάνασσα·
Ἔνθα δὲ ἦν Κλυμένη, Ἰάνειρά τε, καὶ Ἰάνασσα,
Μαῖρα, καὶ Ὠρείθυια, ἐϋπλόκαμός τ' Ἀμάθεια·
Ἄλλαι θ', αἳ κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν.
Τῶν δὲ καὶ ἀργύφεον πλῆτο σπέος· αἱ δ' ἅμα πᾶσαι
Στήθεα πεπλήγοντο· Θέτις δ' ἐξῆρχε γόοιο·
Κλῦτε, κασίγνηται Νηρηΐδες, ὄφρ' εὖ πᾶσαι
Εἴδετ' ἀκούουσαι, ὅσ' ἐμῷ ἔνι κήδεα θυμῷ.
Ὤμοι ἐγὼ δειλὴ, ὤμοι δυσαριστοτόκεια,
Ἥ τ' ἐπεὶ ἂρ τέκον υἱὸν ἀμύμονά τε, κρατερόν τε,
Ἔξοχον ἡρώων, ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος,
Τὸν μὲν ἐγὼ θρέψασα, φυτὸν ὣς γουνῷ ἀλωῆς,
Νηυσὶν ἐπιπροέηκα κορωνίσιν Ἴλιον εἴσω,
Τρωσὶ μαχησόμενον· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις

Et Melita, et Iaera, et Amphithoë, et Agave,
Dotoque, Protoque, Pherusaque, Dynameneque,
Dexameneque, et Amphinome, et Callianira,
Doris, et Panope, et inclyta Galatea,
Nemertesque, et Apseudes, et Callianassa:
Illic erat et Clymene, Ianiraque, et Ianassa,
Maera, et Orithyia, et comas-pulchra Amathea;
Aliaeque, quae in fundo maris Nereïdes erant.
Istis verò splendidus implebatur specus: hae autem simul omnes
Pectora plangebant; Thetis verò exorsa est luctum:
" Audite, sorores Nereïdes, ut benè omnes
" Sciatis audientes, quanti meo insint dolores animo.
" Hei mihi miserae, hei mihi infelicitèr-fortissimum-enixae,
" Quae postquàm pepereram filium eximiumque fortemque,
" Praestantissimum heroüm, isque succreverat plantae similis;
" Hunc quidem ego educatum, tanquam plantam in foecundo-loco agri,
" Navibus misi recurvis ad Ilium,
" Contra Trojanos pugnaturum: hunc autem non receptura sum rursùs

Ver. 43—45. Δωτώ τε, —— καὶ ἀγακλειτὴ Γαλάτεια.]
———— qualis Nereïa *Doto*
Et *Galatea* secant spumantem pectore pontum. *Æn.* IX, 102.

Ver. 46. Νημερτής.] Cod. *Harleian.* Νημέρτες.

Ver. 47. Ἔνθα δὲ ἦν.] Cod. *Italic.* unus, Ἔνθαδ' ἔην.

Ver. 48. —— Ἀμάθεια.] *Al.* Ἀμάθυια.

Ver. 52. Κλῦτε, κασίγνηται.]
Clamat: Io matres, audite ubi quæque, Latinæ. *Æn.* VII, 400.

Ver. 54. Ὤμοι ἐγὼ δειλή.] Vituperat hunc locum *Plato*: —— δεησόμεθα [Ὁμήρου] μήτοι θεούς γε ποιεῖν ὀδυρομένους καὶ λέγοντας, " Ὤμοι ἐγὼ δειλὴ, ὤμοι δυσαριστοτόκεια." *De Republ. Lib.* 3.

Ibid. —— δυσαριστοτόκεια.] Ἐπὶ κακῷ τεκοῦσα τὸν ἄριστον, ἄριστον καὶ δύστηνον· Schol. inedita in Codice *Harleiano*.

Ver. 55. —— ἄρ.] *Ut nôstis* ——.

Ver. 57. —— φυτὸν ὥς.] Vide suprà ad ά, 51.

Οἴκαδε νοστήσαντα, δόμον Πηλήϊον εἴσω.
Ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
Ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
Ἀλλ' εἶμ', ὄφρα ἴδω τε φίλον τέκος, ἠδ' ἐπακούσω,
Ὅ,ττι μιν ἵκετο πένθος, ἀπὸ πτολέμοιο μένοντα.
  Ὣς ἄρα φωνήσασα λίπε σπέος· αἱ δὲ σὺν αὐτῇ
Δακρυόεσσαι ἴσαν, περὶ δέ σφισι κῦμα θαλάσσης
Ῥήγνυτο· ταὶ δ' ὅτε δὴ Τροίην ἐρίβωλον ἵκοντο,
Ἀκτὴν εἰσανέβαινον ἐπισχερὼ, ἔνθα θαμειαὶ
Μυρμιδόνων εἴρυντο νέες ταχὺν ἀμφ' Ἀχιλῆα.
Τῷ δὲ βαρυστενάχοντι παρίστατο πότνια μήτηρ,
Ὀξὺ δὲ κωκύσασα κάρη λάβε παιδὸς ἑοῖο·
Καί ῥ' ὀλοφυρομένη, ἔπεα πτερόεντα προσηύδα·
  Τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος;
Ἐξαύδα, μὴ κεῦθε· τὰ μὲν δή τοι τετέλεσται
Ἐκ Διὸς, ὡς ἄρα δὴ πρίν γ' εὔχεο, χεῖρας ἀνασχὼν,
Πάντας ἐπὶ πρύμνησιν ἀλήμεναι υἷας Ἀχαιῶν,
Σεῦ ἐπιδευομένους, παθέειν τ' ἀεκήλια ἔργα.

" Domum reversum, intra aedes Peleïas.
" Sed et quamdiù mihi vivit et videt lumen solis,
" Tristatur, neque quid ei possum auxiliari profecta.
" Sed proficiscar, ut visamque dilectum filium, et audiam,
" Quinam ipsum invaserit luctus, seorsùm à pugnâ manentem."
Sic locuta reliquit specum: illae verò cum ipsâ
Lachrymabundae ibant; circum ipsas autem unda maris
Scindebatur: Hae autem ubi jam ad Trojam glebosam venerant,
Littus conscenderunt ordine, ubi frequentes
Myrmidonum subductae-erant naves velocem circum Achillem.
Huic autem graviter-suspiranti astitit veneranda mater,
Acuto autem edito-ululatu caput prehendit filii sui:
Et lugens, verbis alatis allocuta est:
" Fili, quid fles? quisnam tuam mentem invasit dolor?
" Eloquere, nè cela: Illa quidem jam tibi perfecta sunt
" A Jove, ut jam anteà precatus-es, manibus sublatis,
" Omnes ad puppes cogi filios Achivorum,
" Tuî indigentes, patique indignas res."

Ver. 61. —— ζώει.] ζώῃ· Codd. *Italic.* et *Harleian.*

Ver. 62. 67. Ἄχνυται ———— Ῥήγνυτο.] Vide suprà ad γ', 260.

Ver. 63. ——— ὄφρα ἴδω τε.] ὄφρα ἴδοιμι Codices ferè universi.

Ver. 66. —— περὶ δέ σφισι κῦμα θαλάσσης Ῥήγνυτο.]

——— at illum
Curvata in montis faciem circumstetit unda. *Virg. Georg.* IV, 360.

Ver. 69. — Ἀχιλῆα.] Vide suprà ad ά, 265.

Ver. 71. —— κωκύσασα.] Vide suprà ad *ver.* 37.

Ver. 73. Τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος.]

Nate, quis indomitas tantus dolor excitat iras? *Æn.* II, 594.

Ver. 74. —— τετέλεσται.] Vide suprà ad ν', 736. et ad ά, 37.

Ver. 75. —— ὡς ἄρα.] Codex unus *Italicus* legit ῷ ἄρα.

Τὴν δὲ βαρυστενάχων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Μῆτερ ἐμὴ, τὰ μὲν ἄρ μοι Ὀλύμπιος ἐξετέλεσσεν·
Ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλεθ' ἑταῖρος,
Πάτροκλος; τὸν ἐγὼ περὶ πάντων τῖον ἑταίρων,
Ἶσον ἐμῇ κεφαλῇ, τὸν ἀπώλεσα· τεύχεα δ' Ἕκτωρ
Δῃώσας ἀπέδυσε πελώρια, θαῦμα ἰδέσθαι,
Καλά· τὰ μὲν Πηλῆϊ θεοὶ δόσαν, ἀγλαὰ δῶρα,
Ἤματι τῷ, ὅτε σε βροτοῦ ἀνέρος ἔμβαλον εὐνῇ.
Ὡς ὄφελες σὺ μὲν αὖθι μετ' ἀθανάτῃς ἁλίῃσι
Ναίειν, Πηλεὺς δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν.
Νῦν δ' ἵνα καὶ σοὶ πένθος ἐνὶ φρεσὶ μύριον εἴη,
Παιδὸς ἀποφθιμένοιο· τὸν οὐχ ὑποδέξεαι αὖτις
Οἴκαδε νοστήσαντ'· ἐπεὶ οὐδ' ἐμὲ θυμὸς ἄνωγε
Ζώειν, οὐδ' ἄνδρεσσι μετέμμεναι, αἴκε μὴ Ἕκτωρ
Πρῶτος ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃ,
Πατρόκλοιο δ' ἕλωρα Μενοιτιάδεω ἀποτίσῃ.
Τὸν δ' αὖτε προσέειπε Θέτις καταδακρυχέουσα·

Illam autem graviter-suspirans allocutus est pedibus velox Achilles:
"Mater mea, haec quidem mihi Olympius perfecit:
"Sed quae mihi ex his voluptas, cùm charus periit socius,
"Patroclus? Quem ego supra omnes honorabam socios,
"Aequè ac meum caput, hunc perdidi: arma verò Hector,
"Postquam-trucidaverat, exuit ingentia, mirabilia visu,
"Pulchra; quae quidem Peleo dii dederunt, splendida dona,
"Die illo, quandò te mortalis viri collocârunt in cubili.
"Utinam tu quidem ibidem inter immortales marinas
"Habitâsses, Peleusque mortalem duxisset uxorem.
"Nunc vero *mortali nupsisti*, ut et tibi luctus in animo immensus esset,
"De filio interfecto; quem non recipies rursùs
"Domum reversum: Neque enim me animus jubet
"Vivere, neque hominibus interesse, nisi Hector
"Primus meâ hastâ percussus animam perdiderit,
"Patroclumque ob-interfectum-poenas Menoetiadem dederit."
Illum verò vicissim affata est Thetis lachrymas-fundens:

Ver. 78. Τὴν δέ βαρυστενάχων προσέφη.]
——— Quærenti talibus ille
Suspirans, imoque trahens à pectore vocem. *Æn.* I, 374.

Ver. 79. —— *τὰ μὲν ἄρ.*] *Illa quidem, ut dixisti* ———. *ver.* 74.

Ver. 81. — *τῖον.*] Vide suprà ad *γ′*, 103. et ad *ό*, 24.

Ver. 84. Καλά.] Vide suprà ad *β′*, 43.

Ver. 86. — *ἀθανάτῃς.*] Vide suprà ad *ά*, 398.

Ver. 89. *ἀποφθιμένοιο.*] De syllabâ *φθι* correptâ, vide suprà ad *β′*, 43. et ad *ά*. 309. et 314.

Ibid. — *ἀποφθιμένοιο· τὸν οὐχ.*] MS. unus *Italicus* legit *ἀποφθιμένοιο· τὸν δ' οὐχ.* Unde fortasse legendum, ex conjecturâ *Tho. Bentleii*, *ἀποφθιμένου· τόνδ' οὐχ.*

Ver. 90. —— *νοστήσαντ'· ἐπεὶ.*] Codex unus *Italicus*, *νοστήσαντα· ἐπεὶ* ——.

Ibid. — *ἐπεὶ οὐδ' ἐμὲ θυμὸς ἄνωγε Ζώειν.*]
Nunc vivo, neque adhuc homines lucemque relinquo:
Sed linquam ——. *Æn.* X, 855.
—— vitam moror invisam, Pallante perempto. *Æn.* XI, 175.

Ibid. —— *ἄνωγε.*] *Al.* *ἀνώγει.*

Ver. 93. — Μενοιτιάδεω ἀποτίσῃ.] Pronuntiabatur Μενοιτιάδω. Vide suprà ad *ά*, 1.

Ibid. —— *ἀποτίσῃ.*] Vide suprà ad *ί*, 508. Item infrà ad *χ′*, 19.

Ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ᾽ ἀγορεύεις·
Αὐτίκα γάρ τοι ἔπειτα μεθ᾽ Ἕκτορα πότμος ἑτοῖμος.
  Τὴν δὲ μέγ᾽ ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ᾽ ἔμελλον ἑταίρῳ
Κτεινομένῳ ἐπαμῦναι· ὁ μὲν μάλα τηλόθι πάτρης
Ἔφθιτ᾽· ἐμεῖο δὲ δῆσεν, ἀρῆς ἀλκτῆρα γενέσθαι.
Νῦν δ᾽ ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,
Οὐδέ τι Πατρόκλῳ γενόμην φάος, οὐδ᾽ ἑτάροισι
Τοῖς ἄλλοις, οἳ δὴ πολέες δάμεν Ἕκτορι δίῳ·
Ἀλλ᾽ ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης,
Τοῖος ἐὼν, οἷος οὔτις Ἀχαιῶν χαλκοχιτώνων
Ἐν πολέμῳ· ἀγορῇ δέ τ᾽ ἀμείνονές εἰσι καὶ ἄλλοι·
Ὡς ἔρις ἔκ τε θεῶν, ἔκ τ᾽ ἀνθρώπων ἀπόλοιτο,
Καὶ χόλος, ὅς τ᾽ ἐφέηκε πολύφρονά περ χαλεπῆναι·

" Citò-moriturus certè mihi, fili, es, cùm ita dicis :
" Illicò enim tibi deindè post Hectorem fatum imminet."
Illam verò graviter ingemiscens allocutus est pedibus velox Achilles :
" Illicò moriar, cùm in fatis non erat me socio
" Dum-interficeretur auxiliari : Ille quidem valdè procul à patriâ
" Interiit ; me verò desideravit, malum qui propulsarem.
" Nunc autem, quoniam non revertar utique charam in patriam terram,
" Neque ullam Patroclo attuli salutem, neque sociis
" Caeteris, qui jam multi domiti sunt ab Hectore nobili ;
" Sed sedeo apud naves inutile pondus terrae,
" Talis cùm sim qualis nullus Achivorum aere-loricatorum
" In pugnâ ; concione autem meliores sunt et alii :
" Utinam Contentio à Diis, et ab hominibus pereat ;
" Et Ira, quae impellit etiam admodùm-prudentem saevire :

Ver. 97. Τὴν δὲ μέγ᾽ ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.] *Æschines, Orat. in Timarchum*, versum hunc hoc modo citat:

Τὴν δ᾽ αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς.

Ver. 100. —— ἐμεῖο δὲ δῆσεν, ἀρῆς ἀλκτῆρα γενέσθαι.] Vide suprà ad ξ', 485. Οὐκ ἔστι τὸ ἔδησεν, ἀπὸ τοῦ δεσμοῦ· οὐδ᾽ ἄρης, πόλεμος νῦν, ἢ Θεός· ἀλλὰ τὸ μὲν ἔδησε, κατὰ συγκοπὴν τοῦ ἐδέησε· περισπαστέον δὲ τὸ ἀρῆς, ἵν᾽ ᾖ βλάβης· —— Ἐμοῦ γὰρ ἐδέησε, καὶ χρείαν ἔσχε, τῆς βλάβης βοηθὸν ἔχειν. *Porphyr. Quæst. Homeric.* 18.

Ver. 104. ———— ἐτώσιον ἄχθος ἀρούρης.] Ita *Odyss.* ύ, 379.

———— ἀλλ᾽ αὔτως ἄχθος ἀρούρης.

Ibid. ——— ἀρούρης.] Vide suprà ad ζ', 142.

Ver. 105. Τοῖος ἐὼν, οἷος οὔτις.] Ἐπὶ τοῖς προφανέσι πλεονεκτήμασιν, ἀνεμέσητον τὸ ἑαυτὸν ἐπαινεῖν· ἔθος γὰρ τοῖς παλαιοῖς ἑαυτοὺς ἐγκωμιάζειν· διὰ δὲ τοῦ ἐγκωμίου, ἑαυτοῦ κατηγορεῖ, ὅτι γε τοῖς ταλαιπώροις οὐκ ἤμυνε τοιοῦτος ὤν. Schol. inedit. in Codice *Harleiano*.

Ver. 106. —— ἀγορῇ δέ τ᾽ ἀμείνονές εἰσι καὶ ἄλλοι.] Εὖ δὲ καὶ ὁ ποιητικὸς Ἀχιλλεὺς, ὑπειπὼν, " Τοῖος ἐὼν, οἷος οὔτις Ἀχαιῶν χαλκοχιτώ-" νων," ἐπήνεγκεν, " Ἐν πολέμῳ· ἀγορῇ δέ τ᾽ " ἀμείνονές εἰσι καὶ ἄλλοι." *Plutarch. de animi tranquillitate.*

Ver. 107. Ὡς ἔρις.]

——— En quo discordia cives
Perduxit miseros! *Virg. Eclog.* I, 72.

Ἡράκλειτος ——— ἄντικρυς πόλεμον ὀνομάζει πατέρα καὶ βασιλέα καὶ κύριον πάντων· καὶ τὸν μὲν Ὅμηρον, εὐχόμενον ἔκ τε θεῶν ἔριν, ἔκ τ᾽ ἀνθρώπων ἀπολέσθαι, λανθάνειν φησὶ τῇ πάντων γενέσει καταρώμενον ἐκ μάχης καὶ ἀντιπαθείας τὴν γένεσιν ἐχόντων. *Plutarch. de Iside et Osiride.*

Ver. 108. ——— ὅς τ᾽ ἐφέηκε πολύφρονά περ χαλεπῆναι.] Οὐκοῦν αὐτὰς [ὀργὴν καὶ φόβον καὶ πόθον, &c.] ἡδονῶν μεστὰς εὑρήσομεν ἀμηχάνων; ἢ δεόμεθα ὑπομιμνήσκεσθαι, τὸ " — ὅστ᾽ " ἐφέηκε," τοῖς θυμοῖς καὶ ταῖς ὀργαῖς, τὸ —— " πολύφρονά περ χαλεπῆναι, Ὅστε πολὺ γλυ-" κίων μέλιτος καταλειβομένοιο." *Plato in Philebo.*

Ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο
Ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται, ἠΰτε καπνός·
Ὡς ἐμὲ νῦν ἐχόλωσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
Ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ,
Θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ.
Νῦν δ' εἶμ', ὄφρα φίλης κεφαλῆς ὀλετῆρα κιχείω
Ἕκτορα· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
Ζεὺς ἐθέλῃ τελέσαι, ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι.
Οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆος φύγε κῆρα,
Ὅσπερ φίλτατος ἔσκε Διῒ Κρονίωνι ἄνακτι·
Ἀλλά ἑ μοῖρα δάμασσε καὶ ἀργαλέος χόλος Ἥρης.
Ὡς καὶ ἐγὼν, εἰ δή μοι ὁμοίη μοῖρα τέτυκται,

" Quaeque multò dulcior melle stillante
" Hominum in pectoribus augescit, tanquam fumus:
" Adeò me nunc irasci-fecit rex virorum Agamemnon.
" Sed haec quidem antè-acta-esse sinamus, dolentes licèt,
" Animo in pectoribus nostro domito necessitate.
" Nunc verò ibo, ut chari capitis perditorem inveniam
" Hectorem: mortem autem ego tunc accipiam, quandocunque demum
" Jupiter voluerit perficere, atque immortales dii caeteri.
" Neque enim nè vis quidem Herculis effugit mortem,
" Qui tamen charissimus erat Jovi Saturnio regi:
" Sed eum fatum domuit et gravis ira Junonis.
" Ita et ego, si jam mihi simile fatum est,

Ibid. ——— πολύφρονά περ.] *Al.* πολύφρονά τι.

Ver. 109. Ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο.] Καὶ τὸ ὀργίζεσθαι, ἡδύ· ὥσπερ καὶ Ὅμηρος ἐποίησε περὶ τοῦ θυμοῦ, "Ὅς τε πο-" λὺ γλυκίων μέλιτος καταλειβομένοιο." *Aristoteles, Rhetoric. Lib.* I. *cap.* 11. Καὶ πάσῃ ὀργῇ ἕπεσθαί τινα ἡδονὴν τὴν ἀπὸ τῆς ἐλπίδος τοῦ τιμωρήσασθαι. Ἡδὺ μὲν γὰρ τὸ οἴεσθαι τεύξεσθαι ὧν ἐφίεται. Οὐδεὶς δὲ τῶν φαινομένων ἀδυνάτων ἐφίεται αὐτῷ. Ὁ δ' ὀργιζόμενος ἐφίεται αὐτῷ δυνατῶν. Διὸ καλῶς εἴρηται περὶ θυμοῦ, "Ὅς τε " πολὺ γλυκίων μέλιτος καταλειβομένοιο, Ἀν-" δρῶν ἐν στήθεσσιν ἀέξεται·" ἀκολουθεῖ γὰρ καὶ ἡδονή τις διά τε τοῦτο, καὶ διότι διατρίβουσιν ἐν τῷ τιμωρεῖσθαι τῇ διανοίᾳ. *Id. Rhetoric. Lib.* II. *cap.* 2.

Ver. 110. Ἀνδρῶν ἐν στήθεσσιν.] *Galen. de Hippocr. Dogm. Lib.* III. *cap.* 2. legit, Ἀνδρὸς ἐνὶ στήθεσσιν, &c.

Ver. 111. Ὡς ἐμὲ νῦν ἐχόλωσεν.] Ἠρέμα ὑπὲρ ἑαυτοῦ ἀπολογεῖται. Schol. in Cod. *Harleian.*

Ver. 112. —— προτετύχθαι.] δοκοῦντα προγεγονέναι. Schol. *Ibid.*

——————— ἀλλὰ ταῦτα μὲν
Μεθῶμεν ———————
Æschylus Prometh. Vinct. ver. 261.

Ubi *Scholiastes* hunc versum *Homeri* citat.

Ibid. — ἐάσομεν.] Vide suprà ad δ', 42.

Ibid. ——— ἀχνύμενοί.] Vide suprà ad γ', 260.

Ver. 115. —— ὁππότε κεν δὴ.] De explementorum istorum, κεν δὴ, expectationem *longam* aptissimè depingentium, venustate, vide suprà ad ξ', 504.

Ver. 116. —— ἀθάνατοι.] Vide suprà ad ά, 398.

Ver. 117. Οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆος φύγε κῆρα, Ὅσπερ φίλτατος ἔσκε Διῒ.] Vide infrà ad φ', 107.

——————— quin occidit unà
Sarpedon mea progenies: ———
Æn. X, 470.

Occidit et Pelopis genitor conviva Deorum.
Horat. Carm. Lib. I. *Od.* xxxviii. *ver.* 7.

Ibid. — βίη Ἡρακλῆος.] Vide suprà ad ν', 758.

Ver. 118. —— Κρονίωνι.] De hujus vocis prosodiâ, vide suprà ad ά, 397.

Ver. 119. ——— μοῖρα δάμασσε.] μοῖρ' ἐδάμασσε. Cod. *Oxon.* à *Barnesio*, item Codd. *Harleian.* et *Italic.* à *Th. Bentleio* collati.

Ibid. ——— ἀργαλέος χόλος.] *Difficili bile tumet jecur. Horat. Carm. Lib.* I. *Od.* xiii. *ver.* 4.

Ver. 120. —— τέτυκται.] Vide suprà ad ά, 37.

Κείσομ', ἐπεί κε θάνω· νῦν δὲ κλέος ἐσθλὸν ἀροίμην,
Καί τινα Τρωϊάδων καὶ Δαρδανίδων βαθυκόλπων,
'Αμφοτέρῃσιν χερσὶ παρειάων ἁπαλάων
Δάκρυ' ὀμορξαμένην, ἀδινὸν στοναχῆσαι ἐφείην·
Γνοῖεν δ', ὡς δὴ δηρὸν ἐγὼ πολέμοιο πέπαυμαι.
Μηδέ μ' ἔρυκε μάχης, φιλέουσά περ· οὐδέ με πείσεις.
Τὸν δ' ἠμείϐετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
Ναὶ δὴ τοῦτό γε, τέκνον, ἐτήτυμον· οὐ κακόν ἐστι,
Τειρομένοις ἑτάροισιν ἀμυνέμεν αἰπὺν ὄλεθρον·
'Αλλά τοι ἔντεα καλὰ μετὰ Τρώεσσιν ἔχονται,
Χάλκεα, μαρμαίροντα· τὰ μὲν κορυθαίολος Ἕκτωρ
Αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται· οὐδέ ἑ φημὶ
Δηρὸν ἐπαγλαϊεῖσθαι, ἐπεὶ φόνος ἐγγύθεν αὐτῷ.
'Αλλὰ σὺ μὲν μήπω καταδύσεο μῶλον Ἄρηος,
Πρίν γ' ἐμὲ δεῦρ' ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδηαι.
'Ηῶθεν γὰρ νεῦμαι, ἅμ' ἠελίῳ ἀνιόντι,
Τεύχεα καλὰ φέρουσα παρ' Ἡφαίστοιο ἄνακτος.
Ὣς ἄρα φωνήσασα, πάλιν τράπεθ' υἷος ἑοῖο·
Καὶ στρεφθεῖσ', ἁλίῃσι κασιγνήτῃσι μετηύδα·

"Jacebo, ubi mortuus fuero: nunc autem gloriam bonam auferam,
"Et aliquam Troadum et Dardanidum profundos-sinus-habentium,
"Ambabus manibus genis à teneris
"Lacrymas abstergentem, crebrò suspirare cogam:
"Sentiant autem, quòd jamdiù ego à pugnâ cessavi.
"Neque me prohibe à proelio, diligens licèt; neque enim mihi persuadebis."
Huic autem respondit deindè dea Thetis pedes-argentea:
"Sanè jam hoc, fili, verum; non malum est,
"Laborantibus sociis arcere gravem perniciem:
"Sed tibi arma pulchra inter Trojanos detinentur,
"Aerea, coruscantia: illa quidem pugnam-expeditè-ciens Hector
"Ipse ferens humeris exultat: neque tamen ipsum puto
"Diù exultaturum esse; caedes enim prope eum.
"Sed tu quidem neutiquàm ingredere pugnam Martis,
"Antequàm me huc profectam oculis videris.
"Manè enim revertar, simul ac sol ortus erit,
"Arma pulchra ferens à Vulcano rege."
Sic fata, retrò se vertit à filio suo:
Et conversa, inter marinas sorores dixit:

Ver. 123. 'Αμφοτέρῃσιν χερσὶ.] Codd. *Italic.* 'Αμφοτέρῃσι χερσὶ.

Ver. 124. Δάκρυ' ὀμορξαμένην.] Codd. *Italic.* et *Harleian.* Δάκρυ ὀμορξαμένην.

Ver. 125. Γνοῖεν.] Codd. *Italic.* Γνοίη.

Ibid. —— πέπαυμαι.] Cod. *Harleian.* πεπαύμην. Quomodo et in uno MS. scriptum repperit *Barnesius.*

Ver. 126. —— φιλέουσά.] Vide suprà ad ά, 338. ad κ', 280. et infrà, ad ύ, 304.

Ver. 128. —— τοῦτό γε.] Codices ferè universi ταῦτά γε.

Ibid. —— οὐ κακόν ἐστι.] Vide suprà ad ν', 344. et ό, 11.

Ver. 131. —— κορυθαίολος.] Vide suprà ad β', 816.

Ver. 134. — καταδύσεο.] Vide suprà ad έ, 109.

Ver. 138. —— πάλιν τράπεθ'.] *Avertit se.* Vide suprà ad κ', 594. et ad γ', 141.

Ὑμεῖς μὲν νῦν δῦτε θαλάσσης εὐρέα κόλπον,
Ὀψόμεναί τε γέρονθ' ἅλιον καὶ δώματα πατρὸς,
Καί οἱ πάντ' ἀγορεύσατ'· ἐγὼ δ' ἐς μακρὸν Ὄλυμπον
Εἶμι παρ' Ἥφαιστον κλυτοτέχνην, αἴκ' ἐθέλησιν
Υἱεῖ ἐμῷ δόμεναι κλυτὰ τεύχεα παμφανόωντα.
Ὣς ἔφαθ'· αἱ δ' ὑπὸ κῦμα θαλάσσης αὐτίκ' ἔδυσαν.
Ἡ δ' αὖτ' Οὔλυμπόνδε θεὰ Θέτις ἀργυρόπεζα
Ἤϊεν, ὄφρα φίλῳ παιδὶ κλυτὰ τεύχε' ἐνείκοι.
Τὴν μὲν ἄρ' Οὔλυμπόνδε πόδες φέρον· αὐτὰρ Ἀχαιοὶ
Θεσπεσίῳ ἀλαλητῷ ὑφ' Ἕκτορος ἀνδροφόνοιο
Φεύγοντες, νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.
Οὐδέ κε Πάτροκλόν περ ἐϋκνήμιδες Ἀχαιοὶ
Ἐκ βελέων ἐρύσαντο νέκυν, θεράποντ' Ἀχιλῆος·
Αὖτις γὰρ δὴ τόν γε κίχον λαός τε καὶ ἵπποι,
Ἕκτωρ τε, Πριάμοιο πάϊς, φλογὶ εἴκελος ἀλκήν·
Τρὶς μέν μιν μετόπισθε ποδῶν λάβε φαίδιμος Ἕκτωρ,
Ἑλκέμεναι μεμαὼς, μέγα δὲ Τρώεσσιν ὁμόκλα·
Τρὶς δὲ δύ' Αἴαντες, θοῦριν ἐπιειμένοι ἀλκὴν,
Νεκροῦ ἀπεστυφέλιξαν· ὁ δ' ἔμπεδον ἀλκὶ πεποιθὼς,

"Vos quidem nunc subite maris latum sinum,
"Visuraeque senem marinum et aedes patris,
"Et ei omnia dicite: ego verò ad excelsum Olympum
"Vado ad Vulcanum arte-fabrili-clarum, si velit
"Filio meo dare inclyta arma collucentia."
Sic dixit: Illae autem undam maris statim subierunt.
Ad Olympum verò dea Thetis pedes-argentea
Abiit, ut dilecto filio inclyta arma afferret.
Illam quidem ad Olympum pedes ferebant: at Achivi
Immenso cum fremitu acti vi Hectoris homicidae
Fugientes, ad navesque et Hellespontum venerant.
Nec tamen Patroclum benè-ocreati Achivi
Extra tela extraxerant mortuum, famulum Achillis:
Rursùs enim jam illum assecuti fuerant peditesque et currus,
Hectorque, Priami filius, flammae similis vi;
Ter quidem illum retrò pedibus prehendit illustris Hector,
Abstrahere cupiens, magnâque-voce Trojanos inclamabat:
Ter autem duo Ajaces, impetuosam induti fortitudinem,
A mortuo vi-repulerunt: ille verò constanter robore fretus,

Ver. 144.—— τεύχεα παμφανόωντα.] —— fulgentiaque arma. *Æn.* VI, 490. XI, 6.

Ver. 147.—— ἐνείκοι.] *Al.* ἐνεῖκαι. *Al.* ἐνείκῃ.

Ver. 148.—— ἄρ'.] *Ut jam dictum est*——; *ver.* 146.

Ver. 149.— ἀνδροφόνοιο.] Vide suprà ad π', 77.

Ver. 154.—— εἴκελος.] Ita ex uno MS. edidit *Barnesius.* Rectè, ut opinor; vide suprà ad ρ', 88. et ad ν', 53. *Al.* ἴκελος.

Ver. 157. Τρὶς δὲ δύ' Αἴαντες.] Cod. *Harleian.* Τρὶς δὲ δὴ Αἴαντες.

Ibid. —— θοῦριν ἐπιειμένοι.] Quâ ratione θοῦριν, hîc ultimam producat; item κατὰ, *ver.* 159. et νέκυς, *ver.* 180. vide suprà ad ά, 51. n. 8.

Ver. 158.— ἀλκὶ.] Vide suprà ad ί, 299.

Ἄλλοτ' ἐπαΐξασκε κατὰ μόθον, ἄλλοτε δ' αὖτε
Στάσκε μέγα ἰάχων· ὀπίσω δ' οὐ χάζετο πάμπαν.
Ὡς δ' ἀπὸ σώματος οὔτι λέοντ' αἴθωνα δύνανται
Ποιμένες ἄγραυλοι μέγα πεινάοντα δίεσθαι·
Ὥς ῥα τὸν οὐκ ἐδύναντο δύω Αἴαντε κορυστὰ
Ἕκτορα Πριαμίδην ἀπὸ νεκροῦ δειδίξασθαι.
Καί νύ κεν εἴρυσσέν τε, καὶ ἄσπετον ἤρατο κῦδος,
Εἰ μὴ Πηλείωνι ποδήνεμος ὠκέα Ἶρις
Ἄγγελος ἦλθε θέουσ' ἀπ' Ὀλύμπου θωρήσσεσθαι,
Κρύϐδα Διὸς, ἄλλων τε θεῶν· πρὸ γὰρ ἧκέ μιν Ἥρη·
Ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
Ὄρσεο, Πηλείδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν·
Πατρόκλῳ ἐπάμυνον, οὗ εἵνεκα φύλοπις αἰνὴ
Ἕστηκε πρὸ νεῶν· οἱ δ' ἀλλήλους ὀλέκουσιν,
Οἱ μὲν, ἀμυνόμενοι νέκυος πέρι τεθνειῶτος,
Οἱ δὲ, ἐρύσσασθαι ποτὶ Ἴλιον ἠνεμόεσσαν
Τρῶες ἐπιθύουσι· μάλιστα δὲ φαίδιμος Ἕκτωρ,
Ἑλκέμεναι μέμονεν· κεφαλὴν δέ ἑ θυμὸς ἀνώγει

Interdum impetum-faciebat per tumultum, interdum verò
Consistebat altâ-voce clamitans; retrò autem non cedebat omninò
Ut verò à corpore haudquaquàm leonem fervidum possunt
Pastores in agro-pernoctantes valdè esurientem summovere:
Sic utique non poterant duo Ajaces armis acres
Hectorem Priamidem à mortuo absterrere.
Et jam prorsùs abstraxissetque, et immensam retulisset gloriam,
Nisi Pelidae pedibus-ventosa velox Iris
Nuncia venisset currens ab Olympo ut-prodiret-in-pugnam,
Clam Jove, aliisque diis; miserat enim eam Juno:
Propè autem stans verbis alatis allocuta est:
" Surge, Pelide, omnium terribilissime virorum:
" Patroclo auxiliare, cujus gratiâ certamen grave
" Stat ante naves: Illi verò se-invicem perdunt,
" Hi quidem, pugnantes cadavere pro mortuo,
" Ut autem trahant ad Ilium ventosam
" Trojani rectà-irruunt: maximè verò illustris Hector,
" Abstrahere cupit: caput autem ipsum animus jubet

Ver. 160. Στάσκε μέγα ἰάχων.] Vide suprà ad δ', 456.

Ver. 162. —— δίεσθαι.] δίω, δίωμαι, ἀπὸ τοῦ δίημι—ὥσπερ τὸ τίθεσθαι ἀπὸ τοῦ τίθημι. Schol. in Cod. *Harleiano.*

Ver. 164. — Πριαμίδην.] Vide sup. ad ά, 398.

Ver. 166. Πηλείωνι ποδήνεμος ὠκέα Ἶρις Ἄγγελος ἦλθε θέουσ' ἀπ' Ὀλύμπου ——— πρὸ γὰρ ἧκέ μιν Ἥρη.]

Irim de cœlo misit Saturnia Juno
Iliacam ad classem ———
Illa viam celerans ———
Nulli visa cito decurrit tramite virgo.
Æn. V, 606. 609.

Ver. 172. Ἕστηκε.] Vide suprà ad δ', 434.

Ver. 173. — ἀμυνόμενοι.] Cod. *Vatican.* à *Tho. Bentleio* collatus, ἀμυνέμεναι.

Ibid. —— νέκυος πέρι τεθνειῶτος.] Vide suprà ad π', 526.

Ibid. —— τεθνειῶτος.] Vide suprà ad γ', 46.

Ver. 174. — ἐρύσσασθαι.] Ita ex uno MS. edidit *Barnesius.* *Vulgg.* ἐρύσασθαι. Minùs rectè; secundam enim corripit. Vide suprà ad π', 781.

Ver. 176. —— κεφαλὴν δέ ἑ θυμὸς ἀνώγει.] Cod. *Harleian.* κεφαλὴν δέ γε θυμὸς ἄνωγε.

Πῆξαι ἀνὰ σκολόπεσσι ταμόνθ' ἁπαλῆς ἀπὸ δειρῆς.
Ἀλλ' ἄνα, μηδ' ἔτι κεῖσο· σέβας δέ σε θυμὸν ἱκέσθω,
Πάτροκλον Τρωῇσι κυσὶν μέλπηθρα γενέσθαι·
Σοὶ λώβη, αἴκεν τι νέκυς ᾐσχυμμένος ἔλθῃ.
Τὴν δ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς·
Ἶρι θεὰ, τίς γάρ σε θεῶν ἐμοὶ ἄγγελον ἧκε;
Τὸν δ' αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις·
Ἥρη με προέηκε, Διὸς κυδρὴ παράκοιτις·
Οὐδ' οἶδε Κρονίδης ὑψίζυγος, οὐδέ τις ἄλλος
Ἀθανάτων, οἳ Ὄλυμπον ἀγάννιφον ἀμφινέμονται.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Πῶς τ' ἄρ' ἴω μετὰ μῶλον; ἔχουσι δὲ τεύχε' ἐκεῖνοι·
Μήτηρ δ' οὔ με φίλη πρίν γ' εἴα θωρήσσεσθαι,
Πρίν γ' αὐτὴν ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι·
Στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν ἔντεα καλά.
Ἄλλου δ' οὔ θην οἶδα, τεῦ ἂν κλυτὰ τεύχεα δύω,

" Infigere palo, abscissum tenerâ à cervice.
" Sed surge, nec ampliùs jaceto; pudorque tuum animum tangat,
" Patroclum Trojanis canibus ludibrium fieri:
" Tibi contumelia, si quid cadaver indignè-acceptum venerit."
Huic autem respondit deindè pedibus-celer nobilis Achilles:
" Iri dea, quisnam te deorum mihi nunciam misit?"
Illum verò vicissim allocuta est pedibus-ventosa velox Iris:
" Juno me misit, Jovis gloriosa conjux:
" Neque scit Saturnius in-alto-sedens, neque quis alius
" Immortalium, qui Olympum valdè-nivosum habitant."
Hanc autem respondens allocutus est pedibus celer Achilles:
" Et quomodo ire possum ad pugnam? Habent enim arma isti:
" Mater autem me chara priùs vetuit armari,
" Quàm ipsam reversam oculis viderem:
" Pollicita enim est à Vulcano allaturam *se* arma pulchra.
" Alterius autem non ullius scio, cujus inclyta arma induere possim,

---

Ver. 178. ——— μηδ' ἔτι.] Cod. *Harleian.* μηκέτι.

Ver. 180. ——— ᾐσχυμμένος.] Codd. à *Tho. Bentleio* collati, ᾐσχυμένος.

Ibid. —— ἔλθῃ.] *Al.* ἔλθοι.

Ver. 181—187. ——— ποδάρκης δῖος Ἀχιλλεύς· ——— πόδας ὠκὺς Ἀχιλλεύς.] Vide suprà ad ά, 58.

Ver. 182. Ἶρι θεὰ, τίς γάρ σε θεῶν ἐμοὶ ἄγγελον ἧκε.] *Al.* τίς τ' ἄρ σε θεῶν.

Iri, decus cœli, quis te mihi nubibus actam
Detulit in terras? ———
Æn. IX, 18.

Ibid. — τίς γάρ σε.] Vide suprà ad ό, 201.

Ver. 184. Ἥρη με προέηκε.]

Hæc adeo tibi ———
Ipsa palam fari omnipotens Saturnia jussit.
Æn. VII, 427.

Ver. 185. ——— ὑψίζυγος.]

——— ἐπὶ ζυγοῖς
Καθίζετ' ἀρχῆς ———
Euripid. Phœniss. ver. 74.

Ver. 186. Ἀθανάτων.] Vide suprà ad ά, 398.

Ver. 188. Πῶς τ' ἄρ'.] *Et quomodo igitur* ———.

Ver. 189. Μήτηρ δ' οὔ με φίλη πρίν γ' εἴα θωρήσσεσθαι, Πρίν γ' αὐτὴν ἐλθοῦσαν.]

Hoc signum cecinit missuram Diva creatrix,
Si bellum ingrueret: Vulcaniaque arma per auras
Laturam auxilio ———. *Æn.* VIII, 534.

Ibid. —— πρίν γ' εἴα ——— Πρίν γ' αὐτὴν.] Vide suprà ad ί, 287.

Ver. 192. Ἄλλου δ' οὔ θην οἶδα.] Ita ex uno MS. edidit *Barnesius. Al.* Ἄλλου δ' οὔ τευ οἶδα.

Εἰ μὴ Αἴαντός γε σάκος Τελαμωνιάδαο·
Ἀλλὰ καὶ αὐτὸς ὅγ', ἔλπομ', ἐνὶ πρώτοισιν ὁμιλεῖ,
Ἔγχεϊ δηϊόων περὶ Πατρόκλοιο θανόντος.
Τὸν δ' αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις·
Εὖ νυ καὶ ἡμεῖς ἴδμεν, ὅτι κλυτὰ τεύχε' ἔχονται·
Ἀλλ' αὔτως ἐπὶ τάφρον ἰὼν, Τρώεσσι φάνηθι,
Αἴκε σ' ὑποδδείσαντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν
Τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.
Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ἶρις.
Αὐτὰρ Ἀχιλλεὺς ὦρτο Διῒ φίλος· ἀμφὶ δ' Ἀθήνη
Ὤμοις ἰφθίμοισι βάλ' αἰγίδα θυσσανόεσσαν·
Ἀμφὶ δέ οἱ κεφαλῇ νέφος ἔστεφε δῖα θεάων
Χρύσεον, ἐκ δ' αὐτοῦ δαῖε φλόγα παμφανόωσαν.
Ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ' ἵκηται
Τηλόθεν ἐκ νήσου, τὴν δήϊοι ἀμφιμάχονται,
Οἵτε πανημέριοι στυγερῷ κρίνονται ἄρηϊ

" Nisi Ajacis utique scutum Telamonii :
" Sed et ipse hic, spero, inter primos versatur,
" Hastâ caedem-edens Patrocli gratiâ mortui."
Illum verò vicissim allocuta-est pedibus-ventosa velox Iris :
" Benè quidem et nos scimus, quòd inclyta arma detinentur :
" Sed sic ad fossam profectus, Trojanis da-te-in-conspectum,
" Si fortè te veriti abstinuerint pugnâ
" Trojani, respiraverintque Mavortii filii Achivorum
" Afflicti *jam :* Exigua autem et respiratio à proelio."
Illa quidem sic locuta abiit pedibus velox Iris.
At Achilles surrexit Jovi charus : Minerva verò
Humeris validis circumposuit aegida fimbriatam :
Caput autem ei nube cinctum-ornavit augustissima dearum
Aureâ, éque ipsâ accendit flammam collucentem.
Ut verò cùm fumus ascendens ex urbe ad aetherem assurgit
Longè ex insulâ, quam hostes oppugnant,
Qui, toto die, horrendo decernunt Marte

Ver. 194. —— ἐνὶ πρώτοισιν ὁμιλεῖ.] *Al.* ἐνὶ Τρώεσσιν ὁμιλεῖ.

Ver. 197. —— ὅτι.] *Al.* ὅ τοι.

Ver. 201. —— ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.] Vide suprà ad π'. 43.

Ibid. —— ἀνάπνευσις.] Cod. *Harleian.* ἀνάπαυσις. Cæterùm totus hic versus deest in Codice *Vaticano.*

Ver. 203. —— Διῒ φίλος.] Quâ ratione, Διῒ, hîc ultimam producat ; item ἄϊον, *ver.* 222. et τρόπεον, *ver.* 224. et πόλεμον, *ver.* 238. vide suprà ad ά, 51. n. 8.

Ver. 204. —— θυσσανόεσσαν.] Ita edidit *Barnesius.* Rectè, ut opinor. Vide suprà ad ῥ', 593.

Ver. 205. Ἀμφὶ δέ οἱ κεφαλῇ νέφος ἔστεφε δῖα θεάων Χρύσεον, ἐκ δ' αὐτοῦ δαῖε φλόγα παμφανόωσαν.]

—— galea alta chimæram
Sustinet, Ætnæos efflantem faucibus ignes.
Æn. VII, 785.
Ardet apex capiti, cristisque à vertice flamma
Funditur. —— *Æn.* X, 270.

Cæterùm de totius hujus loci venustate, quo *Achillis* ad pugnam redituri *FAMA* atque *EXPECTATIO* summo cum verborum splendore et magnificentiâ depingitur ; vide suprà ad ί, 4.

Ver. 209. —— κρίνονται.] De syllabâ κρι productâ, vide suprà ad ά, 309 et 314.

Ἄστεος ἐκ σφετέρου· ἅμα δ' ἠελίῳ καταδύντι
Πυρσοί τε φλεγέθουσιν ἐπήτριμοι, ὑψόσε δ' αὐγὴ
Γίγνεται ἀΐσσουσα, περικτιόνεσσιν ἰδέσθαι,
Αἴκεν πῶς σὺν νηυσὶν ἄρεως ἀλκτῆρες ἵκωνται·
Ὣς ἀπ' Ἀχιλλῆος κεφαλῆς σέλας αἰθέρ' ἵκανε.
Στῆ δ' ἐπὶ τάφρον ἰὼν ἀπὸ τείχεος· οὐδ' ἐς Ἀχαιοὺς
Μίσγετο· μητρὸς γὰρ πυκινὴν ὠπίζετ' ἐφετμήν.
Ἔνθα στὰς ἤϋσ'· ἀπάτερθε δὲ Παλλὰς Ἀθήνη
Φθέγξατ'· ἀτὰρ Τρώεσσιν ἐν ἄσπετον ὦρσε κυδοιμόν.
Ὡς δ' ὅτ' ἀριζήλη φωνὴ, ὅτε τ' ἴαχε σάλπιγξ
Ἄστυ περιπλομένων δηΐων ὑπὸ θυμοραϊστέων·
Ὣς τότ' ἀριζήλη φωνὴ γένετ' Αἰακίδαο.
Οἱ δ' ὡς οὖν ἄϊον ὄπα χάλκεον Αἰακίδαο,
Πᾶσιν ὀρίνθη θυμός· ἀτὰρ καλλίτριχες ἵπποι
Ἂψ ὄχεα τρόπεον· ὄσσοντο γὰρ ἄλγεα θυμῷ.
Ἡνίοχοι δ' ἔκπληγεν, ἐπεὶ ἴδον ἀκάματον πῦρ

Urbe *procurrentes* ex suâ; ut verò sol occiderit,
Continuò et faces-in-speculis ardent densae, inque altum splendor
Emicat, finitimi ut-videant;
Si fortè cum navibus Martis propulsatores venire velint:
Sic ab Achillis capite splendor ad aethera pertingebat.
Stetit autem ad fossam profectus extra murum, nec tamen Achivis
Miscebatur: matris enim prudens reverebatur praeceptum.
Ibi stans clamavit: seorsùm autem Pallas Minerva
Vociferata est; et inter Trojanos immensum excitavit tumultum.
Ut verò cùm admodùm-luculenta vox *fit*, quando clangit tuba
Urbem cingentes hostes propter exitiales;
Sic tunc admodùm-luculenta vox erat Aeacidae.
Illi verò ut audiverunt vocem aeream Aeacidae,
Omnibus commotus-est animus: pulchri autem jubis equi
Retrò currus vertebant: praesagiebant enim clades animo.
Aurigae autem perculsi sunt, ubi viderunt indefessum ignem

Τιτήνεσσι δὲ τιμάων κρίναντο βίηφι.
Hesiod. Theogon. ver. 822.

Ver. 212. Γίγνεται.] *Al.* Γίνεται. Quod perinde est. Nam γίνομαι primam producit.

Ver. 213. —— σὺν νηυσὶν ἄρεως ἀλκτῆρες ἵκωνται.] Ita legit *H. Stephanus;* atque ita ex MS. edidit *Barnesius.* Quæ si vera sit lectio, pronuntiandum erit ἄρως. *Al.* ἄρεος, et ἄρευς. Vide suprà ad ξ', 485.

Ver. 217. —— ἀπάτερθε.] Vide suprà ad ά, 349.

Ver. 218. —— Τρώεσσιν ἐν ἄσπετον.] Cod. *Harleian.* Τρώεσσιν ἂν ἄσπετον.

Ver. 220. —— περιπλομένων.] Cod. *Harleian.* περὶ πλομένων.

Ibid. —— θυμοραϊστέων.] Pronuntiabatur θυμοραϊστῶν. Vide suprà ad ν', 544.

Ver. 222. —— ἄϊον.] Vide suprà ad ό, 252.

Ibid. —— ὄπα χάλκεον.]
Ferrea vox. —— *Æn.* VI, 626.

Ver. 224. Ἂψ ὄχεα τρόπεον.] *Al.* Ἂψ ὄχεα τρώπαον. Quæ si vera sit lectio, pronuntiandum erit τρώπων; ut rectè hîc annotavit *Barnesius.*

Ver. 225. Ἡνίοχοι δ' ἔκπληγεν, ἐπεὶ ἴδον ἀκάματον πῦρ.] Μυρία ἐστὶν εὑρεῖν παρ' αὐτῷ [Ὁμήρῳ] — εἰργασμένα εἰς βραχύτητα, καὶ τάχος καὶ σπουδὴν, καὶ τὰ τούτοις ὁμογενῆ· ὡς ἔχει ταυτί. —— "Ἡνίοχοι δ' ἔκπληγεν, ἐπεὶ ἴδον ἀκάματον πῦρ." —— ἐφ' ὧν [δηλοῦται] —— ἡ τῆς διανοίας ἔκτασις, καὶ τὸ τοῦ δείματος ἀπροσδόκητον· ποιεῖ δὲ [τοῦτο] ἡ τῶν συλλαβῶν τε καὶ γραμμάτων ἐλάττωσις. *Dionys. Halicarn.* περὶ συνθέσεως, § 15.

Ibid. — ἔκπληγεν.] Vide suprà ad γ', 31.

Ibid. — ἀκάματον.] Vide suprà ad ά, 398.

Δεινὸν ὑπὲρ κεφαλῆς μεγαθύμου Πηλείωνος
Δαιόμενον· τὸ δ' ἔδαιε θεὰ γλαυκῶπις Ἀθήνη.
Τρὶς μὲν ὑπὲρ τάφρου μεγάλ' ἴαχε δῖος Ἀχιλλεύς·
Τρὶς δ' ἐκυκήθησαν Τρῶες κλειτοί τ' ἐπίκουροι.
Ἔνθα δὲ καὶ τότ' ὄλοντο δυώδεκα φῶτες ἄριστοι
Ἀμφὶ σφοῖς ὀχέεσσι καὶ ἔγχεσιν· αὐτὰρ Ἀχαιοὶ
Ἀσπασίως Πάτροκλον ὑπ' ἐκ βελέων ἐρύσαντες,
Κάτθεσαν ἐν λεχέεσσι· φίλοι δ' ἀμφέσταν ἑταῖροι
Μυρόμενοι· μετὰ δέ σφι ποδώκης εἵπετ' Ἀχιλλεὺς,
Δάκρυα θερμὰ χέων, ἐπεὶ εἴσιδε πιστὸν ἑταῖρον
Κείμενον ἐν φερέτρῳ, δεδαϊγμένον ὀξέϊ χαλκῷ·
Τόν ῥ' ἤτοι μὲν ἔπεμπε σὺν ἵπποισιν καὶ ὄχεσφιν
Ἐς πόλεμον, οὐδ' αὖτις ἐδέξατο νοστήσαντα.
 Ἠέλιον δ' ἀκάμαντα βοῶπις πότνια Ἥρη
Πέμψεν ἐπ' Ὠκεανοῖο ῥοὰς ἀέκοντα νέεσθαι·
Ἠέλιος μὲν ἔδυ, παύσαντο δὲ δῖοι Ἀχαιοὶ
Φυλόπιδος κρατερῆς καὶ ὁμοιΐου πολέμοιο.

Horrendum super caput magnanimi Pelidae
Ardentem: illum nempè accendebat dea oculis-caesia Minerva.
Ter quidem super fossam magnâ-voce clamavit nobilis Achilles:
Ter verò turbati sunt Trojani inclytique socii.
Ibidem autem etiam tunc periêrunt duodecim viri fortissimi
Impediti et confixi suis curribus et hastis: At Achivi
Alacritèr Patroclum extra tela extractum,
Deposuerunt in lectis: chari autem circumstabant socii
Lugentes; atque eos pedibus-velox sequebatur Achilles,
Lacrymas calidas fundens, postquàm aspexit fidum socium
Jacentem in feretro, laceratum acuto aere:
Quem quidem miserat cum equis et curribus
In proelium, neque rursùs recepit reversum.
Solem autem indefessum oculis-bubulis decora veneranda Juno
Misit ad Oceani fluenta invitum redire:
Sol quidem occidit, finemque fecerunt nobiles Achivi
Certaminis asperi et omnibus-aequè-gravis pugnae.

Ver. 227. ——— *γλαυκῶπις Ἀθήνη.*] Vide suprà ad *ά*, 206.

Ver. 229. — *κλειτοί τ' ἐπίκουροι.*] *Al.* *κλητοί τ' ἐπίκουροι.*

Ver. 232. *Ἀσπασίως.*] Similitérque infrà *ver.* 270. vide suprà ad *ά*, 140.

Ver. 233. — *ἀμφέσταν ἑταῖροι.*] Vide suprà ad *ά*, 535.

Ver. 235. *Δάκρυα θερμὰ χέων, ἐπεὶ εἴσιδε πιστὸν ἑταῖρον Κείμενον ἐν φερέτρῳ.*]

——— feretro Pallante repôsto
Procumbit super, atque hæret lacrymansque gemensque. *Æn.* XI, 149.

Ver. 236. —— *φερέτρῳ.*] *Al.* *φέρτρῳ.*

Ver. 237. *Τόν ῥ'.*] *Quem scilicèt* ———. *Quem, ut suprà dictum est* ——. *π'*, 125.

Ver. 238. *Ἐς πόλεμον, οὐδ'.*] Malè hîc *Barnesius:* "At" (inquit) "legi etiam "potest, *Ἐς πόλεμόνδ'*, ut *τὸ, δὲ, παρέλκῃ,* "vel *τὸ, Ἐς.*" Quod Poëtâ omninò esset indignum. Vide suprà ad *ν'*, 83. et ad *ό*, 540.

Ver. 239. —— *βοῶπις πότνια Ἥρη.*] Vide suprà ad *ά*, 551.

Ver. 240. *Πέμψεν.*] Cod. *Harleian.* *Πέμπεν.*

Ver. 241. — *παύσαντο.*] Vide suprà ad *γ'*, 141.

Ver. 242. —— *ὁμοιΐου.*] *Ἰστέον ὅτι ὁ Ποιητὴς πανταχοῦ τὸ Ὁμοιΐον ἐπὶ τοῦ φαύλου λαμβάνει· οἷον, ——· γῆρας ὁμοιΐον, —— θάνατον ὁμοιΐον,* &c. *Schol.* ad *δ'*, 315.

Τρῶες δ' αὖθ' ἑτέρωθεν, ἀπὸ κρατερῆς ὑσμίνης
Χωρήσαντες, ἔλυσαν ὑφ' ἅρμασιν ὠκέας ἵππους.
Ἐς δ' ἀγορὴν ἀγέροντο, πάρος δόρποιο μέδεσθαι·
Ὀρθῶν δ' ἑσταότων ἀγορὴ γένετ', οὐδέ τις ἔτλη
Ἕζεσθαι· πάντας γὰρ ἔχε τρόμος, οὕνεκ' Ἀχιλλεὺς
Ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς.
Τοῖσι δὲ Πουλυδάμας πεπνυμένος ἦρχ' ἀγορεύειν
Πανθοΐδης· ὁ γὰρ οἶος ὅρα πρόσσω καὶ ὀπίσσω·
Ἕκτορι δ' ἦεν ἑταῖρος, ἰῇ δ' ἐν νυκτὶ γένοντο·
Ἀλλ' ὁ μὲν ἂρ μύθοισιν, ὁ δ' ἔγχεϊ πολλὸν ἐνίκα·
Ὅς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
Ἀμφὶ μάλα φράζεσθε, φίλοι· κέλομαι γὰρ ἔγωγε
Ἄστυδε νῦν ἰέναι, μὴ μίμνειν ἠῶ δῖαν
Ἐν πεδίῳ παρὰ νηυσίν· ἑκὰς δ' ἀπὸ τείχεος εἰμέν.
Ὄφρα μὲν οὗτος ἀνὴρ Ἀγαμέμνονι μήνιε δίῳ,
Τόφρα δὲ ῥηΐτεροι πολεμίζειν ἦσαν Ἀχαιοί.
Χαίρεσκον γὰρ ἔγωγε θοῇς ἐπὶ νηυσὶν ἰαύων,
Ἐλπόμενος νῆας γ' αἱρησέμεν ἀμφιελίσσας·

Trojani verò ex-alterâ-parte, ex aspero proelio
Ut excesserant, solverunt à curribus veloces equos.
Ad concionem autem congregabantur, antequàm coenam curarent;
Erectis autem stantibus concio habita est, neque quis sustinuit
Sedere: omnes enim tenebat tremor, eò quòd Achilles
In-conspectum-se-dederat; diù enim pugnâ abstinuerat tristi.
Illis autem Polydamas prudens coepit concionari
Panthoedes; hic enim solus videbat futura et praeterita:
Hectori autem erat sodalis, eâdemque nocte nati erant;
Sed hic quidem verbis, ille verò hastâ multùm superabat:
Qui inter eos sapiens concionatus est et dixit:
" In-utramque-partem diligentèr deliberate, amici: hortor enim ego
" In-urbem nunc ire, neque expectare auroram pulchram
" In campo prope naves: procul enim à muro sumus.
" Quamdiù quidem hic vir Agamemnoni irascebatur nobili,
" Tamdiù minùs-graves in-pugnâ erant Achivi.
" Gaudebam enim ego veloces juxta naves pernoctans,
" Sperans *nos* naves utique capturos utrinque-remis-actas:

Ver. 248. —— ἐπέπαυτ'.] *Al.* ἀπέπαυτ'.

Ver. 249 — 258. Τοῖσι δὲ —— Τόφρα δὲ.] Vide suprà ad θ', 160. et ad ά, 57.

Ver. 250. —— ὅρα πρόσσω καὶ ὀπίσσω.]

—— novit namque omnia vates,
Quæ sint, quæ fuerint, quæ mox ventura trahantur.
Virgil. Georgic. IV, 392.

Ver. 251. Ἕκτορι δ' ἦεν ἑταῖρος, ἰῇ δ' ἐν νυκτὶ γένοντο.]

———— Paridisque Mimanta
Æqualem comitemque: unâ quem nocte Theano
In lucem genitori Amyco dedit; et face prægnans
Cisseis regina Parin creat ———.
Æn. X, 702.

Vide suprà ad ζ', 299. et ad π', 718.

Ver. 255. —— μὴ μίμνειν ἠῶ δῖαν.] Longinquam auroræ expectationem optimè depingit *Spondæus* iste in quinto pede. Vide suprà ad θ', 561.

Ver. 257. —— μήνιε.] Pronuntiabatur, ut opinor, μήνι. Nam μήνιω secundam producit. Vide suprà ad ά, 488. et ad β', 772.

Νῦν δ' αἰνῶς δείδοικα ποδώκεα Πηλείωνα·
Οἷος ἐκείνου θυμὸς ὑπέρβιος, οὐκ ἐθελήσει
Μίμνειν ἐν πεδίῳ, ὅθι περ Τρῶες καὶ Ἀχαιοὶ
Ἐν μέσῳ ἀμφότεροι μένος Ἄρηος δατέονται,
Ἀλλὰ περὶ πτόλιός τε μαχήσεται, ἠδὲ γυναικῶν.
Ἀλλ' ἴομεν προτὶ ἄστυ, πίθεσθέ μοι, ὧδε γὰρ ἔσται·
Νῦν μὲν νὺξ ἀπέπαυσε ποδώκεα Πηλείωνα
Ἀμβροσίη· εἰ δ' ἄμμε κιχήσεται ἐνθάδ' ἐόντας
Αὔριον ὁρμηθεὶς σὺν τεύχεσιν, εὖ νύ τις αὐτὸν
Γνώσεται· ἀσπασίως γὰρ ἀφίξεται Ἴλιον ἱρὴν,
Ὅς κε φύγῃ· πολλοὺς δὲ κύνες καὶ γῦπες ἔδονται
Τρώων· αἲ γὰρ δή μοι ἀπ' οὔατος ὧδε γένοιτο.
Εἰ δ' ἂν ἐμοῖς ἐπέεσσι πιθώμεθα, κηδόμενοί περ,
Νύκτα μὲν εἰν ἀγορῇ σθένος ἕξομεν, ἄστυ δὲ πύργοι,
Ὑψηλαί τε πύλαι, σανίδες τ' ἐπὶ τῇς ἀραρυῖαι
Μακραὶ, ἐΰξεστοι, ἐζευγμέναι εἰρύσονται.
Πρωῒ δ' ὑπ' ἠοῖοι σὺν τεύχεσι θωρηχθέντες
Στησόμεθ' ἀμπύργους· τῷ δ' ἄλγιον, αἴκ' ἐθέλῃσιν,

" Nunc verò gravitèr timeo velocem Pelidem:
" Qualis illius animus violentus, non volet
" Manere in campo, in-quo Trojani et Achivi
" In medio utrique vim Martis communem-experiuntur,
" Sed de urbeque pugnabit, atque uxoribus.
" Itaque eamus ad urbem, obsequimini mihi, sic enim erit:
" Nunc quidem nox abstinere-fecit velocem Pelidem
" Dulcis: si autem nos offenderit hìc manentes
" Cràs progressus cum armis, probè tunc aliquis illum
" Agnoscet; libentèr enim pervenerit ad Ilium sacram,
" Quicunque effugerit: multos verò canes et vultures comedent
" Trojanorum: Utinam sanè mihi omninò inauditum tale quid fuerit.
" Si verò meis verbis obsecuti fuerimus, tristes licèt,
" Per-noctem quidem in concione nos-muniemus, urbem autem turres
" Excelsaeque portae, tabulaeque ad has aptatae
" Longae, benè-politae, coagmentatae tutabuntur.
" Manè autem sub aurorâ armis instructi
" Stabimus super turribus: huic autem gravius *fuerit*, si voluerit,

Ver. 261. —— δείδοικα.] *Timeo;* non *Timui.* Vide suprà ad ά, 37. et ad θ', 322.

Ver. 264. —— μένος Ἄρηος.] Cod. *Harleian.* μένος Ἄρεος. Unde fortassè legendum ἀμφότεροί γε μένος Ἄρεος.

Ver. 268. —— ἄμμε.] Vide suprà ad ά, 59.

Ver. 271. —— φύγῃ.] *Al.* φύγοι.

Ibid. —— πολλοὺς δὲ κύνες καὶ γῦπες ἔδονται.] Vide suprà ad ρ', 241.

Ver. 272. —— ἀπ' οὔατος.] *Al.* ἀπούατον.

Ibid. —— γένειτο.] *Al.* γένοιντο.

Ver. 273. —— πιθώμεθα.] Cod. *Harleian.* πιθοίμεθα.

Ver. 276. —— εἰρύσονται.] Cod. *Harleian.* εἰρύσσονται.

Ver. 277. —— σὺν τεύχεσι θωρηχθέντες Στησόμεθ' ἀμπύργους.] Refertur istud σὺν τεύχεσι non ad θωρηχθέντες, sed ad Στησόμεθ' ἀμπύργους. Vide suprà ad θ', 530.

Ver. 278. —— ἀμπύργους.] Ita edidit *Barnesius*, quocum facit et Codex *Harleianus.* Sic, ἀμβωμοῖσι, suprà θ', 441. ἀμφόνον, κ', 298. ἀμπόνον, ρ', 28. &c. Vulgati hic legunt ἂν πύργους.

Ἐλθὼν ἐκ νηῶν περὶ τείχεος ἄμμι μάχεσθαι.
Ἂψ πάλιν εἶσ' ἐπὶ νῆας, ἐπεί κ' ἐριαύχενας ἵππους
Παντοίου δρόμου ἄσῃ ὑπὸ πτόλιν ἠλασκάζων.
Εἴσω δ' οὔ μιν θυμὸς ἐφορμηθῆναι ἐάσει,
Οὐδέ πότ' ἐκπέρσει· πρίν μιν κύνες ἀργοὶ ἔδονται.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κορυθαίολος Ἕκτωρ·
Πουλυδάμα, σὺ μὲν οὐκ ἔτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις,
Ὃς κέλεαι κατὰ ἄστυ ἀλήμεναι αὖτις ἰόντας.
Ἦ οὔπω κεκόρησθε ἐελμένοι ἔνδοθι πύργων;
Πρὶν μὲν γὰρ Πριάμοιο πόλιν μέροπες ἄνθρωποι
Πάντες μυθέσκοντο πολύχρυσον, πολύχαλκον·
Νῦν δὲ δὴ ἐξαπόλωλε δόμων κειμήλια καλά·
Πολλὰ δὲ δὴ Φρυγίην καὶ Μῃονίην ἐρατεινὴν
Κτήματα περνάμεν' ἵκει, ἐπεὶ μέγας ὠδύσατο Ζεύς.
Νῦν δ' ὅτε πέρ μοι ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω
Κῦδος ἀρέσθ' ἐπὶ νηυσὶ, θαλάσσῃ τ' ἔλσαι Ἀχαιοὺς,
Νήπιε, μηκέτι ταῦτα νοήματα φαῖν' ἐνὶ δήμῳ·
Οὐ γάρ τις Τρώων ἐπιπείσεται· οὐ γὰρ ἐάσω·

" Profectus à navibus, circa murum nobiscum pugnare.
" Retrò iterùm ibit ad naves, postquàm arduos-cervicibus equos
" Vario cursu satiârit sub urbem vagans.
" Intùs verò nec ipsum sua magnanimitas irruere sinet,
" Nec unquam vastabit: priùs ipsum canes veloces edent."
Illum verò torvè intuitus allocutus-est pugnam-expedite-ciens Hector:
" Polydama, tu quidem non ampliùs mihi grata haec dicis,
" Qui hortaris in urbem *nos* cogi reversos.
" An nondum satiati-estis clausi-manendo intra turres?
" Anteà enim Priami urbem articulatè-loquentes homines
" Omnes praedicabant divitem-auri, divitem-aeris;
" Nunc verò jam perierunt ex aedibus pretiosae-res-reconditae pulchrae:
" Multae autem jam in Phrygiam et Maeoniam amabilem
" Opes venum-avectae abière, postquàm magnus iratus fuit Jupiter.
" Nunc verò cùm mihi dedit Saturni filius versuti
" Gloriam retulisse apud naves, marique conclusisse Achivos,
" Stulte, nè jam haec consilia ostende inter cives:
" Non enim quis Trojanorum obtemperabit: neque enim sinam:

Ver. 282 — 296. —— ἰάσει ——— ἰάσω.] Vide suprà ad δ', 42. Malè *Barnesius* —— ἰάσσει.—— ἰάσσω.

Ver. 284. — κορυθαίολος.] Vide suprà ad β', 816.

Ver. 285. —— οὐκ ἔτ' ἐμοὶ φίλα.] Indicat vocula ista, ἔτι, gratum fuisse Hectori, quod anteà dare solebat consilium Polydamas, suprà μ', 60. 80. ν', 725. 748.

Ver. 287. Ἦ οὔπω κεκόρησθε ἐελμένοι ἔνδοθι πύργων.]

Non pudet obsidione iterum valloque teneri,
—— et morti prætendere muros?
Æn. IX, 598.

Ibid. —— ἐελμένοι.] *Al.* ἐεργμένοι.

Ver. 288. — μέροπες ἄνθρωποι.] Vide suprà ad ά, 51.

Ver. 290. —— ἐξαπόλωλε.] Si ἐξαπολώλει dixisset, jam non constitisset Temporum ratio. Vide suprà ad κ', 186, 187. et ad ά, 57.

Ver. 292. —— ἵκει.] *Al.* ἧκει.

Ver. 293. — ἀγκυλομήτεω.] Pronuntiabatur ἀγκυλομήτω. Vide suprà ad ά, 1.

Ver. 294. — θαλάσσῃ τ' ἔλσαι Ἀχαιοὺς.] *Al.* θαλάσσῃ τ' ὀλλέσ' Ἀχαιούς.

Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
Νῦν μὲν δόρπον ἕλεσθε, κατὰ στρατὸν ἐν τελέεσσι,
Καὶ φυλακῆς μνήσασθε, καὶ ἐγρήγορθε ἕκαστος·
Τρώων δ' ὃς κτεάτεσσιν ὑπερφιάλως ἀνιάζει,
Συλλέξας, λαοῖσι δότω καταδημοβορῆσαι,
Τῶν τινα βέλτερόν ἐστιν ἐπαυρέμεν, ἤπερ Ἀχαιούς.
Πρωῒ δ' ὑπ' ἠοῖοι σὺν τεύχεσι θωρηχθέντες,
Νηυσὶν ἐπὶ γλαφυρῇσιν ἐγείρομεν ὀξὺν ἄρηα.
Εἰ δ' ἐτεὸν παρὰ ναῦφιν ἀνέστη δῖος Ἀχιλλεὺς,
Ἄλγιον, αἴκ' ἐθέλησι, τῷ ἔσσεται· οὔ μιν ἔγωγε
Φεύξομαι ἐκ πολέμοιο δυσηχέος, ἀλλὰ μάλ' ἄντην
Στήσομαι· ἤ κε φέρησι μέγα κράτος, ἤ κε φεροίμην·
Ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα.
Ὣς Ἕκτωρ ἀγόρευ'· ἐπὶ δὲ Τρῶες κελάδησαν,
Νήπιοι· ἐκ γάρ σφεων φρένας εἵλετο Παλλὰς Ἀθήνη·
Ἕκτορι μὲν γὰρ ἐπῄνησαν κακὰ μητιόωντι,
Πουλυδάμαντι δ' ἄρ' οὔτις, ὃς ἐσθλὴν φράζετο βουλήν.
Δόρπον ἔπειθ' εἵλοντο κατὰ στρατόν· αὐτὰρ Ἀχαιοὶ

" Sed agite, sicut ego dixero, pareamus omnes.
" Nunc quidem coenam sumite per exercitum turmatim,
" Et excubiarum mementote, et vigilate quisque:
" Troüm verò quicunque de-opibus *periclitantibus* admodùm sollicitus est,
" Collectas-in-unum copiis det publice-absumendas,
" Quorum aliquem melius est, *illis* frui, quàm Achivos.
" Manè verò sub aurorâ armis instructi,
" Naves juxta cavas excitemus acre proelium.
" Sin reverà apud naves surrexit-ad-certamen nobilis Achilles,
" Gravius, si voluerit, ei erit: non illum ego sanè
" Fugiam è pugnâ horrisonâ, sed omnino contrà
" Stabo, seu referat magnam victoriam, seu referam:
" Communis Mars, et occisorem saepè occidit."
Sic Hector concionatus est: Trojani autem acclamârunt,
Vecordes: eorum enim mentes eripuerat Pallas Minerva:
Hectori enim assensi sunt perniciosa consilia-danti,
Polydamanti verò nullus, qui bonum protulerat consilium.
Coenam deindè sumpserunt per exercitum: At Achivi

Ver. 300. —— ὑπερφιάλως.] Cod. *Harleian.* ὑπερφιάλοις.

Ver. 303. ——— σὺν τεύχεσι θωρηχθέντες, —— ἐγείρομεν ὀξὺν ἄρηα.] Vide suprà ad *ver.* 277. et ad Θ', 530.

Ver. 309. Ξυνὸς Ἐνυάλιος.] Χρῆσθαι δὲ δεῖ καὶ ταῖς τεθρυλλημέναις καὶ κοιναῖς γνώμαις, ἂν ὦσι χρήσιμοι· διὰ γὰρ τὸ εἶναι κοιναὶ, ὡς ὁμολογούντων ἁπάντων, ὀρθῶς ἔχειν δοκοῦσιν· οἷον παρακαλοῦντι εἰς τὸ κινδυνεύειν ——— ἥττους ὄντας· "Ξυνὸς ἐνυάλιος." *Aristot. Rhetoric. lib.* II. *cap.* 22. Αὖθίς τε ὁ Ἀρχίλοχος, τὸ Ὁμηρικὸν, —— τὸ ἔπος,

" Ξυνὸς ἐνυάλιος, καί τε κτανέοντα κατ-
" έκτα."

μεταποιῶν αὐτὸς, ὧδέ πως ἐξήνεγκεν·

" ——————— ἔρξω·
" Ἐτήτυμον γὰρ ξυνὸς ἀνθρώποις ἄρης."

Clemens Alexandrin. Strom. VI. Similitèr apud *Livium*: "Communis Mars, "et incertus belli eventus." Et apud *Ciceronem*: "Cum omnis belli Mars communis." *Epist. ad Familiares, Lib.* VI. *Ep.* 4.

Ver. 311. —— ἐκ γάρ σφεων.] Pronuntiabatur σφῶν.

Παννύχιοι Πάτροκλον ἀνεστενάχοντο γοῶντες.
Τοῖσι δὲ Πηλείδης ἁδινοῦ ἐξῆρχε γόοιο,
Χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου,
Πυκνὰ μάλα στενάχων· ὥσπερ λῖς ἠϋγένειος,
Ὧ ῥά θ' ὑπὸ σκύμνους ἐλαφηβόλος ἁρπάσῃ ἀνὴρ
Ὕλης ἐκ πυκινῆς· ὁ δέ τ' ἄχνυται ὕστερος ἐλθών·
Πολλὰ δέ τ' ἄγκε' ἐπῆλθε μετ' ἀνέρος ἴχνι' ἐρευνῶν,
Εἴποθεν ἐξεύροι· μάλα γὰρ δριμὺς χόλος αἱρεῖ.
Ὣς ὁ βαρυστενάχων μετεφώνεε Μυρμιδόνεσσιν·
Ὢ πόποι, ἦ ῥ' ἅλιον ἔπος ἔκβαλον ἤματι κείνῳ,
Θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισι·
Φῆν δέ οἱ εἰς Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν,
Ἴλιον ἐκπέρσαντα, λαχόντα τε ληΐδος αἶσαν.
Ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ·
Ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεῦσαι
Αὐτοῦ ἐνὶ Τροίῃ· ἐπεὶ οὐδέ με νοστήσαντα
Δέξεται ἐν μεγάροισι γέρων ἱππηλάτα Πηλεύς,
Οὐδὲ Θέτις μήτηρ, ἀλλ' αὐτοῦ γαῖα καθέξει.

Totâ-nocte Patroclum edebant-gemitus lugentes.
Illis autem Pelides densum-suspiriis exorsus est luctum,
Manibus homicidis impositis pectoribus sodalis,
Crebros admodùm edens-gemitus: sicut leo benè-barbatus,
Cui nempè catulos venaticus surripuerit vir
Sylvâ ex densâ; ille verò tristatur serò cùm advenerit:
Multas enim continuò convalles obit viri vestigia indagans,
Sicubi inveniat: perquàm enim acris ira corripit.
Sic is graviter-suspirans dixit inter Myrmidones:
" Papae! irritum prorsùs verbum effudi die illo,
" Bono-animo-esse-jubens heroëm Menoetium in aedibus:
" Dicebam enim ei in Opunta inclytum filium reducturum,
" Ilium ut evastârat, nactusque erat praedae portionem.
" Sed non Jupiter hominibus cogitata omnia perficit:
" Ambos enim fato-ratum-est eandem terram rubefacturos
" Hîc in Trojâ: neque enim me reversum
" Excipiet in aedibus senex equûm-agitator Peleus,
" Neque Thetis mater, sed hîc terra tenebit.

Ver. 318. ——— ὥσπερ λῖς.] *Al.* ὥστε λῖς. Quod et ferri potest. Vide suprà ad ά, 51.

Ver. 319. Ὧ ῥά θ'.] *Cui scilicèt* ———. Cod. *Harleian.* Οὗ ῥά.

Ibid. — ἁρπάσῃ.] Vide suprà ad ά, 140.

Ver. 320. Ὕλης.] Vide suprà ad γ', 151.

Ibid. — ἄχνυται.] Vide suprà ad γ', 260.

Ver. 321. — μετ' ἀνέρος.] Cod. *Harleian.* μετ' ἀνέρι.

Ver. 324. —— ἅλιον ἔπος.] Quâ ratione, ἅλιον, hîc ultimam producat; item τρίποδα, *ver.* 344. vide suprà ad ά, 51. n. 8.

Ver. 325. Θαρσύνων.] Vide suprà ad π', 70. et ad ά, 338.

Ver. 328. Ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ.]

Οὔτι μάλ' ἀνθρώποις καταθύμια πάντα τελεῖται. *Theogn. Gnom. ver.* 617.

Πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν. *Pindar. Olymp. Ode* XII. *ver.* 14.

Ver. 329. — πέπρωται.] Vide suprà ad ά, 37.

Ibid. —— γαῖαν ἐρεῦσαι.] *Æschines, Orat. in Timarchum,* legit, γαῖαν ἐρεύθειν. Cod. *Harleian.* γαῖαν ἐρεύσειν.

Ver. 331. — ἱππηλάτα.] Vide suprà ad ά, 175.

Νῦν δ' ἐπεὶ οὖν, Πάτροκλε, σεῦ ὕστερος εἶμ' ὑπὸ γαῖαν,
Οὔ σε πρὶν κτεριῶ, πρίν γ' Ἕκτορος ἐνθάδ' ἐνεῖκαι
Τεύχεα καὶ κεφαλὴν μεγαθύμου σεῖο φονῆος·
Δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσω
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς.
Τόφρα δέ μοι παρὰ νηυσὶ κορωνίσι κείσεαι αὔτως·
Ἀμφὶ δέ σε Τρωαὶ καὶ Δαρδανίδες βαθύκολποι
Κλαύσονται, νύκτας τε καὶ ἤματα δακρυχέουσαι·
Τὰς αὐτοὶ καμόμεσθα, βίηφί τε δουρί τε μακρῷ,
Πιείρας πέρθοντε πόλεις μερόπων ἀνθρώπων.
  Ὣς εἰπὼν, ἑτάροισιν ἐκέκλετο δῖος Ἀχιλλεὺς
Ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα τάχιστα
Πάτροκλον λούσειαν ἄπο βρότον αἱματόεντα.
Οἱ δὲ λοετροχόον τρίποδ' ἵστασαν ἐν πυρὶ κηλέῳ·
Ἐν δ' ἄρ' ὕδωρ ἔχεαν· ὑπὸ δὲ ξύλα δαῖον ἑλόντες.
Γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε, θέρμετο δ' ὕδωρ·
Αὐτὰρ ἐπειδὴ ζέσσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,
Καὶ τότε δὴ λοῦσάν τε, καὶ ἤλειψαν λίπ' ἐλαίῳ·

" Nunc verò quandoquidem, Patrocle, te posterior subeo terram,
" Non tibi antè justa-faciam, quàm Hectoris huc attulero
" Arma et caput magnanimi tui interfectoris:
" Duodecim autem ante rogum cervices-abscindam
" Trojanorum praeclaris filiis, de te interfecto iratus.
" Intereà verò mihi apud naves recurvas jacebis sic:
" Circumque te Trojanae et Dardanides profundos-sinus-habentes
" Plorabunt, noctesque et dies lacrymas-fundentes:
" Quas ipsi-labore-acquisivimus, vique hastâque longâ,
" Opulentas evastantes civitates articulatè-loquentium hominum."
Sic fatus, socios jussit nobilis Achilles
Igne circundare positum tripodem magnum, ut celerrimè
A Patroclo abluerent tabum cruentum.
Illi verò aptum-ad-lavacra tripodem statuerunt in ignem ardentem;
Aquam autem infuderunt, subtusque ligna accenderunt allata.
Ventrem quidem tripodis ignis ambibat, calefiebatque aqua:
Ut verò fervefacta est aqua in sonoro aere,
Tum statim laveruntque, et unxerunt pingui oleo:

Ver. 333. —— Νῦν δ' ἐπεὶ οὖν, Πάτροκλε.] *Æschines*, loco suprà citato, legit, Ἀλλ' ἐπεὶ οὖν, φίλ' ἑταῖρε ——.

Ver. 334. —— ἐνεῖκαι.] *Al.* ἐνείκω.

Ver. 335. —— σεῖο.] Cod. *Harleian.* σοῖο.

Ver. 338. Τόφρα δέ.] Malè hîc edidit *Barnesius*, Τοφράδε, contenditque παρέλκειν τὸ "δέ." Quod nihili est.

Ver. 345. Πάτροκλον λούσειαν.] Cod. *Harleian.* Πατρόκλου λούσειαν.

Ver. 346. — κηλέῳ.] Pronuntiabatur κηλῷ.

Ver. 347. Ἐν δ' ἄρ' ὕδωρ ἔχεαν· ὑπὸ.] Edidit *Barnesius* ex conjecturâ, Ἐν δ' ἄρ' ἔχευαν ὕδωρ. Sed nihil opus. Vide suprà ad ά, 51. n. 8.

Ibid. —— ἄρ'.] *Deinceps* ——.

Ver. 349. Αὐτὰρ ἐπειδὴ ζέσσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ, Καὶ τότε δὴ λοῦσάν τε, καὶ ἤλειψαν.]

Pars calidos latices et ahena undantia flammis
Expediunt; corpusque lavant frigentis et ungunt. *Æn.* VI, 218.

Ἐν δ' ὠτειλὰς πλῆσαν ἀλείφατος ἐννεώροιο·
Ἐν λεχέεσσι δὲ θέντες, ἑανῷ λιτὶ κάλυψαν
Ἐς πόδας ἐκ κεφαλῆς· καθύπερθε δὲ, φάρεϊ λευκῷ.
Παννύχιοι μὲν ἔπειτα πόδας ταχὺν ἀμφ' Ἀχιλῆα
Μυρμιδόνες Πάτροκλον ἀνεστενάχοντο γοῶντες.
Ζεὺς δ' Ἥρην προσέειπε κασιγνήτην, ἄλοχόν τε·
Ἔπρηξας καὶ ἔπειτα, βοῶπις πότνια Ἥρη,
Ἀνστήσασ' Ἀχιλῆα πόδας ταχύν· ἦ ῥά νυ σεῖο
Ἐξ αὐτῆς ἐγένοντο καρηκομόωντες Ἀχαιοί.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
Καὶ μὲν δή πού τις μέλλει βροτὸς ἀνδρὶ τελέσσαι,
Ὅσπερ θνητός τ' ἐστὶ, καὶ οὐ τόσα μήδεα οἶδε·
Πῶς δὴ ἔγωγ', ἣ φημὶ θεάων ἔμμεν' ἀρίστη,
Ἀμφότερον, γενεῇ τε, καὶ οὕνεκα σὴ παράκοιτις
Κέκλημαι, σὺ δὲ πᾶσι μετ' ἀθανάτοισιν ἀνάσσεις,
Οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη κακὰ ῥάψαι;
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.

Vulnera autem repleverunt unguento novenni:
In lectis verò positum, tenui linteo texerunt
Ad pedes à capite: desuper autem, pallâ candidâ.
Totâ-nocte quidem deinde pedibus celerem circa Achillem
Myrmidones Patroclum gemitus-edebant lugentes.
Jupiter autem Junonem allocutus est sororem, conjugemque:
" Et perfecisti opus tandem, bubulis-oculis-decora veneranda Juno,
" Excitato *scilicèt* Achille pedibus celeri: te nimirùm
" Ex ipsâ nati sunt comantes Achivi."
Ei verò respondit deindè bubulis-oculis-decora veneranda Juno:
" Importunissime Saturnie, qualem orationem habuisti?
" Vel jam aliquis homo homini perfecerit,
" Qui tamen mortalisque est, neque tot consilia novit:
" Quomodò ergo ego, quae aio dearum me esse praestantissimam,
" Utrumque, genereque, et quòd tua uxor
" Vocor, tu verò omnibus immortalibus imperas;
" Non debui Trojanis irâ-accensâ mala machinata-esse?"
Sic illi quidem talia inter se loquebantur.

Ver. 352. Ἐν λεχέεσσι δὲ θέντες, ἑανῷ λιτὶ κάλυψαν.]

——— tum membra toro defleta reponunt,
Purpureasque super vestes, velamina nota,
Conjiciunt ——— *Æn.* VI, 220.

Ibid. ——— ἑανῷ λιτὶ.] Non *peplo subtili*; (nam ἑανὸς *Peplum* mediam semper apud Homerum corripit;) sed *tenui linteo*. Vide suprà ad γ', 385.

Ver. 356. Ζεὺς δ' Ἥρην προσέειπε.]

Junonem intereà compellat Jupiter ultrò. *Æn.* X, 606.

Ibid. —— κασιγνήτην, ἄλοχόν τε.]

——— Jovisque
Et soror et conjux.——— *Æn.* I, 50.

Ver. 357 et 360. —— βοῶπις.] Vide suprà ad ά, 551.

Ver. 359. —— καρηκομόωντες.] Vide suprà ad ν', 510.

Ver. 364. 367. Πῶς δὴ ἔγωγ', ἣ φημὶ θεάων ἔμμεν' ἀρίστη, — Οὐκ ὄφελον Τρώεσσι.]

Ast ego, quæ Divûm incedo regina —
—— unâ cum gente tot annos
Bella gero! ——— *Æn.* I, 50.

Ver. 366 et 370. ——— ἀθανάτοισιν.] Vide suprà ad ά, 398.

Ἡφαίστου δ' ἵκανε δόμον Θέτις ἀργυρόπεζα
Ἄφθιτον, ἀστερόεντα, μεταπρεπέ' ἀθανάτοισι,
Χάλκεον, ὅν ῥ' αὐτὸς ποιήσατο Κυλλοποδίων.
Τὸν δ' εὗρ' ἱδρώοντα, ἑλισσόμενον περὶ φύσας,
Σπεύδοντα· τρίποδας γὰρ ἐείκοσι πάντας ἔτευχεν,
Ἑστάμεναι περὶ τοῖχον ἐϋσταθέος μεγάροιο.
Χρύσεα δέ σφ' ὑπὸ κύκλα ἑκάστῳ πυθμένι θῆκεν,
Ὄφρα οἱ αὐτόματοι θεῖον δυσαίατ' ἀγῶνα,
Ἠδ' αὖτις πρὸς δῶμα νεοίατο, θαῦμα ἰδέσθαι.
Οἱ δ' ἤτοι τόσσον μὲν ἔχον τέλος, οὔατα δ' οὔπω
Δαιδάλεα προσέκειτο, τά ῥ' ἤρτυε, κόπτε δὲ δεσμούς.
Ὄφρ' ὅγε ταῦτ' ἐπονεῖτο ἰδυίῃσι πραπίδεσσι,
Τόφρα οἱ ἐγγύθεν ἦλθε θεὰ Θέτις ἀργυρόπεζα.
Τὴν δὲ ἴδε προμολοῦσα Χάρις λιπαροκρήδεμνος
Καλὴ, τὴν ὤπυιε περικλυτὸς Ἀμφιγυήεις,
Ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τίπτε, Θέτι τανύπεπλε, ἱκάνεις ἡμέτερον δῶ,
Αἰδοίη τε φίλη τε; πάρος γε μὲν οὔτι θαμίζεις·

Vulcani autem pervenit ad domum Thetis pedes-argentea
Immortalem, stellatam, insignem inter immortales,
Aeream, quam quidem ipse fecerat Claudus.
Illum verò invenit sudantem, versantem se circa folles,
Studiosè-agentem: tripodas enim viginti omnes fabricabatur,
Qui-starent ad parietem bene-fundatae domûs.
Aureas autem ipsis rotas unicuique fundo subdiderat,
Ut ei sponte-suâ divinum ingrederentur coetum,
Ac rursùs domum redirent, mirabile visu.
Illi autem in tantum quidem perfecti erant, aures verò nondum
Artificiosae additae-erant, quas quidem apparabat; cudebatque clavos.
Dum is haec conficiebat peritis praecordiis,
Intereà ad eum propè accessit dea Thetis pedes-argentea.
Illam autem vidit progressa Charis vittis-elegantibus-nitida
Pulchra, quam uxorem-duxerat inclytus Vulcanus,
Inque ejus haesit manu, verbaque fecit, dixitque:
" Quam-ob-rem, Theti sinuoso-peplo-induta, venis ad nostram domum,
" Venerandaque dilectaque? anteà quidem nequaquàm saepe-veniebas:

Ver. 370. Ἄφθιτον.] De hujus vocis prosodiâ, vide suprà ad ν', 339.

Ver. 371. —— ὅν ῥ'.] *Quam scilicèt* ——.

Ibid. — ποιήσατο.] Vide suprà ad ν', 168. et ad γ', 141.

Ver. 373. —— τρίποδας γὰρ ἐείκοσι πάντας ἔτευχεν.] *Non pauciores quàm viginti.* Malè igitur Scholiastes, Περιττὸν (inquit) τὸ πάντας. Nam in istâ voce vis omnis sententiæ consistit; *tripodas uno eodemque tempore non minùs viginti fabricabatur.* Vide suprà ad ή, 161. item infrà ad *ver.* 470. et ad τ', 247.

Ver. 373, 379. — ἔτευχεν —— ἤρτυε, κόπτε δὲ.] Vide suprà ad ν', 84.

Ver. 375. Χρύσεα δέ σφ'.] *Barnesius* legendum contendit, Χρύσεα δή σφ'. Sed minùs rectè.

Ver. 376. —— δυσαίατ'.] *Al.* δύσωνται, et δύσονται.

Ver. 380. —— ἐπονεῖτο ἰδυίῃσι πραπίδεσσι.] *Al.* ἐπονεῖτ' εἰδυίῃσι πραπίδεσσι.

Ver. 383 — 390 — 408. Καλὴ, —— Καλοῦ, —— καλὰ.] Vide suprà ad β', 43.

Ver. 385. —— Θέτι.] *Barnesius* ex duobus MSS. edidit Θέτις. Sed, ut opinor, nihil opus. Vide suprà ad ά, 51.

Ver. 386. —— θαμίζεις.] *Al.* θαμίζες.

Ἀλλ' ἕπεο προτέρω· ἵνα τοι πὰρ ξείνια θείω.
  Ὣς ἄρα φωνήσασα, πρόσω ἄγε δῖα θεάων.
Τὴν μὲν ἔπειτα καθεῖσεν ἐπὶ θρόνου ἀργυροήλου,
Καλοῦ, δαιδαλέου· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν·
Κέκλετο δ' Ἥφαιστον κλυτοτέχνην, εἶπέ τε μῦθον·
  Ἥφαιστε, πρόμολ' ὧδε, Θέτις νύ τι σεῖο χατίζει.
Τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸς Ἀμφιγυήεις·
  Ἦ ῥά νύ μοι δεινή τε καὶ αἰδοίη θεὸς ἔνδον,
Ἥ μ' ἐσάωσ', ὅτε μ' ἄλγος ἀφίκετο τῆλε πεσόντα,
Μητρὸς ἐμῆς ἰότητι κυνώπιδος, ἥ μ' ἐθέλεσκε
Κρύψαι χωλὸν ἐόντα· τότ' ἂν πάθον ἄλγεα θυμῷ,
Εἰ μή μ' Εὐρυνόμη τε, Θέτις θ' ὑπεδέξατο κόλπῳ,
Εὐρυνόμη θυγάτηρ ἀψοῤῥόου Ὠκεανοῖο.
Τῇσι πάρ' εἰνάετες χάλκευον δαίδαλα πολλὰ,
Πόρπας τε, γναμπτάς θ' ἕλικας, κάλυκάς τε, καὶ ὅρμους,
Ἐν σπῆϊ γλαφυρῷ· περὶ δὲ ῥόος Ὠκεανοῖο
Ἀφρῷ μορμύρων ῥέεν ἄσπετος· οὐδέ τις ἄλλος
Ἤδεεν, οὔτε θεῶν, οὔτε θνητῶν ἀνθρώπων,
Ἀλλὰ Θέτις τε, καὶ Εὐρυνόμη ἴσαν, αἵ μ' ἐσάωσαν.

"Sed sequere ulteriùs; ut tibi hospitales-epulas apponam."
Sic locuta, ulteriùs ducebat augustissima dearum.
Hanc quidem deindè sedere-fecit in sede argenteis-clavis-distinctâ,
Pulchrâ, vario-artificio-factâ; scabellum verò pedibus suberat:
Vocavit autem Vulcanum inclytum-artificem, dixitque sermonem:
"Vulcane, prodi huc, Thetis aliquâ utique in re tui indiget."
Huic verò respondit deindè inclytus Vulcanus:
"Profectò mihi omninò colendaque et veneranda dea intùs,
"Quae me servavit, quandò me dolor occupavit prolapsum longè,
"Matris meae propter consilium impudentis, quae me volebat
"Occultâsse, claudus cùm essem: tum sanè passus forem dolores animo,
"Nisi me Eurynomeque, Thetisque excepisset sinu;
"Eurynome, filia reflui Oceani.
"Has apud per novennium fabricavi artificiosa multa,
"Fibulasque, tortilesque armillas, fistulasque, et torques,
"In specu concavâ; circùm autem fluentum Oceani
"Spumâ murmurans fluebat immensum: neque quis alius
"Nôrat neque Deorum, neque mortalium hominum,
"Sed Thetisque et Eurynome aderant, quae me servârunt.

Ver. 388. Ὣς ἄρα φωνήσασα, πρόσω ἄγε.] *Al.* Ὣς ἄρα φωνήσασ' ἡγήσατο.

Ver. 392. Ἥφαιστε, πρόμολ' ὧδε.] Παρῳδήθη ποτε ὑπό τινος σοφοῦ, καύσαντος οἰκεῖα ποιήματα. ——— ὁ σοφὸς ἐκεῖνος, ἦν δὲ ὁ μέγας Πλάτων, εἰς ποιητικὴν, φασὶν, ὁρμήσας καὶ ἡρωΐζων, κατέπρησεν ἃ ἔγραψεν, ὡς Ὁμήρου ἡττώμενα κατὰ πολύ. *Eustath.* Vide suprà ad ῥ', 263.

Ver. 396. — ἐθέλεσκε.] *Al.* ἐθέλησε. Quo modo et legit Codex *Harleian.*

Ver. 398. ——— ὑπεδέξατο.] *Sibi recepisset.* Vide suprà ad ν', 168.

Ver. 400. —— πολλὰ.] *Al.* πάντα.

Ver. 402. —— δὲ ῥόος.] Quâ ratione, δὲ, hîc producatur; item ἐνὶ, *ver.* 435. et φυτὸν, *ver.* 438. et δὲ, *ver.* 448. et κακὰ, *ver.* 455. vide suprà ad ά, 51. n. 8.

Ver. 403. — μορμύρων.] Vide suprà ad ί, 599.

Ver. 405. — ἴσαν.] Cod. *Harleian.* ἴσαν.

Ἣ νῦν ἡμέτερον δόμον ἥκει· τῷ με μάλα χρεὼ
Πάντα Θέτι καλλιπλοκάμῳ ζωάγρια τίνειν.
Ἀλλὰ σὺ μὲν νῦν οἱ παράθες ξεινήϊα καλὰ,
Ὄφρ' ἂν ἐγὼ φύσας ἀποθείομαι, ὅπλα τε πάντα.
Ἦ, καὶ ἀπ' ἀκμοθέτοιο πέλωρ αἴητον ἀνέστη
Χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
Φύσας μέν ῥ' ἀπάνευθε τίθει πυρὸς, ὅπλα τε πάντα
Λάρνακ' ἐς ἀργυρέην συλλέξατο, τοῖς ἐπονεῖτο·
Σπόγγῳ δ' ἀμφὶ πρόσωπα, καὶ ἄμφω χεῖρ', ἀπομόργνυ
Αὐχένα τε στιβαρὸν, καὶ στήθεα λαχνήεντα·
Δῦ δὲ χιτῶν'· ἕλε δὲ σκῆπτρον παχύ· βῆ δὲ θύραζε
Χωλεύων· ὑπὸ δ' ἀμφίπολοι ῥώοντο ἄνακτι,
Χρύσειαι, ζωῇσι νεήνισιν εἰοικυῖαι.
Τῇς ἐν μὲν νόος ἐστὶ μετὰ φρεσὶν, ἐν δὲ καὶ αὐδὴ,
Καὶ σθένος, ἀθανάτων δὲ θεῶν ἄπο ἔργα ἴσασιν.
Αἱ μὲν, ὕπαιθα ἄνακτος ἐποίπνυον· αὐτὰρ ὁ ἔῤῥων,
Πλησίον, ἔνθα Θέτις περ, ἐπὶ θρόνου ἷζε φαεινοῦ,
Ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τίπτε, Θέτι τανύπεπλε, ἱκάνεις ἡμέτερον δῶ,

" Haec nunc nostram ad domum venit: ideò me admodùm decet
" Omnia Thetidi comas-pulchrae praemia-salutis solvere.
" Sed tu quidem nunc ei apponito epulas-hospitales lautas,
" Dum ego folles reponam, instrumentaque omnia."
Dixit, et ab incudis-stipite vastus ardens *deus* surrexit
Claudicans, subtùs autem tibiae multò-molimine-ferebantur imbecillae.
Folles quidem seposuit ab igne, instrumentaque omnia
Arcam in argenteam collecta-collocavit, quibus opus-faciebat:
Spongiâ autem undiquaque ora et ambas manus abstersit,
Cervicesque validas et pectora hirsuta:
Induit verò tunicam; accepitque sceptrum crassum; et exiit foràs
Claudicans: ancillae verò validis-ibant-passibus sustentantes regem,
Aureae, vivis adolescentulis similes.
Quibus quidem mens inest in praecordiis, inest et vox,
Et vis, ab immortalibus autem diis opera doctae-sunt.
Hae quidem, à latere regis sedulò-ibant: ille verò aegrè-gradiens,
Propè, ubi Thetis, in throno consedit fulgido,
Inque ejus haesit manu, verbaque fecit, dixitque:
" Quam-ob-rem, Theti sinuoso-induta-peplo, venis nostram ad domum,

---

Ver. 406. —— ἥκει.] *Al.* ἵκει.

Ibid. —— τῷ με μάλα χρεὼ.] Pronuntiabatur χρῶ. Vide et suprà ad κ', 43. Cod. *Harleian.* legit τῷ με μάλα χρή.

Ver. 407. ——— τίνειν.] Vide suprà ad γ', 279. et ad β', 43. *Al.* τείνειν.

Ver. 408. — ξεινήϊα.] Cod. *Harleian.* ξυνήϊα.

Ver. 412. Φύσας μέν ῥ' ἀπάνευθε τίθει πυρὸς, ὅπλα τε πάντα.]

Tollite cuncta, inquit, coeptosque auferte labores. *Æn.* VIII, 439.

Ibid. —— ῥ'.] *Ut dixerat* —— *ver.* 409.

Ver. 414. ——— πρόσωπα, καὶ ἄμφω.] *Al.* πρόσωπον, ἰδ' ἄμφω.

Ibid. —— ἀπομόργνυ.] *Al.* ἀπεμόργνυ.

Ver. 420. —— ἀθανάτων.] Vide suprà ad ά, 398.

Ver. 423. —— ἄρα.] *Ut solent amici obviàm facti,* ———.

Ver. 424. —— Θέτι τανύπεπλε.] Vide suprà ad *ver.* 385.

Αἰδοίη τε, φίλη τε; πάρος γε μὲν οὔτι θαμίζεις
Αὔδα, ὅ,τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
Εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστί.
Τὸν δ' ἠμείβετ' ἔπειτα Θέτις καταδακρυχέουσα·
Ἥφαιστ', ἦ ἄρα δή τις, ὅσαι θεαί εἰσ' ἐν Ὀλύμπῳ,
Τοσσάδ' ἐνὶ φρεσὶν ᾗσιν ἀνέσχετο κήδεα λυγρὰ,
Ὅσσ' ἐμοὶ ἐκ πασέων Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν;
Ἐκ μέν μ' ἀλλάων ἁλιάων ἀνδρὶ δάμασσεν,
Αἰακίδῃ Πηλῆϊ, καὶ ἔτλην ἀνέρος εὐνὴν,
Πολλὰ μάλ' οὐκ ἐθέλουσα· ὁ μὲν δὴ γήραϊ λυγρῷ
Κεῖται ἐνὶ μεγάροις ἀρημένος· ἄλλα δέ μοι νῦν.
Υἱὸν ἐπεί μοι δῶκε γενέσθαι τε, τραφέμεν τε,
Ἔξοχον ἡρώων, ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος·
Τὸν μὲν ἐγὼ θρέψασα, φυτὸν ὡς γουνῷ ἀλωῆς,
Νηυσὶν ἐπιπροέηκα κορωνίσιν Ἴλιον εἴσω,
Τρωσὶ μαχησόμενον· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
Οἴκαδε νοστήσαντα, δόμον Πηλήϊον εἴσω.
Ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
Ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
Κούρην, ἣν ἄρα οἱ γέρας ἔξελον υἷες Ἀχαιῶν,

" Venerandaque, dilectaque? Anteà quidem haudquaquam saepe veniebas.
" Eloquere, quod habes-in animo; perficere autem me animus jubet,
" Si possum utique perficere, et si perfici potest."
Huic autem respondit deinde Thetis lacrymas-defundens:
" Vulcane, an omninò jam ulla, quotquot deae sunt in Olympo,
" Tot mente suâ pertulit moerores graves,
" Quot mihi prae omnibus Saturnius Jupiter dolores dedit?
" Unam quidem me ex aliis marinis homini conjugem-subjecit,
" Aeacidæ Peleo, et sustinui hominis cubile,
" Admodùm invita: is quidem jam senio gravi
" Jacet in aedibus confectus: alios verò mihi nunc *dolores dedit Jupiter.*
" Filium postquàm mihi dedit peperisseque, enutriisseque,
" Praestantissimum heroüm, is autem succreverat plantae similis:
" Eum quidem ego educatum, tanquam plantam in-foecundo-loco agri,
" Navibus misi recurvis ad Ilium,
" Contra Trojanos pugnaturum: hunc autem non-recipiam rursùs
" Domum reversum, in aedes Peleïas.
" Sed et quamdiù mihi vivit et videt lumen solis,
" Tristátur, neque quid ei possum auxiliari profecta.
" Puellam, quam quidem ei praemium-electum-dederant filii Achivorum,

---

Ver. 425. —— *θαμίζεις.*] *Al. θάμιζες.*
Ver. 426. *Αὔδα, ὅ,τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν.*]
—— Tuus, ô regina, quid optes,
Explorare labor; mihi jussa capessere fas est. *Æn.* I, 80.
Vide suprà ad ξ', 195.

Ibid. —— *ἄνωγεν.*] *Al. ἀνώγει.*
Ver. 431. —— *πασέων.*] Pronuntiabatur *πασῶν.* Nam prima necessariò producitur
Ver. 440. —— *αὖτις.*] *Al. αὖθις.*
Ver. 443. —— *ἄχνυται.*] Vide suprà ad γ', 260.
Ver. 444. —— *ἄρα.*] *Ut nôsti* ——.

Τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων.
Ἤτοι ὁ τῆς ἀχέων, φρένας ἔφθιεν· αὐτὰρ Ἀχαιοὺς
Τρῶες ἐπὶ πρύμνῃσιν ἐείλεον, οὐδὲ θύραζε
Εἴων ἐξιέναι· τὸν δὲ λίσσοντο γέροντες
Ἀργείων, καὶ πολλὰ περικλυτὰ δῶρ' ὀνόμαζον.
Ἔνθ' αὐτὸς μὲν ἔπειτ' ἠνήνατο λοιγὸν ἀμῦναι·
Αὐτὰρ ὁ Πάτροκλον περὶ μὲν τὰ ἃ τεύχεα ἕσσε,
Πέμπε δέ μιν πόλεμόνδε, πολὺν δ' ἅμα λαὸν ὄπασσε.
Πᾶν δ' ἦμαρ μάρναντο περὶ Σκαιῇσι πύλῃσι·
Καί νύ κεν αὐτῆμαρ πόλιν ἔπραθον, εἰ μὴ Ἀπόλλων,
Πολλὰ κακὰ ῥέξαντα, Μενοιτίου ἄλκιμον υἱὸν,
Ἔκταν' ἐνὶ προμάχοισι, καὶ Ἕκτορι κῦδος ἔδωκε.
Τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴκ' ἐθέλῃσθα
Υἷ' ἐμῷ ὠκυμόρῳ δόμεν ἀσπίδα καὶ τρυφάλειαν,
Καὶ καλὰς κνημῖδας, ἐπισφυρίοις ἀραρυίας,
Καὶ θώρηχ'· ὃ γὰρ ἦν οἱ, ἀπώλεσε πιστὸς ἑταῖρος,
Τρωσὶ δαμείς· ὁ δὲ κεῖται ἐπὶ χθονὶ θυμὸν ἀχεύων.
Τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸς Ἀμφιγυήεις·
Θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.

"Hanc rursùs è manibus abstulit rex Agamemnon.
"Is sanè hujus gratiâ moerens, praecordiis tabescebat: at Achivos
"Trojani ad puppes actos-concluserunt, neque foràs
"Sinebant exire: hunc autem precati-sunt primores
"Argivorum, et multa inclyta dona recensita-pollicebantur.
"Ibi ipse quidem deinceps abnuit exitium arcere:
"Sed ille Patroclum suis armis induit,
"Misitque eum in pugnam, multumque unà populum praebuit.
"Toto verò die pugnârunt ad Scaeas portas:
"Et omninò eo ipso die urbem expugnâssent; nisi Apollo,
"Magnam cladem cùm-jam-fecerat, Menoetii fortem filium
"Occidisset inter primos-pugnatores, et Hectori gloriam dedisset.
"Hujus gratiâ nunc ad tua genua accedo, si volueris
"Filio meo brevi-morituro dare clypeum et galeam,
"Et pulchras ocreas fibulis aptè-junctas,
"Et thoracem: quicquid enim ei erat *armorum* perdidit fidus sodalis,
"A Trojanis domitus: hic verò jacet super terram animo dolens."
Huic verò respondit deindè inclytus Vulcanus:
"Bono-sis-animo, ne tibi haec menti tuae solicitudini-sint.

Ver. 448. —— τὸν δὲ λίσσοντο.] *Al.* τὸν δ' ἐλλίσσοντο.

Ver. 450. —— ἠνήνατο.] *Al.* ἠναίνετο.

Ver. 452. —— πολὺν δ' ἅμα λαὸν ὄπασσε.] Codex *Harleianus* legit, πολὺν δ' ὅγε λαὸν ὄπασσε· atque ita etiam in uno MS. scriptum repperit *Barnesius*. Quâ de syntaxi, vide suprà ad γ', 409.

Ver. 454. — ἔπραθον.] Vide suprà ad β', 314.

Ver. 457. Τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι.]

Ergo eadem supplex venio, et sanctum
mihi numen
Arma rogo, genitrix nato. ——
Æn. VIII, 382.

Ver. 459—466. —— καλὰς —— καλά.] Vide suprà ad β', 43.

Αἲ γάρ μιν θανάτοιο δυσηχέος ὧδε δυναίμην
Νόσφιν ἀποκρύψαι, ὅτε μιν μόρος αἰνὸς ἱκάνοι·
Ὥς οἱ τεύχεα καλὰ παρέσσεται, οἷά τις αὖτε
Ἀνθρώπων πολέων θαυμάσσεται, ὅς κεν ἴδηται.
Ὣς εἰπὼν, τὴν μὲν λίπεν αὐτοῦ, βῆ δ' ἐπὶ φύσας·
Τὰς δ' ἐς πῦρ ἔτρεψε, κέλευσέ τε ἐργάζεσθαι.
Φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων,
Παντοίην εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι,
Ἄλλοτε μὲν σπεύδοντι παρέμμεναι, ἄλλοτε δ' αὖτε,
Ὅππως Ἥφαιστός τ' ἐθέλοι καὶ ἔργον ἄνοιτο.
Χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα, κασσίτερόν τε,
Καὶ χρυσὸν τιμῆντα, καὶ ἄργυρον· αὐτὰρ ἔπειτα
Θῆκεν ἐν ἀκμοθέτῳ μέγαν ἄκμονα· γέντο δὲ χειρὶ
Ῥαιστῆρα κρατερὸν, ἑτέρηφι δὲ γέντο πυράγρην.
Ποίει δὲ πρώτιστα σάκος μέγα τε, στιβαρόν τε,

" Utinam enim ipsum à morte horrisonâ sic possem
" Seorsùm abscondere, quandò eum fatum grave adierit:
" Ut ei arma pulchra aderunt, qualia quilibet certè
" Hominum multorum admirabitur, qui quidem viderit."
Sic locutus, illam quidem reliquit illic, abiitque ad folles:
Illos autem rectà contra ignem vertit, jussitque operari.
Folles autem in fornacibus viginti omnes spirabant,
Omnigenum facilem-inflatu spiritum emittentes,
Nunc quidem properanti *qualis* inserviret, nunc verò contrà,
Quemadmodum Vulcanusque vellet et opus perfici-posset.
Aes autem in igne posuit indomitum, stannumque,
Et aurum pretiosum, et argentum: deindè verò
Posuit in stipite magnam incudem; sumpsitque manu
Malleum gravem, alterâque sumpsit forcipem.
Fecit autem primùm scutum magnumque solidumque,

Ver. 465. —— ἱκάνοι.] *Al.* ἱκάνει.

Ver. 470. Φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων.] Malè hoc Anglicè vertit *Barnesius*, "*Twenty pair of Bellows in all;*" quum scilicèt vertendum esset, "*Twenty pair of Bellows at once.*" *Folles non minùs viginti omnes simul spirabant.* Vide suprà ad *ver.* 373. et ad ή, 161.

Ver. 473. —— Ἥφαιστός τ' ἐθέλοι.] Cod. *Harleian.* Ἥφαιστός γ' ἐθέλοι.

Ibid. —— ἄνοιτο.] *Al.* ἀνῦτο.

Ver. 474. Χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα, κασσίτερόν τε, Καὶ χρυσὸν.]

—fluit æs rivis, aurique metallum;
Vulnificusque chalybs vastâ fornace liquescit. *Æn.* VIII, 445.

Οὐδὲ — τὸν Ἥφαιστον Ὅμηρος ἐν τοῖς ἄλλοις πεποίηκεν ἐπιδεικνύμενον τὴν ἐμπειρίαν, ἀλλὰ τεχνίτην μὲν θεὸν εὐπόρησεν ἐπὶ τὸ τῆς ἀσπίδος ἔργον, ὕλην δὲ ἑτέραν οὐκ ἐφίκετο εὑρεῖν. Φησὶ γὰρ οὕτω· "Χαλκὸν δ' ἐν πυρὶ βάλλεν," &c. *Dio, Orat.* XII. sub fine.

Ver. 476. —— ἐν ἀκμοθέτῳ.] *Al.* ἐπ' ἀκμόθετῳ.

Ver. 476 et 477. —— γέντο.] Vide suprà ad ί, 241.

Ver. 478. Ποίει δὲ πρώτιστα σάκος μέγα τε, στιβαρόν τε.]

Ingentem clypeum informant ———.
Æn. VIII, 447.

" Clypeum Achillis —— ante alia speciosè " oppugnare Homeromastiges solent, cum " risu quærentes, quibus spatiis tot ac tanta " contineri potuerint. Magnos illo tempore " clypeos in usu fuisse passim ex Homero " patet. Dat jam clypeo Achillis quatuor " pedes in diametrum: et, quòd sic exprimi " omnia potuerint, ingeniosus pictor speci- " minis loco in multùm minori tabulâ exhi- " buit." *Acta Leips.* 1716, *pag.* 185.

Πάντοσε δαιδάλλων, περὶ δ' ἄντυγα βάλλε φαεινὴν,
Τρίπλακα, μαρμαρέην, ἐκ δ' ἀργύρεον τελαμῶνα.
Πέντε δ' ἄρ' αὐτοῦ ἔσαν σάκεος πτύχες· αὐτὰρ ἐν αὐτῷ
Ποίει δαίδαλα πολλὰ ἰδυίῃσι πραπίδεσσιν.
  Ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανὸν, ἐν δὲ θάλασσαν,
Ἠέλιόν τ' ἀκάμαντα, σελήνην τε πλήθουσαν.
Ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται,
Πληϊάδας θ', Ὑάδας τε, τό τε σθένος Ὠρίωνος,
Ἄρκτον θ', ἣν καὶ ἄμαξαν ἐπίκλησιν καλέουσιν,
Ἥ τ' αὐτοῦ στρέφεται, καί τ' Ὠρίωνα δοκεύει·
Οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο.

Undiquaque artificio-vario-exornans, orbemque extimum circumdedit fulgidum,
Triplicem, candentem, et ab *eâ nexuit* argenteum lorum.
Quinque autem ipsius erant scuti plicae: et in eo
Fecit artificiosa multa peritis praecordiis.
In *eo* quidem terram finxit, finxit et coelum, finxit et mare,
Solemque indefessum, lunamque plenam.
Finxit et sidera omnia, quibus coelum redimitum-ornatur,
Pleïadasque, Hyadasque, roburque Orionis,
Ursamque, quam et Plaustrum vulgò vocant,
Quae ibidem vertitur, et Orionem observat;
Sola autem exors est lavacrorum Oceani.

Ver. 481. —— αὐτὰρ ἐν αὐτῷ.] *Al.* αὐτὰρ ἐπ' αὐτῷ.

Ver. 482. —— πολλὰ ἰδυίῃσι πραπίδεσσιν.] *Al.* πόλλ' εἰδυίῃσι πραπίδεσσιν.

Ver. 484—486. Ἠέλιόν τ' ἀκάμαντα, —— Πληϊάδας θ', Ὑάδας τε.]

Ἐν δὲ μέσῳ κατέλαμπε σάκει
Φαέθων κύκλος ἀελίοιο. ——
Ἄστρων τ' αἰθέριοι χοροὶ,
Πλειάδες, Ὑάδες.
Euripid. Elect. ver. 464.

Ver. 484. — σελήνην τε πλήθουσαν· Ἐν δὲ τὰ τείρεα πάντα.]

Lucentemque globum Lunæ, Titaniaque Astra. *Æn.* VI, 725.

Ver. 485. Ἐν δὲ τὰ τείρεα πάντα, —— Πληϊάδες, θ', *&c.*] Hinc *Ovidius:*

—— neque enim clypei cœlamina norit
Oceanum et terras, cumque alto sidera cœlo,
Pleïadasque, Hyadasque, immunemque æquoris Arcton,
Diversasque urbes, nitidumque Orionis ensem. *Metamorph. Lib.* XIII, 291.

Porrò apud *Achillem Tatium* legitur, Ἐν δέ τε τείρεα πάντα. Quo modo habet et Codex *Harleianus.*

Ibid. —— ἐστεφάνωται.] Vide suprà ad ν', 736. et ad ά, 37.

Ver. 486. Πληϊάδας θ', Ὑάδας τε, —— Ἄρκτον θ'.]

Pleïadas, Hyadas, claramque Lycaonis Arcton. *Georg.* I, 137.

Ver. 487. —— ἄμαξαν.] Vide infrà ad ώ, 711 et 782.

Ver. 488. Ἥ τ' αὐτοῦ στρέφεται, καί τ' Ὠρίωνα δοκεύει.] Linea nempe per corpus et caput *Ursæ* ducta, in *Orionem* incidit. Βλέπει γὰρ ἡ μεγάλη Ἄρκτος πρὸς τὸ τοῦ Ὠρίωνος ἄστρον. *Schol.* Undè planè nihili est, quod ait *Terrussonus:* "—— Qu' entend-il par "l'Ourse qui observe toûjours l'Orion? en "comparant une constellation de l'equinoctial, comme l'Orion, avec une constellation "voisine du pole, comme l'Ourse; cela ne "devroit être dit que d' une constellation "qui se trouveroit dans le même cercle de "déclinaison que l'autre." *Dissertat. sur l'Iliade, Part.* IV. *cap.* 1.

Ver. 489. Οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο.]

Arctos Oceani metuentes æquore tingi. *Georg.* I, 246.

"Hunc (polum) circum ἄρκτοι duæ feruntur "nunquam occidentes." *Cicero de Naturâ Deorum, Lib.* II. § 41.

Porrò et hîc reprehendit *Homerum Terrassonus,* loco jam citato: "Voici," inquit, "une "[objection] —— qui convainc ce Poëte d'une "erreur énoncée en proposition formelle. "C'est d'avoir dit qui l'Ourse ou le Chariot "est la seule Constellation qui ne se baigne

Ἐν δὲ δύω ποίησε πόλεις μερόπων ἀνθρώπων
Καλάς· ἐν τῇ μέν ῥα γάμοι τ' ἔσαν, εἰλαπίναι τε·
Νύμφας δ' ἐκ θαλάμων, δαΐδων ὑπολαμπομενάων,
Ἠγίνεον ἀνὰ ἄστυ· πολὺς δ' ὑμέναιος ὀρώρει·
Κοῦροι δ' ὀρχηστῆρες ἐδίνεον, ἐν δ' ἄρα τοῖσιν
Αὐλοὶ, φόρμιγγές τε βοὴν ἔχον· αἱ δὲ γυναῖκες
Ἱστάμεναι θαύμαζον ἐπὶ προθύροισιν ἑκάστη.
Λαοὶ δ' εἰν ἀγορῇ ἔσαν ἀθρόοι· ἔνθα δὲ νεῖκος
Ὠρώρει· δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς
Ἀνδρὸς ἀποφθιμένου· ὁ μὲν εὔχετο, πάντ' ἀποδοῦναι,
Δήμῳ πιφαύσκων· ὁ δ' ἀναίνετο, μηδὲν ἑλέσθαι.
Ἄμφω δ' ἱέσθην ἐπὶ ἵστορι πεῖραρ ἑλέσθαι.
Λαοὶ δ' ἀμφοτέροισιν ἐπήπυον, ἀμφὶς ἀρωγοί·
Κήρυκες δ' ἄρα λαὸν ἐρήτυον· οἱ δὲ γέροντες
Εἵατ' ἐπὶ ξεστοῖσι λίθοις, ἱερῷ ἐνὶ κύκλῳ·

Fecit in eo et duas urbes articulatè-loquentium hominum
Pulchras: in unâ quidem nuptiaeque erant, conviviaque-solennia:
Sponsas autem ex thalamis, taedis adlucentibus,
Ducebant per urbem, crebroque hymenaeus excitabatur-clamore.
Adolescentes autem saltatores in orbem-agebant-se, interque eos
Tibiae, citharaeque sonum edebant: mulieres verò
Stantes admirabantur in vestibulis unaquaeque.
Populi autem in foro erant frequentes; ibi nempè contentio
Orta erat: duo enim viri contendebant gratiâ mulctae,
Propter virum interfectum: alter quidem affirmabat, omnia reddidisse,
Populo declarans; alter verò negabat, quicquam accepisse.
Ambo itaque cupiebant testibus-datis litem ad exitum perducere.
Cives autem utrisque acclamabant, hinc-inde fautores:
Praecones verò populum sedabant: At seniores
Sedebant super politos lapides, sacro in circulo:

" jamais dans les flots de l'Ocean." *Aristoteles* verò, Τὸ, " Οἴη δ' ἄμμορος," (inquit,) κατὰ μεταφοράν· τὸ γὰρ γνωριμώτατον μόνον. *Poetic. Lib.* I. *cap.* 25. *Strabo* autem per " ἄρκτος" *Circulum Arcticum* videtur intellexisse: Διὰ μὲν γὰρ τῆς ἄρκτου, καὶ τῆς ἁμάξης, τὸν ἀρκτικὸν δηλοῖ· οὐ γὰρ ἂν τοσούτων ἀστέρων ἐν τῷ αὐτῷ χωρίῳ περιφερομένων τῷ αἰεὶ φανερῷ, οἴην ἄμμορον εἶπε λοετρῶν Ὠκεανοῖο. *Geograph. lib.* I. Sed quomodo *Circulus Arcticus Orionem* spectat? Fortasse per " Οἴη δ' ἄμμορός ἐστι," &c. intelligendum est; non solam esse *Arcton* ex omnibus Constellationibus quæ nunquam occida, sed solam ex Constellationibus hic enumeratis.

Ver. 493. Ἠγίνεον.] Pronuntiabatur Ἠγίνουν vel Ἠγίνευν· Ut rectè hîc annotavit *Barnesius.* Producitur enim antepenultima:

Ἐννῆμαρ μὲν τοίγε ἀγίνεον. — *Il.* ώ, 184.
——— μῆλον ἀγινεῖ. *Odyss.* ξ', 105.
——— πάροιθεν ἀγίνεσκον νέοι ἄνδρες.
ρ', 294.

Vide suprà ad ξ', 116.

Ver. 493 — 498. —— ὀρώρει· —— Ὠρώρει.] Vide suprà ad β', 810.

Ver. 494. —— ἄρα.] *Ut fieri solet* ——.

Ver. 498. —— εἵνεκα ποινῆς Ἀνδρὸς ἀποφθιμένου.] Ποινῆς οὖν λέγει τῆς καλουμένης παρὰ τοῖς Ἀττικοῖς, ἀποφόνια, ἃ ἐδίδοσαν τοῖς οἰκείοις τῶν ἀνῃρημένων οἱ ἀνελόντες. *Schol.*

Ver. 499. —— ἀποφθιμένου.] Vide suprà ad β', 43. et ad ά, 309. 314.

Ver. 500. —— ἀναίνετο.] *Al.* ἀνήνατο. Sed, ut opinor, minùs rectè. Vide suprà ad ν', 84.

Ver. 501. Ἄμφω δ' ἱέσθην ἐπὶ ἵστορι πεῖραρ ἑλέσθαι.] Τοὶ γάρ τοι ἵστορας ἐνταῦθα καλεῖ ὁ Ποιητὴς τοὺς σοφοὺς ἄνδρας, καὶ δεινοὺς, καὶ τοὺς τῶν τε πράξεων, καὶ τὸν παθῶν τῶν ἀνθρωπίνων εἰδήμονας καὶ ἐμπείρους, καὶ τοὺς τῇ φρονήσει πολὺ τῶν ἄλλων διαφέροντας. *Aristot. de Republ. lib.* IX.

Ibid. —— ἑλέσθαι.] *Al.* ἱκέσθαι.

Ver. 503. —— ἄρα.] *Ut par erat* ——.

Σκῆπτρα δὲ κηρύκων ἐν χερσ' ἔχον ἠεροφώνων·
Τοῖσιν ἔπειτ' ἤϊσσον, ἀμοιβηδὶς δ' ἐδίκαζον.
Κεῖτο δ' ἄρ' ἐν μέσσοισι δύο χρυσοῖο τάλαντα,
Τῷ δόμεν, ὃς μετὰ τοῖσι δίκην ἰθύντατα εἴπῃ
Τὴν δ' ἑτέρην πόλιν ἀμφὶ δύο στρατοὶ εἵατο λαῶν,
Τεύχεσι λαμπόμενοι· δίχα δέ σφισιν ἥνδανε βουλὴ,
Ἠὲ διαπραθέειν, ἢ ἄνδιχα πάντα δάσασθαι,
Κτῆσιν, ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργει.
Οἱ δ' οὔπω πείθοντο, λόχῳ δ' ὑπεθωρήσσοντο.
Τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι, καὶ νήπια τέκνα,
Ῥύατ', ἐφεσταότες, μετὰ δ' ἀνέρες, οὓς ἔχε γῆρας.
Οἱ δ' ἴσαν· ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ Παλλὰς Ἀθήνη,
Ἄμφω χρυσείω, χρύσεια δὲ εἵματα ἕσθην,
Καλὼ καὶ μεγάλω σὺν τεύχεσιν, ὥς τε θεώ περ,
Ἀμφὶς ἀριζήλω· λαοὶ δ' ὑπολίζονες ἦσαν.
Οἱ δ' ὅτε δή ῥ' ἵκανον, ὅθι σφίσιν εἶκε λοχῆσαι,

Sceptra verò praeconum in manibus habebant vocibus-aërem-replentium :
Cum his deindè exurgebant, et alternatim sententias-ferebant.
Jacebant autem in medio duo auri talenta,
Ei danda qui inter hos sententiam rectissimè diceret.
Alteram verò urbem duo exercitus obsidebant copiarum,
Armis fulgentes : bifariàm autem ipsis placebat consilium,
Aut evertere, aut in-duas-partes omnia dividere,
Opes *scilicèt*, quantas oppidum amoenum intùs continet.
Illi verò nondum parebant, ad insidias autem clàm-armabantur.
Murum quidem conjugesque dilectae et parvi liberi,
Custodiebant suprà-stantes, interque viri, quos tenebat senectus.
Ipsi verò profecti sunt : dux-erat autem iis Mars et Pallas Minerva,
Ambo aurei, aureasque vestes induti erant,
Pulchri et magni cum armis, sicut dii scilicèt,
Utrinque perinsignes : populi autem humiliores erant.
Ii autem cùm jam pervenerant, ubi illis videbatur insidiari,

Ver. 506. —— ἀμοιβηδὶς.] Cod. *Harleian.* ἀμοιβηδόν.

Ver. 508. —— εἴπῃ.] *Al.* εἴποι.

Ver. 509. Τὴν δ' ἑτέρην πόλιν ἀμφὶ δύο στρατοὶ.] Ἀλέξανδρος μὲν ὁ Κοτιαεὺς οὕτω φησί. Δύω στρατοὶ περιεκάθηντο τὴν πόλιν πολέμιοι, ἢ πορθεῖν ἀξιοῦντες αὐτὴν, ἢ τὰ ἡμίση λαβόντες ἀπιέναι· οἱ δ' ἔνδον ὄντες οὐκ ἐδέχοντο τὴν πρόκλησιν· οἱ οὖν πολέμιοι, φησὶν, ἐνέδραν τινὰ ἐποιήσαντο τῶν ποιμνίων, καὶ τῶν βουκόλων, [fortasse βουκολίων] ἃ ἦν κτήματα τῶν ἐν τῇ πόλει· &c. *Porphyr. Quæst. Homeric.* 7. Ubi totus hic locus fusè explicatur.

Ver. 510. —— λαμπόμενοι.] Cod. *Harleian.* λαμπομένω. Quod æquè ferri potest. Vide suprà ad ά, 566.

Ver. 512. —— ἐπήρατον.] Deductum hoc vocabulum, non ex ἐρῶμαι, (penultimam enim tum necessariò produceret ;) sed ex ἔραμαι. Vide suprà ad ά, 67.

Ibid. —— ἐέργει.] *Al.* ἔεργεν.

Ver. 514. Τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι.] Καὶ ὁ Ποιητὴς ἐν τῇ ἀσπιδοποιΐᾳ ὑπέρευ ταῦτα διεσάφησε. Ἀμέλει τὴν γυναικείαν ἰσχὺν μέχρι πόσου τοῖς πολεμικοῖς ἔργοις ὀνήσιμον ἀπέδειξεν· ὄπισθεν γὰρ τῶν ἐπάλξεων καὶ τειχῶν αὐτὰς μετὰ νηπίων καὶ γερόντων καθίζει, ποιῶν· "Τεῖχος "μέν ῥ' ἄλοχοί τε φίλαι, καὶ νήπια τέκνα, Ῥύατ' "ἐφεσταότες, μετὰ δ' ἀνέρες οὓς ἔχε γῆρας." *Aristot. de Republ. lib.* 9.

Ver. 519. —— ὑπολίζονες.] Quâ analogiâ ex μέγας deducitur μείζων, eâdem ex ὀλίγος fit ὀλίζων. Unde fortassè legendum —— ὑπ' ὀλίζονες ἦσαν. Quo modo legitur apud *Porphyrium, Quæst. Homeric.* 7.

Ver. 520. — ὅτε δή.] Vide suprà ad ξ', 433.

Ibid. —— ὅθι σφίσιν.] Cod. *Harleian.* ὅθι σφιν.

Ἐν ποταμῷ, ὅθι τ' ἀρδμὸς ἔην πάντεσσι βοτοῖσιν,
Ἔνθ' ἄρα τοί γ' ἵζοντ', εἰλυμένοι αἴθοπι χαλκῷ.
Τοῖσι δ' ἔπειτ' ἀπάνευθε δύω σκοποὶ εἵατο λαῶν,
Δέγμενοι, ὁππότε μῆλα ἰδοίατο καὶ ἕλικας βοῦς.
Οἱ δὲ τάχα προγένοντο, δύω δ' ἅμ' ἕποντο νομῆες,
Τερπόμενοι σύριγξι· δόλον δ' οὔτι προνόησαν.
Οἱ μὲν τὰ προϊδόντες ἐπέδραμον, ὦκα δ' ἔπειτα
Τάμνοντ' ἀμφὶ βοῶν ἀγέλας καὶ πώεα καλὰ
Ἀργεννῶν οἰῶν· κτεῖνον δ' ἐπὶ μηλοβοτῆρας.
Οἱ δ' ὡς οὖν ἐπύθοντο πολὺν κέλαδον παρὰ βουσὶν,
Ἱράων προπάροιθε καθήμενοι, αὐτίκ' ἐφ' ἵππων
Βάντες ἀερσιπόδων μετεκίαθον· αἶψα δ' ἵκοντο.
Στησάμενοι δ' ἐμάχοντο μάχην ποταμοῖο παρ' ὄχθας,
Βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.
Ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ Κὴρ,
Ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,

Apud fluvium, ubi et aquatio erat omni pecori,
Ibi hi consederunt, tecti corusco aere.
His verò deindè seorsùm duo speculatores sedebant à copiis,
Observantes, siquando oves viderent et camuros boves.
Illi verò statim progrediebantur, duoque unà sequebantur pastores,
Oblectantes-se fistulis: insidias enim neutiquam praesenserant.
Ii quidem his prospectis incurrerunt, et continuò
Praedantes-abducebant boûm armenta et greges pulchros
Candidarum ovium; interficiebant autem insuper pastores.
Illi verò ut audierunt magnum tumultum apud boves,
Pro concione sedentes, confestim equos
Conscendentes pedes-in-altum-attollentes insecuti sunt; moxque pervenerunt.
Consistentes verò pugnabant pugnam fluvii propter ripas,
Feriebantque invicem se aeratis hastis.
Inter eos autem Discordia, et Tumultus versabantur, et exitiale Fatum,
Alium vivum tenens recens-vulneratum, alium illaesum;

Ver. 523. — δύω σκοποὶ.] Ita ex uno MS. edidit *Barnesius*. *Al.* δύο σκοποί.

Ver. 524, 525. — μῆλα —— νομῆες.] Suggerunt mihi hæc verba, versum istum, λ', 696:

Εἵλετο, κρινάμενός κε τριηκόσι', ἠδὲ νομῆας.

quem ita conjecturâ pulcherrimâ et certissimâ, ex *Odyss.* φ', 18, 19, emendavit Vir summae eruditionis *Richardus Bentleius:*

Εἵλετο, κρίνας μῆλα τριηκόσι' ἠδὲ νομῆας.

Vide ad locum.

Ver. 530. —— οὖν.] Non hîc vacat istud "οὖν," sed vim habet in connectendâ sententiâ cum eo quod præcessit, *ver.* 527: Οἱ μὲν τὰ προϊδόντες ἐπέδραμον, &c.

Ibid. —— παρὰ βουσὶν.] *Al.* περὶ βουσίν.

Ver. 531. Ἱράων.] Cod. *Harleian.* Εἰράων. Quo modo et in uno MS. scriptum repperit *Barnesius.*

Ver. 533. Στησάμενοι.] Vide suprà ad π, 595; et ad γ', 141.

Ver. 535. Ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ Κὴρ.]

Ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ἐθύνεε ——.

Hesiod. Ἀσπὶς Ἡρακλ. *ver.* 156.

—— sævit medio in certamine Mavors
Cælatus ferro, tristesque ex æthere Diræ.
Et scissâ gaudens vadit Discordiâ pallâ.

Æn. VIII, 700.

Ver. 536, 537. Ἄλλον ζωὸν —— ἄλλον ἄουτον, Ἄλλον τεθνειῶτα.] Λόγος δὲ, συνδέσμων ἐξαιρεθέντων, πολλάκις ἐμπαθεστέραν καὶ κινητικωτέραν ἔχει δύναμιν· ὡς ὁ τοιοῦτος, "Ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον, Ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖϊν." *Plutarch.* *Quæst. Platonicæ*, sub finem.

Ver. 536. —— νεούτατον.] Vox hæc non ex

Ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖϊν.
Εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν·
Ὡμίλευν δ', ὥστε ζωοὶ βροτοὶ, ἠδ' ἐμάχοντο,
Νεκρούς τ' ἀλλήλων ἔρυον κατατεθνειῶτας.
Ἐν δ' ἐτίθει νειὸν μαλακὴν, πίειραν ἄρουραν,
Εὐρεῖαν, τρίπολον· πολλοὶ δ' ἀροτῆρες ἐν αὐτῇ
Ζεύγεα δινεύοντες ἐλάστρεον ἔνθα καὶ ἔνθα.
Οἱ δ' ὁπότε στρέψαντες ἱκοίατο τέλσον ἀρούρης,
Τοῖσι δ' ἔπειτ' ἐν χερσὶ δέπας μελιηδέος οἴνου
Δόσκεν ἀνὴρ ἐπιών· τοὶ δὲ στρέψασκον ἀν' ὄγμους,
Ἱέμενοι νειοῖο βαθείης τέλσον ἱκέσθαι.
Ἡ δὲ μελαίνετ' ὄπισθεν, ἀρηρομένῃ δὲ ἐῴκει,
Χρυσείη περ ἐοῦσα· τὸ δὴ περὶ θαῦμ' ἐτέτυκτο.
Ἐν δ' ἐτίθει τέμενος βαθυλήϊον· ἔνθα δ' ἔριθοι
Ἤμων, ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες·

Alium interfectum per proelium trahebat pedibus.
Vestem autem habebat circum humeros admodùm-cruentatam sanguine humano:
Versabantur verò, tanquam vivi homines, atque pugnabant,
Cadaveraque suorum-invicem trahebant interempta.
Posuit in *eo* et novale molle, pingue arvum,
Latum, tertiatum: multi autem aratores in ipso
Juga convertentes agebant huc et illuc.
Ii autem quoties reversi pervenirent ad finem arvi,
Iis tunc in manus poculum praedulcis vini
Dabat vir obiens: illi autem convertebant-se ad suos quisque sulcos,
Cupidi novalis profundi ad terminum perveniendi.
Ipsum autem *novale* nigricabat à-tergo, versoque-aratris simile-erat,
Aureum licèt esset: hoc sanè ingens miraculum effictum erat.
Posuit in *eo* et separatum-agrum profundae segetis; in quo operarii
Metebant, acutas falces in manibus tenentes:

οὐτάω, sed ex οὐτάζω deducta est. Vide suprà ad ά, 140. ad δ', 525. et ad ν', 192.

Ver. 537. 540. —— τεθνειῶτα —— κατατεθνειῶτας.] Vide suprà ad ν', 46.

Ibid. —— κατὰ μόθον.] Vide suprà ad ά, 51. Cæterùm hîc legit *Heraclides Ponticus*, κατὰ χθονός.

Ver. 539. Ὡμίλευν.] Cod. *Harleian.* Ὡμίλεον. Quod eodem modo pronuntiandum; *antepenultima* enim necessariò producitur. Vide suprà ad *ver.* 533 et 493.

Ver. 540. Νεκροὺς —— κατατεθνειῶτας.] Vide suprà ad π', 521.

Ver. 541. Ἐν δ' ἐτίθει νειὸν μαλακὴν.] Πρῶτος τοίνυν Ὅμηρος τὰ τῆς πολιτείας διεῖλεν. Ἐν γὰρ τῇ Ἀσπίδι —— ἐμπεριεχομένας ἐποίησε δύο πόλεις, τὴν μὲν ἐν εἰρήνῃ καὶ εὐφροσύνῃ διάγουσαν, τὴν δὲ ἐν πολέμῳ σχολάζουσαν· καὶ παραθεὶς τὰ ἑκατέρᾳ πρόσφορα, παρίστησιν ὅτι ὁ μὲν πολιτικός ἐστι βίος, ὁ δὲ στρατιωτικός. Οὐ παρεῖδε δὲ οὐδὲ τὸν τρίτον τὸν γεωργικόν· ἀλλὰ καὶ τοῦτον ἔδειξεν, ἐναργείαν ἅμα καὶ κάλλος περιθεὶς τοῖς λόγοις. *Dionysius Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 11.

Ver. 541. 544. —— ἄρουραν, —— ἀρούρης.] Vide suprà ad ζ', 142.

Ver. 542. —— τρίπολον.] Τρὶς ἐστραμμένην, ἢ ἠροτριασμένην. *Schol.*

Ver. 544, 545. 548. Οἱ δ' ———— Τοῖσι δ' —— Ἡ δὲ.] Vide suprà ad ά, 56. et ad θ', 160. Malè *Barnesius*, Οἵδ' — Τοῖσίδ' — Ἥδε.

Ver. 544. —— στρέψαντες.] Cod. *Harleian.* τρέψαντες.

Ver. 546. — τοὶ δὲ στρέψασκον.] Cod. *Harleian.* οἱ δὲ τρέψασκον.

Ver. 549. —— θαῦμ' ἐτέτυκτο.] Si θαῦμα τέτυκται dixisset, jam non constitisset Temporum ratio. Vide suprà ad ά, 37.

Ver. 551. Ἤμων, ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες.] Τινὲς ἐνταῦθα, μετὰ τὸ " Ἤ-

Δράγματα δ' ἄλλα μετ' ὄγμον ἐπήτριμα πίπτον ἔραζε,
Ἄλλα δ' ἀμαλλοδετῆρες ἐν ἐλλεδανοῖσι δέοντο.
Τρεῖς δ' ἄρ' ἀμαλλοδετῆρες ἐφέστασαν· αὐτὰρ ὄπισθε
Παῖδες δραγμεύοντες, ἐν ἀγκαλίδεσσι φέροντες,
Ἀσπερχὲς πάρεχον· βασιλεὺς δ' ἐν τοῖσι σιωπῇ
Σκῆπτρον ἔχων ἑστήκει ἐπ' ὄγμου γηθόσυνος κῆρ.
Κήρυκες δ' ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτα πένοντο·
Βοῦν δ' ἱερεύσαντες μέγαν, ἄμφεπον· αἱ δὲ γυναῖκες
Δεῖπνον ἐρίθοισιν, λεύκ' ἄλφιτα πολλὰ πάλυνον.
　Ἐν δ' ἐτίθει σταφυλῇσι μέγα βρίθουσαν ἀλωὴν,
Καλὴν, χρυσείην· μέλανες δ' ἀνὰ βότρυες ἦσαν·
Ἑστήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέῃσιν.
Ἀμφὶ δὲ, κυανέην κάπετον, περὶ δ' ἕρκος ἔλασσε
Κασσιτέρου· μία δ' οἴη ἀταρπιτὸς ἦεν ἐπ' αὐτὴν,
Τῇ νίσσοντο φορῆες, ὅτε τρυγόῳεν ἀλωήν.
Παρθενικαὶ δὲ καὶ ἠΐθεοι, ἀταλὰ φρονέοντες,

Manipuli autem alii rectâ serie densi cadebant in-terram,
Alios verò manipulorum-ligatores vinculis constringebant.
Tres autem manipulorum-ligatores sequentes-instabant: at ponè
Pueri manipulos-colligentes in ulnis ferentes,
Usque porrigebant: Rex verò inter hos silentio
Sceptrum tenens stabat super manipulorum-serie laetus corde.
Praecones autem seorsùm sub quercu convivium apparabant;
Bovem nempè mactatum magnum hinc-indè curabant: Mulieres autem
Coenam operariis, albas farinas multas immiscebant.
Posuit in *eo* et uvis admodùm gravatam vineam,
Pulchram, auream; nigri autem per *eam* racemi erant:
Stabat autem innixa-palis ex-ordine argenteis.
Circùm autem, cyaneam fossam, circùm et septum duxit
Stanni: una autem sola semita erat ad eam,
Quâ ibant bajuli, quandò vindemiarent vineam.
Virgunculae autem et adolescentuli, teneris animis,

"μων, ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες," προσγράφουσιν στίχον τοῦτον· "Καρπὸν Ἐλευσινίης "Δημήτερος ἀγλαοδώρου." *Eustath.* in Comment. ad *ver.* 509.

Ver. 553. ——— ἀμαλλοδετῆρες.] Οἱ τὰ δράγματα συνδεσμοῦντες, ὅ ἐστι τοὺς αὔλους τῶν ἀσταχύων. *Schol.*

Ver. 554. —— ἐφίστασαν.] Vide suprà ad μ', 55.

Ver. 557 et 563. —— ἑστήκει.] Vide suprà ad δ', 434, 492. et ad ά, 37.

Ver. 558. —— ἀπάνευθεν.] Vide suprà ad ά, 349.

Ver. 559. ——— αἱ δὲ γυναῖκες Δεῖπνον ἐρίθοισιν.]

Thestylis et rapido fessis messoribus aestu
Allia serpyllumque herbas contundit olentes. *Virg. Eclog.* II, 10.

Ver. 560. —— πάλυνον.] Vide suprà ad ά, 309. 338.

Ver. 561. —— βρίθουσαν.] De hujus vocis prosodiâ, vide suprà ad μ', 359.

Ver. 562. —— μέλανες δ' ἀνὰ.] *Al.* μέλανες δ' ἄρα.

Ver. 563. ——— κάμαξι] Στύλοις, οἵ εἰσι ξύλα ὀρθὰ, παραπεπηγότα ταῖς ἀμπέλοις. *Schol.*

Ibid. —— ἀργυρέῃσιν.] *Al.* ἀργυρέοισιν.

Ver. 564. —— κυανέην.] Vide suprà ad ά, 598.

Ver. 566. ——— νίσσοντο.] *Al.* νείσσοντο. Atque ita legit Codex *Harleianus*.

Πλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν.
Τοῖσιν δ' ἐν μέσσοισι πάϊς φόρμιγγι λιγείῃ
Ἱμερόεν κιθάριζε· λίνον δ' ὑπὸ καλὸν ἄειδε
Λεπταλέῃ φωνῇ· τοὶ δὲ ῥήσσοντες ὁμαρτῇ
Μολπῇ τ' ἰϋγμῷ τε, ποσὶ σκαίροντες ἕποντο.
  Ἐν δ' ἀγέλην ποίησε βοῶν ὀρθοκραιράων·
Αἱ δὲ βόες χρυσοῖο τετεύχατο, κασσιτέρου τε,
Μυκηθμῷ δ' ἀπὸ κόπρου ἐπεσσεύοντο νομόνδε
Πὰρ ποταμὸν κελάδοντα, περὶ ῥοδανὸν, δονακῆα.
Χρύσειοι δὲ νομῆες ἅμ' ἐστιχόωντο βόεσσι
Τέσσαρες, ἐννέα δέ σφι κύνες πόδας ἀργοὶ ἕποντο.
Σμερδαλέω δὲ λέοντε δύ' ἐν πρώτῃσι βόεσσι
Ταῦρον ἐρύγμηλον ἐχέτην· ὁ δὲ, μακρὰ μεμυκὼς
Ἕλκετο· τὸν δὲ κύνες μετεκίαθον, ἠδ' αἰζηοί.
Τὼ μὲν ἀναῤῥήξαντε βοὸς μεγάλοιο βοείην,

Textilibus in qualis portabant praedulcem fructum.
His verò in mediis puer citharâ argutâ
Suavitèr personabat; chordâque elegantèr succinebat
Tenellâ voce: hi autem ferientes-*terram* simul
Cum cantuque sibiloque, pedibus tripudiantes sequebantur.
In *eo* et armentum fecit boûm capita-altè-ferentium:
Boves autem ex auro effictae erant, stannoque,
Cumque mugitu è stabulo ruebant ad-pascua
Praeter fluvium resonantem, admodùm rapidum, cannis-abundantem.
Aurei autem pastores unà ibant cum bobus
Quatuor, novemque illos canes pedibus celeres sequebantur.
Terribiles verò leones duo inter primas boves
Taurum graves-gemitus-edentem tenebant: is autem, altè mugiens
Trahebatur; eumque canes recepturi-sequebantur et juvenes.
Illi quidem discerptâ bovis magni pelle,

Ver. 569. Τοῖσιν δ' ἐν μέσσοισι.] Οἶδε δὲ ὁ Ποιητὴς καὶ τὴν πρὸς ᾠδὴν ὄρχησιν ——— καὶ ἐν τῇ ὁπλοποιΐᾳ δὲ παιδὸς κιθαρίζοντος, ἄλλοι δ' ὁμαρτῇ μολπῇ τε ὀρχηθμῷ τε ἔσκαιρον. *Athenæus, Lib.* I, *cap.* 13.

——— ἐν δ' ἄρα μέσσῳ
Ἱμερόεν κιθάριζέ τι Λητοῦς καὶ Διὸς υἱὸς
Χρυσείῃ φόρμιγγι ———.
Hesiod. Ἀσπὶς Ἡρακλ. *ver.* 201.

Ver. 570. —— λίνον δ' ὑπὸ καλὸν ἄειδε.] Ὅμηρος —— ἅτε ᾆσμα Ἑλλήνιον ὂν ἐπιστάμενος τοῦ Λίνου τὰ παθήματα, ἐπὶ τοῦ Ἀχιλλέως ἔφη τῇ ἀσπίδι ἀλλά τε ἐργάσασθαι τὸν Ἥφαιστον καὶ κιθαρῳδὸν παῖδα ᾄδοντα ἐς Λίνον· "Τοῖσιν δ' ἐν μέσ- "σοισι πάϊς φόρμιγγι λιγείῃ Ἱμερόεν κιθάριζε, "Λίνον δ' ὑπὸ καλὸν ἄειδεν." *Pausanias, Lib.* IX, *cap.* 29. Sed quomodo in scuto depingi potuit, *quem* caneret Citharista?

Ver. 571. —τοὶ δὲ ῥήσσοντες.] Quâ ratione, δὲ hîc producatur; item περὶ, *ver.* 576. et ἐρύγμηλον, *ver.* 580. et κατηρεφέας, *ver.* 589. et ἴκελον, *ver.* 591. vide suprà ad ά, 51. Cæterùm Codex *Harleianus* hîc legit τοὶ δὲ πρήσσοντες.

Ver. 576. —— Πὰρ ποταμὸν —— περὶ ῥοδανὸν δονακῆα.]

Hîc viridis tenerâ prætexit arundine ripas
Mincius ———.
Virg. Eclog. VII, 12.

Ibid. —— περὶ ῥοδανὸν.] *Al.* παραὶ ῥοδανόν.

Ver. 580. — ἐχέτην.] Cod. *Harleian.* ἔχετον.

Ibid. ——— μεμυκὼς.] Vide suprà ad β', 314.

Ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον· οἱ δὲ νομῆες
Αὔτως ἐνδίεσαν, ταχέας κύνας ὀτρύνοντες.
Οἱ δ' ἤτοι δακέειν μὲν ἀπετρωπῶντο λεόντων,
Ἱστάμενοι δὲ μάλ' ἐγγὺς ὑλάκτεον, ἔκ τ' ἀλέοντο.
　Ἐν δὲ νομὸν ποίησε περικλυτὸς Ἀμφιγυήεις,
Ἐν καλῇ βήσσῃ, μέγαν οἰῶν ἀργεννάων,
Σταθμούς τε, κλισίας τε, κατηρεφέας ἰδὲ σηκούς.
　Ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς Ἀμφιγυήεις,
Τῷ ἴκελον, οἷόν ποτ' ἐνὶ Κνωσσῷ εὐρείῃ
Δαίδαλος ἤσκησεν καλλιπλοκάμῳ Ἀριάδνῃ.
Ἔνθα μὲν ἠΐθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
Ὠρχεῦντ', ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες·
Τῶν δ' αἱ μὲν λεπτὰς ὀθόνας ἔχον, οἱ δὲ χιτῶνας
Εἵατο εὐνήτους, ἦκα στίλβοντας ἐλαίῳ·
Καί ῥ' αἱ μὲν καλὰς στεφάνας ἔχον, οἱ δὲ μαχαίρας
Εἶχον χρυσείας ἐξ ἀργυρέων τελαμώνων.
Οἱ δ' ὅτε μὲν θρέξασκον ἐπισταμένοισι πόδεσσι
Ῥεῖα μάλ', ὡς ὅτε τις τροχὸν ἄρμενον ἐν παλάμῃσιν
Ἑζόμενος κεραμεὺς πειρήσεται, αἴκε θέῃσιν·

Viscera et nigrum sanguinem hauriebant: pastores verò
Frustrà insequebantur, veloces canes hortatibus-incitantes.
Illi enim mordere quidem recusabant aversi à leonibus,
Stantes autem admodùm propè latrabant, et evitabant.
Fecit in *eo* et pascuum inclytus Vulcanus,
Amoeno in saltu, magnum ovium candidarum,
Stabulaque, tuguriaque, tectaque ovilia.
In *eo* et chorum vario-effinxit-artificio inclytus Vulcanus,
Ei similem, qualem olim in Cnosso latâ
Daedalus concinnavit comas-pulchrae Ariadnae.
Ibi quidem adolescentes, et virgines formosae
Tripudiabant, alter-alterius ad carpum manus tenentes:
Horum autem illae quidem tenues linteas-vestes habebant, illi verò tunicas
Induti erant benè-textas, leniter nitentes oleo:
Et hae quidem pulchras coronas gerebant, illi verò gladios
Habebant aureos pendentes ab argenteis balteis.
Hi autem quandoque quidem *in orbem* discurrebant doctis pedibus
Levitèr admodùm, veluti cùm aliquis rotam aptatam manibus
Sedens figulus tentaverit, si currat:

Ver. 583. Ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον.] Vide suprà ad λ', 176.

Ver. 584. —— ὀτρύνοντες.] Vide suprà ad ν', 44.

Ver. 591. Τῷ ἴκελον, οἷον πότ' ἐνὶ Κνωσσῷ εὐρείῃ Δαίδαλος ἤσκησεν.]
Hic labor, ille domus et inextricabilis error. *Æn.* VI, 27.

Ver. 596. Εἵατο εὐνήτους.] *Al.* Εἵαται εὐνήτους. Quod hìc ferri non potest. Vide suprà ad ά, 57. *Al.* Εἵατ' ἐϋννήτους. *Al.* Εἶχον ἐϋννήτους.

Ver. 597. —— οἱ δὲ μαχαίρας Εἶχον.] Κόσμον τε αὐτοῦ [χοροῦ] ἀφηγούμενος, ἵνα δῆλον ἡμῖν ποιήσειν ὅτι ἡ τῶν ἀῤῥένων κίνησις ἐνόπλιος ἦν, τάδε λέγει· "Καί ῥ' αἱ μὲν καλὰς στεφάνας ἔχον, οἱ δὲ "μαχαίρας Εἶχον χρυσείας ἐξ ἀργυρέων τελαμώ-"νων." *Dionys. Halicarn. Antiq. Rom. Lib.* 7.

Ver. 601. — αἴκε θέῃσιν.] Cod. *Harleian.* αἴκ' ἐθέλῃσιν.

Ἄλλοτε δ' αὖ θρέξασκον ἐπὶ στίχας ἀλλήλοισι.
Πολλὸς δ' ἱμερόεντα χορὸν περιΐσταθ' ὅμιλος
Τερπόμενοι· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
Μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους.
Ἐν δ' ἐτίθει ποταμοῖο μέγα σθένος Ὠκεανοῖο,
Ἄντυγα πὰρ πυμάτην σάκεος πύκα ποιητοῖο.
Αὐτὰρ ἐπειδὴ τεῦξε σάκος μέγα τε στιβαρόν τε,
Τεῦξ' ἄρα οἱ θώρηκα φαεινότερον πυρὸς αὐγῆς·
Τεῦξε δέ οἱ κόρυθα βριαρὴν, κροτάφοις ἀραρυῖαν,
Καλὴν, δαιδαλέην· ἐπὶ δὲ χρύσεον λόφον ἧκε·
Τεῦξε δέ οἱ κνημῖδας ἑανοῦ κασσιτέροιο.
Αὐτὰρ ἐπεὶ πάνθ' ὅπλα κάμε κλυτὸς Ἀμφιγυήεις,

Quandoque autem rursùs discurrebant per ordines invicem.
Multa verò pulchram choream circumstabat turba
Oblectantes-se: Duo autem saltantes-in-caput inter ipsos
Cantum exordientes agebant-se per medios.
Posuit in *eo* et fluvii magnum robur Oceani,
Orbem propter extremum scuti affabrè facti.
At postquam fabricatus erat Scutum magnumque solidumque,
Fecit ei Thoracem fulgentiorem ignis splendore:
Fecit ei et Cassidem validam, temporibus quadrantem,
Pulchram, multo-exornantem-artificio; aureamque Cristam superimposuit:
Fecit ei et Ocreas è ductili stanno.
At postquàm omnia arma elaborârat inclytus Vulcanus,

Ver. 604. Τερπόμενοι· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς.] Sic *Odyss.* δ', 15.

Ὣς οἱ μὲν δαίνυντο καθ' ὑψερεφὲς μέγα δῶμα
Γείτονες ἠδὲ ἔται Μενελάου κυδαλίμοιο,
Τερπόμενοι· μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς,
Φορμίζων· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
Μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσον.

Ὁ δ' Ἀρίσταρχος οὐ μόνον εἰς τὸ τοῦ Μενελάου συμπόσιον ἐμβαλὼν οὓς προσῆκε στίχους, καὶ τῆς Λακώνων παιδείας ἀλλότριον ἐποίησε, καὶ τῆς τοῦ βασιλέως σωφροσύνης· ἀλλὰ καὶ τοῦ Κρητικοῦ χοροῦ τὸν ᾠδὸν ἐξεῖλεν, ἐπιτεμὼν τὰ ποιήματα τὸν τρόπον τοῦτον· "Πολλὸς δ' ἱμερόεντα χορὸν "περιΐσταθ' ὅμιλος Τερπόμενος· δοιὼ δὲ κυ"βιστητῆρε κατ' αὐτοὺς Μολπῆς ἐξάρχοντες ἐδί"νευον κατὰ μέσσους." Ὥστ' ἀνίατον γίνεσθαι παντάπασι τὸ Ἐξάρχοντες, μηκέτι δυναμένης τῆς ἐπὶ τὸν ᾠδὸν ἀναφορᾶς σώζεσθαι. *Athenæus, Lib.* IV. *cap.* 27, 28.

Ver. 605. — ἐδίνευον.] Ita edidit *Barnesius* ex *Eustathio*; atque ita legit *Athenæus*, loco jam citato: Sic etiam legitur, *Odyss.* δ', 19. *Al.* ἐδίνεον. Quod, ut opinor, nullo modo ferri potest.

Ver. 606. Ἐν δ' ἐτίθει ποταμοῖο μέγα σθένος Ὠκεανοῖο.]

Hæc inter tumidi latè maris ibat Imago
Aurea, sed fluctu spumabant cœrula cano.
Æn. VIII, 671.

Ἀμφὶ δ' ἴτυν ῥέεν Ὠκεανὸς πλήθοντι ἐοικώς·
Πᾶν δὲ συνεῖχε σάκος πολυδαίδαλον —.
Hesiod. Ἀσπὶς Ἡρακλ. *ver.* 314.

Ver. 609, *&c.* Τεῦξ' ἄρα οἱ θώρηκα φαεινότερον πυρὸς αὐγῆς· Τεῦξε δέ οἱ κόρυθα βριαρὴν,———— Τεῦξε δέ οἱ κνημῖδας ἑανοῦ κασσιτέροιο.]

Terribilem cristis galeam flammasque vomentem,
Fatiferumque ensem, loricam ex ære rigentem,
Sanguineam, ingentem: qualis cum cærula nubes
Solis inardescit radiis, longeque refulget:
Tum leves ocreas electro auroque recocto.
Æn. VIII, 620.

Ibid. —— ἄρα.] *Deinceps* ————.

Ver. 610. —— κόρυθα βριαρὴν.] *Al.* κυνέην βριαρήν.

Ver. 611. ———— χρύσεον.] Pronuntiabatur χρυσοῦν. Nam prima necessariò producitur. Vide suprà ad ν', 523.

Ver. 612. —— ἑανοῦ.] Vide suprà ad *ver.* 352. et ad γ', 385.

Μητρὸς Ἀχιλλῆος θῆκε προπάροιθεν ἀείρας.
Ἡ δ', ἴρηξ ὣς, ἆλτο κατ' Οὐλύμπου νιφόεντος,
Τεύχεα μαρμαίροντα παρ' Ἡφαίστοιο φέρουσα.

Coram matre Achillis posuit sublata.
Illa verò, accipiter tanquam, desiliit ab Olympo nivoso,
Arma coruscantia à Vulcano ferens.

Ver. 615. Ἡ δ', ἴρηξ ὣς, ἆλτο κατ' Οὐλύμπου.] At Venus æthereos inter Dea candida nimbos
Dona ferens aderat ———.
Æn. VIII, 608.

Ibid. ——— ἴρηξ.] Δασύνεται μὲν ὁ ἱέραξ, ψιλοῦται δὲ ἰωνικῶς ὁ "ἴρηξ." *Eustath.* Sic *Iliad.* φ', 494. ἥ ῥά θ' ὑπ' ἴρηκος ———.

Ibid. — νιφόεντος.] De hujus vocis prosodiâ, vide suprà ad μ', 280.

Ver. 616. Τεύχεα μαρμαίροντα παρ' Ἡφαίστοιο φέρουσα.] Cod. *Harleian.* Τεύχεα καλὰ φέρουσα παρ' Ἡφαίστοιο ἄνακτος. Ut suprà ver. 137.

ΤΗΣ

ΟΜΗΡΟΥ ΙΛΙΑΔΟΣ

ῬΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ Τ'.

Ὑπόθεσις τῆς Τ'. ὉΜΗΡΟΥ Ῥαψῳδίας.

ΘΕΤΙΔΟΣ κομισάσης Ἀχιλλεῖ τὰ ὅπλα παρὰ Ἡφαίστου, συναγαγὼν εἰς ἐκκλήσιαν τοὺς Ἕλληνας ὁ ἥρως, ἀπόῤῥησιν ποιεῖται τῆς μήνιδος, καὶ λαμϐάνει τὰ δῶρα, ἅπερ αὐτῷ Ἀγαμέμνων δώσειν ὑπέσχετο. Τροφὴν δὲ ἀνελομένων ἐκείνων, αὐτὸς ἄσιτος διαμείνας ὁπλίζεται, καὶ στρατείαν ἐξάγει ἐπὶ τὸν πόλεμον. Ὁ δὲ ὕστερος τῶν ἵππων αὐτοῦ Ξάνθος τὴν ἐσομένην αὐτῷ ἀναίρεσιν καταμαντεύεται· ᾧ καὶ ἐπιπλήττει.

Ἐπιγραφαί.

Μήνιδος ἀπόῤῥησις.

Ἄλλως.

Ταῦ δ' ἀπέληγε χόλοιο, καὶ ἔκθορε δῖος Ἀχιλλεύς.

Ἠὼς μὲν κροκόπεπλος ἀπ' Ὠκεανοῖο ῥοάων
Ὤρνυθ', ἵν' ἀθανάτοισι φόως φέροι, ἠδὲ βροτοῖσιν.
Ἡ δ' ἐς νῆας ἵκανε, θεοῦ παρὰ δῶρα φέρουσα·
Εὗρε δὲ Πατρόκλῳ περικείμενον ὃν φίλον υἱὸν,
Κλαίοντα λιγέως· πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι
Μύρονθ'· ἡ δ' ἐν τοῖσι παρίστατο δῖα θεάων,

Aurora quidem croceo-peplo-induta ab Oceani fluentis
Exoriebatur, ut immortalibus lucem ferret et mortalibus.
Illa verò ad naves pervenit à deo dona ferens:
Invenit autem Patroclo circumfusum suum charum filium,
Plorantem stridulè: multi autem circum ipsum socii
Lamentabantur; inter hos verò astitit augustissima dearum,

Ver. 1, 2. Ἠὼς μὲν κροκόπεπλος ἀπ' Ὠκεανοῖο ῥοάων Ὤρνυθ'.]
Oceanum interea surgens Aurora relinquit. *Æn.* IV, 129.
—— croceum linquens Aurora cubile. *Ibid.* 584.
Vide suprà ad ά, 477.

Ibid. —— ἀπ' Ὠκεανοῖο.] Cod. *Harleian.* ἐπ' Ὠκεανοῖο.

Ver. 2. Ὤρνυθ'.] Vide suprà ad γ', 260.

Ibid. ——— ἀθανάτοισι.] Similiterque infrà *ver.* 22. ἀθανάτων. Vide suprà ad ά, 398.

Ibid. —— φέροι.] Cod. *Harleian.* φέρῃ.

Ver. 3. Ἡ δ' ἐς νῆας ἵκανε, θεοῦ παρὰ δῶρα φέρουσα.] Vide suprà ad σ', 615.

Ver. 5. Κλαίοντα λιγέως.] Quâ ratione, Κλαίοντα hîc ultimam producat; item κατὰ, *ver.* 39. et ἔχον, *ver.* 43. et γὰρ, *ver.* 49. vide suprà ad ά, 51.

Ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τέκνον ἐμὸν, τοῦτον μὲν ἐάσομεν, ἀχνύμενοί περ,
Κεῖσθαι, ἐπειδὴ πρῶτα θεῶν ἰότητι δαμάσθη·
Τύνη δ' Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο,
Καλὰ μάλ', οἷ' οὔπω τις ἀνὴρ ὤμοισι φόρησεν.
Ὣς ἄρα φωνήσασα θεὰ κατὰ τεύχε' ἔθηκε
Πρόσθεν Ἀχιλλῆος· τὰ δ' ἀνέβραχε δαίδαλα πάντα.
Μυρμιδόνας δ' ἄρα πάντας ἕλε τρόμος, οὐδέ τις ἔτλη
Ἄντην εἰσιδέειν, ἀλλ' ἔτρεσαν· αὐτὰρ Ἀχιλλεὺς
Ὡς εἶδ', ὥς μιν μᾶλλον ἔδυ χόλος· ἐν δέ οἱ ὄσσε
Δεινὸν ὑπὸ βλεφάρων, ὡσεὶ σέλας, ἐξεφάανθεν·
Τέρπετο δ' ἐν χείρεσσιν ἔχων θεοῦ ἀγλαὰ δῶρα.
Αὐτὰρ ἐπεὶ φρεσὶν ᾗσιν ἐτάρπετο, δαίδαλα λεύσσων,

Inque ejus haesit manu, verbaque fecit, dixitque:
" Fili mi, hunc quidem sinamus, dolentes licèt,
" Jacere, quandoquidem primùm Deorum consilio interfectus est:
" Tu verò à Vulcano allata inclyta arma accipe,
" Pulchra admodùm, qualia nondum quisquam vir humeris gestavit."
Sic sanè locuta Dea arma deposuit
Ante Achillem: illa verò sonitum-edidere facta-artificiosè omnia.
Myrmidonas verò omnes cepit tremor, neque quis sustinuit
Contrà aspicere, sed territi-diffugerunt: At Achilles
Ut vidit, statim ipsum magis subiit ira; intus autem ei oculi
Terribiliter sub palpebris, tanquam flamma, micuerunt:
Oblectabatur autem in manibus tenens dei splendida dona.
At postquàm mente suâ delectatus est artificiosa aspiciens,

Ver. 7. —— ἄρα.] *Ut fieri solet* ———.

Ver. 8. — ἐάσομεν.] Vide suprà ad δ', 42.

Ibid. — ἀχνύμενοί.] Vide suprà ad γ', 260.

Ver. 10. Τύνη δ' Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο.]

En perfecta mei promissâ conjugis arte
Munera. ——— *Æn.* VIII, 612.

Ver. 12. — κατὰ τεύχε' ἔθηκε.] Cod. *Harleian.* κλυτὰ τεύχε' ἔθηκε. Quo modo et in uno MS. scriptum repperit *Barnesius.*

Ver. 13. Πρόσθεν Ἀχιλλῆος.] *Al.* Αὐτοῦ πρόσθε ποδῶν.

Ibid. —— ἀνέβραχε.] De hujusmodi ὀνοματοποιΐα, vide suprà ad γ', 363. et ad δ', 125 et 455.

Ibid. —— δαίδαλα.] *Al.* φαίδιμα.

Ver. 16. Ὡς εἶδ', ὥς μιν.] Sic apud *Virgilium*:

Ut vidi, ut perii, ut me malus abstulit error! *Virg. Ecl.* VIII, 41.

Item apud *Theocritum*:

Χὠς ἴδον, ὡς ἐμάνην, ὥς μευ περὶ θυμὸς ἰάφθη. *Idyll.* II, 82.
Ὡς ἴδεν, ὡς ἐμάνη, ὡς ἐς βαθὺν ἅλλετ' ἔρωτα. *Idyll.* III, 42.

Ver. 17. ——— ὑπὸ βλεφάρων.] *Al.* ὑπὸ βλεφάροις. Atque ita legit Codex *Harleianus.*

Ibid. — ἐξεφάανθεν.] Ita ex duobus MSS. edidit *Barnesius.* *Al.* ἐξεφάανθη. Utrumque, ut opinor, ferri potest. Vide suprà ad ν', 435 et 617.

Ver. 18. Τέρπετο δ' ἐν χείρεσσιν ἔχων θεοῦ ἀγλαὰ δῶρα.]

Ille deæ donis et tanto lætus honore
Expleri nequit, atque oculos per singula volvit:
Miraturque, interque manus et brachia versat
Terribilem cristis galeam ———. *Æn.* VIII, 617.
Talia, per clypeum Vulcani, dona parentis,
Miratur. ——— *Ibid.* 729.

Quorum priore in loco *Virgilium Homero* superiorem existimat *Scaliger*, *Poët. Lib.* V. *cap.* 3.

Ver. 19. —— φρεσὶν ᾗσιν ἐτάρπετο.] Cod. *Harleian.* φρεσὶν ᾗσι τετάρπετο. *Al.* φρεσὶν ᾗσιν ἐτέρπετο, et φρεσὶ ᾗσί τ' ἐτέρπετο.

Αὐτίκα μητέρα ἣν ἔπεα πτερόεντα προσηύδα·
 Μῆτερ ἐμὴ, τὰ μὲν ὅπλα θεὸς πόρεν, οἷ᾽ ἐπιεικὲς
Ἔργ᾽ ἔμεν ἀθανάτων, μηδὲ βροτὸν ἄνδρα τελέσσαι·
Νῦν δ᾽ ἤτοι μὲν ἐγὼ θωρήξομαι· ἀλλὰ μάλ᾽ αἰνῶς
Δείδω, μή μοι τόφρα Μενοιτίου ἄλκιμον υἱὸν
Μυῖαι καδδῦσαι κατὰ χαλκοτύπους ὠτειλὰς
Εὐλὰς ἐγγείνωνται, ἀεικίσσωσι δὲ νεκρόν·
(Ἐκ δ᾽ αἰὼν πέφαται,) κατὰ δὲ χρόα πάντα σαπείη.
 Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
Τέκνον, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων·
Τῷ μὲν ἐγὼ πειρήσω ἀλαλκεῖν ἄγρια φῦλα
Μυίας, αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν.
Ἤν περ γὰρ κεῖταί γε τελεσφόρον εἰς ἐνιαυτὸν,
Αἰεὶ τῷδ᾽ ἔσται χρὼς ἔμπεδος, ἢ καὶ ἀρείων.
Ἀλλὰ σύ γ᾽ εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιοὺς,
Μῆνιν ἀποειπὼν Ἀγαμέμνονι, ποιμένι λαῶν,
Αἶψα μάλ᾽ ἐς πόλεμον θωρήσσεο, δύσεο δ᾽ ἀλκήν.
 Ὣς ἄρα φωνήσασα, μένος πολυθαρσὲς ἐνῆκε.

Continuò matrem suam verbis alatis allocutus est:
" Mater mea, haec quidem arma deus dedit, qualia par
" Opera esse immortalium, neque mortalem virum perfecisse:
" Nunc verò ego quidem me armabo; sed perquàm graviter
" Timeo, ne mihi intereà Menoetii fortem filium
" Muscae ingressae per aere-inflicta vulnera
" Vermes intus generent, deturpentque cadaver;
" (Vita nempe adempta est,) inque corpore omnia putrescant."
Ei autem respondit deindè dea Thetis pedes-argentea:
" Fili, ne tibi haec in animo tuo sint-curae:
" Ab hoc quidem ego conabor arcere improba examina
" Muscas, quae sanè viros pugnâ-interfectos comedunt.
" Etsi enim jaceat vel integrum in annum,
" Usque ei erit corpus incorruptum, aut etiam melius.
" Quin tu ad concionem vocatis heroïbus Achivis,
" Irâ renunciatâ Agamemnoni, pastori populorum,
" Continuò prorsùs ad pugnam armator, indueque fortitudinem."
Sic quidem fata, animos audentissimos immisit.

Ver. 23. — θωρήξομαι.] Notandus hîc maximè proprius vocis Mediæ Usus. *Me ipse armabo.* Vide suprà ad ν', 168. et ad γ', 141.

Ver. 26. —— ἀεικίσσωσι.] Rectè, ut opinor, cum duplici σ. Vide suprà ad ά, 140.

Ver. 27. —— πέφαται.] Vide suprà ad ά, 37. et ad ρ', 164.

Ibid. —— σαπείη.] *Al.* σαπήη.

Ver. 31. — αἵ ῥά τε.] *Quæ scilicèt* ——.

Ver. 32. — Ἤν περ.] Cod. *Harleian.* Εἴ περ.

Ver. 33. —— τῷδ᾽.] *Al.* τῷγ᾽.

Ver. 35. Μῆνιν ἀποειπὼν.] Nullâ ex analogiâ produci potest istud ό. Pronuntiabatur fortasse ἀπουειπὼν, vel *apouveipon.* Vide suprà ad ά, 342. *Al.* ἀπανειπών. Ita infrà φ', 283.

Ὅν ῥά τ᾽ ἔναυλος ἀποέρσει ———.

Et *ver.* 329. ejusdem libri:

Μή μιν ἀποέρσειε ————.

Ver. 36. — δύσεο.] Vide suprà ad έ, 109.

Πατρόκλῳ δ' αὖτ' ἀμβροσίην καὶ νέκταρ ἐρυθρὸν
Στάξε κατὰ ῥινῶν, ἵνα οἱ χρὼς ἔμπεδος εἴη.
Αὐτὰρ ὁ βῆ παρὰ θῖνα θαλάσσης δῖος Ἀχιλλεὺς,
Σμερδαλέα ἰάχων, ὦρσεν δ' ἥρωας Ἀχαιοὺς·
Καί ῥ' οἵπερ τὸ πάρος γε νεῶν ἐν ἀγῶνι μένεσκον,
Οἵ τε κυβερνῆται, καὶ ἔχον οἰήϊα νηῶν,
Καὶ ταμίαι παρὰ νηυσὶν ἔσαν, σίτοιο δοτῆρες·
Καὶ μὴν οἱ τότε γ' εἰς ἀγορὴν ἴσαν, οὕνεκ' Ἀχιλλεὺς
Ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς.
Τὼ δὲ δύω σκάζοντε βάτην Ἄρεος θεράποντε,
Τυδείδης τε μενεπτόλεμος, καὶ δῖος Ὀδυσσεὺς,
Ἔγχει ἐρειδομένω· ἔτι γὰρ ἔχον ἕλκεα λυγρά·
Καδδὲ μετὰ πρώτῃ ἀγορῇ ἵζοντο κιόντες.
Αὐτὰρ ὁ δεύτατος ἦλθεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Ἕλκος ἔχων· καὶ γὰρ τὸν ἐνὶ κρατερῇ ὑσμίνῃ
Οὖτα Κόων Ἀντηνορίδης χαλκήρεϊ δουρί.
Αὐτὰρ ἐπειδὴ πάντες ἀολλίσθησαν Ἀχαιοὶ,
Τοῖσι δ' ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς·

Patroclo verò ambrosiam et nectar rubrum
Instillavit per nares, ut ei corpus incorruptum esset.
Ibat autem præter littus maris nobilis Achilles,
Horrendùm vociferans, excitabatque heroas Achivos:
Et quicunque etiam anteà navium in coetu solebant manere,
Quique gubernatores, et tenebant clavos navium,
Et promi-condi apud naves erant, cibi dispensatores:
Et hi tunc sanè ad concionem ibant, quòd Achilles
In conspectum-se-dederat; diù enim pugnâ abstinuerat tristi.
At duo claudicantes ibant Martis famuli,
Tydidesque bellicosus, et nobilis Ulysses,
Hastae innitentes; adhuc enim habebant vulnera gravia:
In primâ autem concione consederunt profecti.
At ultimus venit Rex virorum Agamemnon,
Vulnus habens: etenim illum in asperâ pugnâ
Vulneraverat Coon Antenorides aeratâ hastâ.
Verùm postquam omnes congregati sunt Achivi,
Inter eos exurgens locutus est pedibus celer Achilles:

Ver. 39, 40. Στάξε ——— Αὐτὰρ.] Codex *Harleianus* inter hos duos versus inserit,
Ἡ μὲν ἄρ' ὡς ἔρξασ' ἀπέβη Θέτις ἀργυρόπεζα.

Ver. 41. Σμερδαλέα ἰάχων.] Vide suprà ad δ', 456.

Ver. 42. —— μένεσκον.] *Manere solebant.* Ita optimè constat Temporum ratio. Vide suprà ad ν', 84. et ad ά, 37.

Ver. 43. —— οἰήϊα.] Cod. *Harleian.* ἰήϊα.

Ver. 46. — ἐπέπαυτ'.] Ita Cod. *Harleian.* *Al.* ἀπέπαυτ'.

Ver. 49. —— ἕλκεα λυγρά.] *Al.* ἄλγεα λυγρά.

Ver. 53. Οὖτα.] Vide suprà ad ν', 192.

Ibid. Οὖτα Κόων Ἀντηνορίδης.] Suprà, λ', 252.

Ἀτρείδη, ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον
Ἔπλετο, σοὶ καὶ ἐμοί· ὅτε νῶΐ περ, ἀχνυμένω κῆρ,
Θυμοβόρῳ ἔριδι μενεήναμεν, εἵνεκα κούρης.
Τὴν ὄφελ' ἐν νήεσσι κατακτάμεν Ἄρτεμις ἰῷ,
Ἤματι τῷ, ὅτ' ἐγὼν ἑλόμην Λυρνησσὸν ὀλέσσας·
Τῷ κ' οὐ τόσσοι Ἀχαιοὶ ὀδὰξ ἕλον ἄσπετον οὖδας,
Δυσμενέων ὑπὸ χερσὶν, ἐμεῦ ἀπομηνίσαντος.
Ἕκτορι μὲν καὶ Τρωσὶ τὸ κέρδιον· αὐτὰρ Ἀχαιοὺς
Δηρὸν ἐμῆς καὶ σῆς ἔριδος μνήσεσθαι ὀΐω.
Ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ,
Θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ.
Νῦν δ' ἤτοι μὲν ἐγὼ παύω χόλον, οὐδέ τί με χρὴ
Ἀσκελέως αἰεὶ μενεαινέμεν· ἀλλ' ἄγε θᾶσσον
Ὄτρυνον πόλεμόνδε καρηκομόωντας Ἀχαιοὺς,

" Atride, omninò hoc utique utilius
" Foret, tibi et mihi; quandò nos quidem dolentes corde,
" Animum-rodente contentione irati-fuimus, gratiâ puellae.
" Hanc debuit in navibus occidisse Diana sagittâ,
" Die illo, quo ego cepi Lyrnessum populatus:
" Tum sanè non tot Achivi mordicùs prehendissent immensum solum,
" Hostium manibus-strati, me iram-fovente.
" Hectori quidem et Trojanis hoc utilius: at Achivos
" Diù meae et tuae contentionis memores-fore puto.
" Sed ea quidem antè-acta-esse sinemus, dolentes licèt,
" Animo in pectoribus nostro domito necessitate.
" Nunc verò ego sanè impono-finem irae, neque omninò me par est
" Pertinacitèr usque irasci: sed age ocyùs
" Hortatibus-concita ad proelium comantes Achivos,

Ver. 56. Ἀτρείδη, ἦ ἄρ τι.] Συνάγων δὲ [Ὅμηρος] αὐτοὺς [*Agamemnonem* et *Achillem*] εἰς ταὐτὸν ἀλλήλους ἐπὶ τῆς ἐκκλησίας μεταμελουμένους· τὸν μὲν τῆς Θέτιδος ἐκβοῶντα, "Ἀτρείδη, "ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον Ἔπλετό σοι "καὶ ἐμοὶ," εἶτα ἐπαρώμενον τῇ προφάσει τῆς ἀπεχθείας καὶ ἀπαριθμούμενον τὰς ἐκ τῆς μήνιδος συμφοράς· τὸν βασιλέα δὲ αἰτιώμενον Δία, καὶ μοίρας, καὶ Ἐριννῦν· δοκεῖ μοι διδάσκειν, ὥσπερ ἐν δράματι, (τοῖς προκειμένοις ἀνδράσιν οἷον εἰκόσι χρώμενος,) ὅτι χρὴ τοὺς μὲν βασιλέας μηδὲν ὕβρει πράττειν, μηδὲ τῇ δυνάμει χρῆσθαι πρὸς ἅπαν, μηδὲ ἐφιέναι τῷ θυμῷ καθάπερ ἵππῳ θρασεῖ, χήτει χαλινοῦ, καὶ ἡνιόχου φερομένῳ· παραινεῖν δὲ αὐτοῖς στρατηγοῖς, ὑπεροψίαν βασιλικὴν μὴ δυσχεραίνειν, φέρειν δὲ ἐγκρατῶς καὶ πράως τὰς ἐπιτιμήσεις, &c. *Julian. Imperat. Orat.* II. *sub initio.*

Ibid. —— ἦ ἄρ τι τόδ'.] *Al.* ἦ ἄρτι τόγ'.

Ver. 57—65. —— ἀχνυμένω —— ἀχνύμενοί.] Vide suprà ad γ', 260.

Ver. 58. Θυμοβόρῳ ἔριδι.] Cod. *Harleian.* Θυμοβόρου ἔριδος.

Ver. 59. Τὴν ὄφελ' ἐν νήεσσι κατακτάμεν Ἄρτεμις.] Ὅτι δὲ οἱ αἰφνίδιοι θάνατοι τῶν γυναικῶν Ἀρτέμιδι ἐδόκουν ἀνακεῖσθαι, ὡς οἱ τῶν ἀνδρῶν τῷ Ἀπόλλωνι, πολλαχοῦ λέγει ὁ Ποιητής. *Eustath.*

Ver. 60. —— Λυρνησσὸν.] Πόλις τῆς Ὑποπλακίου Θήβης τῆς Κιλικίας. *Schol.*

Ver. 61. — ὀδὰξ ἕλον ἄσπετον οὖδας.] Vide suprà ad β', 418.

Ver. 62. — ἀπομηνίσαντος.] Vide suprà ad ί, 426.

Ver. 65. — προτετύχθαι.] Δοκοῦντα προγεγονέναι, *Schol. inedita* in Codice *Harleiano*, ad σ', 112.

Ibid. ——— ἐάσομεν.] Vide suprà ad δ', 42.

Ver. 67. Νῦν δ' ἤτοι.] Cod. *Harleian.* Νῦν δή τοι.

Ver. 69. Ὄτρυνον πόλεμόνδε.] Vide suprà ad ν', 44.

Ibid. — καρηκομόωντας.] Vide suprà ad ν', 310.

Ὄφρ' ἔτι καὶ Τρώων πειρήσομαι ἀντίος ἐλθὼν,
Αἴκ' ἐθέλωσ' ἐπὶ νηυσὶν ἰαύειν· ἀλλά τιν' οἴω
Ἀσπασίως αὐτῶν γόνυ κάμψειν, ὅς κε φύγῃσι
Δηΐου ἐκ πολέμοιο ὑπ' ἔγχεος ἡμετέροιο.
Ὣς ἔφαθ'· οἱ δ' ἐχάρησαν ἐϋκνήμιδες Ἀχαιοὶ,
Μῆνιν ἀπειπόντος μεγαθύμου Πηλείωνος.
Τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Αὐτόθεν ἐξ ἕδρης, οὐδ' ἐν μέσσοισιν ἀναστάς·
Ὦ φίλοι, ἥρωες Δαναοὶ, θεράποντες Ἄρηος,
Ἑσταότος μὲν καλὸν ἀκουέμεν, οὐδὲ ἔοικεν
Ὑββάλλειν· χαλεπὸν γὰρ, ἐπιστάμενόν περ ἐόντα.
Ἀνδρῶν δ' ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούσαι,
Ἢ εἴποι; βλάβεται δὲ, λιγύς περ ἐὼν ἀγορητής.
Πηλείδῃ μὲν ἐγὼν ἐνδείξομαι· αὐτὰρ οἱ ἄλλοι
Σύνθεσθ', Ἀργεῖοι, μῦθόν τ' εὖ γνῶτε ἕκαστος.

"Ut adhuc etiam Troüm periculum-faciam obvius profectus,
"Num velint apud naves pernoctare: sed aliquem puto
"Libentèr ipsorum genu flexurum esse, qui quidem effugerit
"Ardenti è proelio *fugatus vi* hastae nostrae."
Sic dixit: Laetati autem sunt benè-ocreati Achivi,
Irae cùm renunciâsset magnanimus Pelides.
Inter hos autem locutus est et rex virorum Agamemnon,
Ex-eo-ipso-loco, à sede, neque in medios prodiens stabat:
"O amici, heroës Danai, famuli Martis,
"Stantem quidem decet *vos* audire, neque convenit
"Interpellare: grave enim, peritus licèt quis sit.
"Virorum autem in magno tumultu quomodo quis audire possit,
"Vel dicere? Impeditur autem, canorus licèt concionator.
"Ad Pelidem quidem ego orationem-dirigam: sed vos caeteri
"Intelligite, Argivi, sermonemque diligentèr cognoscite quisque.

Ver. 70. ——— ἀντίος ἐλθὼν.] *Al.* ἀντίον ἐλθών.

Ver. 72. —— Ἀσπασίως.] Vide suprà ad ά, 140.

Ibid. — γόνυ κάμψειν.] Recentiorum nonnullos hanc phrasin de *submissione* et *supplicatione* accepisse testatur *Eustathius*. Mirè autem *Barnesius*: "*Libentèr in genua se* "*submissurum, Deo gratias agentem, quòd* "*evaserit.*" Meliùs *Porphyrius*: Οἱ φεύγοντες, τεταμένον ἔχουσι τὸ γόνυ· οἱ δὲ καθήμενοι, κεκαμμένον. Ἀσπασίως οὖν, φησι, καθεδεῖται τῶν φευγόντων τις ἐκ τοῦ πολέμου· ὃς καὶ ἀναπαύσει ἑαυτὸν, καὶ τὰ σκέλη, ἐκ τοῦ συντόνου τῆς φυγῆς δρόμου καθίσας. *Quæst. Homeric.* 22.

Ver. 77. —— ἐν μέσσοισιν ἀναστάς.] *Al.* ἐν μέσσοισι παραστάς.

Ver. 79. Ἑσταότος μὲν καλὸν ἀκουέμεν.] Εἰδὼς ὁ Ἀγαμέμνων, ὅτι μέλλει θορυβεῖσθαι, ὡς αἴτιος γεγονὼς φθορᾶς τῇ Ἑλληνικῇ στρατιᾷ, ἡσυχίαν ἑαυτῷ προκατασκευάζει, λέγων δύσκολον εἶναι ἐν πολλῷ θορύβῳ διαλέγεσθαι· ἔνιοι δὲ καθεζόμενον τὸν Ἀγαμέμνονα ὑπενόησαν δημηγορεῖν. *Schol.* MSS. apud *Barnesium*. Ἀρίσταρχος ᾠήθη παραίτησιν ἔχειν τὸν λόγον· ὡς, διὰ τὸ τετρῶσθαι, τοῦ Ἀγαμέμνονος συγχωρεῖν ἀξιοῦντος, εἰ καθήμενος λέγοι· καί, φασὶ, διὰ τοῦτο ἀνέθηκε τὸ, "Αὐτόθεν ἐξ ἕδρης, οὐδ' ἐν "μέσσοισιν ἀναστάς." Ἄτοπος δὲ ἡ παραίτησις· οὐ γὰρ τὸν πόδα τέτρωται, ἀλλὰ τὴν χεῖρα· οὕτως δὲ τέτρωται, ὥστε μικρὸν ὕστερον, αὐτὸς ἀποσφάττει τὸν κάπρον. Ἐὰν προσκείμενος δὲ ὁ στίχος ᾖ, τὸ, "Αὐτόθεν ἐξ ἕδρης," ἀκουσόμεθα, ἐκ τοῦ τῶν Ἀριστέων συνεδρίου· ὥστ' ἐν ἐκείνοις ὄντα λέγειν αὐτὸν, καὶ οὐκ ἐν μέσῳ τῷ πλήθει. *Porphyr. Quæst. Homeric.* 23. Τινὲς τοῦ ἑσταότως ἐκτείνουσι τὴν λήγουσαν· καὶ ἐπίῤῥημα λαβόντες αὐτὸ, ἑσταότως φασὶ τὸ εὐσταθῶς καὶ ἡσύχως· ἵνα λέγῃ, ὅτι δεῖ μετὰ ἡσυχίας ἀκούειν. *Eustath.*

Πολλάκι δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔειπον,
Καί τέ με νεικείεσκον· ἐγὼ δ' οὐκ αἴτιός εἰμι,
Ἀλλὰ Ζεὺς, καὶ Μοῖρα, καὶ ἠεροφοῖτις Ἐριννὺς,
Οἵ τέ μοι εἰν ἀγορῇ φρεσὶν ἔμβαλον ἄγριον ἄτην,
Ἤματι τῷ, ὅτ' Ἀχιλλῆος γέρας αὐτὸς ἀπηύρων.
Ἀλλὰ τί κεν ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾷ.
Πρέσβα Διὸς θυγάτηρ Ἄτη, ἣ πάντας ἀᾶται,
Οὐλομένη, τῆς μέν θ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ' οὔδει
Πίλναται, ἀλλ' ἄρα ἥγε κατ' ἀνδρῶν κράατα βαίνει,
Βλάπτουσ' ἀνθρώπους· κατὰ δ' οὖν ἕτερόν γε πέδησε.
Καὶ γάρ δή νύ ποτε Ζῆν' ἄσσατο, τόν περ ἄριστον
Ἀνδρῶν ἠδὲ θεῶν φασ' ἔμμεναι· ἀλλ' ἄρα καὶ τὸν
Ἥρη, θῆλυς ἐοῦσα, δολοφροσύνῃς ἀπάτησεν,
Ἤματι τῷ, ὅτ' ἔμελλε βίην Ἡρακληείην
Ἀλκμήνη τέξεσθαι ἐϋστεφάνῳ ἐνὶ Θήβῃ.

" Saepe jam mihi hunc Achivi sermonem dixerunt,
" Et mihi convitiari-soliti-sunt: ego autem non in-causâ sum,
" Sed Jupiter, et Fatum, et per-tenebras-vagans Erinnys,
" Qui mihi in concione menti injecerunt saevam noxam,
" Die illo, quo Achillis praemium ipse abstuli.
" Sed quid facerem? Deus omnia perficit.
" Veneranda *nempè* Jovis filia Ate, [*Noxa*,] quae omnes noxâ-afficit,
" Perniciosa: hujus quidem molles pedes; non enim ad solum
" Appropinquat, enimverò illa per virorum capita incedit,
" Laedens homines: alterum enim saltem *concertantium* malo-irretit.
" Etenim jam olim Jovem laesit, quem tamen potentissimum
" Hominum et deorum dicunt esse; sed sanè etiam hunc
" Juno, foemina licèt, dolis decepit,
" Die illo, quo erat vim Herculeam
" Alcmena paritura pulchris-cinctâ-muris in Thebe.

Ver. 85. —— δὴ.] Vide suprà ad ξ', 453.

Ver. 86. —— νεικείεσκον.] Vide suprà ad *ver.* 42. et ad β', 221.

Ibid. — ἐγὼ δ' οὐκ αἴτιός εἰμι, Ἀλλὰ Ζεὺς.]

Non tibi Tyndaridis facies invisa Lacænæ
Culpatusve Paris; verùm inclementia Divûm
Has evertit opes. —— *Æn.* II, 601.
Fati ista culpa est ——
Senec. Œdip. ver. 1019.

Ver. 91 et 129. — ἀᾶται.] Vide suprà ad ί, 116.

Ver. 92. —— τῆς μέν θ' ἁπαλοὶ πόδες.] Ὅμηρος Ἄτην θεόν τε φασὶν εἶναι καὶ ἁπαλήν· τοὺς γοῦν πόδας αὐτῆς ἁπαλοὺς εἶναι λέγων· " — τῆς μέν θ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ' οὔδει " Πίλναται, ἀλλ' ἄρα ἥγε κατ' ἀνδρῶν κράατα " βαίνει." Καλῷ οὖν μοι δοκεῖ τεκμηρίῳ τὴν ἁπαλότητα ἀποφαίνειν, ὅτι οὐκ ἐπὶ σκληροῦ βαίνει, ἀλλ' ἐπὶ μαλθακοῦ. *Plato in Convivio.*

Ibid. —— τῆς μέν.] Cod. *Harleian.* τῇ μέν. Atque ita in uno MS. scriptum repperit *Barnesius.*

Ver. 93. —— ἀλλ' ἄρα ἥγε.] De hujusmodi syntaxeos elegantiâ et venustate, vide suprà ad γ', 409.

Ver. 94. —— κατὰ δ' οὖν ἕτερόν γε πέδησε.] Ἕνα γοῦν τινα ἔβλαψεν, ὅτι μὴ πολλούς. *Schol.* Malè. Vox enim ἕτερον hoc sensu accipi nullo modo potest. *Eustathius* rectè exponit, τῶν ἐριζόντων τὸν ἕτερον.

Ver. 95. Καὶ γάρ δή νύ ποτε Ζῆν' ἄσσατο.] *Al.* Καὶ γὰρ δή νύ ποτε Ζῆν' ἄσατο. *Al.* Καὶ γὰρ δή ποτε Ζῆν' ἀάσσατο. Legendum fortasse Καὶ γὰρ δή ποτε Ζῆν' ἀάσατο. Vide suprà ad λ', 340.

Ver. 98. —— βίην Ἡρακληείην.] Vide suprà ad ν', 758.

Ver. 99. —— ἐϋστεφάνῳ ἐνὶ Θήβῃ.] Κατατε-

Ἤτοι ὅγ' εὐχόμενος μετέφη πάντεσσι θεοῖσι·
Κέκλυτέ μευ, πάντες τε θεοὶ, πᾶσαί τε θέαιναι,
Ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσιν ἀνώγει·
Σήμερον ἄνδρα φόωσδε μογοστόκος Εἰλείθυια
Ἐκφανεῖ, ὃς πάντεσσι περικτιόνεσσιν ἀνάξει,
Τῶν ἀνδρῶν γενεῆς, οἵ θ' αἵματα ἐξ ἐμεῦ εἰσι.
Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
Ψευστήσεις, οὐδ' αὖτε τέλος μύθῳ ἐπιθήσεις.
Εἰ δ' ἄγε, νῦν μοι ὄμοσσον, Ὀλύμπιε, καρτερὸν ὅρκον,
Ἦ μὴν τὸν πάντεσσι περικτιόνεσσιν ἀνάξειν,
Ὅς κεν ἐπ' ἤματι τῷδε πέσῃ μετὰ ποσσὶ γυναικὸς
Τῶν ἀνδρῶν, οἳ σῆς ἐξ αἵματός εἰσι γενέθλης.
Ὣς ἔφατο· Ζεὺς δ' οὔτι δολοφροσύνην ἐνόησεν,
Ἀλλ' ὄμοσεν μέγαν ὅρκον, ἔπειτα δὲ πολλὸν ἀάσθη.
Ἥρη δ' ἀΐξασα λίπεν ῥίον Οὐλύμποιο,
Καρπαλίμως δ' ἵκετ' Ἄργος Ἀχαϊκὸν, ἔνθ' ἄρα ἤδη
Ἰφθίμην ἄλοχον Σθενέλου Περσηϊάδαο·
Ἡ δ' ἐκύει φίλον υἱὸν, ὁ δ' ἕβδομος εἱστήκει μείς·
Ἐκ δ' ἄγαγε πρὸ φόωσδε, καὶ ἠλιτόμηνον ἐόντα·
Ἀλκμήνης δ' ἀπέπαυσε τόκον, σχέθε δ' Εἰλειθυίας·

" Ille sanè glorians dixerat inter omnes deos;
" ' Auscultate mihi, omnesque dii, omnesque deae,
" ' Ut dicam, quae me animus in pectoribus jubet:
" ' Hodie virum in-lucem partuum-doloris-praeses Ilithyia
" ' Edet, qui omnibus finitimis imperabit,
" ' Eorum hominum ex genere, qui sanguine ex meo sunt.
" Hunc verò dolos-meditans allocuta est veneranda Juno;
" ' Mentieris, neque finem tandem sermoni impones.
" ' Eja autem age, nunc mihi jura, Olympie, firmum jusjurandum,
" ' Reverà eum omnibus finitimis imperaturum,
" ' Quisquis die hoc ceciderit intra pedes mulieris
" ' Eorum hominum, qui tui ex sanguine sunt generis.
" Sic dixit: Jupiter autem neutiquam fraudem sensit,
" Sed juravit magnum juramentum, deindè verò magnum malum-accepit.
" Juno autem impetu-facto reliquit verticem Olympi,
" Statimque pervenit Argos Achaïcum, ubi utique nôrat
" Generosam uxorem Stheneli Perseïdae:
" Ea verò gestabat-utero charum filium, septimo ineunte mense:
" Eduxit autem in-lucem, nondùm licèt assecutum justum-mensium-numerum;
" Alcmenae verò inhibuit partum, repressitque Ilithyias:

τειχισμένη, μεταφορικῶς, διὰ τὸ ὑπὸ Ἀμφίονος καὶ Ζήθου αὐτὴν τετειχίσθαι. *Schol.*

Ver. 102. ἐνὶ στήθεσσιν ἀνώγει.] *Al.* ἐνὶ στήθεσσι κελεύει.

Ver. 105. —— οἵ θ'.] *Qui scilicèt.* ——

Ver. 106. Τὸν δὲ δολοφρονέουσα προσηύδα.] — simulatâ mente locutam. *Æn.* IV, 105.

Ver. 108. Εἰ δ' ἄγε.] *Sin ita reverà statuisti, age, &c.*] Vide suprà ad ί, 167.

Ver. 113. —— ἀάσθη.] Similitérque infrà ver. 136. ἀάσθην· Vide suprà ad ί, 116.

Ver. 114. Ἥρη δ' ἀΐξασα λίπεν ῥίον Οὐλύμποιο.] Vide suprà ad ξ', 225.

Ver. 115. — ἔνθ' ἄρα.] *Ubi videlicèt* ——.

Ver 117. —— εἱστήκει.] Vide suprà ad δ', 434. 492. et ad ά, 37.

Αὐτὴ δ' ἀγγελέουσα, Δία Κρονίωνα προσηύδα·
Ζεῦ πάτερ, ἀργικέραυνε, ἔπος τί τοι ἐν φρεσὶ θήσω·
Ἤδη ἀνὴρ γέγον' ἐσθλὸς, ὃς Ἀργείοισιν ἀνάξει,
Εὐρυσθεὺς, Σθενέλοιο πάϊς Περσηϊάδαο,
Σὸν γένος· οὔ οἱ ἀεικὲς ἀνασσέμεν Ἀργείοισιν.
Ὣς φάτο· τὸν δ' ἄχος ὀξὺ κατὰ φρένα τύψε βαθεῖαν·
Αὐτίκα δ' εἷλ' Ἄτην κεφαλῆς λιπαροπλοκάμοιο,
Χωόμενος φρεσὶν ᾗσι, καὶ ὤμοσε καρτερὸν ὅρκον,
Μήποτ' ἐς Οὔλυμπόν τε καὶ οὐρανὸν ἀστερόεντα
Αὖτις ἐλεύσεσθαι Ἄτην, ἣ πάντας ἀᾶται.
Ὣς εἰπὼν, ἔῤῥιψεν ἀπ' οὐρανοῦ ἀστερόεντος,
Χειρὶ περιστρέψας· τάχα δ' ἵκετο ἔργ' ἀνθρώπων.
Τὴν αἰεὶ στενάχεσχ', ὅθ' ἑὸν φίλον υἱὸν ὁρῷτο,
Ἔργον ἀεικὲς ἔχοντα, ὑπ' Εὐρυσθῆος ἀέθλων.
Ὣς καὶ ἐγὼν, ὅτε δ' αὖτε μέγας κορυθαίολος Ἕκτωρ
Ἀργείους ὀλέεσκεν ἐπὶ πρύμνῃσι νέεσσιν,
Οὐ δυνάμην λελαθέσθ' ἄτης, ᾗ πρῶτον ἀάσθην.
Ἀλλ' ἐπεὶ ἀασάμην, καί μευ φρένας ἐξέλετο Ζεὺς,

" Ipsa autem renuntiatura *factum*, Jovem Saturnium allocuta est;
" ' Jupiter pater, rutuli-fulminis-missor, rem quandam tibi in mentem ponam:
" ' Jamjam vir natus est nobilis, qui Argivis imperabit,
" ' Eurystheus, Stheleni filius Perseïdae,
" ' Tuum genus: non ei indignum *est* imperare Argivis.
" Sic dixit: Eum verò dolor acutus in mente feriit profundâ:
" Illicò autem corripuit Aten capite nitentibus-capillis-ornato,
" Iratus animo suo, et juravit firmum juramentum,
" Nunquam in Olympumque et coelum stellatum
" Redituram Aten, quae omnibus noxam-infert.
" Sic fatus, projecit à coelo stellato,
" Manu circumrotatam: statim autem pervenit *ea* ad opera hominum.
" Hujus operâ semper ingemiscebat *is*, quandò suum charum filium videret,
" Opus indignum sustinentem, sub Eurysthei laboribus.
" Sic et ego, quandò nempè ingens pugnam-expeditè-ciens Hector
" Argivos perdebat ad puppes navium;
" Non poteram oblivisci noxae, quâ semel laesus fueram.
" At postquàm noxam-accepi, et meam mentem eripuit Jupiter,

Ver. 120. —— Κρονίωνα.] De hujus vocis prosodiâ, vide suprà ad ά, 265 et 397.

Ver. 122. — γέγον'.] Vide suprà ad ά, 37.

Ver. 126. — λιπαροπλοκάμοιο.] *Al.* λιπαροκρηδέμνου.

Ver. 128—130. —— οὐρανὸν ἀστερόεντα —— οὐρανοῦ ἀστερόεντος.] Vide suprà ad ό, 371.

Ver. 131. — περιστρέψας.] Cod. *Harleian.* περιτρέψας.

Ver. 132—135. — στενάχεσχ,' — ὀλέεσκεν.] Vide suprà ad *ver.* 42. et ad ν', 84.

Ver. 133. Ἔργον ἀεικὲς ἔχοντα, ὑπ' Εὐρυσθῆος ἀέθλων.

—— ut duros mille labores
Rege sub Eurystheo, fatis Junonis iniquæ,
Pertulerit ——. *Æn.* VIII, 191.

Ibid. ὑπ' Εὐρυσθῆος.] *Al.* πρὸς Εὐρυσθῆος.

Ver. 134. — κορυθαίολος.] Vide suprà ad β', 816.

Ver. 135. —— ὀλέεσκεν.] Cod. *Harleian.* ὀλέκεσκεν.

Ver. 137. Ἀλλ' ἐπεὶ ἀασάμην, καί μευ φρένας ἐξέλετο Ζεὺς.] Post hunc versum, alium ex *Eustathio* inserit *Barnesius*:

" Ἢ οἴνῳ μεθύων· ἤ μ' ἔβλαψαν θεοὶ αὐτοί."

Ἂψ ἐθέλω ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα.
Ἀλλ' ὄρσευ πόλεμόνδε, καὶ ἄλλους ὄρνυθι λαούς·
Δῶρα δ' ἐγὼν ὅδε πάντα παρασχεῖν, ὅσσα τοι ἐλθὼν
Χθιζὸς ἐνὶ κλισίῃσιν ὑπέσχετο δῖος Ὀδυσσεύς.
Εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐπειγόμενός περ ἄρηος·
Δῶρα δέ τοι θεράποντες, ἐμῆς παρὰ νηὸς ἑλόντες,
Οἴσουσ', ὄφρα ἴδηαι, ὅ τοι μενοεικέα δώσω.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἀτρείδη, κύδιστε, ἄναξ ἀνδρῶν, Ἀγάμεμνον,
Δῶρα μὲν αἴκ' ἐθέλησθα παρασχέμεν, ὡς ἐπιεικὲς,
Ἤτ' ἐχέμεν, πάρα σοι· νῦν δὲ μνησώμεθα χάρμης
Αἶψα μάλ'· οὐ γὰρ χρὴ κλοτοπεύειν ἐνθάδ' ἐόντας,
Οὐδὲ διατρίβειν· ἔτι γὰρ μέγα ἔργον ἄρεκτον·
Ὥς κέ τις αὖτ' Ἀχιλῆα μετὰ πρώτοισιν ἴδηται
Ἔγχεϊ χαλκείῳ Τρώων ὀλέκοντα φάλαγγας.
Ὧς δέ τις ὑμείων μεμνημένος ἀνδρὶ μαχέσθω.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Μηδ' οὕτως, ἀγαθός περ ἐὼν, θεοείκελ' Ἀχιλλεῦ,

" Iterùm volo placare, dareque infinita dona.
" At exurge ad pugnam et caeteras excita copias:
" Dona autem ego ipse omnia praebebo, quaecunque tibi profectus
" Hesternus in tentoriis promisit nobilis Ulysses.
" Sin vis, expecta, festinans licèt ad certamen:
" Dona autem tibi ministri, meâ ex nave sumpta,
" Ferent, ut videas, quòd tibi animum-placantia dabo."
Hunc autem respondens allocutus est pedibus velox Achilles:
" Atride gloriosissime, rex virorum, Agamemnon,
" Dona quidem si vis praebere, ut aequum est,
" Vel retinere, in tuâ potestate est: nunc verò recordemur proelii
" Statim prorsùs; non enim decet verbis-tempus-terere hìc manentes,
" Neque moras-trahere: Adhuc enim magnum opus infectum:
" Ut aliquis utique rursùs Achillem inter primos videat
" Hastâ aereâ Trojanorum perdentem phalangas.
" Sic verò et aliquis vestrûm memor cum viro pugnet."
Hunc autem respondens allocutus est abundans-consiliis Ulysses:
" Ne tamen sic, strenuus licèt sis, deo-similis Achille,

---

qui tamen hoc in loco non satìs aptè cohæret. Vide suprà ad ί, 119.

Ver. 138. Ἂψ ἐθέλω ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα.] Τῆς Βρισηΐδος τὴν ἀφαίρεσιν εἰς τὴν Ἄτην ἀναφέρων ὁ Ἀγαμέμνων, ὅμως "Ἂψ ἐθέλει ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα." Καὶ γὰρ τὸ δεῖσθαι, τοῦ μὴ καταφρονοῦντος ἐστί· καὶ ταπεινὸς φανεὶς ὁ ἀδικήσας, ἔλυσε τὴν τῆς ὀλιγωρίας δόξαν. *Plutarch.* περὶ ἀοργησίας.

Ver. 139. — ὄρνυθι.] Vide suprà ad γ', 260.

Ver. 145. — πόδας ὠκὺς Ἀχιλλεύς.] Vide suprà ad ά, 43 et 58.

Ver. 148. Ἤτ' ἐχέμεν, πάρα σοι.] *Al.* Εἴτ' ἐχέμεν, παρά σοι. Quo modo legit et Codex *Harleianus*.

Ver. 150. —— ἔτι γὰρ μέγα ἔργον ἄρεκτον.] Ἤτοι περὶ τῆς Πατρόκλου ταφῆς λέγει, ἢ τῆς τοῦ Ἕκτορος ἀναιρέσεως. *Schol.* Rectiùs autem hoc in universum de bello nondum confecto dictum intelligas.

Ver. 153. Ὧς δέ τις.] *Al.* Ὧδέ τις.

Ver. 155. — θεοείκελ'.] Vide suprà ad β' 623.

Νήστιας ὄτρυνε προτὶ Ἴλιον υἷας Ἀχαιῶν
Τρωσὶ μαχεσσομένους· ἐπεὶ οὐκ ὀλίγον χρόνον ἔσται
Φύλοπις, εὖτ' ἂν πρῶτον ὁμιλήσωσι φάλαγγες
Ἀνδρῶν, ἐν δὲ θεὸς πνεύσῃ μένος ἀμφοτέροισιν·
Ἀλλὰ πάσασθαι ἄνωχθι θοῇς ἐπὶ νηυσὶν Ἀχαιοὺς
Σίτου καὶ οἴνοιο· τὸ γὰρ, μένος ἐστὶ καὶ ἀλκή.
Οὐ γὰρ ἀνὴρ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἄκμηνος σίτοιο δυνήσεται ἄντα μάχεσθαι.
Εἴπερ γὰρ θυμῷ γε μενοινάᾳ πολεμίζειν,
Ἀλλά τε λάθρῃ γυῖα βαρύνεται, ἠδὲ κιχάνει
Δίψα τε καὶ λιμὸς, βλάβεται δέ τε γούνατ' ἰόντι.
Ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς,
Ἀνδράσι δυσμενέεσσι πανημέριος πολεμίζει,
Θαρσαλέον νύ οἱ ἦτορ ἐνὶ φρεσὶν, οὐδέ τι γυῖα
Πρὶν κάμνει, πρὶν πάντας ἐρωῆσαι πολέμοιο.
Ἀλλ' ἄγε, λαὸν μὲν σκέδασον, καὶ δεῖπνον ἄνωχθι
Ὅπλεσθαι· τὰ δὲ δῶρα ἄναξ ἀνδρῶν Ἀγαμέμνων
Οἰσέτω ἐς μέσσην ἀγορὴν, ἵνα πάντες Ἀχαιοὶ
Ὀφθαλμοῖσιν ἴδωσι, σὺ δὲ φρεσὶ σῇσιν ἰανθῇς.

" Jejunos impelle ad Ilium filios Achivorum
" Cum Trojanis pugnaturos : quia non *in* exiguum tempus erit
" Certamen, postquàm primùm congressae-fuerint phalanges
" Virorum, Deusque inspiraverit animos utrisque :
" Sed vesci jube velocibus in navibus Achivos
" Cibo et vino ; hoc enim, robur est et vis.
" Neque enim vir totum diem usque ad solem occidentem
" Expers cibi poterit contra *hostem* pugnare.
" Licèt etenim animo utique prompto-sit ad-pugnandum,
" Tamen simul sensim membra gravantur, et occupant *eum*
" Sitisque et fames, noxamque trahunt genua eunti.
" Qui verò vir vini satur et cibi,
" Cum viris hostibus totam diem pugnat,
" Audens omninò ei animus in praecordiis, neque quicquam membra
" Priùs defatigantur, quàm omnes recedant à pugnâ.
" Sed age, populum quidem dimitte, et jentaculum jube
" Instrui : dona autem rex virorum Agamemnon
" Ferat in mediam concionem, ut omnes Achivi
" Oculis videant, tuque animo tuo laetêris.

Ver. 157. —— *μαχεσσομένους.*] *Al.* *μαχησομένους.* *Al.* *μαχησόμενος.*

Ver. 159. —— *πνεύσῃ.*] *Al.* *πνεύσει.*

Ver. 165. — *βαρύνεται.*] *Victorius, Var. Lect. lib.* XXXVIII. *cap.* 21. ait, ex vetere Scholiaste, hoc vocabulum unum esse eorum, quæ *σημασίαν ἐναργεστάτην ἔχουσι,* et appellantur *ἀναμίλλητα* ; quibus, omni contentione adhibitâ, melius nihil aptiusque excogitari possit.

Ver. 167. —— *κορεσσάμενος.*] *Quum se ipse saturaverit.* Vide suprà ad *ver.* 23. et ad *γ*, 141.

Ver. 171. — *σκέδασον.*] Vide suprà ad *ά*, 140. Cæterùm Codex *Harleianus* hîc legit *κέδασον.*

Ver. 174. — *σὺ δὲ φρεσὶ σῇσιν ἰανθῇς.*] Ita ex *Eustathio* edidit *Barnesius.* *Al.* *σὺ δὲ φρεσὶν ᾗσιν ἰανθῇς.*

Ὀμνυέτω δέ τοι ὅρκον, ἐν Ἀργείοισιν ἀναστὰς,
Μήποτε τῆς εὐνῆς ἐπιβήμεναι, ἠδὲ μιγῆναι,
Ἧ θέμις ἐστὶν, ἄναξ, ἤτ' ἀνδρῶν ἤτε γυναικῶν.
Καὶ δὲ σοὶ αὐτῷ θυμὸς ἐνὶ φρεσὶν ἵλαος ἔστω.
Αὐτὰρ ἔπειτά σε δαιτὶ ἐνὶ κλισίῃς ἀρεσάσθω
Πιείρῃ, ἵνα μή τι δίκης ἐπιδευὲς ἔχῃσθα.
Ἀτρείδη, σὺ δ' ἔπειτα δικαιότερος καὶ ἐπ' ἄλλῳ
Ἔσσεαι· οὐ μὲν γάρ τι νεμεσσητὸν, βασιλῆα
Ἄνδρ' ἀπαρέσσασθαι, ὅτε τις πρότερος χαλεπήνῃ.
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν, Ἀγαμέμνων·
Χαίρω σεῦ, Λαερτιάδη, τὸν μῦθον ἀκούσας·
Ἐν μοίρῃ γὰρ πάντα διίκεο καὶ κατέλεξας.
Ταῦτα δ' ἐγὼν ἐθέλω ὀμόσαι, κέλεται δέ με θυμὸς,
Οὐδ' ἐπιορκήσω, πρὸς δαίμονος· αὐτὰρ Ἀχιλλεὺς
Μιμνέτω αὖθι τέως γε, ἐπειγόμενός περ ἄρηος,
Μιμνέτε δ' ἄλλοι πάντες ἀολλέες, ὄφρα κε δῶρα
Ἐκ κλισίης ἔλθωσι, καὶ ὅρκια πιστὰ τάμωμεν.
Σοὶ δ' αὐτῷ τόδ' ἐγὼν ἐπιτέλλομαι, ἠδὲ κελεύω,
Κρινάμενος κούρητας ἀριστῆας παναχαιῶν,

" Juret autem tibi jusjurandum, inter Argivos surgens,
" Nunquam hujus cubile ascendisse *se*, vel mistum-fuisse,
" Quà mos est, Rex, et virorum et mulierum.
" Quin et tibi ipsi animus in praecordiis placidus sit.
" Ac deindè te convivio in tentoriis conciliet
" Lauto, ut nè quid juris mutilum habeas.
" Atride, tu verò deindè aequior et in alium
" Eris: Haudquaquàm enim indigne-ferendum, regem
" Virum placare, quandò quis prior injuriam-fecerit."
Illum verò vicissim allocutus est rex virorum, Agamemnon:
" Gaudeo tuo, Laërtiade, hoc sermone audito:
" Rectè enim et ordine omnia obiisti et enumerâsti.
" Haec sanè ego volo jurare, jubetque me animus,
" Neque pejerabo, per deum: Sed Achilles
" Maneat hîc eoúsque saltem, festinans licèt ad certamen;
" Manete et alii omnes congregati, donec dona
" E tentoriis venerint, et foedera fida ferierimus.
" Tibi verò ipsi hoc ego praecipio, et jubeo, *ô Ulysses*,
" Delectis juvenibus primoribus universorum-Achivorum,

Ver. 177. Ἧ θέμις ἐστὶν.] Deest hic versus in Codice *Harleiano*.

Ver. 180. — ἵνα μή τι δίκης ἐπιδευὲς ἔχῃσθα.] Ἵνα μηδὲν ἐλλίπῃ τῶν ὀφειλόντων πρὸς σὲ δικαίως πραχθῆναι. *Schol.*

Ver. 182. — οὐ μὲν γάρ τι νεμεσσητὸν, βασιλῆα Ἄνδρ' ἀπαρέσσασθαι.] Ἀμφίβολον, διὰ τὴν αἰτιατικήν· ἔστι δὲ ὁ λόγος περὶ τοῦ βασιλέως· οὐ νεμεσητὸν, εἰ βασιλεὺς ἄνδρα βλάψας καὶ τῆς ἀδικίας προϋπάρξας, ἀπαρέσηται αὐτόν· ἔστι δὲ τὸ ἀπαρέσασθαι, τὸ τῆς ἀρῆς ἐπᾶραι· ἤτοι τῆς βλάβης ἀπαλλάξαι, καὶ ἐξιλάσασθαι. *Porphyr. Quæst. Homeric.* 19. Ubi Editiones quidem *Porphyrii*, " βασιλῆϊ," habent; ipse autem, " βασιλῆα," legisse videtur.

Ver. 183. — ἀπαρέσσασθαι.] *Barnesius* legendum conjicit ἐπαρέσσασθαι.

Ver. 188. — πρὸς δαίμονος.] *Al.* πρὸς δαίμονας.

Ver. 190. — ὄφρα κε δῶρα.] *Al.* εἰσόκε δῶρα.

Ver. 191. —— ἔλθωσι.] *Al.* ἔλθῃσι.

Ver. 193. Κρινάμενος.] Vide suprà ad ά, 309. 314. 338. et ad ζ', 434.

Δῶρα ἐμῆς παρὰ νηὸς ἐνεικέμεν, ὅσσ' Ἀχιλῆϊ
Χθιζὸν ὑπέστημεν δώσειν, ἀγέμεν τε γυναῖκας.
Ταλθύβιος δέ μοι ὦκα κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
Κάπρον ἑτοιμασάτω ταμέειν Διΐ τ', Ἠελίῳ τε.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἀτρείδη, κύδιστε, ἄναξ ἀνδρῶν, Ἀγάμεμνον,
Ἄλλοτέ περ καὶ μᾶλλον ὀφέλλετε ταῦτα πένεσθαι,
Ὁππότε τις μεταπαυσωλὴ πολέμοιο γένηται,
Καὶ μένος οὐ τόσον ᾖσιν ἐνὶ στήθεσσιν ἐμοῖσι·
Νῦν δ' οἱ μὲν κέαται δεδαϊγμένοι, οὓς ἐδάμασσεν
Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν·
Ὑμεῖς δ' ἐς βρωτὺν ὀτρύνετον· ἦτ' ἂν ἔγωγε
Νῦν μὲν ἀνώγοιμι πτολεμίζειν υἷας Ἀχαιῶν
Νήστιας, ἀκμήνους· ἅμα δ' ἠελίῳ καταδῦντι
Τεύξεσθαι μέγα δόρπον, ἐπὴν τισαίμεθα λώβην.
Πρὶν δ' οὔπως ἂν ἔμοιγε φίλον κατὰ λαιμὸν ἰείη
Οὐ πόσις, οὐδὲ βρῶσις, ἑταίρου τεθνειῶτος,
Ὅς μοι ἐνὶ κλισίῃ δεδαϊγμένος ὀξέϊ χαλκῷ

" Dona meâ à nave afferto, quot Achilli
" Herì polliciti-sumus *nos* daturos esse, adducitoque mulieres.
" Talthybius autem mihi ocyùs per castra lata Achivorum
" Aprum quaesitum-apparet mactandum Jovique, Solique."
Hunc autem respondens allocutus est pedibus velox Achilles:
" Atride, gloriosissime, rex virorum, Agamemnon,
" Aliàs certè potiùs debetis haec procurare,
" Quandò aliqua post-cessatio à pugnâ fuerit,
" Et martius ardor non tantus sit in pectoribus meis:
" Nunc verò illi quidem jacent confossi, quos domuit
" Hector Priamides, quandò ei Jupiter gloriam praebuit;
" Vos autem ad cibum urgete: Ego sanè omninò
" Nunc quidem hortarer pugnam-inire filios Achivorum
" Jejunos, impastos; ut verò sol occiderit,
" Parare magnam coenam, postquàm ulti essemus contumeliam.
" Antè verò nequaquàm mihi quidem meum per guttur demittetur
" Nec potus, neque cibus, sodale mortuo,
" Qui mihi in tentorio confossus acuto aere

Ibid. — *κούρητας ἀριστῆας.*] Καὶ Ὅμηρος δὲ τοὺς νέους στρατιώτας [κουρῆτας] προσηγόρευσε· " Κρινάμενος κουρῆτας ἀριστῆας παναχαι- " ῶν ——" Καὶ πάλιν [infrà, *ver.* 248.] " — δῶρα φέρον κουρῆτες Ἀχαιῶν." *Strabo*, *Geograph. Lib.* X.

Ver. 194. Δῶρα ἐμῆς παρὰ νηὸς ἐνεικέμεν.] *Strabo*, loco jam citato, legit; Δῶρα θοῆς παρὰ νηὸς ἐνέγκειν. *Al.* ἐμῆς παρὰ νηὸς ἐνεγκέμεν.

Ver. 197. —— ἑτοιμασάτω.] Vide suprà ad ά, 140.

Ver. 200. —— ταῦτα.] *Al.* πάντα.

Ver. 202. —— ᾖσιν.] Cod. *Harleian.* εἶσιν.

Ver. 204. —— Πριαμίδης.] Vide suprà ad ά, 398.

Ver. 205. —— βρωτὺν ὀτρύνετον.] Quâ ratione, βρωτὺν, hîc ultimam producat; item υἷε, *ver.* 216. vide suprà ad ά, 51.

Ver. 208. Τεύξεσθαι.] *Al.* Τεύξασθαι.

Ibid. —— τισαίμεθα.] Vide suprà ad ί, 116. et ad ν', 339.

Ver. 210. —— τεθνειῶτος.] Vide suprà ad ,' 46.

Κεῖται, ἀνὰ πρόθυρον τετραμμένος· ἀμφὶ δ' ἑταῖροι
Μύρονται· τό μοι οὔτι μετὰ φρεσὶ ταῦτα μέμηλεν,
Ἀλλὰ φόνος τε, καὶ αἷμα, καὶ ἀργαλέος στόνος ἀνδρῶν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ Ἀχιλεῦ, Πηλέως υἱὲ, μέγα φέρτατ' Ἀχαιῶν,
Κρείσσων εἷς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ
Ἔγχει, ἐγὼ δέ κε σεῖο νοήματί κεν προβαλοίμην
Πολλόν· ἐπεὶ πρότερος γενόμην, καὶ πλείονα οἶδα·
Τῷ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν.
Αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν,
Ἧστε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν·

" Jacet, in vestibulum *pedibus* conversis; circùm autem socii
" Lugent: Ideò mihi neutiquam in mente haec curae sunt,
" Sed caedesque, et sanguis, et gravis gemitus virorum."
Illum verò respondens allocutus est abundans-consiliis Ulysses:
" O Achille, Pelei fili, longè fortissime Achivorum,
" Praestantior es me et fortior non parùm quidem
" Hastâ, ego verò te prudentià utique superavero
" Multùm: prior etenim natus sum, et plura cognovi:
" Itaque tibi acquiescat animus verbis meis.
" Statim prorsùs pugnae fit satietas hominibus,
" Cujus plurimam quidem stipulam in terram aes fundit;

Ver. 212. —— ἀνὰ πρόθυρον.] *Al.* ἀνὰ προθύροισι.

Ver. 213. — τό μοι οὔτι.] *Barnesius* in uno MS. scriptum repperit, τῷ μοι οὔτε. Quæ si vera sit Lectio, pronuntiandum erit τῷ μ' οὔτε. Vide suprà ad μ', 9.

Ver. 213 — 224. —— μέμηλεν — τέτυκται.] Si μεμήλει —— τέτυκτο dixisset, jam non constitisset Temporum ratio. Vide suprà ad ά, 37.

Ver. 214. —— φόνος τε, καὶ αἷμα, καὶ ἀργαλέος στόνος.] Vide infrà ad ώ, 548.

Ibid. —— φόνος.] Cod. *Harleian.* πόνος.

Ver. 216. Ὦ Ἀχιλεῦ, Πηλέως υἱὲ.] Pronuntiabatur Πηλῶς. *Barnesius* edidit Πηλῆος υἱέ. Nec malè; cùm Πηλῆος sit vox *Ionica*, et υἱὸς alibi priore correptâ occurrat:

Ἕκτορ υἱὲ Πριάμοιο ————. *Il.* ή, 47.
———— Ποδῆς, υἱὸς Ἠετίωνος. ρ', 575.

Vide suprà ad ν', 103. et ad ό, 24. Cæterùm in uno MS. scriptum repperit *Barnesius*, Πηλέος υἱέ. Quod et ipsum ferri posset, pronuntiando scilicèt Πηλοῦς.

Ver. 217. Κρείσσων εἷς ἐμέθεν.] Ὅρα τὸ ἀξίωμα τοῦ βουλευτοῦ, καὶ τὸν ἑαυτοῦ καίριον καὶ ἀνεμέσητον ἔπαινον. *Eustath.* Ἐπιτίμησις —— ἐστι πικρὰ πρὸς τὸν Ἀχιλλέα, καὶ δι' ἀποῤῥήτων λυπηρὰ παραίνεσις. Διὰ τοῦτο καὶ προοίμιον αὐτῷ μακρόν ἐστι· " Κρείσσων εἷς ἐμέθεν καὶ φέρτερος " οὐκ ὀλίγον περ Ἔγχει· ἐγὼ δέ κε σεῖο νοήματί " γε προβαλοίμην Πολλόν· ἐπεὶ πρότερος γένομην " καὶ πλείονα οἶδα." Αὐτὸ τὸ προοίμιον τοῦ σχήματός ἐστιν ἀρχὴ, Μὴ πάνυ θάῤῥει τῇ ἀνδρείᾳ τῇ σαυτοῦ· εἰ δὲ μὴ, ἐλέγχεις αὐτὴν τὸ μηδὲν εἶναι· ἀλλ' ἄκουε παρ' ἀνδρὸς ἐμπείρου καὶ ἐπιστήμονος ἐκ πείρας πραγμάτων. —— Ἐπειδὴ τοίνυν ταῦτα πικρά ἐστι, καὶ ἐπιτίμησιν ἔχει, εἰκόνος παραβολῇ [*ver.* 221. &c.] τὸ πικρὸν τῆς ἐπιτιμήσεως ἀσφαλὲς ἐποίησεν. *Dionys. Halicarn. Lib. qui incribitur* Τέχνη, § 9. *in fine.*

———— Tibi dextera bello
Utilis; ingenium est, quod eget moderamine nostri.
Ovid. Metam. Lib. XIII, *ver.* 361.

Ver. 218. — νοήματί κεν] Cod. *Harleian.* νοήματί γε. Atque ita legit *Dionysius Halicarnassensis* loco jam citato. Quæ et proba Lectio.

Ver. 221. Αἶψά τε φυλόπιδος.] *Al.* Αἶψά κε, et Αἶψα δέ. Ὅρα —— ὡς ἀπαθῶς καὶ ἀλύπως εἰπεῖν περὶ τῶν ἐν πολέμῳ τετελευτηκότων προειρημένος, ὡς περὶ πυρῶν συγκομιδῆς ποιεῖται τὸν λόγον, λέγων· " Αἶψά τε φιλόπιδος [φυλόπι- " δος] πέλεται κόρος ἀνθρώποισιν, Ἧς τε πλείσ- " την μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν· Ἄμη- " τος δ' ὀλίγιστος." *Arist. Quintilian. de Musicâ, Lib.* II.

Ver. 222. ———— Ἧστε πλείστην.] *Heraclides Ponticus* legit, Ὡς ὅτε πλείστην.

Ἄμητος δ᾽ ὀλίγιστος, ἐπὴν κλίνησι τάλαντα
Ζεὺς, ὅς τ᾽ ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.
Γαστέρι δ᾽ οὔπως ἐστὶ νέκυν πενθῆσαι Ἀχαιούς·
Λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα
Πίπτουσι· πότε κέν τις ἀναπνεύσειε πόνοιο;
Ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν, ὅς κε θάνησι,
Νηλέα θυμὸν ἔχοντας, ἐπ᾽ ἤματι δακρύσαντας·
Ὅσσοι δ᾽ ἂν πολέμοιο περὶ στυγεροῖο λίπωνται,
Μεμνῆσθαι πόσιος καὶ ἐδητύος, ὄφρ᾽ ἔτι μᾶλλον
Ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲς αἰεὶ,
Ἑσσάμενοι χροῒ χαλκὸν ἀτειρέα· μηδέ τις ἄλλην
Λαῶν ὀτρυντὺν ποτιδέγμενος ἰσχαναάσθω.
Ἥδε γὰρ ὀτρυντὺς κακὸν ἔσσεται, ὅς κε λίπηται
Νηυσὶν ἐπ᾽ Ἀργείων· ἀλλ᾽ ἀθρόοι ὁρμηθέντες
Τρωσὶν ἐφ᾽ ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν ἄρηα.
Ἦ, καὶ Νέστορος υἷας ὀπάσσατο κυδαλίμοιο,
Φυλείδην τε Μέγητα, Θόαντά τε, Μηριόνην τε,

" Messis autem perexigua, postquàm inclinet lances
" Jupiter, qui hominum arbiter pugnae est.
" Ventre verò haudquaquàm licet mortuum lugere Achivos :
" Admodùm enim multi et crebri diebus omnibus
" Cadunt ; quandò igitur quis respirare poterit à dolore ?
" Sed oportet eum quidem sepelire, quicunque mortuus sit,
" Patientem animum habentes, diem unam defletum :
" Quotquot verò pugnae horrendae superfuerint,
" Meminisse potûs et cibi, ut adhuc acriùs magis
" Viris *cum* hostibus pugnemus indesinentèr usque,
" Induti corpus aere indomito : neque quis aliâ
" Copiarum cohortatione expectatâ subsistat.
" Illa enim cohortatio malè ei cedet, quicunque relictus fuerit
" Apud naves Argivorum : sed omnes-simul *castris*-egressi
" In Trojanos equûm-domitores excitemus acre proelium."
Dixit, et Nestoris filios sibi comites delegit gloria-sublimis,
Phylidemque Megeta, Thoantaque, Merionemque,

Ibid. —— πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν.] Ἀλληγορικῶς οὖν καλάμην νῦν κέκληκε τὰ σώματα τῶν ἀνηρημένων. *Schol.* " Quo-" tiens multam necem significare vult, *mes-" sem* hominum factum esse dicit." *Macrob. Saturnal. Lib.* V, *cap.* 15.

Ver. 223. —— κλίνησι.] Vide suprà ad ά, 509 et 338.

Ver. 226. Λίην γὰρ πολλοί.]

Namque nimis multos, atque omni luce cadentes
Cernimus ; ut nemo possit mœrore vacare.
Quo magis est æquum tumulis mandare peremptos
Firmo animo, et luctum lacrymis finire diurnis.

Cic. Tusc. Disputat. Lib. 3.

Ver. 229. —— δακρύσαντας.] *Al.* δακρυχέοντας.

Ver. 233. Ἑσσάμενοι χροῒ χαλκόν.] *Cum nosmet ipsi armaverimus.* Similitérque infrà ver. 238. ———— Νέστορος υἷας ὀπάσσατο· *Nestoris filios sibi ipse comites ascivit.* Vide suprà ad *ver.* 23. et ad γ΄, 168.

Ver. 236. Νηυσὶν ἐπ᾽ Ἀργείων.] *Al.* Νηυσὶ παρ᾽ Ἀργείων. Quo modo legit et Codex *Harleianus.*

Καὶ Κρειοντιάδην Λυκομήδεα, καὶ Μελάνιππον·
Βὰν δ' ἴμεν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρείδαο.
Αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον·
Ἑπτὰ μὲν ἐκ κλισίης τρίποδας φέρον, οὕς οἱ ὑπέστη,
Αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους·
Ἐκ δ' ἄγον αἶψα γυναῖκας ἀμύμονας, ἔργ' εἰδυίας,
Ἕπτ', ἀτὰρ ὀγδοάτην, Βρισηΐδα καλλιπάρηον.
Χρυσοῦ δὲ στήσας Ὀδυσεὺς δέκα πάντα τάλαντα,
Ἦρχ', ἅμα δ' ἄλλοι δῶρα φέρον κούρητες Ἀχαιῶν.
Καὶ τὰ μὲν ἐν μέσσῃ ἀγορῇ θέσαν· ἂν δ' Ἀγαμέμνων
Ἵστατο· Ταλθύβιος δὲ, θεῷ ἐναλίγκιος αὐδὴν,
Κάπρον ἔχων ἐν χερσὶ, παρίστατο ποιμένι λαῶν.
Ἀτρείδης δὲ ἐρυσσάμενος χείρεσσι μάχαιραν,
Ἥ οἱ πὰρ ξίφεος μέγα κουλεὸν αἰὲν ἄωρτο,
Κάπρου ἀπὸ τρίχας ἀρξάμενος, Διῒ χεῖρας ἀνασχὼν,
Εὔχετο· τοὶ δ' ἄρα πάντες ἐπ' αὐτόφιν εἵατο σιγῇ

Et Creontiadem Lycomedem, et Melanippum:
Perrexerunt autem ire ad tentorium Agamemnonis Atridae.
Statim deindè simul verbum fuit, et perfectum est opus:
Septem quidem è tentorio tripodas ferebant, quos ei pollicitus erat,
Splendidosque lebetas viginti, duodecimque equos:
Eduxerunt confestim et mulieres formâ-egregias, operum scientes,
Septem, at octavam, Briseïda genas-pulchram.
Auri autem appensa Ulysses decem omnia talenta,
Praeibat *ferens*; simulque alii dona ferebant juvenes Achivorum.
Et ea quidem in mediâ concione posuerunt: at Agamemnon
Surrexit: Talthybius autem, deo similis voce,
Aprum tenens manibus, adstabat pastori populorum.
Atrides autem, extracto manibus cultro,
Qui ei juxta ensis magnam vaginam semper pendebat,
Apri setis pro primitiis abscissis, Jovi manibus sublatis,
Precabatur: ii verò omnes ibidem sedebant tacitè

Ver. 242. —— *ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον.*] Sic apud *Virgilium:*

Sic ait, et *dicto citius* tumida æquora placat. *Æn.* I, 146.

Item apud *Terentium:*

——— *dictum factum* huc abiit ———.
Heauton. Timor. Act. V, *Sc.* I, 31.

Ibid. — *τετέλεστο.*] Vide suprà ad *δ'*, 492. et ad *ά*, 37.

Ver. 245. —— *ἀμύμονας, ἔργ' εἰδυίας.*] *Al.* *ἀμύμονα ἔργ' εἰδυίας.*

Ver. 247. *Χρυσοῦ δὲ στήσας Ὀδυσεὺς δέκα πάντα τάλαντα.*] *Decem ipsa talenta*, vel *talenta non minus decem.* Malè igitur vir eruditissimus *Dionysius Halicarnassensis*, *περὶ τῆς Ὁμήρου ποιήσεως*, § 8. *Τῶν δὲ σχημάτων τὰ μὲν κατὰ Πλεονασμὸν ποιεῖ· ἐνίοτε μὲν διὰ τὸ μέτρον· ὡς ἐν τούτῳ· "Χρυσοῦ δὲ στήσας Ὀδυσεὺς δέκα πάντα "τάλαντα." Τὸ γὰρ "πάντα" μηδὲν συντελοῦν ἐγκεῖται.* Vide suprà ad *σ'*. 373 et 470.

Ibid. ——— *στήσας.*] *Διὰ ζυγοῦ στήσας· οὕτω γὰρ οἱ ἀρχαῖοι τὰ χρήματα ἐστάθμιζον.* *Schol.* Vide infrà ad *ώ*, 232.

Ver. 248. ——— *κούρητες Ἀχαιῶν.*] *Strabo*, *Geograph. lib.* X. legit *κουρῆτες Ἀχαιοί.*

Ver. 253. —— *ἄορτο.*] *Al.* *ἄωρτο.*

Ver. 254. —— *χεῖρας ἀνασχὼν, Εὔχετο.*]

——— duplices tendens ad sidera palmas. *Æn.* I, 67.

——— oculos ad sidera lætus
Extulit, et cœlo palmas cum voce tetendit. *Æn.* II, 687.

Et duplices cum voce manus ad sidera tendit. *Æn.* X, 667.

Ἀργεῖοι, κατὰ μοῖραν, ἀκούοντες βασιλῆος.
Εὐξάμενος δ' ἄρα εἶπεν, ἰδὼν εἰς οὐρανὸν εὐρύν·
Ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος,
Γῆ τε, καὶ Ἠέλιος, καὶ Ἐριννύες, αἵ θ' ὑπὸ γαῖαν
Ἀνθρώπους τίνυνται, ὅτις κ' ἐπίορκον ὀμόσσῃ·
Μὴ μὲν ἐγὼ κούρῃ Βρισηΐδι χεῖρ' ἐπενεῖκα,
Οὔτ' εὐνῆς πρόφασιν κεχρημένος, οὔτε τευ ἄλλου·
Ἀλλ' ἔμεν' ἀπροτίμαστος ἐνὶ κλισίῃσιν ἐμῇσιν.
Εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν
Πολλὰ μάλ', ὅσσα διδοῦσιν, ὅτις σφ' ἀλίτηται ὀμόσσας.
Ἦ, καὶ ἀπὸ στόμαχον κάπρου τάμε νηλέϊ χαλκῷ·
Τὸν μὲν Ταλθύβιος πολιῆς ἁλὸς ἐς μέγα λαῖτμα
Ῥίψ' ἐπιδινήσας, βόσιν ἰχθύσιν· αὐτὰρ Ἀχιλλεὺς
Ἀνστὰς Ἀργείοισι φιλοπτολέμοισι μετηύδα·
Ζεῦ πάτερ, ἦ μεγάλας ἄτας ἄνδρεσσι διδοῖσθα·
Οὐκ ἂν δήποτε θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσιν
Ἀτρείδης ὤρινε διαμπερὲς, οὐδέ κε κούρην
Ἦγεν, ἐμεῦ ἀέκοντος, ἀμήχανος· ἀλλά ποθι Ζεὺς
Ἤθελ' Ἀχαιοῖσιν θάνατον πολέεσσι γενέσθαι.

Argivi, ut par erat, auscultantes regi.
Conceptis autem precibus dixit, suspiciens in coelum latum:
" Testis-sit nunc Jupiter primùm, deorum summus et optimus,
" Terraque, et Sol, et Furiæ, quae sub terram
" Homines puniunt, quicunque perjurium jurârit:
" Nequaquàm ego puellae Briseïdi manum intuli,
" Neque concubitûs causâ indigens *ipsâ*, neque alicujus alterius *rei*:
" Sed mansit intacta in tentoriis meis.
" Si verò quid horum perjurium *est*, mihi dii dolores dent
" Multos admodùm, quot dant *ei*, qui in eos peccârit jurando."
Dixit, et jugulum apri abscidit saevo aere:
Hunc quidem Talthybius cani maris in magnum aequor
Projecit circumrotatum, escam piscibus: At Achilles
Assurgens inter Argivos bellicosos locutus est:
" Jupiter pater, magnas calamitates omninò mortalibus infers:
" Neque enim unquam animum in pectoribus meis
" Atrides commovisset prorsùs, neque puellam utique
" Abduxisset, me invito, mala-struens; at nimirùm Jupiter
" Voluit Achivis mortem multis contingere.

Ver. 258. Ἴστω νῦν — Γῆ τε, καὶ Ἠέλιος.] Esto nunc sol testis, et haec mihi terra precanti. *Æn.* XII, 176.

Ver. 260. ——— τίνυνται, ὅτις κ' ἐπίορκον ὀμόσσῃ.]

——— φασὶν Ἐριννύας ἀμφιπολεύειν
Ὅρκον τιννυμένας, τὸν Ἔρις τέκε πῆμ' ἐπιόρκοις.
Hesiod. Ἡμέραι, *ver.* 39.

Ὅρκον θ', ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους
Πημαίνει, ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ.
Id. Theogon. ver. 231.

Ibid. ——— τίνυνται.] Vide suprà ad β', 43. et ad γ', 279. *Al.* τίννυνται.

Ver. 266. ——— ἀπὸ στόμαχον κάπρου τάμε.] Id est, κάπρου στόμαχον ἀπέταμε.

Ver. 270. Ζεῦ πάτερ.] Vide suprà ad ό, 372.

Ver. 273. Ἦγεν, ἐμεῦ ἀέκοντος, ἀμήχανος· ἀλλά.] Ita ex *Eustathio* edidit *Barnesius*. *Al.* Ἦγεν, ἐμεῦ ἀεκόντος· ἀμήχανος ἀλλά.

Νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν ἄρηα.
  Ὡς ἄρ' ἐφώνησεν· λῦσεν δ' ἀγορὴν αἰψηρήν.
Οἱ μὲν ἄρ' ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος.
Δῶρα δὲ Μυρμιδόνες μεγαλήτορες ἀμφεπένοντο,
Βὰν δ' ἐπὶ νῆα φέροντες Ἀχιλλῆος θείοιο·
Καὶ τὰ μὲν ἐν κλισίῃσι θέσαν, κάθισαν δὲ γυναῖκας·
Ἵππους δ' εἰς ἀγέλην ἔλασαν θεράποντες ἀγαυοί.
Βρισηῒς δ' ἄρ' ἔπειτ', ἰκέλη χρυσῇ Ἀφροδίτῃ,
Ὡς ἴδε Πάτροκλον δεδαϊγμένον ὀξέϊ χαλκῷ,
Ἀμφ' αὐτῷ χυμένη, λίγ' ἐκώκυε, χερσὶ δ' ἄμυσσε
Στήθεά τ', ἠδ' ἀπαλὴν δειρὴν, ἰδὲ καλὰ πρόσωπα·
Εἶπε δ' ἄρα κλαίουσα γυνὴ, εἰκυῖα θεῇσι·
  Πάτροκλέ, μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ,
Ζωὸν μέν σε ἔλειπον ἐγὼ, κλισίηθεν ἰοῦσα,
Νῦν δέ σε τεθνειῶτα κιχάνομαι, ὄρχαμε λαῶν,
Ἂψ ἀνιοῦσ'· ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί.

" Nunc verò abite ad jentaculum, ut committamus proelium."
Sic dixit: solvit autem concionem celerem.
Illi quidem dispergebantur suam ad navem quisque.
Dona verò Myrmidones magnanimi procurabant,
Iverunt autem ad navem ferentes Achillis divini;
Et ea quidem in tentoriis posuerunt, collocaveruntque-in-sedibus mulieres:
Equos verò ad armentum egerunt famuli praeclari.
Tum verò Briseïs, similis aureae Veneri,
Ut vidit Patroclum laceratum acuto aere,
Ipsi circumfusa, stridulum edidit-ululatum, manibusque laniabat
Pectoraque, et teneram cervicem, atque pulchra ora:
Dixit autem flens mulier, similis deabus:
" Patrocle, mihi miserae charissime animo,
" Vivum quidam te reliqui ego, è tentorio abiens,
" Nunc verò te mortuum invenio, princeps populorum,
" Reversa: Ut me excipit malum è malo semper!

Ver. 277. — ἄρ'.] *Ut jusserat Achilles.* —— *ver.* 275.

Ver. 282. — ἔπειτ', ἰκέλη.] Ita edidit *Barnesius*; *Al.* ἔπειθ', ἰκέλη.

Ibid. —— χρυσῇ.] Edidit *Barnesius* χρυσέη. Quod eodem modo pronuntiandum; primam enim necessariò producit. Vide suprà ad ν', 523.

Ver. 284. Ἀμφ' αὐτῷ χυμένη, λίγ' ἐκώκυε.]

Unguibus ora soror foedans et pectora pugnis,
Per medios ruit, ac morientem nomine clamat.
Æn. IV, 673.

Ibid. — ἐκώκυε.] Pronuntiabatur, ut opinor, ἐκώκυ. Vide suprà ad σ', 37. et ad ά, 488.

Ver. 287. Πάτροκλέ, μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ.] Πολλὰ σχήματα παρ' Ὁμήρῳ, πάμπολλα καὶ ἐν ἄλλαις ὑποθέσεσιν ἄλλα διοικούμενα· ἐπεὶ καὶ ὁ τῆς Βρισηΐδος λόγος οὐκ ἀσχημάτιστος, ὅτι ἤκουσε παρὰ τοῦ Ἀγαμέμνονος, θεασαμένη τὸν Πάτροκλον κείμενον, ἐπιπίπτει τῷ σώματι, καὶ θρηνεῖ Πάτροκλον. Καὶ οἴεται ὁ ἀκροατὴς ὅτι Πάτροκλον θρηνεῖ· ἐνδείκνυται δὲ ὁ ποιητὴς σοφίαν γυναικὸς ἐν ἀκμῇ καιροῦ ἀπαιτούσης τὰς τῆς γυναικὸς ὑποσχέσεις· καὶ διὰ τοῦτο θρήνου δίκην λεγούσης πρὸς Ἀχιλλέα· " Πάτροκλέ, μοι δειλῇ πλεῖστον κεχαρισ- " μένε θυμῷ, Ζωὸν," &c. *Dionys. Halicarn. Lib. qui inscribitur* Τέχνη, *cap.* 9.

Ver. 289—300. —— τεθνειῶτα —— τεθνηότα.] Vide suprà ad ν', 46.

Ver. 290. —— δέχεται κακὸν ἐκ κακοῦ αἰεί.]

Ἕτερα δ' ἀφ' ἑτέρων
Κακὰ κακῶν κυρεῖ.
Euripid. Hecuba, ver. 688.

Ἄνδρα μὲν, ᾧ ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ,
Εἶδον πρὸ πτόλιος δεδαϊγμένον ὀξέϊ χαλκῷ·
Τρεῖς τε κασιγνήτους, τούς μοι μία γείνατο μήτηρ,
Κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον.
Οὐδὲ μὲν οὐδ' ἔμ' ἔασκες, ὅτ' ἄνδρ' ἐμὸν ὠκὺς Ἀχιλλεὺς
Ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος,
Κλαίειν, ἀλλ' ἔμ' ἔφασκες Ἀχιλλῆος θείοιο
Κουριδίην ἄλοχον θήσειν, ἄξειν τ' ἐνὶ νηυσὶν
Ἐς Φθίην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσι.
Τῷ σ' ἄμοτον κλαίω τεθνηότα, μείλιχον αἰεί.
Ὣς ἔφατο κλαίουσ'· ἐπὶ δὲ στενάχοντο γυναῖκες,
Πάτροκλον πρόφασιν, σφῶν δ' αὐτῶν κήδε' ἑκάστη.
Αὐτὸν δ' ἀμφὶ γέροντες Ἀχαιῶν ἠγερέθοντο,
Λισσόμενοι δειπνῆσαι· ὁ δ' ἠρνεῖτο στεναχίζων·

" Virum quidem, cui collocârant me pater et veneranda mater,
" Vidi ante urbem confossum acuto aere;
" Tresque fratres, quos mihi eadem peperit mater,
" Conjunctissimos, qui omnes exitialem diem obierunt.
" Haudquaquàm tamen me sinebas, quandò virum meum velox Achilles
" Interfecit, evertitque urbem divini Mynetis,
" Flere; sed me dicebas Achillis divini
" Primam uxorem *te* facturum esse, abducturumque in navibus
" In Phthiam, instructurumque epulas-nuptiales inter Myrmidonas.
" Ideò te inexpletùm fleo mortuum, animo semper mansuetum."
Sic dixit flens: adgemebant autem foeminae,
De Patroclo, specie; de suis autem *reverâ* ipsarum malis singulae.
Ipsum verò circum *Achillem* seniores Achivorum congregabantur,
Precantes, ut jentaculum sumeret: Is verò recusabat gemebundus:

——— ἐπὶ δ' ἄλγεσιν ἄλγεα κεῖται.
Id. Troades, ver. 591.

——— aliud ex alio malum.
Terent. Eunuch. Act. V. *Scen.* V, 17.

Ver. 294. ——— ἐπέσπον.] Cod. *Harleian.* ἐπίσπων.

Ver. 295. Οὐδὲ μὲν οὐδ'.] Singularem habet vim duplex ista negatio, quae sermone Romano exprimi non potest.

Ver. 295—297. —— ἔασκες, —— ἔφασκες.] Vide suprà ad *ver.* 42. et ad ν', 84.

Ver. 296. —— πέρσεν δὲ πόλιν θείοιο Μύνητος.] Ἐμφαίνει γὰρ τὴν Λυρνησσὸν, λέγων " πόλιν " θείοιο Μύνητος," ὡς ἂν δυναστευομένην ὑπ' αὐτοῦ, καὶ ἐνταῦθα πεσεῖν αὐτὸν μαχόμενον. *Strabo, Geograph. Lib.* XIII. Rectè; Ut liquet ex *Iliad.* β', 689:

Κούρης χωόμενος Βρισηΐδος ἠϋκόμοιο,
Τὴν ἐκ Λυρνησσοῦ ἐξείλετο, πολλὰ μογήσας,
Λυρνησσὸν διαπορθήσας καὶ τείχεα Θήβης,
Καδδὲ Μύνητ' ἔβαλεν ———.

Cæterùm Codex *Harleianus* hîc legit, ἐκ δ' εἷλε πόλιν.

Ver. 298. Κουριδίην ἄλοχον.] Vide suprà ad ά, 114.

Ibid. —— ἐνὶ νηυσίν.] *Al.* ἐπὶ νηυσίν.

Ver. 299. —— δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσι.] Ita apud *Euripidem:*

Εἰς τὰς ἄλλας ὥρας γὰρ δὴ
Παιδὸς δαίσομεν ὑμεναίους.
Iphig. in Aul. ver. 122.

Ἐνταῦθ' ἔδαισαν Πηλέως γάμον θεοί.
Ibid. ver. 707.

Ver. 302. Πάτροκλον πρόφασιν, σφῶν δ' αὐτῶν κήδε' ἑκάστη.] " Selon mon goût particulier, voilà le trait le plus fin qui soit " dans toute l'Iliade: rien n'est plus naturel que l'image que le Poëte nous presente de ces pauvres filles, qui se trouvant " depuis assez longtemps entre les mains " d'un vainqueur, renouvellent leur larmes à " l'occasion des nouveaux objets de tristesse " qui les environnent, quoiqu' elles y prissent " peu de part." *Terrasson. Dissertat. sur l'Iliade, Part.* IV. *cap.* 4.

Λίσσομαι, εἴ τις ἔμοιγε φίλων ἐπιπείθεθ' ἑταίρων,
Μή με πρὶν σίτοιο κελεύετε, μηδὲ ποτῆτος
Ἄσασθαι φίλον ἦτορ, ἐπεί μ' ἄχος αἰνὸν ἱκάνει·
Δύντα δ' ἐς ἠέλιον μενέω, καὶ τλήσομαι ἔμπης.
  Ὣς εἰπών, ἄλλους μὲν ἀπεσκέδασεν βασιλῆας·
Δοιὼ δ' Ἀτρεΐδαι μενέτην, καὶ δῖος Ὀδυσσεὺς,
Νέστωρ, Ἰδομενεύς τε, γέρων θ' ἱππηλάτα Φοῖνιξ,
Τέρποντες πυκινῶς ἀκαχήμενον· οὐδέ τι θυμῷ
Τέρπετο, πρὶν πολέμου στόμα δύμεναι αἱματόεντος.
Μνησάμενος δ' ἀδινῶς ἀνενείκατο, φώνησέν τε·
  Ἦ ῥά νύ μοι ποτὲ καὶ σὺ, δυσάμμορε, φίλταθ' ἑταίρων,
Αὐτὸς ἐνὶ κλισίῃ λαρὸν παρὰ δεῖπνον ἔθηκας
Αἶψα καὶ ὀτραλέως, ὁπότε σπερχοίατ' Ἀχαιοὶ
Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν ἄρηα.
Νῦν δὲ σὺ μὲν κεῖσαι δεδαϊγμένος· αὐτὰρ ἐμὸν κῆρ
Ἄκμηνον πόσιος καὶ ἐδητύος, ἔνδον ἐόντων,
Σῇ ποθῇ· οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθοιμι·
Οὐδ' εἴ κεν τοῦ πατρὸς ἀποφθιμένοιο πυθοίμην,
Ὅς που νῦν Φθίηφι τέρεν κατὰ δάκρυον εἴβει,

" Obsecro, siquis omninò mihi charorum obsequatur sociorum,
" Ne me antè cibo jubete, neque potu,
" Satiare meum animum; dolor enim me gravis invadit:
" Ad occidentem autem solem expectabo, et perferam prorsùs."
Sic fatus, alios quidem dimisit reges:
Duo autem Atridae manebant et nobilis Ulysses,
Nestor, Idomeneusque, senexque equûm-agitator Phoenix,
Oblectantes assiduè tristem: neque quicquam animo
Oblectabatur, antequàm proelii aciem subiret sanguinolenti.
Recordatus verò crebros ex-imo-pectore-trahebat-*gemitus*, dixitque:
" Certe mihi olim et tu, infelix, charissime sodalium,
" Ipse in tentorio lautum jentaculum apponebas
" Properè et diligentèr, quando festinarent Achivi
" Trojanis equûm-domitoribus inferre lacrymosum Martem.
" Nunc verò tu quidem jaces confossus; sed meum cor
" Expers potûs et cibi, intùs licèt sint,
" Tui desiderio: Neque enim quicquam pejus aliud paterer:
" Ne quidem si vel patrem mortuum audirem,
" Qui fortasse nunc in Phthiâ molles lacrymas effundit,

Ver. 307. Ἄσασθαι.] Vide suprà ad *ver.* 167. et ad γ', 141.

Ver. 309. —— ἀπεσκέδασεν.] Vide suprà ad ά, 140.

Ver. 310. —— Ἀτρεΐδαι.] Cod. *Harleian.* Ἀτρεΐδα.

Ver. 311. Νέστωρ, Ἰδομενεύς τε.] Cod. *Harleian.* Νέστωρ τ', Ἰδομενεύς τε.

Ibid. — ἱππηλάτα.] Vide suprà ad ά, 175.

Ibid. — Φοῖνιξ.] Vide suprà ad β', 267.

Ver. 314. — ἀδινῶς ἀνενείκατο.] Ἀθρόως καὶ ἐλεεινῶς καὶ οἰκτρῶς ἀνέκραξεν· ἢ, οἱονεὶ ἀνεστέναξε, καὶ πολὺ ἤγαγε πνεῦμα. *Schol. Al.* ἀδινῶς ἀνενέγκατο.

Ver. 316. ——— ἐνὶ κλισίῃ λαρὸν.] *Al.* ἐνὶ κλισίῃσι λαρόν. Minùs rectè; nam λαρὸν *priorem* producit. Vide suprà ad ρ, 572.

Ver. 318. —— πολύδακρυν ἄρηα.]
——— lacrymabile bellum.
Æn. VII, 604.

Ver. 322. —— ἀποφθιμένοιο.] Similitérque infrà *ver.* 377. Vide suprà ad β', 43.

Χήτεϊ τοιοῦδ' υἷος· ὁ δ' ἀλλοδαπῷ ἐνὶ δήμῳ
Εἵνεκα ῥιγεδανῆς Ἑλένης Τρωσὶν πολεμίζω·
Ἠὲ τὸν, ὃς Σκύρῳ μοι ἐνιτρέφεται φίλος υἱὸς,
Εἴ που ἔτι ζώει γε, Νεοπτόλεμος θεοειδής.
Πρὶν μὲν γάρ μοι θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει,
Οἶον ἐμὲ φθίσεσθαι ἀπ' Ἄργεος ἱπποβότοιο,
Αὐτοῦ ἐνὶ Τροίῃ, σὲ δέ τε Φθίηνδε νέεσθαι,
Ὥς ἄν μοι τὸν παῖδα θοῇ σὺν νηῒ μελαίνῃ
Σκυρόθεν ἐξαγάγοις, καί οἱ δείξειας ἕκαστα,
Κτῆσιν ἐμὴν, δμῶάς τε, καὶ ὑψερεφὲς μέγα δῶμα.
Ἤδη γὰρ Πηλῆά γ' οἴομαι ἢ κατὰ πάμπαν
Τεθνάμεν, ἤ που τυτθὸν ἔτι ζώοντ' ἀκαχῆσθαι,
Γήραΐ τε στυγερῷ, καὶ ἐμὴν ποτιδέγμενον αἰεὶ
Λυγρὴν ἀγγελίην, ὅτ' ἀποφθιμένοιο πύθοιτο.
Ὣς ἔφατο κλαίων· ἐπὶ δὲ στενάχοντο γέροντες,
Μνησάμενοι τὰ ἕκαστος ἐνὶ μεγάροισιν ἔλειπον.
Μυρομένους δ' ἄρα τούς γε ἰδὼν ἐλέησε Κρονίων,

" Desiderio talis filii : ipse verò alienigeno in populo
" Propter invisam Helenam contra Trojanos bellum-gero :
" Vel illum, qui in Scyro mihi nutritur charus filius,
" Si quidem adhuc vivit, Neoptolemus divinâ-formâ-praeditus.
" Nam anteà quidem mihi animus in pectoribus sperabat,
" Solum me moriturum esse, longè ab Argo apto-equis,
" Hîc in Trojâ ; te verò ad Phthiam rediturum-esse,
" Ut mihi filium veloci cum nave nigrâ
" E-Scyro educeres, et ei ostenderes singula,
" Possessionem meam, servosque, et altum-tectum-habentem magnam domum.
" Nunc enim Peleum utique púto vel prorsùs
" Interiisse, vel aegrè adhuc viventem tristari,
" Senioque inviso, et de me expectantem semper
" Tristem nuncium, quando interfectum audiat."
Sic dixit flens : adgemebant autem primores,
Recordati quae quisque in aedibus reliquerant.
Lugentes verò hos intuitus miseratus est Saturnius,

Ver. 326. Ἠὲ τὸν, ὃς Σκύρῳ.] Τὸ δὲ " Ἠὲ " τὸν," οὐ συνήθως ἐσχημάτισται, ἀλλά τι παρεξήλλακται· ἦν μὲν γὰρ τοῦ εἱρμοῦ, τὸ εἰπεῖν· Οὐδ' εἴκεν τοῦ πατρὸς πυθοίμην· ἠὲ τοῦ, ἤγουν τούτου, ὃς Σκύρῳ μοι ἐνιτρέφεται. Ἀχιλλεὺς δὲ, ὡς οἷον ἐκλαθόμενος ὑπὸ πένθους τῆς ἐθίμου συντάξεως, ἔφη τὸ, " Ἠὲ τὸν." *Eustath.* Consultò certè ita scripsit Poëta, cùm æquè facilè scribere potuisset, " Ἠὲ τοῦ, ὃς " Σκύρῳ," &c.

Ibid. ——— Σκύρῳ.] Σκῦρος, νῆσος μία τῶν Κυκλάδων. *Schol.* ad *ver.* 332.

Ver. 327. ——— θεοειδής.] Vide suprà ad β', 623.

Ver. 329. —— φθίσεσθαι.] Vide suprà ad β', 833.

Ver. 332. —— ἐξαγάγοις.] *Al.* ἐξαγάγῃς.

Ver. 334. —— Πηλῆά.] Vide suprà ad ά, 265.

Ver. 336. ——— ποτιδέγμενον.] *Barnesius* edidit προτιδέγμενον. Quod perindè est.

Ver. 337. ——— πύθοιτο.] *Al.* πύθηται. Quo modo legit et Codex *Harleianus.*

Ver. 338. Ὣς ἔφατο κλαίων.]
Sic fatur lacrymans.—— *Æn.* VI, 1.

Ver. 339. —— ἐνὶ μεγάροισιν.] Quâ ratione, ἐνὶ, hîc ultimam producat; item ὀδυρόμενος, *ver.* 345. et τανυπτέρυγι, *ver.* 350. vide suprà ad ά, 51.

Ibid. ——— ἔλειπον.] *Al.* ἔλειπεν. Cod. *Harleian.* ἔλειπε.

Ver. 340. —— ἄρα.] *Eo modo quo dixi —.*

Ibid. —— Κρονίων.] Vide suprà ad ά, 265 et 397.

Αἶψα δ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
Τέκνον ἐμὸν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸς ἑῆος.
Ἦ νύ τοι οὐκέτι πάγχυ μετὰ φρεσὶ μέμβλετ' Ἀχιλλεύς;
Κεῖνος ὅγε προπάροιθε νεῶν ὀρθοκραιράων,
Ἧσται ὀδυρόμενος ἕταρον φίλον· οἱ δὲ δὴ ἄλλοι
Οἴχονται μετὰ δεῖπνον· ὁ ἄκμηνος καὶ ἄπαστος.
Ἀλλ' ἴθι, οἱ νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν
Στάξον ἐνὶ στήθεσσ', ἵνα μή μιν λιμὸς ἵκηται.
Ὣς εἰπὼν, ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
Ἡ δ', ἅρπῃ εἰκυῖα τανυπτέρυγι, λιγυφώνῳ,
Οὐρανοῦ ἐκκατέπαλτο, δι' αἰθέρος· αὐτὰρ Ἀχαιοὶ
Αὐτίκα θωρήσσοντο κατὰ στρατόν· ἡ δ' Ἀχιλῆϊ
Νέκταρ ἐνὶ στήθεσσι καὶ ἀμβροσίην ἐρατεινὴν
Στάξ', ἵνα μή μιν λιμὸς ἀτερπὴς γούναθ' ἵκηται.
Αὐτὴ δὲ πρὸς πατρὸς ἐρισθενέος πυκινὸν δῶ
Ὤχετο· τοὶ δ' ἀπάνευθε νεῶν ἐχέοντο θοάων.
Ὡς δ' ὅτε ταρφειαὶ νιφάδες Διὸς ἐκποτέονται,
Ψυχραὶ ὑπαὶ ῥιπῆς αἰθρηγενέος Βορέαο·

Confestimque Minervam verbis alatis allocutus est:
" Filia mea, jam prorsùs deseris virum bonum.
" An utique tibi haud jam omninò in animo curae-est Achilles?
" En! ille ante naves puppibus-excelsas,
" Sedet plorans sodalem charum: alii verò jam
" Abierunt ad jentaculum; is verò jejunus et impastus *est*.
" Quin abi, ei nectarque et ambrosiam amabilem
" Instilla in pectora, ut nè ipsum fames occupet."
Sic locutus, impulit anteà paratam-animo Minervam:
Illa verò, harpae similis alas-patulae, vocem-argutae,
E coelo desiliit, per aethera: At Achivi
Jam-tum armabantur per castra: Illa verò Achilli
Nectar in pectora et ambrosiam amabilem
Instillavit, ut nè eum fames peracerba genua occuparet.
Ipsa verò ad patris praepotentis solidam domum
Abiit; illi autem seorsùm à navibus fundebantur velocibus.
Ut verò cùm densae nives à Jove devolant,
Gelidae impetu-actae serenitatem-inducentis Boreae:

Ver. 349. —— *ὤτρυνε.*] Vide suprà ad *γ'*, 44.

Ver. 350. —— *ἅρπη.*] Εἶδος ὀρνέου· τινὲς ἰκτῖνον καλοῦσιν, ἕτεροι δὲ φήνην· λέγεται δὲ καὶ τὸ δρέπανον. *Schol.*

Ibid. —— *τανυπτέρυγι, λιγυφώνῳ.*] Hinc liquet Vocalem istam *υ* in vocibus, λιγὺς, λιγύφωνος, *Brevem* esse. Malè igitur *Phil. Labbæus*: " *Vocales longæ* (inquit) *corripi* " *possunt in carmine, per solam Systolam pu-* " *ramque Licentiam; cùm palàm et apertè* " *longa breviatur; ut secunda in λιγύφθογ-* " *γος.*" Dialect. linguæ Græcæ, cap. IX. § 2. Utique, Licentia ista siqua esset, periisset omnis Prosodia. Quod autem " λι- " γύφθογγος" secundam nonnunquam producat, id verò *positioni soli* debetur. Vide suprà ad *β'*, 537.

Ver. 356. —— *ἀπάνευθε.*] Vide suprà ad *ά*, 349.

Ver. 357. —— *νιφάδες.*] De hujus vocis prosodiâ, vide suprà ad *μ'*, 280. et ad *γ*, 754.

Ver. 358. —— *ὑπαὶ.*] *Al.* ὑπὸ.

Ὡς τότε ταρφειαὶ κόρυθες, λαμπρὸν γανόωσαι,
Νηῶν ἐκφορέοντο, καὶ ἀσπίδες ὀμφαλόεσσαι,
Θώρηκές τε κραταιγύαλοι, καὶ μείλινα δοῦρα.
Αἴγλη δ' οὐρανὸν ἷκε, γέλασσε δὲ πᾶσα περὶ χθὼν
Χαλκοῦ ὑπὸ στεροπῆς· ὑπὸ δὲ κτύπος ὤρνυτο ποσσὶν
Ἀνδρῶν· ἐν δὲ μέσοισι κορύσσετο δῖος Ἀχιλλεύς·
Τοῦ καὶ ὀδόντων μὲν καναχὴ πέλε, τὼ δέ οἱ ὄσσε
Λαμπέσθην, ὡσεί τε πυρὸς σέλας· ἐν δέ οἱ ἦτορ
Δῦν' ἄχος ἄτλητον· ὁ δ' ἄρα Τρωσὶν μενεαίνων
Δύσετο δῶρα θεοῦ, τά οἱ Ἥφαιστος κάμε τεύχων.
Κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε

Sic tunc crebrae galeae, lucidùm renidentes,
E navibus ferebantur, et clypei umbonibus-muniti,
Thoracesque concavis-firmi, et fraxineae hastae.
Fulgor autem ad-coelum-usque ascendebat, ridebatque omnis circùm terra
Aeris prae fulgure: strepitusque ciebatur sub pedibus
Virorum: In mediis verò armabatur nobilis Achilles:
Cui et dentes quidem frendebant, oculique
Splendebant, velut ignis flamma; eique cor penitùs
Subiit dolor intolerabilis: ille quidem Trojanis irascens,
Induit dona Dei, quae ei Vulcanus elaboraverat fabricans.
Ocreas quidem primùm circa tibias posuit

Ver. 361. Θώρηκές τε κραταιγύαλοι.] Ἰσχυρὰ γύαλα ἔχοντες, ἰσχυροί· Γύαλα δὲ, τὰ κοιλώματα. *Schol.* De hujusmodi *Thoracibus*, *Pausanias:* Δύο ἦν χαλκᾶ ποιήματα, τὸ μὲν στέρνῳ καὶ τοῖς ἀμφὶ τὴν γαστέρα ἁρμόζον, τὸ δὲ ὡς νώτου σκέπην εἶναι. Γύαλα ἐκαλοῦντο· τὸ μὲν ἔμπροσθεν τὸ δὲ ὄπισθεν προσῆγον. Ἔπειτα περόναι συνῆπτεν πρὸς ἄλληλα. Ἀσφάλειαν δὲ ἀποχρῶσαν ἐδόκει παρέχεσθαι καὶ ἀσπίδος χωρίς. Ἐπὶ τούτῳ καὶ Ὅμηρος Φόρκυνα τὸν Φρύγα οὐκ ἔχοντα ἀσπίδα ἐποίησεν, [suprà ρ', 314.] ὅτι αὐτῷ γυαλοθώραξ ἦν. *Phocic. Lib.* X. *cap.* 26.

Ibid. —— καὶ μείλινα δοῦρα.] Post hunc versum, in uno MS. repperit *Barnesius:*

Ἐκ νηῶν ἐχέοντο· βοὴ δ' ἄσβεστος ὀρώρει.

Quod videtur ex π', 267. huc irrepsisse.

Ver. 362. Αἴγλη δ' οὐρανὸν ἷκε, γέλασσε δὲ πᾶσα περὶ χθὼν Χαλκοῦ ὑπὸ στεροπῆς.] *Al.* ἀπὸ στεροπῆς.

Fulgur ibi ad cœlum se tollit; totaque circùm
Ære renidescit tellus ————.
Lucret. Lib. II. *ver.* 327.

———— ac latè fluctuat omnis
Ære renidenti tellus ————.
Virg. Georg. II, 281.

Ibid. ———— γέλασσε.] Ἤτοι λαμπρυνθεῖσα φαιδρὰ γέγονεν. *Porphyr. Quæst. Homeric.* 9.

Ver. 363. —— ὑπὸ δὲ κτύπος ὤρνυτο ποσσὶν Ἀνδρῶν.]

———————— subterque virûm vi
Excitur pedibus sonitus ————.
Lucret. Lib. II. *ver.* 328.

Ibid. et *ver.* 365. —— κτύπος — καναχή.] Vide suprà ad δ', 455.

Ibid. —— ὤρνυτο.] Vide suprà ad γ', 260.

Ver. 365. ———— τὼ δέ οἱ ὄσσε Λαμπέσθην, ὡσεί τε πυρὸς σέλας.]

———— stant lumina flammâ.
Æn. VI, 300.

———— totoque ardentis ab ore
Scintillæ absistunt; oculis micat acribus ignis.
Æn. VII, 102.

Ver. 367.—ἄρα.] *Ut dictum est—ver.* 364.

Ver. 368.—Δύσετο.] Vide suprà ad β', 35. et ad ἑ, 109.

Ver. 369. Κνημῖδας μὲν πρῶτα.]

Cingitur ipse furens certatim in prœlia Turnus:
Jamque adeò, Rutulum thorace indutus, ahenis
Horrebat squamis, surasque incluserat auro,
Tempora nudus adhuc; laterique accinxerat ensem;
Fulgebatque altâ decurrens aureus arce.
Æn. XI, 486.

Καλὰς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
Δεύτερον αὖ, θώρηκα περὶ στήθεσσιν ἔδυνεν·
Ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον,
Χάλκεον· αὐτὰρ ἔπειτα σάκος μέγα τε, στιβαρόν τε,
Εἵλετο, τοῦ δ' ἀπάνευθε σέλας γένετ', ἠΰτε μήνης.
Ὡς δ' ὅταν ἐκ πόντοιο σέλας ναύτῃσι φανείῃ
Καιομένοιο πυρὸς, τὸ δὲ καίεται ὑψόθ' ὄρεσφι,
Σταθμῷ ἐν οἰοπόλῳ· τοὺς δ' οὐκ ἐθέλοντας ἄελλαι
Πόντον ἐπ' ἰχθυόεντα φίλων ἀπάνευθε φέρουσιν·
Ὣς ἀπ' Ἀχιλλῆος σάκεος σέλας αἰθέρ' ἵκανε
Καλοῦ, δαιδαλέου· περὶ δὲ τρυφάλειαν ἀείρας
Κρατὶ θέτο βριαρήν· ἡ δ', ἀστὴρ ὣς, ἀπέλαμπεν
Ἵππουρις τρυφάλεια· περισσείοντο δ' ἔθειραι
Χρύσεαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμειάς.
Πειρήθη δ' ἕο αὐτοῦ ἐν ἔντεσι δῖος Ἀχιλλεὺς,
Εἰ οἱ ἐφαρμόσσειε, καὶ ἐντρέχοι ἀγλαὰ γυῖα·
Τῷ δ' ἠΰτε πτερὰ γίνετ', ἄειρε δὲ ποιμένα λαῶν.
Ἐκ δ' ἄρα σύριγγος πατρώϊον ἐσπάσατ' ἔγχος,

Pulchras, argenteis fibulis aptè-junctas:
Tum posteà, thoracem circa pectora induebat:
Circa humeros autem posuit ensem argenteis-clavis-distinctum,
Aereum: deindè autem scutum magnumque, solidumque,
Sumpsit; ejus autem in longinquum fulgor ibat, tanquam lunae.
Ut verò cùm è ponto flamma nautis relucet
Ardentis ignis, is autem ardet in-altum in montibus,
Loco in solitario; eos verò invitos procellae
Ponto super piscoso seorsùm ab amicis ferunt:
Sic ab Achillis scuto splendor ad aethera ibat
Pulchro, affabrè-facto: Galeam verò sublatam
Capiti imposuit validam; haec autem stella tanquam, refulgebat
Setis-equinis-comans galea: quassabantur autem comae
Aureae, quas Vulcanus fuderat conum circum densas.
Tentabat autem seipsum in armis nobilis Achilles,
An sibi apta-essent, et faciles-in-iis-moverentur pulchri artus:
Ei verò tanquam alae erant, attollebantque pastorem populorum.
E thecâ verò paternam extraxit hastam,

Ver. 370—380—393. Καλὰς, —— Καλοῦ, —— καλά.] Vide suprà ad β', 43.

Ver. 372. —— ἄρ'.] *Deinceps* ——.

Ver. 374—379—381. —— τοῦ δ' ἀπάνευθε σέλας γένετ', ἠΰτε μήνης. —— Ὣς ἀπ' Ἀχιλλῆος σάκεος σέλας αἰθέρ' ἵκανε —— ἡ δ', ἀστὴρ ὣς, ἀπέλαμπεν Ἵππουρις τρυφάλεια.] Vide suprà ad ί, 4. et ad σ', 205.

Ver. 375. — σέλας.] Cod. *Harleian.* τέρας.

Ver. 377. —— οἰοπόλῳ.] *Scholiastes* exponit, ἐν ᾧ ὄϊες πολοῦντο καὶ ἀναστρέφονται. Sed, ut opinor, minùs rectè. Vide suprà ad ν', 473. et ρ', 54. Item ad *Odyss.* λ', 573.

Ver. 380. —— περὶ δὲ τρυφάλειαν ἀείρας Κρατὶ θέτο βριαρήν.]
—— cristatus Achilles. *Æn.* I, 472.

Ver. 383. — ἵει.] Vide suprà ad π', 762. et ad ό, 24.

Ver. 385. Εἰ οἱ ἐφαρμόσσειε.] Vide suprà ad ρ', 260.

Ibid. — ἀγλαὰ γυῖα.] *Al.* ἀγλαὰ δῶρα.

Ver. 386. — ἠΰτε.] Cod. *Harleian.* αὖτε.

Ver. 387. —— ἄρα.] *Deinceps* ——.

Ibid. — σύριγγος.] Τῆς δορατοθήκης. *Schol.*

Ibid. —— ἐσπάσατ'.] Vide suprà ad ά, 140.

Βριθὺ, μέγα, στιβαρόν· τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν
Πάλλειν, ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεὺς,
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ τάμε Χείρων
Πηλίου ἐκ κορυφῆς, φόνον ἔμμεναι ἡρώεσσιν.
Ἵππους δ' Αὐτομέδων τε καὶ Ἄλκιμος ἀμφιέποντες
Ζεύγνυσαν, ἀμφὶ δὲ καλὰ λέπαδν' ἕσαν· ἐν δὲ χαλινοὺς
Γαμφηλῆσ' ἔβαλον, κατὰ δ' ἡνία τεῖναν ὀπίσσω
Κολλητὸν ποτὶ δίφρον· ὁ δ' ἂρ μάστιγα φαεινὴν
Χειρὶ λαβὼν ἀραρυῖαν, ἐφ' ἵπποιϊν ἀνόρουσεν
Αὐτομέδων· ὄπιθεν δὲ κορυσσάμενος βῆ Ἀχιλλεὺς,
Τεύχεσι παμφαίνων, ὥστ' ἠλέκτωρ ὑπερίων.
Σμερδαλέον δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο·
Ξάνθε τε, καὶ Βαλίε, τηλεκλυτὰ τέκνα Ποδάργης,
Ἄλλως δὴ φράζεσθε σαωσέμεν ἡνιοχῆα
Ἂψ Δαναῶν ἐς ὅμιλον, ἐπεί χ' ἑῶμεν πολέμοιο·

Gravem, magnam, validam; quam quidem non poterat alius Achivorum
Vibrare, sed ipsam solus nôrat vibrare Achilles,
Peliadem fraxinum, quam patri ejus ceciderat Chiron
Pelii ex vertice, caedis-auctorem futuram heroïbus.
Equos autem Automedonque et Alcimus adornantes
Jungebant, pulchra autem lora-jugalia circumposita erant; fraenosque
Maxillis immiserunt, habenasque extenderunt retrò
Glutino-compactam ad sellam: scuticam autem splendidam
Manu capiens habilem, in currum insiliit
Automedon; retrò verò ad-pugnam-paratus conscendebat Achilles,
Armis collucens, tanquam fulgidus sol.
Terribilitèr autem equis imperitabat patris sui:
" Xantheque, et Balie, inclyta soboles Podarges,
" Alio jam modo deliberate salvum-referre aurigam
" Retrò Danaorum in agmen, ubi satiati-fuerimus pugnâ:

Ver. 390. Πηλιάδα μελίην.] Quâ ratione, Πηλιάδα, hîc ultimam producat; item ἵπποιϊν, *ver.* 396. et Βαλίε, *ver.* 400. vide suprà ad ά, 51.

Ver. 392. Ἵππους δ' Αὐτομέδων.]

——— equorum agitator Achillis
Armiger Automedon ———.
Æn. II, 476.

Ver. 393. — Ζεύγνυσαν.] Vide suprà ad γ', 260. *Al.* ζεύγνυον.

Ibid. —— λέπαδν' ἕσαν.] Οἱ ὑποτραχήλιοι ἱμάντες, οἱ μασχαλιστῆρες. *Schol.* Porrò *Barnesius* hîc de suo edidit λέπαδν' ἔσαν· atque ita omninò legendum contendit. Atqui absque Codicibus nihil mutandum: præsertim cum et *Eustathius* "ἕσαν" legi planissimè testetur: Τὸ δὲ "ἕσαν" οὐ δασύνεταί ποθεν, ἀλλὰ ψιλοῦται, δηλοῦν τὸ "ἦσαν."

Ver. 395. Κολλητὸν ποτὶ δίφρον· ὁ δ' ἂρ μάστιγα.] Cod. *Harleian* Κολλητὸν ἐπὶ δίφρον· ὁ δὲ μάστιγα.

Ver. 396. —— ἐφ' ἵπποιϊν.] Cod. *Harleian.* ἐφ' ἵπποισιν.

Ver. 397. — κορυσσάμενος.] *Barnesius* edidit κορυσσόμενος, itaque legendum fidenter pronuntiat; sed, ut opinor, nullâ idoneâ auctoritate. Vide suprà ad *ver.* 23. et 167. et ad γ', 141. Quin et Codex *Harleianus* κορυσσάμενος legit.

Ver. 398. Τεύχεσι παμφαίνων.] *Al.* Τεύχεσι λαμπόμενος.

Ver. 399. — ἵπποισιν ἐκέκλετο —— Ξάνθε.]

——— equum ———
——— alloquitur mœrentem, et talibus infit:
Rhæbe ———. *Æn.* X, 858. 860.

Ver. 401. —— ἡνιοχῆα.] *Al.* ἡνιοχῆας.

Ver. 402. — ἐπεί χ' ἑῶμεν πολέμοιο.] Ἐπειδὰν κορεσθῶμεν. *Schol.* Pronuntiabatur autem ἐπεί χ' ὦμεν πολέμοιο. Vide suprà ad ί, 256. *Al.* ἐπεί χ' ἕομεν· Quo modo legit et Codex *Harleianus.*

Μηδ', ὡς Πάτροκλον, λίπετ' αὐτόθι τεθνειῶτα.
  Τὸν δ' ἄρ' ὑπὸ ζυγόφιν προσέφη πόδας αἰόλος ἵππος
Ξάνθος, ἄφαρ δ' ἤμυσε καρήατι, πᾶσα δὲ χαίτη,
Ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν, οὖδας ἵκανεν·
Αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη·
  Καὶ λίην σ' ἔτι νῦν γε σαώσομεν, ὄβριμ' Ἀχιλλεῦ·
Ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον, οὐδέ τι ἡμεῖς
Αἴτιοι, ἀλλὰ θεός τε μέγας καὶ μοῖρα κραταιή.
Οὐδὲ γὰρ ἡμετέρῃ βραδυτῆτί τε νωχελίῃ τε,
Τρῶες ἀπ' ὤμοιϊν Πατρόκλου τεύχε' ἕλοντο·
Ἀλλὰ θεῶν ὤριστος, ὃν ἠΰκομος τέκε Λητὼ,
Ἔκταν' ἐνὶ προμάχοισι, καὶ Ἕκτορι κῦδος ἔδωκε.
Νῶϊ δὲ καί κεν ἅμα πνοιῇ Ζεφύροιο θέοιμεν,
Ἥνπερ ἐλαφροτάτην φάσ' ἔμμεναι· ἀλλά σοι αὐτῷ
Μόρσιμόν ἐστι, θεῷ τε καὶ ἀνέρι ἶφι δαμῆναι.
  Ὣς ἄρα φωνήσαντος Ἐρινύες ἔσχεθον αὐδήν.
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·

" Neque, ut Patroclum, relinquite illic mortuum."
Hunc autem sub jugo allocutus est pedibus celer equus
Xanthus, statim verò inclinavit caput; tota autem juba,
Circulo profusa juxta jugum, ad terram pervenit;
Vocalem verò reddidit dea ulnas-candida Juno:
" Et certè te etiam nunc saltem salvum-referemus, impetuose Achille:
" Sed tibi propè dies exitialis, neque quicquam nos
" In culpâ, sed deusque magnus et fatum violentum.
" Neque enim nostrâ tarditateque segnitieque,
" Trojani ab humeris Patrocli arma detraxerunt:
" Sed deorum fortissimus, quem comas-pulchra peperit Latona,
" Interfecit inter primos-pugnatores, et Hectori gloriam dedit.
" Nos verò vel flatum Zephyri cursu aequaremus,
" Quem tamen velocissimum dicunt esse: quin et tibi ipsi
" Fatale est, à deoque et viro vi domari."
Sic sanè locuti Erinnyes inhibuerunt vocem.
Hunc autem valdè indignatus allocutus est pedibus velox Achilles:

Ver. 403. — *τεθνειῶτα.*] Vide suprà ad *ν'*, 46.

Ver. 404. ——— *πόδας αἰόλος ἵππος.*] Τὸ, *αἰόλον, οὐκ οἶδ' ὅθεν τῶν Γραμματικῶν τινες ἐπὶ τοῦ ποικίλου παρ' Ὁμήρῳ ἀκούειν ἀξιοῦσιν· οὕτω γοῦν τὸ, " αἰολόπωλον," ἀποδιδόασι· καὶ τὸ, " αἰόλος ἵππος," καὶ " αἰόλον ὄφιν." Οὐκ ἔστι δὲ, ἀλλὰ σημαίνει τὸν ταχὺν, γενόμενον ἀπὸ τῆς ἀέλλης· ἥτις ἀπὸ τοῦ* "Αειν *καὶ* Εἰλεῖν *πεποίηται.* *Porphyr. Quæst. Homeric.* 3.

Ver. 407. —— *λευκώλενος Ἥρη.*] Vide suprà ad *ό*, 92. et ad *ά*, 43. 58. et 551.

Ver. 409. ——— *οὐδέ τι ἡμεῖς.*] Cod. *Harleian. οὐδέ τοι ἡμεῖς.*

Ver. 411. —— *νωχελίῃ τε.*] *Al. νωθείᾳ τε.*

Ver. 415. — *ἅμα πνοιῇ Ζεφύροιο θέοιμεν.*]
——— Illa Noto citius, ———
——— fugit. ——— *Æn.* V, 242.
——— cursuque pedum prævertere ventos. *Æn.* VII, 807.
——— anteirent cursibus auras. *Æn.* XII, 84.
——— fugit ocior Euro. *Ibid.* 733.

Ver. 417. —— *θεῷ τε καὶ ἀνέρι.*] Ὑπὸ θεοῦ *Ἀπόλλωνος, καὶ ἀνδρὸς Ἀλεξάνδρου.* *Schol.*

Ver. 419. —— *πόδας ὠκὺς Ἀχιλλεύς.*] Vide suprà ad *ά*, 58.

Ξάνθε, τί μοι θάνατον μαντεύεαι; οὐδέ τί σε χρή.
Εὖ νύ τοι οἶδα καὶ αὐτὸς, ὅ μοι μόρος ἐνθάδ' ὀλέσθαι,
Νόσφι φίλου πατρὸς καὶ μητέρος· ἀλλὰ καὶ ἔμπης
Οὐ λήξω, πρὶν Τρῶας ἅδην ἐλάσαι πολέμοιο.
Ἦ ῥα, καὶ ἐν πρώτοις ἰάχων ἔχε μώνυχας ἵππους.

" Xanthe, quid mihi mortem vaticinaris? neque quid te oportet.
" Benè jam novi et ipse, quòd mihi fatum hîc perire,
" Procul à dilecto patre et matre: attamen
" Non cessabo, antequam Troës abundè satiaverint-se pugnâ."
Dixit, et inter primos clamans dirigebat solidos-ungulis equos.

Ver. 423. —— ἐλάσαι.] *Al.* ἐλάαν.

Ver. 424. —— ἐν πρώτοις.] *Al.* ἐν Τρωσίν.

Ibid. —— μώνυχας ἵππους.]
—— solido —— ungula cornu.
Virg. Georg. III, 88.

ΤΗΣ

ΟΜΗΡΟΥ ΙΛΙΑΔΟΣ

ῬΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ Υʹ.

Ὑπόθεσις τῆς Υʹ. ὉΜΗΡΟΥ Ῥαψῳδίας.

ΔΙΟΣ ἐπιτρέψαντος, κατέρχονται βοηθήσοντες οἱ θεοὶ πάντες· τοῖς μὲν Ἕλλησιν, Ἥρα τε, καὶ Ἀθηνᾶ, καὶ Ποσειδῶν, καὶ Ἥφαιστος, καὶ Ἑρμῆς· τοῖς δὲ Τρωσὶν, Ἀφροδίτη, καὶ Ἀπόλλων· ἔτι δὲ καὶ Ἄρτεμις, καὶ Λητὼ, Ἄρης τε, καὶ Σκάμανδρος· Αἰνείαν δὲ, ἀντιστάντα, Ἀχιλλεῖ, σώζει Ποσειδῶν, νεφέλῃ καλύψας. Ἀχιλλεὺς δὲ ἄλλους τε ἀναιρεῖ, καὶ Πολύδωρον, τὸν Πριάμου παῖδα. Ἕκτωρ δὲ, ἀντιστὰς αὐτῷ, φεύγει, Ἀπόλλωνος σώσαντος αὐτόν· τοὺς δὲ ἄλλους Ἀχιλλεὺς ἐπὶ τὴν πόλιν φεύγοντας κατεπείγει.

Ἐπιγραφαί.

Θεῶν μάχη· ἢ Θεομαχία.

Ἄλλως.

Υ, Μακάρων ἐνοπὴ, καὶ φύλοπις Οὐρανιώνων.

Ἄλλη.

Υ, Μακάρων ἔρις ὦρτο, φέρει δ' ἐπὶ κάρτος Ἀχαιοῖς.

Ὣς οἱ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντο
Ἀμφὶ σὲ, Πηλέος υἱὲ, μάχης ἀκόρητον Ἀχαιοί.
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο.
Ζεὺς δὲ Θέμιστα κέλευσε θεοὺς ἀγορήνδε καλέσσαι
Κρατὸς ἀπ' Οὐλύμποιο πολυπτύχου· ἡ δ' ἄρα πάντη

Sic hi quidem apud naves recurvas armabantur
Circum te, Pelei fili, pugnae insatiabilem Achivi.
Trojani verò ex-alterâ-parte in loco-editiore campi.
Jupiter autem Themidem jussit deos ad-concionem vocare
Vertice ab Olympi multas-convalles-habentis: illa autem quaquaversùm

---

Ver. 2. — ἀκόρητον.] Ita ex tribus MSS. edidit *Barnesius.* *Al.* ἀκόρητοι.

Ver. 3. Τρῶες δ' αὖθ' ἑτέρωθεν.] *Al.* Τρῶες δ' αὖτ' ἑτέρωθεν.

Ver. 4. Ζεὺς δὲ Θέμιστα κέλευσε θεοὺς ἀγορήνδε καλέσσαι.]

Panditur intereà domus omnipotentis
Olympi,
Conciliumque vocat Divûm pater atque
hominum rex
Sideream in sedem ——. *Æn.* X, 1.

Ubi quidam legunt, *omnipotentis Olympi.*

Ver. 5. —— ἄρα.] *Proindè, ut jusserat Jupiter* ——. *ver.* 4.

Φοιτήσασα κέλευσε Διὸς πρὸς δῶμα νέεσθαι.
Οὔτε τις οὖν ποταμῶν ἀπέην, νόσφ' Ὠκεανοῖο,
Οὔτ' ἄρα Νυμφάων, ταί τ' ἄλσεα καλὰ νέμονται,
Καὶ πηγὰς ποταμῶν, καὶ πίσεα ποιήεντα.
Ἐλθόντες δ' ἐς δῶμα Διὸς νεφεληγερέταο,
Ξεστῇς αἰθούσῃσιν ἐφίζανον, ἃς Διῒ πατρὶ
Ἥφαιστος ποίησεν ἰδυίῃσι πραπίδεσσιν.
Ὣς οἱ μὲν Διὸς ἔνδον ἀγηγέρατ'· οὐδ' Ἐνοσίχθων
Νηκούστησε θεᾶς, ἀλλ' ἐξ ἁλὸς ἦλθε μετ' αὐτούς.
Ἷζε δ' ἄρ' ἐν μέσσοισι, Διὸς δ' ἐξείρετο βουλήν·
  Τίπτ' αὖ, Ἀργικέραυνε, θεοὺς ἀγορήνδ' ἐκάλεσσας;
Ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;
Τῶν γὰρ νῦν ἄγχιστα μάχη πόλεμός τε δέδηε.
  Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἔγνως, Ἐννοσίγαιε, ἐμὴν ἐν στήθεσι βουλὴν,
Ὧν ἕνεκα ξυνάγειρα· μέλουσί μοι, ὀλλύμενοί περ.
Ἀλλ' ἤτοι μὲν ἐγὼ μένεω πτυχὶ Οὐλύμποιο
Ἥμενος, ἔνθ' ὁρόων φρένα τέρψομαι· οἱ δὲ δὴ ἄλλοι
Ἔρχεσθ', ὄφρ' ἂν ἵκησθε μετὰ Τρῶας καὶ Ἀχαιούς·

Incedens jussit Jovis ad domum ire.
Neque quis igitur fluviorum aberat, praeter Oceanum,
Neque Nympharum, quae nemora pulchra habitant,
Et fontes fluviorum, et prata herbosa.
Cùm-venerant autem ad domum Jovis nubes-cogentis,
Politis sedilibus-columnis-distinctis consederunt, quae Jovi patri
Vulcanus fecerat peritis praecordiis.
Sic hi quidem Jovis in aedibus congregabantur: neque Neptunus
Non-paruit deae, sed è mari venit ad illos.
Sedit autem in mediis, Jovisque interrogabat consilium:
" Cùr rursùs, rutili-fulminis-missor, deos ad consilium vocâsti?
" Nùm quid de Trojanis et Achivis deliberas?
" Horum enim jam proximè est ut pugna proeliumque ardeat."
Hunc autem respondens allocutus est nubes-cogens Jupiter:
" Nôsti, Neptune, meum in pectoribus consilium,
" Quorum gratiâ congregavi: curae-sunt mihi, pereuntes licèt.
" Sed ego sanè manebo in cacumine Olympi
" Sedens, ibi spectans mentem oblectabo: at jam vos caeteri
" Abite, ut perveniatis ad Trojanos et Achivos;

Ver. 8. — καλὰ.] Vide suprà ad β', 43.

Ver. 9. — πίσεα.] Cod. *Harleian.* πίσσεα. *Al.* πείσεα.

Ver. 11. —— αἰθούσῃσιν.] Ἕδραις στυλωταῖς, κατὰ τοὺς Παλαιοὺς, αἰθουμέναις, ὅ ἐστι καταλαμπομέναις φωτί. *Schol.*

Ver. 12. —— ποιήσεν ἰδυίῃσι πραπίδεσσιν.] *Al.* ποίησ' εἰδυίῃσι πραπίδεσσιν.

Ver. 15. —— ἐξείρετο.] *Al.* ἐξήρετο.

Ver. 16. Τίπτ' αὖ.] *Al.* Τίπτ' αὖτ'.

Ver. 18. —— δέδηε.] Vide suprà ad ν', 736.

Ver. 19. — νεφεληγερέτα Ζεύς.] Vide suprà ad ά, 175.

Ver. 21. —— ὀλλύμενοί.] Vide suprà ad γ', 260.

Ver. 23. —— φρένα τέρψομαι.] Vide suprà ad τ', 23. et ad ν', 168.

Ἀμφοτέροισι δ' ἀρήγεθ', ὅπη νόος ἐστὶν ἑκάστου.
Εἰ γὰρ Ἀχιλλεὺς οἶος ἐπὶ Τρώεσσι μαχεῖται,
Οὐδὲ μίνυνθ' ἕξουσι ποδώκεα Πηλείωνα.
Καὶ δέ τέ μιν καὶ πρόσθεν ὑποτρομέεσκον ὁρῶντες·
Νῦν δ', ὅτε δὴ καὶ θυμὸν ἑταίρου χώεται αἰνῶς,
Δείδω, μὴ καὶ τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξῃ.
  Ὣς ἔφατο Κρονίδης, πόλεμον δ' ἀλίαστον ἔγειρε.
Βὰν δ' ἴμεναι πόλεμόνδε θεοὶ, δίχα θυμὸν ἔχοντες.
Ἥρη μὲν μετ' ἀγῶνα νεῶν καὶ Παλλὰς Ἀθήνη,
Ἠδὲ Ποσειδάων γαιήοχος, ἠδ' ἐριούνης
Ἑρμείας, ὃς ἐνὶ φρεσὶ πευκαλίμῃσι κέκαστο·
Ἥφαιστος δ' ἅμα τοῖσι κίε, σθένεϊ βλεμεαίνων,
Χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
Ἐς δὲ Τρῶας Ἄρης κορυθαίολος· αὐτὰρ ἅμ' αὐτῷ
Φοῖϐος ἀκερσεκόμης, ἠδ' Ἄρτεμις ἰοχέαιρα,
Λητώ τε, Ξάνθος τε, φιλομμειδής τ' Ἀφροδίτη.
Εἴως μέν ῥ' ἀπάνευθε θεοὶ θνητῶν ἔσαν ἀνδρῶν,
Τέως Ἀχαιοὶ μὲν μέγ' ἐκύδανον, οὕνεκ' Ἀχιλλεὺς
Ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς·

"Utrisque verò auxilium ferte, prout animus fert cujusque.
"Si enim Achilles solus contra Trojanos pugnet,
"Nè paulisper quidem sustinebunt velocem Pelidem.
"Etenim ipsum etiam anteà territi-fugiebant *tantùm* aspicientes:
"Nunc verò, quum jam et animo ob socium irascitur gravitèr,
"Vereor, ne et murum praeter fatum evertat."
Sic dixit Saturnius, certamenque inevitabile excitavit.
Perrexerunt-autem ire ad-pugnam dii, discordibus animis.
Juno quidem ad coetum navium et Pallas Minerva,
Atque Neptunus terram-cingens, et utilitatum-auctor
Mercurius, qui mente prudenti ornatus erat:
Vulcanus item cum his ibat, fortitudine oculos-truces-circumferens,
Claudicans; subtùs autem tibiae multo-molimine-ferebantur imbecillae.
Ad Trojanos verò Mars pugnam-expeditè-ciens; cumque ipso
Phoebus intonsus, et Diana sagittis-gaudens,
Latonaque, Xanthusque, amansque-risum Venus.
Quamdiù quidem seorsùm dii à mortalibus erant viris,
Tamdiù Achivi sanè magnoperè se-efferebant, quòd Achilles
In-conspectum-se-dederat, diù enim pugnâ abstinuerat tristi;

Ver. 26. —— μαχεῖται.] *Al.* μάχηται.

Ver. 28. —— ὑποτρομέεσκον.] *Contremiscere solebant.* Vide suprà ad β', 221.

Ver. 30.—ὑπὲρ μόρον.] Vide infrà ad *ver.* 336.

Ver. 32. Βὰν δ' ἴμεναι.] *Al.* Βὰν δ' ἴεναι.

Ver. 35. —— κέκαστο.] Si, κέκασται, dixisset; jam non constitisset Temporum ratio. Vide suprà ad ά, 37. et ad ό, 153.

Ver. 38. —— κορυθαίολος.] Vide suprà ad β', 816.

Ver. 39. Φοῖϐος ἀκερσεκόμης.] "Apollo "chrysocomes cognominatur, à fulgore ra-"diorum, quas vocant comas aureas solis. "Unde et ἀκερσεκόμης, quòd nunquam ra-"dii possunt à fonte lucis avelli." *Macrob. Saturnal. Lib.* I. *cap.* 17.

Ver. 42. Τέως Ἀχαιοὶ.] Pronuntiabatur, ut opinor, Τῶσε Ἀχαιοί. Vide suprà ad σ', 15. et ad ό, 539.

Ver. 43. —— ἐπέπαυτ'.] *Al.* ἀπέπαυτ'.

Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον,
Δειδιότας, ὅθ' ὁρῶντο ποδώκεα Πηλείωνα
Τεύχεσι λαμπόμενον, βροτολοιγῷ ἶσον Ἄρηϊ.
Αὐτὰρ ἐπεὶ μεθ' ὅμιλον Ὀλύμπιοι ἤλυθον ἀνδρῶν,
Ὦρτο δ' Ἔρις κρατερὴ, λαοσσόος· αὖε δ' Ἀθήνη,
Στᾶσ' ὁτὲ μὲν παρὰ τάφρον ὀρυκτὴν, τείχεος ἐκτὸς,
Ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων μακρὸν ἄϋτει·
Αὖε δ' Ἄρης ἑτέρωθεν, ἐρεμνῇ λαίλαπι ἶσος,
Ὀξὺ κατ' ἀκροτάτης πόλεως Τρώεσσι κελεύων,
Ἄλλοτε πὰρ Σιμόεντι θέων ἐπὶ Καλλικολώνῃ.
Ὣς τοὺς ἀμφοτέρους μάκαρες θεοὶ ὀτρύνοντες
Σύμβαλον, ἐν δ' αὐτοῖς ἔριδα ῥήγνυντο βαρεῖαν.
Δεινὸν δ' ἐβρόντησε πατὴρ ἀνδρῶν τε θεῶν τε
Ὑψόθεν· αὐτὰρ ἔνερθε Ποσειδάων ἐτίναξε
Γαῖαν ἀπειρεσίην, ὀρέων τ' αἰπεινὰ κάρηνα.
Πάντες δ' ἐσσείοντο πόδες πολυπιδάκου Ἴδης,

Trojanos verò tremor gravis subiit membra cuique,
Timentes, quòd viderent pedibus-velocem Pelidem
Armis splendentem, hominum-perniciei parem Marti.
Sed postquàm ad turbam Olympii venerant virorum,
Orta est Contentio vehemens, populi-concitatrix ; exclamabat verò Minerva,
Stans interdùm quidem ad fossam manu-factam, extra murum,
Interdum super littoribus resonis altùm vociferabatur:
Clamabat et Mars ex-aliâ-parte, obscuro turbini similis,
Acutè à summâ urbe Trojanos adhortans;
Interdum propter Simoënta currens super Callicolone.
Sic istos utrosque beati dii excitantes
Commiserunt, interque eos contentionem irrumpere fecerunt gravem.
Horrendùm autem intonuit pater hominumque deûmque
Ex alto: at subtùs Neptunus concussit
Terram immensam, montiumque excelsos vertices.
Omnes autem concutiebantur radices riguae-fontibus Idae,

Ver. 45. Δειδιότας, ὅθ'.] Vide suprà ad ά, 51.

Ver. 48 et 66. Ὦρτο.] Vide suprà ad β',810.

Ibid. —— κρατερὴ, λαοσσόος· αὖε δ' Ἀθήνη.] Nonnulli olim (notante *Eustathio*) ita interpungebant: κρατερή· λαοσσόος αὖε δ' Ἀθήνη· scilicèt ut vox λαοσσόος ad Ἀθήνη referatur. Sed minùs aptè.

Ver. 49. —— ἐκτὸς.] *Al.* ἐντός.

Ver. 50. Ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων μακρὸν ἄϋτει.]

—— intendit vocem, quâ protinus omne
Contremuit nemus, et sylvæ intonuere profundæ. *Æn.* VII, 514.

Ver. 51. Αὖε δ' Ἄρης.] *Strabo, Geograph. lib.* XIII, legit, Ὦρτο δ' Ἄρης.

Ver. 52. —— πόλεως.] *Al.* πόλιος. Quod perinde est.

Ver. 53. —— θέων ἐπὶ Καλλικολώνῃ.] Ἀρίσταρχος ἀνέγνω περισπωμένως, τὸ χωρίον θεῶν λέγων· ἡ δὲ Καλλικολώνη ἐστὶν ὑψηλὸς τόπος. *Schol.*

Ver. 56. —— Δεινὸν δ' ἐβρόντησε πατὴρ.]

Hîc pater omnipotens ter cœlo clarus ab alto
Intonuit ——. *Æn.* VII, 141.

Ibid. —— πατὴρ ἀνδρῶν τε θεῶν τε.] Vide suprà ad ό, 12.

Ver. 59. Πάντες δ' ἐσσείοντο.] Ἐνεργείας ἕνεκεν φησὶ, "Πάντες δ' ἐσσείοντο πόδες πολυπι-"δάκου Ἴδης, Καὶ κορυφαί." Μᾶλλον γὰρ ἡμᾶς εἰς ἔννοιαν τῆς ταραχῆς ἤγαγεν· ἀπὸ τῶν φύσει κινουμένων τῶν ἡμετέρων σωμάτων, τὴν ἐπὶ τὰ ἀκίνητα μετάστασιν ποιησάμενος. *Aristid. Quintil. de Musicâ, lib.* 2.

Καὶ κορυφαὶ, Τρώων τε πόλις, καὶ νῆες Ἀχαιῶν.
Ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεὺς,
Δείσας δ' ἐκ θρόνου ἆλτο, καὶ ἴαχε· μή οἱ ὕπερθε
Γαῖαν ἀναῤῥήξειε Ποσειδάων ἐνοσίχθων,
Οἰκία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη

Et vertices, Trojanorumque urbs, et naves Achivorum.
Timuit verò subtùs rex inferorum Pluto,
Territusque solio exiliit, et exclamavit, *veritus;* ne ei supernè
Terram rescinderet Neptunus quassator-terrae,
Domusque mortalibus et immortalibus panderentur

Ibid. —— πολυπιδάκου.] *Al.* πολυπίδακος. Quo modo legit et Codex *Harleianus.*

Ver. 61. Ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων, &c.] Ὑπερφυᾶ καὶ τὰ ἐπὶ τῆς θεομαχίας φαντάσματα, —— "Ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδω- "νεύς· Δείσας," &c. Ἐπιβλέπεις, ἑταῖρε, ὡς, ἀναῤῥηγνυμένης μὲν ἐκ βαθρῶν γῆς, αὐτοῦ δὲ γυμνουμένου ταρτάρου, ἀνατροπὴν δὲ ὅλου καὶ διάστασιν τοῦ κόσμου λαμβάνοντος, πάνθ' ἅμα, οὐρανὸς, ᾅδης, τὰ θνητὰ, τὰ ἀθάνατα, ἅμα τῇ τότε συμπολεμεῖ καὶ συγκινδυνεύει μάχῃ; Ἀλλὰ ταῦτα φοβερὰ μὲν, πλὴν εἰ μὴ κατ' ἀλληγορίαν λαμβάνοιτο, καὶ παντάπασιν ἄθεα, καὶ οὐ σώζοντα τὸ πρέπον. *Longinus,* § 9. Imitatus est hunc locum *Virgilius:*

Non secùs ac si quâ penitùs vi terra dehiscens,
Infernas reserat sedes, et regna recludat
Pallida, diis invisa; superque immane barathrum
Cernatur; trepidentque immisso lumine Manes. *Æn.* VIII, 243.

Et *Ovidius:*

Inde tremit tellus, et rex pavet ipse silentum
Ne pateat, latoque solum retegatur hiatu,
Immissusque dies trepidantes terreat umbras. *Metamorph.* V, 356.

Et *lib.* II. *ver.* 260:

Dissilit omne solum; penetratque in Tartara rimis
Lumen, et infernum terret cum conjuge [regem.

Quorum de duobus prioribus locis *Tollius,* in annotationibus ad locum *Longini* jam suprà citatum: "Nitere" inquit "videntur hæc, "et magnitudinem præ se ferunt seorsum "lecta: verùm si cum illis Homeri compa- "rentur, facilè quivis animadvertet quan- "tum πάθος in Homericis sit versibus, quan- "taque sublimitas; sic ut nemo, nisi qui "planè harum rerum rudis sit, et ἄμουσος, "non commoveatur, ubi hæc legerit, et cum "ipso Plutone dehiscentes sibi videre videa- "tur inferos." De *Virgilii* porrò loco ita *Macrobius:* "Interdum" inquit "sic aucto- "rem suum dissimulantèr imitatur [*Virgilius,*] "ut loci inde descripti solam dispositionem "mutet, et faciat velut aliud videri. Ho- "merus ingenti spiritu ex perturbatione ter- "ræ ipsum Ditem patrem territum prosilire "et exclamare quodammodò facit. —— Hoc "*Maro* non narrationis sed parabolæ loco po- "suit, ut aliud esse videretur." *Saturnal. Lib.* V. *cap.* 16.

Ver. 64. Οἰκία —— Σμερδαλέ', εὐρώεντα.] Ingeniosè hæc ad *Terram nostram,* è serenis *Lunæ* regionibus prospectatam, transfert *Plutarchus:* Ἐκείνους δ' ἂν [τοὺς ἐν τῇ σελήνῃ κατοικοῦντας] οἴομαι πολὺ μᾶλλον ἀποθαυμάσαι τὴν γῆν, ἀφορῶντας οἷον ὑποστάθμην καὶ ἰλὺν τοῦ παντὸς ἐν ὑγροῖς καὶ ὁμίχλαις καὶ νέφεσι διαφαινομένην ἀλαμπὲς καὶ ταπεινὸν καὶ ἀκίνητον χωρίον, εἰ ζῷα φύσει [φύει] καὶ τρέφει μετέχοντα κινήσεως, ἀναπνοῆς, θερμότητος. Κᾂν εἴ ποθεν αὐτοῖς ἐγγένοιτο τῶν Ὁμηρικῶν τούτων ἀκοῦσαι, "Σμερδαλέ', εὐρώεντα, τά τε στυγέουσι θεοί "περ," —— ταῦτα φήσουσιν ἀτεχνῶς περὶ τοῦ χωρίου τούτου λέγεσθαι, καὶ τὸν ᾅδην ἐνταῦθα καὶ τὸν τάρταρον ἀποκεῖσθαι, γῆν δὲ μίαν εἶναι τὴν Σελήνην. *De facie in orbe Lunæ.* Cæterum vituperat hunc locum *Plato:* Δεῖ δὴ (ὡς ἔοικεν) ἡμᾶς ἐπιστατεῖν καὶ περὶ τούτων τῶν μύθων τοῖς ἐπιχειροῦσι λέγειν· καὶ δεῖσθαι μὴ λοιδορεῖν ἁπλῶς οὕτω τὰ ἐν ᾅδου, ἀλλὰ μᾶλλον ἐπαινεῖν, ὡς οὔτ' ἀληθῆ λέγοντας οὔτ' ὠφέλιμα τοῖς μέλλουσι μαχίμοις ἔσεσθαι. —— Ἐξαλείψωμεν ἄρα —— πάντα τὰ τοιαῦτα —— "Οἰκία δὲ "θνητοῖσι καὶ ἀθανάτοισι φανείῃ Σμερδαλέ' "εὐρώεντα, τά τε στυγέουσι θεοί περ." —— Ταῦτα καὶ τὰ τοιαῦτα πάντα παραιτησόμεθα Ὅμηρόν τε καὶ τοὺς ἄλλους ποιητὰς μὴ χαλεπαίνειν, ἂν διαγράφωμεν, οὐχ ὡς οὐ ποιητικὰ καὶ ἡδέα τοῖς πολλοῖς ἀκούειν, ἀλλ' ὅσῳ ποιητικώτερα, τοσούτῳ ἧττον ἀκουστέον παισὶ καὶ ἀνδράσιν, οὓς δεῖ ἐλευθέρους εἶναι, δουλείαν θανάτου μᾶλλον πεφοβημένους. *De Republ. lib.* 3.

Ibid. —— ἀθανάτοισι.] Similitérque infrà *ver.* 77. 87. Πριαμίδεω· —— Πριαμίδη· et *ver.* 123. Ἀθανάτων. vide suprà ad ά, 398.

Ibid. —— φανείη.] Cod. *Harleian.* φανήῃ.

Σμερδαλέ', εὐρώεντα, τά τε στυγέουσι θεοί περ·
Τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων.
Ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος
Ἵστατ' Ἀπόλλων Φοῖβος, ἔχων ἰὰ πτερόεντα·
Ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη·
Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος, κελαδεινὴ,
Ἄρτεμις ἰοχέαιρα, κασιγνήτη Ἑκάτοιο·
Λητοῖ δ' ἀντέστη σῶκος, ἐριούνιος Ἑρμῆς·
Ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης,
Ὃν Ξάνθον καλέουσι θεοὶ, ἄνδρες δὲ Σκάμανδρον.
Ὣς οἱ μὲν θεοὶ ἄντα θεῶν ἴσαν· αὐτὰρ Ἀχιλλεὺς
Ἕκτορος ἄντα μάλιστα λιλαίετο δῦναι ὅμιλον
Πριαμίδεω· τοῦ γάρ ῥα μάλιστά γε θυμὸς ἀνώγει
Αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν.

Visu-terribiles, situ-sentae, quas horrent dii ipsi :
Tantus utique sonitus oriebatur, diis certamine congressis.
Nempe contra Neptunum quidem regem
Stabat Apollo Phoebus, ferens sagittas pennatas :
Contra Martem verò dea caesia-oculis Minerva :
Junonem autem contra stabat aureo-arcu-insignis tumultuum-venaticorum-amans,
Diana sagittis gaudens, soror Longè-jaculantis : 71
Latonam autem contra stabat potens, utilitatum-auctor Mercurius :
Contra autem et Vulcanum magnus fluvius vorticibus-profundus,
Quem Xanthum vocant dii, homines verò Scamandrum.
Sic quidem dii contra deos ibant : At Achilles
Hectorem contrà maximè cupiebat penetrare per turbam
Priamidem : hujus enim potissimum animus jubebat
Sanguine satiare Martem, invictum bellatorem.

Ver. 65. Σμερδαλέ', εὐρώεντα.] Σμερδαλέα μὲν τὰ οἰκήματα τοῦ ᾅδου ἔφη, ἀπὸ τοῦ ὕφαιμα εἶναι καὶ φόνου πλήρη. *Porphyr. Quæst. Homeric.* 9.

Vimque Deûm infernam, et diri sacraria
Ditis. *Æn.* XII, 199.

Sic apud *Hesiodum*, Ἔργ. καὶ Ἡμερ. *ver.* 152.

Βῆσαν ἐς εὐρώεντα δόμον κρυεροῦ ἀΐδαο.

Quem ad locum *Gatakerus :* " Εὐρώεντα (inquit) malim vertere, *situ obsitum*, quàm " cum interpretibus, *latum*." *Annotat. in Antoninum, Lib.* IV. § 6.

Ver. 66. Τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων.] Post hunc versum inserit *Barnesius :*

Δὴ τότε δηριόωντο Ποσειδάων καὶ Ἀπόλλων·

Sed, ut opinor, nullâ satis idoneâ auctoritate.

Ibid. — Τόσσος ἄρα.] *Tantus utique* ——.

Ibid. — κτύπος.] Vide suprà ad δ', 455.

Ver. 68. —— ἰὰ πτερόεντα.] *Al.* πτερόεντας ὀϊστούς.

Ver. 69. — γλαυκῶπις Ἀθήνη.] Vide suprà ad ά, 206.

Ver. 72. — σῶκος, ἐριούνιος.] Vide suprà ad ά, 51.

Ver. 74. Ὃν Ξάνθον καλέουσι θεοὶ, ἄνδρες δὲ Σκάμανδρον.] Τῶν διωνύμων τὸ μὲν προγενέστερον ὄνομα εἰς θεοὺς ἀναφέρει ὁ Ποιητὴς, τὸ δὲ μεταγενέστερον εἰς ἀνθρώπους. *Schol.* Vide suprà ad ξ', 291. et ad ά, 403.

Ibid.—Ξάνθον καλέουσι.] Δοκεῖ δὲ καὶ ὁ Σκάμανδρος ποταμὸς ξανθὰ πρόβατα ποιεῖν· διὸ καὶ τὸν Ὅμηρόν φασιν ἀντὶ Σκαμάνδρου, Ξάνθον προσαγορεύειν αὐτόν. *Aristot. de Histor. Animal. lib.* III. *cap.* 2.

Hinc albi, Clitumne, greges ——.
Virg. Georg. II, 146.

Ibid. — Σκάμανδρον.] Cod. *Harleian.* Κάμανδρον.

Ver. 77. — τοῦ γάρ ῥα μάλιστα.] Non hîc supervacaneum est istud ῥα· sed vim habet in connectendâ sententiâ cum eo quod præcessit ; σ', 91. 114. 334.

Αἰνείαν δ' ἰθὺς λαοσσόος ὦρσεν Ἀπόλλων
Ἀντία Πηλείωνος, ἐνῆκε δέ οἱ μένος ἠΰ.
Υἱέϊ δὲ Πριάμοιο Λυκάονι εἴσατο φωνὴν,
Τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
Αἰνεία, Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαὶ,
Τὰς Τρώων βασιλεῦσιν ὑπέσχεο οἰνοποτάζων,
Πηλείδεω Ἀχιλῆος ἐναντίβιον πολεμίζειν;
Τὸν δ' αὖτ' Αἰνείας ἀπαμειβόμενος προσέειπε·
Πριαμίδη, τί με ταῦτα καὶ οὐκ ἐθέλοντα κελεύεις,
Ἀντία Πηλείωνος ὑπερθύμοιο μάχεσθαι;
Οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεος ἄντ' Ἀχιλῆος
Στήσομαι, ἀλλ' ἤδη με καὶ ἄλλοτε δουρὶ φόβησεν,
Ἐξ Ἴδης, ὅτε βουσὶν ἐπήλυθεν ἡμετέρῃσι·
Πέρσε δὲ Λυρνησσὸν καὶ Πήδασον· αὐτὰρ ἐμὲ Ζεὺς
Εἰρύσαθ', ὅς μοι ἐπῶρσε μένος λαιψηρά τε γοῦνα.
Ἦ κ' ἐδάμην ὑπὸ χερσὶν Ἀχιλλῆος καὶ Ἀθήνης,
Ἥ οἱ πρόσθεν ἰοῦσα τίθει φάος, ἠδ' ἐκέλευεν
Ἔγχεϊ χαλκείῳ Λέλεγας καὶ Τρῶας ἐναίρειν.
Τῷ οὐκ ἔστ' Ἀχιλῆος ἐναντίον ἄνδρα μάχεσθαι·

Aeneam autem rectà copiarum-concitator movit Apollo
Contra Pelidem, immisitque ei animos validos,
Filio autem Priami Lycaoni assimilavit-se voce;
Huic se cùm-assimilâsset, *eum* allocutus est Jovis filius Apollo:
" Aenea, Trojanorum princeps, ubi tibi minae,
" Quas Trojanorum ducibus promisisti convivans,
" Pelidem Achillem contra pugnare?"
Illum verò Aeneas respondens allocutus est:
" Priamide, cur me haec licèt invitum jubes,
" Contra Pelidem supra-modum-animosum pugnare?
" Non enim sanè jam primùm pedibus-velocem contra Achillem
" Stetero, sed dudùm me et aliàs hastâ fugavit,
" Ex Idâ, quandò boves invasit nostras;
" Evertitque Lyrnessum et Pedasum: sed me Jupiter
" Servavit, qui mihi excitavit robur velociaque genua.
" Certè omninò domitus fuissem sub manibus Achillis et Minervae,
" Quae ante eum vadens dabat victoriam, atque hortabatur
" Hastâ aereâ Lelegas et Trojanos interficere.
" Ideò non potest contra Achillem vir *mortalis* pugnare:

Ver. 80. —— ἐνῆκε δέ οἱ μένος.] Vide infrà ad *ver.* 110.

Ver. 81. —— Λυκάονι εἴσατο φωνὴν.] Vide suprà ad ν', 45.

Ver. 82. Τῷ μιν ἐεισάμενος.] Vide suprà ad γ', 389.

Ver. 85. Πηλείδεω.] Sic suprà *ver.* 77. Πριαμίδεω. Pronuntiabatur Πηλείδω —— Πριαμίδω. Vide suprà ad ά, 1.

Ver. 91. —— ἐπήλυθεν.] Vide suprà ad θ', 488. et ad γ', 205.

Ver. 92. —— Λυρνησσὸν.] Πόλις τῶν Ὑποπλακίων Θηβῶν. *Schol.*

Ibid. —— Πήδασον.] Ποταμὸς Ἑλλησπόντου, καὶ τόπος. *Schol.*

Ver. 95. —— ἐκέλευεν.] Vide ad *Il.* ά, 37. et ν', 84.

Ver. 96. —— Λέλεγας.] Τοὺς ἐν Ἑλλησπόντῳ ἀπὸ τῆς Θεσσαλίας πρώτους κατοικοῦντας. *Schol.*

Αἰεὶ γὰρ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει.
Καὶ δ' ἄλλως τοῦ γ' ἰθὺ βέλος πέτετ', οὐδ' ἀπολήγει,
Πρὶν χροὸς ἀνδρομέοιο διελθέμεν· εἰ δὲ θεός περ
Ἶσον τείνειεν πολέμου τέλος, οὔ με μάλα ῥέα
Νικήσει, οὐδ' εἰ παγχάλκεος εὔχεται εἶναι.
Τὸν δ' αὖτε προσέειπεν ἄναξ, Διὸς υἱὸς, Ἀπόλλων·
Ἥρως, ἀλλά γε καὶ σὺ θεοῖς αἰειγενέτῃσιν
Εὔχεο· καὶ δέ σε φασὶ Διὸς κούρης Ἀφροδίτης
Ἐκγεγάμεν, κεῖνος δὲ χερείονος ἐκ θεοῦ ἐστίν·
Ἡ μὲν γὰρ Διός ἐσθ', ἡ δ' ἐξ ἁλίοιο γέροντος.
Ἀλλ' ἰθὺς φέρε χαλκὸν ἀτειρέα, μηδέ σε πάμπαν
Λευγαλέοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ.
Ὣς εἰπὼν, ἔμπνευσε μένος μέγα ποιμένι λαῶν·
Βῆ δὲ διὰ προμάχων, κεκορυθμένος αἴθοπι χαλκῷ.
Οὐδ' ἔλαθ' Ἀγχίσαο πάϊς λευκώλενον Ἥρην,
Ἀντία Πηλείωνος ἰὼν, ἀνὰ οὐλαμὸν ἀνδρῶν·
Ἡ δ' ἄμυδις καλέσασα θεοὺς μετὰ μῦθον ἔειπε·

"Semper enim adest unus saltem deorum, qui perniciem avertat.
"Tum aliàs ipsius utique rectà telum volat, neque desinit,
"Antequàm corpus humanum transadegerit: Si verò deus ipse
"Aequalem traheret lancem victoriae, non me valdè facilè
"Vinceret, nè quidem si totus-aereus glorietur esse."
Hunc autem rursùs allocutus est rex, Jovis filius, Apollo:
"Heros, quin et tu deos sempiternos
"Precare; nam te aiunt Jovis filiâ Venere
"Satum esse; ille autem inferiore ex deâ est:
"Illa etenim *ex* Jove est, haec verò ex marino sene.
"Sed rectà infer aes indomitum, neque te omninò
"Saevis verbis avertat et minis."
Sic fatus, inspiravit animos magnos pastori populorum:
Processit autem per primos-pugnatores, armatus corusco aere.
Nec latuit Anchisae filius candidam-ulnas Junonem,
Contra Pelidem vadens, per turmas virorum:
Illa autem in-unum vocatos inter deos verbum dixit:

Ver. 99. —— τοῦ γ'.] *Al.* τοῦ δ'.

Ver. 100. —— εἰ δὲ θεός περ Ἶσον τείνειεν πολέμου τέλος.] Ἶσον ποιήσειε τὸ τέλος τοῦ πολέμου, μηδὲ ἑτέρῳ βοηθῇ. *Schol.* Sic apud *Euripidem*:

Οἱ δὲ Συρηκοσίους ὀκτὼ νίκας ἐκράτησαν
Ἄνδρες, ὅτ' ἦν τὰ θεῶν ἐξίσου ἀμφοτέροις.
Ἐπιτήδειον.

Ver. 101. ——— οὔ με μάλα ῥέα.] Ita ex tribus MSS. et ex *Eustathio* edidit *Barnesius*. *Al.* οὔ με μάλα ῥεῖα. Pronuntiabatur, ut opinor, οὔ με μάλαρ ῥᾶ. Vide suprà ad ῥ', 461.

Ver. 103—132. Τὸν δ' ——— Τὴν δ'.] Vide suprà ad ά, 121. ad γ', 200. et ad θ', 160. Malè *Barnesius*, Τόνδ' ——— Τήνδ'.

Ver. 104. —— ἀλλά γε.] Cod. *Harleian.* ἀλλ' ἄγε.

Ver. 110. ——— ἔμπνευσε μένος μέγα ποιμένι λαῶν.] Καὶ περὶ τὰς μάχας τὸ παθητικὸν καὶ τὸ ἐνθουσιῶδες, ἀνυπόστατόν ἐστι καὶ ἀήττητον. Ὃ καὶ τοὺς θεοὺς Ὅμηρος ἐμποιεῖν φησι τοῖς ἀνθρώποις, (ὣς εἰπὼν ——— "ἔμπνευσε μένος μέγα ποιμένι λαῶν.") ——— καθάπερ ὅρμημα τῷ λογισμῷ καὶ ὄχημα τὸ πάθος προστιθέντας. *Plutarch. de virtute morali, sub finem.* Vide suprà ad έ, 185.

Ver. 12. —— λευκώλενον Ἥρην.] Vide suprà ad ό, 92. et ad ά, 43. 58. et 551.

Φράζεσθον δὴ σφῶϊ, Ποσείδαον, καὶ Ἀθήνη,
Ἐν φρεσὶν ὑμετέρησιν, ὅπως ἔσται τάδε ἔργα.
Αἰνείας ὅδ' ἔβη, κεκορυθμένος αἴθοπι χαλκῷ,
Ἀντία Πηλείωνος· ἀνῆκε δὲ Φοῖβος Ἀπόλλων.
Ἀλλ' ἄγεθ', ἡμεῖς πέρ μιν ἀποτρωπῶμεν ὀπίσσω
Αὐτόθεν· ἤ τις ἔπειτα καὶ ἡμείων Ἀχιλῆϊ
Παρσταίη, δοίη δὲ κράτος μέγα, μηδέ τι θυμῷ
Δευέσθω· ἵνα εἰδῇ, ὅ μιν φιλέουσιν ἄριστοι
Ἀθανάτων· οἱ δ' αὖτ' ἀνεμώλιοι, οἳ τὸ πάρος περ
Τρωσὶν ἀμύνουσιν πόλεμον καὶ δηϊοτῆτα.
Πάντες δ' Οὐλύμποιο κατήλθομεν ἀντιόωντες
Τῆσδε μάχης, ἵνα μή τι μετὰ Τρώεσσι πάθησι
Σήμερον· ὕστερον αὖτε τὰ πείσεται, ἅσσα οἱ αἶσα
Γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ.
Εἰ δ' Ἀχιλεὺς οὐ ταῦτα θεῶν ἐκπεύσεται ὀμφῆς,
Δείσετ' ἔπειθ', ὅτε κέν τις ἐναντίβιον θεὸς ἔλθῃ
Ἐν πολέμῳ· χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς.
Τὴν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
Ἥρη, μὴ χαλέπαινε παρὲκ νόον· οὐδέ τί σε χρή.

"Considerate jam vos, Neptune, et Minerva,
"In mentibus vestris, ut se-habebunt haec opera.
"Aeneas ille ivit, armatus corusco aere
"Contra Pelidem: impulit nempè Phoebus Apollo.
"Sed agite, nos tamen eum avertamus retrò
"Illinc: aut aliquis utique etiam nostrûm Achilli
"Adstet, detque robur magnum, neque quid animo
"Egeat; ut sciat, ipsum diligere potentissimos
"Immortalium: hi verò inanes, qui hactenùs utique
"Trojanis defendere-conantur proelium et caedem.
"Omnes autem de coelo descendimus interfuturi
"Huic pugnae; ut nè quid inter Trojanos patiatur
"Hodiè: in-posterum verò ea patietur, quaecunque ei Parca
"Nascenti nevit lino, quandò ipsum peperit mater.
"Si verò Achilles non haec deorum didicerit ex voce,
"Timebit utique, quandò quis contrà deus venerit
"In proelio: terribiles nempè dii, quum apparent manifesti."
Huic autem respondit deindè Neptunus terrae-quassator:
"Juno, ne saevi temerè: neque *enim* omninò te decet.

Ver. 115. —— Ποσείδαον.] Cod. *Harleian.* Ποσειδάων.

Ver. 118 et 138. —— Φοῖβος Ἀπόλλων.] Vide suprà ad ά, 43.

Ver. 119. —— ἀποτρωπῶμεν.] *Al.* ἀποτροπόωμεν.

Ver. 122. —— φιλέουσιν.] Vide infrà ad *ver.* 304.

Ver. 123. Ἀθανάτων.] Vide suprà ad ά, 398.

Ver. 127. —— πείσεται, ἅσσα οἱ αἶσα.]

—— ἔμπης δ' ὅ, τι μοῖρα παθεῖν, οὐκ ἔνθ' ὑπαλύξαι.

Theogn. Gnom. ver. 815.

Ver. 129. —— θεῶν ἐκπεύσεται.] *Al.* θεῶν ἐκ πεύσεται.

Ver. 130. — ὅτε κέν τις.] Vide sup. ad ξ', 504.

Ver. 131. — χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς.] Τὸν Ῥωμαῖον, ὃς ἐπιτέτραπται Αἴγυπτον, ἄνδρα ἔφη χρήμασιν ἀναπείσαντα ἐς τὸ ἄδυτον καταπέμψαι τῆς Ἴσιδος τὸ ἐν Κόπτῳ. Καὶ ὁ ἐσπεμφθεὶς ἀνέστρεψε μὲν ἐκ τοῦ ἀδύτου· διηγησάμενον δὲ ὁποῖα ἐθεάσατο, καὶ τοῦτον αὐτίκα ἐπυνθανόμην τελευτῆσαι. Τὸ ἔπος οὖν ἀληθεύειν ἔοικε τὸ Ὁμήρου, σὺν οὐδενὶ αἰσίᾳ τοὺς θεοὺς τῷ γένει τῶν ἀνθρώπων ἐναργῶς ὁρᾶσθαι. *Pausan. Phocic. lib.* X. *cap.* 32, *sub fine.*

Οὐκ ἂν ἔγωγ' ἐθέλοιμι θεοὺς ἔριδι ξυνελάσσαι
Ἡμέας τοὺς ἄλλους, ἐπειὴ πολὺ φέρτεροι ἦμεν.
Ἀλλ' ἡμεῖς μὲν ἔπειτα καθεζώμεσθα κιόντες
Ἐκ πάτου ἐς σκοπιὴν, πόλεμος δ' ἄνδρεσσι μελήσει.
Εἰ δέ κ' Ἄρης ἄρχησι μάχης, ἢ Φοῖβος Ἀπόλλων,
Ἢ Ἀχιλῆ' ἴσχωσι, καὶ οὐκ εἰῶσι μάχεσθαι,
Αὐτίκ' ἔπειτα καὶ ἄμμι παρ' αὐτόφι νεῖκος ὀρεῖται
Φυλόπιδος· μάλα δ' ὦκα διακρινθέντας ὀΐω
Ἂψ ἴμεν Οὔλυμπόνδε, θεῶν μεθ' ὁμήγυριν ἄλλων,
Ἡμετέρης ὑπὸ χερσὶν ἀνάγκῃ ἶφι δαμέντας.
  Ὣς ἄρα φωνήσας ἡγήσατο Κυανοχαίτης
Τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο,
Ὑψηλὸν, τό ῥά οἱ Τρῶες καὶ Παλλὰς Ἀθήνη
Ποίεον, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέοιτο,
Ὁππότε μιν σεύαιτο ἀπ' ἠϊόνος πεδίονδε.

"Non ego sanè velim deos ad certamen committere
"Nos alios, quoniam multò fortiores sumus.
"Sed nos quidem jam consideamus profecti
"Ex viâ in speculam; proelium verò mortalibus curae-erit.
"Sin Mars incipiat pugnam, aut Phoebus Apollo,
"Vel Achillem inhibeant, et non sinant pugnare;
"Tum confestim et nobis è vestigio certamen orietur
"Conflictûs: perquàm autem celeritèr decreto *eos* proelio puto
"Redituros ad Olympum, deorum ad coetum caeterorum,
"Nostrarum virtute manuum necessitate violentèr domitos."
Sic quidem locutus praeibat Caeruleus-crines
Ad murum aggere-factum Herculis divini,
Altum, quem quidem ei Trojani et Pallas Minerva
Condidere, ut coetum fugiens evitaret,
Quando ipsum persequens-ageret à littore ad-planitiem.

Ver. 134. —— ξυνελάσσαι.] *Al.* ξυνελάσαι. Minùs rectè; secundam enim corripit:
—— ἄδην ἐλάσαι πολέμοιο. τ'. 423.

Ver. 135. —— Ἡμέας.] Pronuntiabatur Ἡμᾶς.

Ibid. —— φέρτεροι ἦμεν.] *Al.* φέρτεροι εἰμέν. Quo modo legit et Codex *Harleianus.*

Ver. 137. Ἐκ πάτου ἐς σκοπιὴν.] Ἐκ τῆς πεπατημένης ὁδοῦ εἰς τόπον σκοπιὰν ἔχοντα. *Schol.*

Ibid. —— πόλεμος δ' ἄνδρεσσι μελήσει.]
Bella viri pacemque gerant, queis bella gerenda. *Æn.* VII, 444.

Ver. 138. Εἰ δέ κ' Ἄρης ἄρχησι μάχης, ἢ Φοῖβος Ἀπόλλων.] *Al.* Εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης, ἰδὲ Φοῖβος Ἀπόλλων.

Ver. 140. —— ὀρεῖται.] *Al.* ὄρηται.

Ver. 141. —— διακρινθέντας.] *Al.* διακριθέντας. Quod ferri non potest; antepenultimam enim necessariò corripit.

Ver. 143. —— ἀνάγκῃ.] Cod. *Harleian.* ἀνάγκης.

Ver. 144. —— Κυανοχαίτης.] Vide suprà ad ά, 43, 58, et 528.

Ver. 145. —— ἀμφίχυτον Ἡρακλῆος.] Quâ ratione, ultima vocis ἀμφίχυτον hîc producatur; item παῖδες, *ver.* 183. vide suprà ad ά, 51.

Ver. 146. —— τό ῥά.] *Quem scilicèt* ——.

Ver. 147. —— ὄφρα τὸ κῆτος.] Τί οὖν; (φήσαι τις ἄν·) οὐθὲν ταῦτα [τὰ Ἄρθρα] συμβάλλεται πρὸς λόγον; Ἔγωγε φήσαιμ' ἄν, ὥσπερ ἅλας συμβάλλεσθαι πρὸς ὄψον, ὕδωρ δὲ πρὸς μάζαν. —— Καὶ Ὅμηρος, ἐπέων κόσμῳ περιγενόμενος, ὀλίγοις τῶν ὀνομάτων Ἄρθρα ὥσπερ λαβὰς ἐκπώμασι δεομένοις· ἢ λόφους κράνεσιν, ἐπιτίθησι. Διὸ καὶ παράσημα τῶν ἐπῶν, ἐν οἷς ταῦτα ποιεῖ, γέγονεν· Ὡς τὸ, —— "Ποίεον, ὄφρα τὸ κῆτος "ὑπεκπροφυγὼν ἀλέοιτο." *Plutarch. Quæst. Platonicæ,* sub finem.

Ibid. —— ἀλέοιτο.] *Al.* ἀλέηται.

Ver. 148. —— σεύαιτο.] Cod. *Harleian.* σεύοιτο.

Ἔνθα Ποσειδάων κατ' ἄρ' ἕζετο, καὶ θεοὶ ἄλλοι,
Ἀμφὶ δ' ἄρ' ἄῤῥηκτον νεφέλην ὤμοισιν ἕσαντο.
Οἱ δ' ἑτέρωσε κάθιζον ἐπ' ὀφρύσι Καλλικολώνης,
Ἀμφὶ σὲ, ἤϊε Φοῖβε, καὶ Ἄρηα πτολίπορθον.
Ὣς οἱ μέν ῥ' ἑκάτερθε καθείατο μητιόωντες
Βουλάς· ἀρχέμεναι δὲ δυσηλεγέος πολέμοιο
Ὤκνεον ἀμφότεροι· Ζεὺς δ', ἥμενος ὕψι, κέλευε.
Τῶν δ' ἅπαν ἐπλήσθη πεδίον, καὶ ἐλάμπετο χαλκῷ
Ἀνδρῶν ἠδ' ἵππων· κάρκαιρε δὲ γαῖα πόδεσσιν
Ὀρνυμένων ἄμυδις· δύο δ' ἀνέρες ἔξοχ' ἄριστοι
Ἐς μέσον ἀμφοτέρων συνίτην, μεμαῶτε μάχεσθαι,
Αἰνείας τ' Ἀγχισιάδης, καὶ δῖος Ἀχιλλεύς.
Αἰνείας δὲ πρῶτος ἀπειλήσας ἐβεβήκει,
Νευστάζων κόρυθι βριαρῇ· ἀτὰρ ἀσπίδα θοῦριν
Πρόσθεν ἔχε στέρνοιο, τίνασσε δὲ χάλκεον ἔγχος.
Πηλείδης δ' ἑτέρωθεν ἐναντίον ὦρτο, λέων ὣς

Illic Neptunus quidem consedit et dii caeteri,
Nesciamque-scindi nubem humeris circumdederunt.
Ii verò ex-alterâ-parte sedebant in jugis Callicolones,
Circum te, arcitenens Phoebe, et Martem urbium-vastatorem.
Sic hi quidem utrinque sedebant consultantes
Consilia; incipere autem gravem pugnam,
Pigrabantur utrique: Jupiter autem, sedens altè, instigabat.
Illis verò totus impletus erat campus, et fulgebat aere
Virorum et equorum; resonabatque tremens terra pedibus
Concurrentium simul: duo autem viri longè fortissimi
In medium utrorumque congrediebantur, ardentes in pugnam,
Aeneasque Anchisiades, et nobilis Achilles.
Aeneas autem primùm minabundus processit,
Nutans casside validâ; clypeumque cum-impetu-versatile
Praetendebat pectori, vibrabatque aeream hastam.
Pelides verò ex-alterâ-parte contrà ruebat, leo veluti

Ver. 150. —— νεφέλην ὤμοισιν ἕσαντο.] Nube candentes humeros amictus.
Horat. Carm. lib. I. *Ode ii. ver.* 31.

Ver. 151. —— ἐπ' ὀφρύσι Καλλικολώνης.] Sic apud *Virgilium:*
—— *supercilio* clivosi tramitis undam
Elicit. —— *Georgic.* I, 108.

Ver. 152. —— ἤϊε Φοῖβε.] Ἄπολλον τοξικὲ, ἀπὸ τοῦ ἵεναι. *Schol. Al.* ἤϊε. Vide suprà ad ά, 43. 75. et ad ό, 365.

Ver 153. —— ῥ'.] *Ut jam dictum est* —— *ver.* 149. 151.

Ibid. —— καθείατο.] *Al.* καθήατο.

Ver. 156. —— καὶ ἐλάμπετο χαλκῷ.] Vide suprà ad τ', 362.

Ver. 157. —— κάρκαιρε δὲ γαῖα πόδεσσιν.] Vide suprà ad τ', 363.

Ibid. —— κάρκαιρε.] De hujusmodi ὀνοματοποιΐᾳ, vide suprà ad δ', 455. Διαφαίνεται δὲ ἡ ἀρετὴ τῆς ὀνοματοποιΐας τοῦ καρκαίρειν, ὅτε τῆς γῆς μάλιστα παγετῷ κατεξηραμμένης, ἵπποι θέουσι δι' αὐτῆς. *Eustath.*

Ver. 158. Ὀρνυμένων.] Vide suprà ad γ', 260.

Ver. 159. —— μεμαῶτε.] Vide suprà ad ν', 46.

Ver. 160. Αἰνείας τ'.] Versum hunc in uno MS. deesse annotat *Barnesius.*

Ver. 161. —— ἐβεβήκει.] Vide suprà ad π', 751. et ad δ', 492.

Ver. 162. Νευστάζων κόρυθι.] Ita infrà χ', 314.
—— κόρυθι δ' ἐπένευε φαεινῇ.

Ver. 164. —— Πηλείδης δ' ἑτέρωθεν ἐναντίον ὦρτο, λέων ὣς.] Similitèr *Hesiodus:*
Δεινὸν ὁρῶν ὄσσοισι, λέων ὣς ——

Σίντης, ὅν τε καὶ ἄνδρες ἀποκτάμεναι μεμάασιν,
Ἀγρόμενοι, πᾶς δῆμος· ὁ δὲ, πρῶτον μὲν ἀτίζων,
Ἔρχεται· ἀλλ' ὅτε κέν τις ἀρηϊθόων αἰζηῶν
Δουρὶ βάλῃ, ἑάλη τε χανὼν, περί τ' ἀφρὸς ὀδόντας
Γίγνεται, ἐν δέ τέ οἱ κραδίῃ στένει ἄλκιμον ἦτορ,
Οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν
Μαστίεται, ἓε δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι·
Γλαυκιόων δ' ἰθὺς φέρεται μένει· ἤν τινα πέφνῃ
Ἀνδρῶν, ἢ αὐτὸς φθίεται πρώτῳ ἐν ὁμίλῳ·
Ὣς Ἀχιλῆ' ὤτρυνε μένος καὶ θυμὸς ἀγήνωρ
Ἀντίον ἐλθέμεναι μεγαλήτορος Αἰνείαο.

Exitialis, quem viri interficere animis-ardent,
Congregati, totus pagus: is verò, primùm quidem contemnens,
Incedit; sed quandò quis proelio-impigrorum juvenum
Hastâ ferierit, contorquetque se hians, circumque spuma dentes
Oritur, inque ei corde gemit generosus animus;
Caudâ verò lateraque et femora utrinque
Verberat, seque ipsum excitat ad pugnam:
Torvumque-contuens fertur furore; si quem occidere-possit
Virorum, vel ipse perit primâ in turbâ:
Sic Achillem incitabat robur et animus magnus
Contra ire magnanimum Aeneam.

Γλαυκιόων δ' ὅσσοις δεινὸν, πλευράς τε καὶ ὤμους
Οὐρῇ μαστιόων ποσσὶ γλάφει, οὐδέ τις αὐτὸν
Ἔτλη ἐς ἄντα ἰδὼν σχεδὸν ἐλθεῖν, οὐδὲ μάχεσθαι.
Τοῖος ἄρ'. ———

'Ἀσπὶς Ἡρακλ. *ver.* 426. 430.

Et *Virgilius:*

Attollitque animos; Pœnorum qualis in arvis
Saucius ille gravi venantum vulnere pectus,
Tum demum movet arma leo; gaudetque comantes
Excutiens cervice toros, fixumque latronis
Impavidus frangit telum, et fremit ore cruento:
Haud secus accenso gliscit violentia Turno.

Æn. XII, 4.

Ut fera, quæ densâ venantum septa coronâ
Contra tela furit, seseque haud nescia morti
Injicit, et saltu suprà venabula fertur.

Æn. IX, 551.

Et *Lucanus:*

——— sic cum squalentibus arvis
Æstiferæ Libyes viso leo cominùs hoste,
Subsedit dubius, totam dum colligit iram;
Mox, ubi se sævæ stimulavit verbere caudæ,
Erexitque jubam, et vasto grave murmur hiatu
Infremuit: tum torta levis si lancea Mauri
Hæreat, aut latum subeant venabula pectus,
Per ferrum tanti securus vulneris exit.

Pharsal. lib. I. *ver.* 205.

Porrò *Macrobius* posteriorem *Virgilii* locum inter eos citat, in quibus *Virgilius Homerici* carminis Majestatem non æquat: "Videtis in angustum Latinam parabolam sic esse contractam, ut nibil possit esse jejunius. Græcam contrà et verborum et rerum copiâ pompam veræ venationis implêsse?" *Lib.* V. *cap.* 13.

Ver. 169. Γίγνεται.] *Al.* Γίνεται. Quod perindè est. Nam *γίνομαι* primam producit.

Ibid. —— κραδίῃ.] *Al.* κραδίη.

Ver. 170. Οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία.] "Leonum animi index cauda ——. Immota ergo; placidus, clemens, blandientique similis, quod rarum est; crebrior enim iracundia ejus. In principio terra verberatur; incremento terga, ceu quodam incitamento, flagellantur." *Plin. Natural. Hist. lib.* VIII. *cap.* 16.

Ver. 171. — μαχέσασθαι.] Cod. *Harleian.* μαχέεσθαι. Quo modo et in uno MS. scriptum repperit *Barnesius.*

Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
Αἰνεία, τί σὺ, τόσσον ὁμίλου πολλὸν ἐπελθὼν,
Ἔστης· ἦ σέ γε θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει,
Ἐλπόμενον Τρώεσσιν ἀνάξειν ἱπποδάμοισι
Τιμῆς τῆς Πριάμου; ἀτὰρ εἴκεν ἔμ' ἐξεναρίξῃς,
Οὔτοι τοὔνεκά γε Πρίαμος γέρας ἐν χερὶ θήσει·
Εἰσὶ γάρ οἱ παῖδες· ὁ δὲ ἔμπεδος, οὐδ' ἀεσίφρων.
Ἦ νύ τί τοι Τρῶες τέμενος τάμον, ἔξοχον ἄλλων,
Καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμηαι,
Αἴκεν ἐμὲ κτείνῃς; χαλεπῶς δέ σ' ἔολπα τὸ ῥέξειν.
Ἤδη μὲν σέ γε, φημὶ, καὶ ἄλλοτε δουρὶ φόβησα.
Ἦ οὐ μέμνῃ, ὅτε πέρ σε, βοῶν ἄπο μοῦνον ἐόντα,
Σεῦα κατ' Ἰδαίων ὀρέων ταχέεσσι πόδεσσι
Καρπαλίμως; τότε δ' οὔτι μετατροπαλίζεο φεύγων·
Ἔνθεν δ' ἐς Λυρνησσὸν ὑπέκφυγες· αὐτὰρ ἐγὼ τὴν

Illi verò quandò jam propè erant alter in alterum vadentes,
Hunc prior allocutus est pedibus-valens nobilis Achilles:
" Aenea, cur tu, tantum agminum spatium permensus,
" Constitisti: an te utique animus mecum pugnare jubet,
" Sperantem Trojanis *te* imperaturum equûm-domitoribus
" Dignitate, quâ Priamus? Sed si me interfeceris,
" Non tibi propterea Priamus praemium in manibus ponet:
" Sunt enim ei filii: ipse autem constans, neque mente-levis.
" An verò tibi Trojani nemus tribuerunt, egregium prae aliis,
" Amoenum et vitiferum, et arabile, quod colas,
" Si me interfeceris? difficultèr autem te spero hoc facturum.
" Jam enim te, autumo, et aliàs hastâ fugavi.
" An non recordaris, quandò te à bobus, solus cùm-esses,
" Agitavi de Idaeis montibus velocibus pedibus
" Celeritèr? tunc verò nusquam convertebaris fugiens:
" Inde autem in Lyrnessum evasisti: verùm ego hanc

Ver. 176. Οἱ δ' ὅτε δή.] Similitérque infrà, *ver.* 228. Ἀλλ' ὅτε δή. Vide suprà ad ξ', 433.

Ver. 178. — ἐπελθὼν.] Cod. *Harleian.* ἀπελθών.

Ver. 179. — *μαχέσασθαι.*] *Al.* *μαχέεσθαι.*

Ver. 180—186. Ἐλπόμενον ——— ῥέξειν.] Versus hosce septem repudiari notant Scholia MSS. apud *Barnesium*. Nullâ, ut videtur, idoneâ ratione.

Ver. 181. Τιμῆς τῆς Πριάμου.] Ἕνεκεν τῆς Βασιλείας· ἀντιφέρει γὰρ, " Οὔτοι τοὔνεκά γε Πρί-" αμος γέρας." *Schol.*

Ibid. —— ἐξεναρίξῃς.] *Al.* ἐξεναρίξεις.

Ver. 183. Εἰσὶ γάρ οἱ παῖδες· ὁ δὲ ἔμπεδος.] *Al.* Εἴσιν γάρ οἱ παῖδες· ὁ δ' ἔμπεδος.

Ver. 185. Καλὸν.] Vide suprà ad β', 43. *Al.* ἐσθλόν.

Ibid. — ἀρούρης.] Vide suprà ad ζ', 142.

Ver. 186. — ἔολπα.] *Spero;* non *speravi.* Vide suprà ad ρ', 240. et ad ν', 736.

Ibid. —— ῥέξειν.] *Al.* ῥέζειν.

Ver. 187. ——— φόβησα.] Cod. *Harleian.* φοβῆσαι. Quæ et proba Lectio.

Ver. 188. Ἦ οὐ μέμνῃ.] *Al.* Ἦ οὐ μέμνησ'. Enuntiabatur autem (uti et notavit *Barnesius*) ac si scriptum fuisset ἦν μέμνῃ. Non licentiâ aliquâ *Poëticâ*, sed quia vulgò etiam in *solutâ* (ut opinor) oratione ita pronuntiabatur. Vide suprà ad ί, 349. ad ί, 533. et ad ξ', 471.

Ver. 190. ——— τότε δ' οὔτι.] *Al.* πρὶν δ' οὔτι.

Ver. 191. — ὑπέκφυγες.] Ita ex uno MS. edidit *Barnesius.* *Al.* ἐπέκφυγες.

Πέρσα, μεθορμηθεὶς σὺν Ἀθήνῃ καὶ Διῒ πατρί·
Ληϊάδας δὲ γυναῖκας, ἐλεύθερον ἦμαρ ἀπούρας,
Ἦγον· ἀτὰρ σὲ Ζεὺς ἐῤῥύσατο καὶ θεοὶ ἄλλοι.
Ἀλλ' οὐ νῦν σ' ἐρύεσθαι ὀΐομαι, ὡς ἐνὶ θυμῷ
Βάλλεαι· ἀλλά σ' ἔγωγ' ἀναχωρήσαντα κελεύω
Ἐς πληθὺν ἰέναι, μηδ' ἀντίος ἵστασ' ἐμεῖο,
Πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω.
Τὸν δ' αὖτ' Αἰνείας ἀπαμείβετο, φώνησέν τε·
Πηλείδη, μὴ δή μ' ἐπέεσσί γε, νηπύτιον ὣς,
Ἔλπεο δειδίξεσθαι· ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς,
Ἠμὲν κερτομίας, ἠδ' αἴσυλα μυθήσασθαι.
Ἴδμεν δ' ἀλλήλων γενεὴν, ἴδμεν δὲ τοκῆας,
Πρόκλυτ' ἀκούοντες ἔπεα θνητῶν ἀνθρώπων·
Ὄψει δ' οὔτ' ἄρ πω σὺ ἐμοὺς ἴδες, οὔτ' ἄρ' ἐγὼ σούς.
Φασί σε μὲν Πηλῆος ἀμύμονος ἔκγονον εἶναι,
Μητρὸς δ' ἐκ Θέτιδος, καλλιπλοκάμου ἁλοσύδνης·
Αὐτὰρ ἐγὼν υἱὸς μεγαλήτορος Ἀγχίσαο
Εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοι ἔστ' Ἀφροδίτη.

"Everti, aggressus cum Minervâ et Jove patre;
"Captivas autem mulieres, libero die erepto,
"Abduxi: at te Jupiter servavit et dii caeteri.
"Sed non nunc te servaturos puto, ut in animum
"Inducis: verùm te ego sanè regressum hortor
"In multitudinem ire, neque adversus stes mihi,
"Antequàm quid mali passus fueris: jam factum verò et stultus sentit."
Huic verò Aeneas respondit, dixitque:
"Pelide, ne jam me verbis, puerulum tanquam,
"Speres *te* territurum: facilè enim possum et ipse,
"Et convitia, et opprobria proloqui.
"Scimus autem alter-alterius genus, scimus et parentes,
"Jam-olim-dicta audientes verba mortalium hominum:
"Visu verò certè neque tu meos nôsti, neque ego tuos.
"Aiunt te quidem Pelei eximii prolem esse,
"Matre verò ex Thetide, comas-pulchrâ marinâ nymphâ:
"At ego me filium magnanimo Anchisâ
"Profiteor prognatum esse, mater autem mihi est Venus.

Ver. 193. Ληϊάδας.] Cod. *Harleian.* Ληΐδας.

Ver. 195. —— σ' ἐρύεσθαι.] Cod. *Harleian.* σε ῥύεσθαι. Atque ita in uno MS. scriptum repperit *Barnesius.*

Ver. 197. —— πληθὺν ἰέναι.] Quâ ratione, πληθὺν hîc ultimam producat; item νηπύτιον, *ver.* 200. et ἀκούοντες, *ver.* 204. et τέκετο, *ver.* 215. et ἐπὶ, *ver.* 229. vide suprà ad ά, 51.

Ver. 198. ——— ῥεχθὲν δέ τε νήπιος ἔγνω.] Vide suprà ad ρ', 32. *Al.* ῥεχθὲν δέ τι.

Ver. 200. Πηλείδη, μὴ δή μ' ἐπέεσσί γε, νηπύτιον ὣς, Ἔλπεο δειδίξεσθαι.]

Hostis amare, quid increpitas mortemque minaris? *Æn.* X, 900.

Ver. 202. —— αἴσυλα.] Τὰς παρὰ τὸ καθῆκον λεγομένας ἀπειλάς. *Schol.* apud *Barnesium.*

Ver. 204. Πρόκλυτ'.] Τὰ ὑπὸ τῶν προτέρων πεφημισμένα, παλαιά. *Schol.*

Ver. 207. — ἁλοσύδνης.] Ἐναλίας θεοῦ ἐν θαλάσσῃ κατοικούσης. *Schol.* *Al.* ἁλοάδνης.

Τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύσονται
Σήμερον· οὐ γάρ φημ' ἐπέεσσί γε νηπυτίοισιν
Ὧδε διακρινθέντε, μάχης ἐξαπονέεσθαι.
Εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' εὖ εἰδῇς
Ἡμετέρην γενεὴν, (πολλοὶ δέ μιν ἄνδρες ἴσασι·)
Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς·
Κτίσσε δὲ Δαρδανίην, ἐπεὶ οὔπω Ἴλιος ἱρὴ
Ἐν πεδίῳ πεπόλιστο, πόλις μερόπων ἀνθρώπων,
Ἀλλ' ἔθ' ὑπωρείας ᾤκεον πολυπιδάκου Ἴδης.
Δάρδανος αὖ τέκεθ' υἱὸν Ἐριχθόνιον βασιλῆα,
Ὃς δὴ ἀφνειότατος γένετο θνητῶν ἀνθρώπων·
Τοῦ τρισχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο
Θήλειαι, πώλοισιν ἀγαλλόμεναι ἀταλῇσι·
Τάων καὶ Βορέης ἠράσσατο βοσκομενάων,

"Horum jam nunc alterutri saltem charum filium plorabunt
"Hodiè: non enim puto verbis omninò puerilibus
"Sic diremptos, à pugnâ redituros esse.
"Quòd si vis et haec doceri, ut benè scias
"Nostrum genus, (multi autem ipsum homines nôrunt;)
"Dardanum quidem primùm genuit nubes-cogens Jupiter:
"Condidit autem *is* Dardaniam, quippè nondum Ilios sacra
"In campo aedificata erat, urbs articulatè-loquentium hominum;
"Sed adhuc radices habitabant irriguae-fontibus Idae.
"Dardanus verò genuit filium Erichthonium regem,
"Qui tum opulentissimus erat mortalium hominum:
"Hujus ter mille equae per palustria pascebantur
"Foeminae, pullis exultantes teneris:
"Harum *aliquas* et ipse Boreas adamavit pascentium,

Ver. 210. — ἕτεροί γε.] Eandem hîc vim habet particula γε, ac vox latina *saltem.*

Ver. 212. —— διακρινθέντε.] *Al.* διακριθέντε. Malè. Vide suprà ad *ver.* 141.

Ibid. —— ἐξαπονέεσθαι.] Vide suprà ad ά, 398.

Ver. 215. —— νεφεληγερέτα Ζεύς.] Vide suprà ad ά, 175.

Ver. 216. —— Δαρδανίην.] Πόλις Τροίας. *Schol.*

Ibid. —— ἐπεὶ οὔπω Ἴλιος ἱρὴ.]

—— nondum Ilium et arces
Pergameæ steterant; habitabant vallibus imis. *Æn.* III, 109.

Ver. 218. Ἀλλ' ἔθ' ὑπωρείας ᾤκεον.] Λέγει γὰρ δὴ ταῦτα τὰ ἔπη —— κατὰ θεόν πως εἰρημένα καὶ κατὰ φύσιν. Θεῖον γὰρ οὖν δὴ καὶ τὸ ποιητικὸν ἐνθεαστικὸν ὂν μένος, ὑμνῳδοῦν, πολλῶν τῶν κατ' ἀλήθειαν γιγνομένων ξύν τισι Χάρισι καὶ Μούσαις ἐφάπτεται ἑκάστοτε. *Plato de legibus, lib.* 3.

Ibid. —— ὑπωρείας.] Τὰ κάτω μέρη τῶν ὀρῶν. *Schol.*

Ibid. —— ᾤκεον.] Pronuntiabatur, notante *Barnesio,* ᾤκευν vel ᾤκευν· quomodo et scribi posteà cœptum est.

Ibid. —— πολυπιδάκου.] *Al.* πολυπίδακος. Atque ita legit Codex *Harleianus.*

Ver. 220. Ὃς δὴ ἀφνειότατος γένετο.] Pronuntiabatur, ut opinor, Ὃς δὴ 'φνειότατος. Vide suprà ad *ver.* 188. et ad λ', 138. Γίγνεται παῖς αὐτῷ [Δαρδάνῳ] Ἐριχθόνιος, ὃς ἁπάντων ἀνθρώπων εὐδαιμονέστατος λέγεται γενέσθαι, τῆς τε πατρῴας καὶ τῆς ὑπὸ τῷ μητροπάτορι γενομένης κληρονομήσας ἀρχῆς. *Dionys. Halicarn. Antiq. Rom. Lib.* I.

Ver. 221. — τρισχίλιαι.] Apud *Maximum Tyrium,* τρισχίλιοι. Quæ et fortè melior lectio, ne scilicèt vox, "θήλειαι," in sequenti versu, supervacanea videatur: Uti notavit *Barnesius.*

Ver. 222. —— πώλοισιν.] Cod. *Harleian.* πώλῃσιν.

Ibid. —— ἀταλῇσι.] *Al.* ἀπαλῇσι, et ἀταλοῖσι.

Ver. 223. — Τάων καὶ Βορέης ἠράσσατο βοσ-

Ἵππῳ δ' εἰσάμενος παρελέξατο κυανοχαίτῃ·
Αἱ δ' ὑποκυσσάμεναι ἔτεκον δυοκαίδεκα πώλους·
Αἱ δ' ὅτε μὲν σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν,
Ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον, οὐδὲ κατέκλων·
Ἀλλ' ὅτε δὴ σκιρτῷεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
Ἄκρον ἐπὶ ῥηγμῖνος ἁλὸς πολιοῖο θέεσκον.
Τρῶα δ' Ἐριχθόνιος τέκετο Τρώεσσιν ἄνακτα·
Τρωὸς δ' αὖ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο,
Ἶλός τ', Ἀσσάρακός τε, καὶ ἀντίθεος Γανυμήδης,
Ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων·
Τὸν καὶ ἀνηρείψαντο θεοὶ Διῒ οἰνοχοεύειν,
Κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.

" Equoque se-cùm-assimulasset concubuit cyaneis-jubis-ornato :
" Illae verò gravidae factae pepererunt duodecim equulas :
" Istae autem quandocunque saltu-lascivirent super almâ terrâ,
" Summum super spicarum fructum currebant, neque frangebant :
" At quum saltu-lascivirent super latis dorsis maris,
" In superficie super collisos-fluctus salis cani currebant.
" Troëm autem Erichthonius genuit Trojanis regem :
" Ex Troë verò tres filii eximii geniti sunt,
" Ilusque, Assaracusque, et *formâ*-deo-par Ganymedes,
" Qui sanè pulcherrimus erat mortalium hominum ;
" Quem et rapuerunt-in-coelum dii, Jovi ut-pocillator-esset,
" Pulchritudinem ob ipsius, ut immortalibus interesset.

κομενάων.] Post hunc versum, alium addit Codex *Harleianus :*

Ἐν μαλακῷ λειμῶνι, καὶ ἄνθεσιν εἰαρινοῖσι.

Ver. 224. — εἰσάμενος.] Vide suprà ad ν', 45.

Ibid. — παρελέξατο κυανοχαίτῃ.] *Al.* ἐμίγη φιλότητι καὶ εὐνῇ.

Ibid. —— παρελέξατο.] Vide suprà ad β', 515.

Ver. 225. —— ὑποκυσσάμεναι.] *Al.* ὑποκυσάμεναι.

Ver. 226. Αἱ δ' ὅτε μὲν σκιρτῷεν.]

Illa vel intactæ segetis per summa volaret
Gramina ; nec teneras cursu læsisset aristas :
Vel mare per medium, fluctu suspensa tumenti,
Ferret iter ; celeres nec tingeret æquore plantas. *Æn.* VII, 808.

Ubi notandum istud "*læsisset*" non pro "*læderet*" positum esse. Perinde enim est, sive illam tum, quum gramina *pervolaret*, quas *percurreret* aristas *non lædere* dicas ; sive, quas *percurrisset* intereà, *non læsisse.* Vide suprà ad ά, 37.

Ibid. — ἄρουραν.] Vide suprà ad ζ', 142.

Ver. 227. Ἄκρον ἐπ' ἀνθερίκων καρπὸν.] Νῦν τῶν ἐν τοῖς στάχυσι λεπτῶν ἀθέρων. *Schol.*

Ver. 229. —— θέεσκον.] *Currere solebant.* Vide suprà ad *ver.* 28. et ad ν', 84.

Ver. 232. Ἶλός τ', Ἀσσάρακός τε.]

Ilusque, Assaracusque. *Æn.* VI, 650.

Ibid. — καὶ ἀντίθεος Γανυμήδης, Ὃς δὴ κάλλιστος.] Καὶ ἐγὼ δέ φημι καὶ Γανυμήδην οὐ σώματος, ἀλλὰ ψυχῆς ἕνεκα ὑπὸ Διὸς εἰς Ὄλυμπον ἀνενεχθῆναι. Μαρτυρεῖ δὲ καὶ τοὔνομα αὐτοῦ. Ἔστι μὲν γὰρ δήπου καὶ Ὁμήρῳ, " —— γάνυται " δέ τ' ἀκούων." Τοῦτο δὲ φράζει, ὅτι ἥδεται δέ τ' ἀκούων. Ἔστι δὲ καὶ ἄλλοθί που, " — πυκινὰ " φρεσὶ μήδεα εἰδώς." Τοῦτο δ' αὖ λέγει, " σοφὰ " φρεσὶ βουλεύματα εἰδώς." Ἐξ οὖν συναμφοτέρων τούτων οὐχ ἡδυσώματος ὀνομασθεὶς ὁ Γανυμήδης, ἀλλ' ἡδυγνώμων, ἐν θεοῖς τετίμηται. *Xenophon.* Συμπόσιον, *sub finem.*

Ver. 234. Τὸν καὶ ἀνηρείψαντο θεοὶ.]

——— et rapti Ganymedis honores. *Æn.* I, 32.

——— quem præpes ab Idâ
Sublimem pedibus rapuit Jovis armiger uncis. *Æn.* V, 254.

Cæterùm vituperat hunc locum *Cicero :* " Nec Homerum audio, qui Ganymedem à " diis raptum ait propter formam, ut Jovi " bibere ministraret. ——— Fingebat hæc " Homerus, et humana ad deos transfere- " bat ; divina mallem ad nos." *Tusc. Disputat. Lib.* I, § 26.

Ver. 235. 292. 314 et 334. ἀθανάτοισι.] Vide suprà ad ά, 398.

Ἶλος δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Λαομέδοντα·
Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο, Πρίαμόν τε,
Λάμπον τε, Κλυτίον θ', Ἱκετάονά τ', ὄζον Ἄρηος·
Ἀσσάρακος δὲ Κάπυν· ὁ δ' ἄρ' Ἀγχίσην τέκε παῖδα·
Αὐτὰρ ἔμ' Ἀγχίσης, Πρίαμος δ' ἔτεχ' Ἕκτορα δῖον.
Ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι·
Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε, μινύθει τε,
Ὅππως κεν ἐθέλησιν· ὁ γὰρ κάρτιστος ἁπάντων.
Ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα, νηπύτιοι ὥς,
Ἑσταότ' ἐν μέσσῃ ὑσμίνῃ δηϊοτῆτος.
Ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι
Πολλὰ μάλ'· οὐδ' ἂν νηῦς ἑκατόνζυγος ἄχθος ἄροιτο.
Στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι,
Παντοῖοι· ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.
Ὁπποῖόν κ' εἴπησθα ἔπος, τοῖόν κ' ἐπακούσαις.
Ἀλλὰ τίη ἔριδας καὶ νείκεα νῶϊν ἀνάγκη

" At Ilus genuit filium eximium Laomedonta:
" Laomedon autem Tithonum genuit, Priamumque,
" Lampumque, Clytiumque, Hicetaonemque, ramum Martis:
" Assaracus verò Capyn: is autem Anchisem genuit filium;
" Et me Anchises: Priamus verò genuit Hectora nobilem.
" Ex hoc quidem genereque et sanguine profiteor esse *me:*
" At Jupiter virtutem viris augetque minuitque,
" Prout voluerit; ille enim potentissimus omnium.
" Sed age nè ampliùs haec disseramus, pueruli tanquam,
" Stantes in mediâ acie proelii.
" Licet enim ambobus opprobria proloqui
" Multa admodùm: nè navis quidem centiremis onus ferret.
" Volubilis enim lingua est hominum, multique insunt sermones,
" Omnigeni; verborum autem latus campus hinc atque indè.
" Qualecunque dixeris verbum, tale et audieris.
" Sed quid jurgiis et rixis nobis opus est

Ver. 237. —— ἄρα.] *Deinceps* ——.

Ver. 242. Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε, μινύθει τε.] Similitèr ferè *Hesiodus:*

Ῥεῖα δ' ἀρίζηλον μινύθει, καὶ ἄδηλον ἀέξει ——
Ζεὺς ὑψιβρεμέτης ——.
Ἔργ. καὶ Ἡμερ. *Lib.* I, *ver.* 6. 8.

Ibid. —— τε, μινύθει.] Quâ ratione, τε, hîc producatur; item κεν, *ver.* 243. et ἔτεα, *ver.* 255. et ἀπὸ, *ver.* 261. et 278. vide suprà ad ά, 51.

Ver. 247. —— ἑκατόνζυγος.] Ὑπὸ ἑκατὸν ἐρετῶν ἐλαυνομένη· ζύγα γὰρ αἱ τῶν ἐρεσσόντων καθέδραι. *Schol.*

Ver. 248. Στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι.] Κινδυνεύει γὰρ οὖν τὸ ἀνθρώπινον γένος ἁπάντων ἐνδεία γενέσθαι μᾶλλον ἢ φωνῆς καὶ λέξεως· τούτου δὲ μόνου κέκτηται θαυμαστόν τινα πλοῦτον. *Dio, Orat.* XII. Cæterùm *Clemens Alexandrinus, Strom. Lib.* I. citat: Στρεπτὴ γὰρ καὶ γλῶσσα βροτῶν.

Ver. 249. Παντοῖοι· ἐπέων δὲ πολὺς νομὸς.] Apud *Dionem*, loco jam citato, Παντοῖος δ' ἐπέων πουλὺς νομός. Apud *Clementem Alexandrinum*, Παντοίων ἐπέων δὲ πολὺς νομός.

Ibid. —— ἐπέων δὲ πολὺς νομὸς.] Sic apud *Hesiodum:*

Ἀχρεῖος δ' ἔσται ἐπέων νομός ——
Ἔργ. καὶ Ἡμερ. II, 21.

Quæ ad loca *Menagius:* " Legendum autem," inquit, " utrobique νομὸς, accentu " in ultimâ, id est νέμησις, *partitio, distributio in utramque partem:* νόμος, accentu in " penultimâ, quæ vox *legem* significat, apud " Homerum non reperitur; quod præter " Grammaticos, notavit etiam Josephus, lib. " 11, contra Appionem." *Annotat. in Laërtium, lib.* IX.

Νεικεῖν ἀλλήλοισιν ἐναντίον, ὥστε γυναῖκας,
Αἵτε χολωσάμεναι ἔριδος πέρι θυμοβόροιο
Νεικεῦσ' ἀλλήλῃσι μέσην ἐς ἀγυιὰν ἰοῦσαι,
Πόλλ' ἐτεά τε καὶ οὐκί· χόλος δέ τε καὶ τὰ κελεύει.
Ἀλκῆς δ' οὔ μ' ἐπέεσσιν ἀποτρέψεις μεμαῶτα,
Πρὶν χαλκῷ μαχέσασθαι ἐναντίον· ἀλλ' ἄγε, θᾶσσον
Γευσόμεθ' ἀλλήλων χαλκήρεσιν ἐγχείῃσιν.
Ἦ ῥα, καὶ ἐν δεινῷ σάκει ἤλασε χάλκεον ἔγχος,
Σμερδαλέῳ, μέγα δ' ἀμφὶ σάκος μύκε δουρὸς ἀκωκῇ.
Πηλείδης δὲ σάκος μὲν ἀπὸ ἕο χειρὶ παχείῃ
Ἔσχετο ταρβήσας· φάτο γὰρ δολιχόσκιον ἔγχος
Ῥεῖάδ' ἐλεύσεσθαι μεγαλήτορος Αἰνείαο·
Νήπιος, οὐδ' ἐνόησε κατὰ φρένα καὶ κατὰ θυμὸν,
Ὡς οὐ ῥηΐδι' ἐστὶ θεῶν ἐρικυδέα δῶρα
Ἀνδράσι γε θνητοῖσι δαμήμεναι, οὐδ' ὑποείκειν.
Οὐδὲ τότ' Αἰνείαο δαΐφρονος ὄβριμον ἔγχος
Ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο·

" Altercari inter nos, tanquam mulieres,
" Quae iratae per contentionem animum-rodentem
" Probra-jactant altera-in-alteram mediam in viam prodeuntes,
" Multa veraque et non : ira nempè et ista jubet.
" A virtute verò non me verbis avertes animosum,
" Priusquàm aere pugnes contrà : Quin age, ocyùs
" Experiamur alter-alterum acratis hastis."
Dixit utique, et in terribile scutum intorsit aeream hastam,
Visu-horrendum ; ingensque scutum mugiit hastae cuspide.
Pelides verò scutum quidem à se procul manu robustâ
Tenuit perculsus : credebat enim praelongam hastam
Facilè penetraturam esse magnanimi Aeneae :
Imprudens, neque enim cogitabat in mente et in animo,
Quòd non facilè deorum inclyta dona
A viris mortalibus domantur, neque *eis* cedunt.
Neque tunc Aeneae bellicosi rapida hasta
Perrupit scutum ; aurum enim inhibuit, dona Dei :

Ver. 252. Νεικεῖν ἀλλήλοισιν ἐναντίον, ὥστε γυναῖκας.] Sic apud *Livium :* " *Sedemus domi desides, mulierum ritu altercantes inter nos.*"

Ver. 254. —— μέσην ἐς ἀγυιὰν.] *Dio Chrysost. Orat.* XII. legit, ἀγορῆς ἐς μέσσον.

Ver. 255. Πόλλ' ἐτεά τε καὶ οὐκί.] *Al.* Πολλά τ' ἐόντα καὶ οὐκί· Notante *Eustathio.*

Ver. 256. —— μεμαῶτα.] Vide suprà ad ν', 46.

Ver. 257. — μαχέσασθαι.] Cod. *Harleian.* μαχέεσθαι.

Ver. 258. Γευσόμεθ' ἀλλήλων.] Ἀντὶ τοῦ ἀψώμεθα· ὅ ἐστιν ἀπόπειραν ληψώμεθα τῆς ἀλλήλων δυνάμεως. *Schol.*

Ver. 259. — ἤλασε χάλκεον ἔγχος.] Cod. *Harleian.* ἤλασεν ὄβριμον ἔγχος. Atque ita in Commentario legit *Eustathius. Al.* ὄμβριμον ἔγχος.

Ver. 260. Σμερδαλέῳ.] *Al.* Σμερδαλέον.

Ibid. —— ἀκωκῇ.] Ita ex *Eustathio* edidit *Barnesius : Al.* ἀκωκή. Sic ρ', 295.

Ἤρικε δ' ἱπποδάσεια κόρυς περὶ δουρὸς ἀκωκῇ.

Ver. 263. Ῥεῖάδ' ἐλεύσεσθαι.] Vide suprà ad ν', 144.

Ver. 267. 268. Οὐδὲ ——— Ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο.] Ita *Hesiodus :*

——— σάκει ἔμβαλε χάλκεον ἔγχος·
Οὐδ' ἔῤῥηξεν χαλκὸν, ἔρυτο δὲ δῶρα θεοῖο.
Ἀσπὶς Ἡρακλ. *ver.* 414.

Ἀλλὰ δύω μὲν ἔλασσε διὰ πτύχας, αἱ δ' ἄρ' ἔτι τρεῖς
Ἦσαν· ἐπεὶ πέντε πτύχας ἤλασε Κυλλοποδίων,
Τὰς δύο, χαλκείας, δύο δ' ἔνδοθι κασσιτέροιο,
Τὴν δὲ μίαν, χρυσῆν· τῇ ῥ' ἔσχετο χάλκεον ἔγχος.
Δεύτερος αὖτ' Ἀχιλεὺς προΐει δολιχόσκιον ἔγχος,
Καὶ βάλεν Αἰνείαο κατ' ἀσπίδα πάντοσε ἴσην,
Ἄντυγ' ὑπὸ πρώτην, ᾗ λεπτότατος θέε χαλκός·
Λεπτοτάτη δ' ἐπέην ῥινὸς βοός· ἡ δὲ διὰ πρὸ
Πηλιὰς ἤϊξεν μελίη, λάκε δ' ἀσπὶς ὑπ' αὐτῆς.
Αἰνείας δ' ἐάλη, καὶ ἀπὸ ἕθεν ἀσπίδ' ἀνέσχε
Δείσας· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ
Ἔστη ἱεμένη, διὰ δ' ἀμφοτέρους ἕλε κύκλους
Ἀσπίδος ἀμφιβρότης· ὁ δ' ἀλευάμενος δόρυ μακρὸν,
Ἔστη, (κὰδ δ' ἄχος οἱ χύτο μυρίον ὀφθαλμοῖσι,)
Ταρβήσας, ὅ οἱ ἄγχι πάγη βέλος· αὐτὰρ Ἀχιλλεὺς
Ἐμμεμαὼς ἐπόρουσεν, ἐρυσσάμενος ξίφος ὀξὺ,
Σμερδαλέα ἰάχων· ὁ δὲ χερμάδιον λάβε χειρὶ
Αἰνείας, μέγα ἔργον, ὃ οὐ δύο γ' ἄνδρε φέροιεν,

Sed duas quidem transiit per plicas; tres verò
Supererant: quinque enim plicas superinduxerat Vulcanus,
Duas, aereas, duasque interiores stanni,
Unam verò, auream; quâ demùm detenta est aerea hasta.
Secundus verò Achilles emisit praelongam hastam,
Et percussit Aeneae ad clypeum undique aequalem,
Oram ad summam, ubi tenuissimum currebat aes;
Tenuissimum etiam inductum erat corium bovis: penitùs autem
Pelias prorupit fraxinus; crepuit verò clypeus ex ejus *ictu*.
Aeneas autem corpore-contracto-subsedit, et à se procul scutum sustulit
Territus: hasta autem supra dorsum in terra
Stetit *ulteriùs*-pergendi-cupida; utrosque autem disruperat orbes
Clypei ingentis: Is verò evitatâ hastâ longâ,
Constitit (trepidatio autem cum dolore ei offusa-est immensa oculis,)
Perculsus, quòd prope se fixum-erat telum: verùm Achilles
Animo-paratissimo irruit, stricto ense acuto,
Terribilem edens-clamorem: At saxum sumpsit manu
Aeneas, vastum pondus, quod nè duo quidem viri ferrent,

Ver. 272. —— χρυσῆν.] Edidit *Barnesius*, χρυσέην· Quod eodem modo pronuntiandum: Prima enim necessariò producitur. Vide suprà ad ν', 24 et 523.

Ibid. —— τῇ ῥ'] *Quâ utique* ——. *Quâ scilicèt* ———.

Ibid. ——— χάλκεον ἔγχος.] *Al.* μείλινον ἔγχος.

Ver. 273. 276. —— προΐει δολιχόσκιον ἔγχος, —— ἡ δὲ διὰ πρὸ.]

——— hastam jacit: illa per orbem
Ære cavum triplici, per linea terga, tribusque
Transiit intextum tauris opus. ———
Æn. X, 783.

Ver. 275. Ἄντυγ' ὑπὸ πρώτην.] Κατὰ τὸν ἔξωθεν κύκλον τῆς ἀσπίδος. *Schol.*

Ver. 279. —— ἄρ'.] *Ut par erat* ——. *Ut fieri oportebat* ———.

Ver. 280. —— ἱεμένη.] Vide suprà ad ό, 317.

Ver. 283. — πάγη.] Vide suprà ad δ', 185.

Ver. 285. Σμερδαλέα ἰάχων.] Vide suprà ad δ', 456. *Al.* Σμερδαλέως ἰάχων.

Ver 286. — ὃ οὐ δύο γ' ἄνδρε φέροιεν.] Vide suprà ad ί, 503. *Al.* δύω ἄνδρε.

Οἷοι νῦν βροτοί εἰσ'· ὁ δέ μιν ῥέα πάλλε καὶ οἶος.
Ἔνθα κεν Αἰνείας μὲν ἐπεσσύμενον βάλε πέτρῳ,
Ἢ κόρυθ', ἠὲ σάκος, τό οἱ ἤρκεσε λυγρὸν ὄλεθρον·
Τὸν δέ κε Πηλείδης σχεδὸν ἄορι θυμὸν ἀπηύρα,
Εἰ μὴ ἄρ' ὀξὺ νόησε Ποσειδάων ἐνοσίχθων·
Αὐτίκα δ' ἀθανάτοισι θεοῖς μετὰ μῦθον ἔειπεν·
Ὢ πόποι, ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο,
Ὃς τάχα Πηλείωνι δαμεὶς Ἄϊδόσδε κάτεισι,
Πειθόμενος μύθοισιν Ἀπόλλωνος ἑκάτοιο,
Νήπιος· οὐδέ τί οἱ χραισμήσει λυγρὸν ὄλεθρον.
Ἀλλά τίη νῦν οὗτος ἀναίτιος ἄλγεα πάσχει,
Μὰψ ἕνεκ' ἀλλοτρίων ἀχέων, κεχαρισμένα δ' αἰεὶ
Δῶρα θεοῖσι δίδωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;
Ἀλλ' ἄγεθ', ἡμεῖς πέρ μιν ὑπ' ἐκ θανάτου ἀγάγωμεν,
Μήπως καὶ Κρονίδης κεχολώσεται, αἴκεν Ἀχιλλεὺς
Τόνδε κατακτείνῃ· μόριμον δέ οἱ ἔστ' ἀλέασθαι,
Ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται
Δαρδάνου, ὃν Κρονίδης περὶ πάντων φίλατο παίδων,

Quales nunc homines sunt: is verò ipsum facilè agitabat et solus.
Tum certè Aeneas quidem irruentem percussisset saxo,
Vel galeam, vel scutum, quod ab eo defendisset tristem mortem:
Illum verò Pelides cominùs ense animâ privâsset;
Nisi celeritèr animadvertisset Neptunus quassator-terrae:
Statim autem inter immortales deos verbum dixit:
" O dii, certè mihi dolor de magnanimo Aeneâ,
" Qui citò à Pelide domitus ad orcum descendet,
" Persuasus verbis Apollinis longè-jaculantis,
" Demens: neque enim *is* ab eo omninò-propulsabit triste exitium.
" Sed cur nunc hic insons mala patitur,
" Immeritò ob debitos-aliis dolores; grata autem semper
" Munera diis exhibet, qui coelum latum habitant?
" Sed agite, nos ipsi eum è morte subducamus,
" Ne fortè et Saturnius irascatur, si Achilles
" Hunc interimat: fatale verò ei est effugere,
" Ut nè sine-prole genus et prorsùs-extinctum pereat
" Dardani, quem Saturnius prae omnibus dilexit liberis,

Ver. 295.—Ἀπόλλωνος ἑκάτοιο.] Quâ ratione, Ἀπόλλωνος, hîc ultimam producat; item δὲ, *ver.* 322. vide suprà ad ά, 51.

Ver. 296. Νήπιος.]
Demens! qui—— *Æn.* VI, 590.

Ver. 301. Μήπως καὶ Κρονίδης.] Cod. *Harleian.* Μήπως κε Κρονίδης.

Ibid.—αἴκεν Ἀχιλλεὺς.] *Al.* εἴπερ Ἀχιλλεύς.

Ver. 302.—κατακτείνῃ.] *Al.* κατακτείνει.

Ibid.——μόριμον.] Cod. *Harleian.* μόρσιμον. Atque ita in tribus MSS. scriptum repperit *Barnesius.* Quod versum perimit.

Ver. 303. Ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται.] Apud *Maxim. Tyrium, Dissert.* X.; Ὥσκε μὴ ἄσπερμος γενεὴ μετόπισθεν ὄληται.

Ver. 304.——φίλατο.] Quâ analogiâ dicitur μαρτῦρομαι, ἐμαρτῦρόμην, ἐμαρτῦράμην, in Futuro autem μαρτῦροῦμαι, indeque μαρτῦρέομαι, quod per omnes Modos ac Tempora ῠ semper corripit; eâdem analogiâ ex φῖλομαι deducitur ἐφῖλαμην, ἐφῖλατο, ex quo Futurum deducetur φῐλοῦμαι· indeque φῐλέω, quod per omnes Modos et Tempora ῐ semper corripit. Vide suprà ad κ', 280. et ad ά, 338.

Οἳ ἕθεν ἐξεγένοντο, γυναικῶν τε θνητάων.
Ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·
Νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει,
Καὶ παῖδες παίδων, τοί κεν μετόπισθε γένωνται.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
Ἐννοσίγαι', αὐτὸς σὺ μετὰ φρεσὶ σῇσι νόησον
Αἰνείαν, ἤ κέν μιν ἐρύσσεαι, ἤ κεν ἐάσεις
Πηλείδῃ Ἀχιλῆϊ δαμήμεναι, ἐσθλὸν ἐόντα.
Ἤτοι μὲν γὰρ νῶϊ πολεῖς ὠμόσσαμεν ὅρκους
Πᾶσι μετ' ἀθανάτοισιν, ἐγὼ καὶ Παλλὰς Ἀθήνη,
Μήποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ,
Μηδ' ὁπόταν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται
Δαιομένη, δαίωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε Ποσειδάων ἐνοσίχθων,
Βῆ ῥ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων·

" Qui ex se nati sunt, mulieribusque mortalibus.
" Dudum enim Priami genus odit Saturnius:
" Nunc verò utique Aeneae vis Trojanis imperabit,
" Et filii filiorum, qui in-posterum nati fuerint."
Huic autem respondit deindè bubulis-oculis-decora veneranda Juno:
" Terrae-quassator, ipse tu mente tuâ consule
" De Aeneâ, an eum è periculo extrahas, an relinquas
" A Pelide Achille domandum, optimus licèt-sit.
" Nam sanè nos multa juravimus juramenta
" Omnes inter deos, ego et Pallas Minerva,
" Nunquàm à Trojanis *nos* depulsuras-ope-allatâ malum diem,
" Nè quidem cum Troja exitiali igne tota cremabitur
" Incensa, incenderint autem Mavortii filii Achivorum."
Ut verò hoc audivit Neptunus quassator-terrae,
Perrexit ire pérque pugnam et per stridorem hastarum;

Ver. 306. — Κρονίων.] Vide suprà ad ά, 597.

Ver. 307. Νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει.] *Al.* Νῦν δὲ δὴ Αἰνείαο γένος πάντεσσιν ἀνάξει.

Hîc domus Æneæ cunctis dominabitur oris,
Et nati natorum, et qui nascentur ab illis.
Æn. III, 97.

Εἰσὶ δ' οἳ τὸν ἐξ Ἀφροδίτης Αἰνείαν λέγουσι καταστήσαντα λόχον εἰς Ἰταλίαν, ἀνακομισθῆναι πάλιν οἴκαδε, καὶ βασιλεῦσαι τῆς Τροίας· τελευτῶντα δὲ καταλιπεῖν Ἀσκανίῳ τῷ υἱῷ τὴν βασιλείαν, καὶ τὸ ἀπ' ἐκείνου γένος ἐπιπλεῖστον κατασχεῖν τὴν ἀρχήν· ὡς μὲν ἐγὼ εἰκάζω, τοῖς Ὁμήρου ἔπεσιν οὐκ ὀρθῶς λαμβανομένοις παρακρουσθέντες. Πεποίηται γὰρ αὐτῷ ἐν Ἰλιάδι Ποσειδῶν προλέγων τὴν μέλλουσαν ἔσεσθαι περὶ τὸν Αἰνείαν καὶ τοὺς ἐξ ἐκείνου γενησομένους ἐπιφάνειαν ὧδέ πως· " Νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει, Καὶ " παῖδες παίδων, τοί κεν μετόπισθε γένωνται." Ὑπολαβόντες οὖν τὸν Ὅμηρον ἐν Φρυγίᾳ δυναστεύοντας εἰδέναι τοὺς ἄνδρας, ὡς δή οὐ δυνατὸν ἐν Ἰταλίᾳ οἰκοῦντας βασιλεύειν Τρώων, τὴν ἀνακομιδὴν τοῦ Αἰνείου ἀναπλάττουσιν. Ἄρχειν δὲ δὴ τῶν Τρώων οὓς ἐπήγετο, καὶ ἄλλοθι πολιτευομένων, οὐ δυνατὸν ἦν; *Dionys. Halicarn. Antiq. Rom. Lib.* I. Vide et *Strabonem, Geograph. lib.* XIII. *pag.* 905. *al.* 608.

Ibid. — Αἰνείαο βίη.] Vide suprà ad ν', 758.

Ver. 308. Καὶ παῖδες παίδων.] *Al.* Καὶ παίδων παῖδες.

Ibid. — μετόπισθε γένωνται.] *Al.* μετόπισθεν ἕπωνται.

Ver. 309. —— βοῶπις.] Vide suprà ad ά, 551.

Ver. 311. —— ἤ κέν μιν.] Cod. *Harleian.* εἴ κέν μιν.

Ibid. —— ἐάσεις.] Vide suprà ad δ', 42.

Ἷξε δ', ὅθ' Αἰνείας, ἠδ' ὁ κλυτὸς ἦεν Ἀχιλλεύς.
Αὐτίκα τῷ μὲν ἔπειτα κατ' ὀφθαλμῶν χέεν ἀχλὺν,
Πηλείδῃ Ἀχιλῆϊ· ὁ δὲ μελίην εὔχαλκον
Ἀσπίδος ἐξέρυσεν μεγαλήτορος Αἰνείαο·
Καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆος ἔθηκεν,
Αἰνείαν δ' ἐπέσευεν ἀπὸ χθονὸς ὑψόσ' ἀείρας·
Πολλὰς δὲ στίχας ἡρώων, πολλὰς δὲ καὶ ἵππων
Αἰνείας ὑπερᾶλτο, θεοῦ ἀπὸ χειρὸς ὀρούσας·
Ἷξε δ' ἐπ' ἐσχατιὴν πολυάϊκος πολέμοιο·
Ἔνθα δὲ Καύκωνες πόλεμον μεταθωρήσσοντο.
Τῷ δὲ μάλ' ἐγγύθεν ἦλθε Ποσειδάων ἐνοσίχθων,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Αἰνεία, τίς σ' ὧδε θεῶν ἀτέοντα κελεύει
Ἀντί' Ἀχιλλῆος πολεμίζειν ἠδὲ μάχεσθαι,
Ὃς σευ ἅμα κρείσσων, καὶ φίλτερος ἀθανάτοισιν;
Ἀλλ' ἀναχωρῆσαι, ὅτε κεν συμβλήσεαι αὐτῷ,
Μὴ καὶ ὑπὲρ μοῖραν δόμον ἄϊδος εἰσαφίκηαι.

Pervenitque, ubi Aeneas, atque inclytus erat Achilles.
Confestim huic quidem deindè ob oculos fudit caliginem,
Pelidae *nempè* Achilli: ipseque hastam aere-solido-praefixam
Clypeo extraxit magnanimi Aeneae;
Et eam quidem ante pedes Achillis posuit;
Aeneam verò vi-impulsum-egit à terrâ in-altum sublatum:
Multos autem ordines heroüm, multos et equorum
Aeneas superârat saltu, dei à manu impetu-sumpto:
Pervenit verò ad extremam-partem impetuosi proelii:
Ibi autem Caucones ad pugnam armabantur.
Eum verò admodùm propè accessit Neptunus quassator-terrae,
Et ipsum editâ-voce verbis alatis allocutus est:
" Aenea, quis te sic deorum praecordia-laesum instigat
" Contra Achillem proeliari et pugnare,
" Qui te simul fortior, et charior immortalibus?
" Sed recede, quandocunque obvius-fueris-factus illi,
" Ne et praeter fatum domum orci pervenias.

Ver. 320. Ἷξε δ', ὅθ' Αἰνείας.]
—— Pelidæ tunc ego forti
Congressum Æneam, nec Diis, nec viribus æquis.
Nube cavâ eripui ——. *Æn.* V, 808.
Tu potes Æneam manibus subducere Graiûm,
Proque viro nebulam et ventos obtendere inanes.
Æn. X, 81.

Ver. 325. Αἰνείαν δ' ἐπέσευεν.] *Al.* Αἰνείαν δ' ἔσσευεν. Quo modo legit et Codex *Harleianus.*

Ver. 329. —— Καύκωνες.] Οἱ μὲν, Τρωϊκὸν ἔθνος βάρβαρον· ἄλλοι δὲ Παφλαγονίας· οἱ δὲ τοὺς ἐπίκλην Καυκανίους· ἡ δὲ Καύκανος πόλις παράλιος Λυκίας καὶ Καρίας. *Schol.*

Ver. 332. —— ἀτέοντα.] *Al.* χατέοντα. *Al.* ἀέκοντα. *Al.* ἀέκητι.

Ver. 333. Ἀντί' Ἀχιλλῆος πολεμίζειν ἠδὲ μάχεσθαι.] Cod. *Harleian.* Ἀντία Πηλείωνος ὑπερθύμοιο μάχεσθαι. Ut suprà *ver.* 88.

Ibid. —— πολεμίζειν ἠδὲ μάχεσθαι.] Vide suprà ad ή, 232 et 279.

Ver. 336. Μὴ καὶ ὑπὲρ μοῖραν δόμον ἄϊδος εἰσαφίκηαι.] Quicquid *inopinatum*, præter expectationem; quicquid *violentum*, præter naturam; quicquid *ex stultitiâ natum*, præter rationem; ea omnia ὑπὲρ μοῖραν γενέσθαι dicuntur. Vide suprà ad β', 155. " Nihil

Αὐτὰρ ἐπεί κ' Ἀχιλεὺς θάνατον καὶ πότμον ἐπίσπῃ,
Θαρσήσας δὴ ἔπειτα μετὰ πρώτοισι μάχεσθαι·
Οὐ μὲν γάρ τίς σ' ἄλλος Ἀχαιῶν ἐξεναρίξει.
Ὣς εἰπὼν, λίπεν αὐτόθ', ἐπεὶ διεπέφραδε πάντα.
Αἶψα δ' ἔπειτ' Ἀχιλῆος ἀπ' ὀφθαλμῶν σκέδασ' ἀχλὺν
Θεσπεσίην· ὁ δ' ἔπειτα μέγ' ἔξιδεν ὀφθαλμοῖσιν·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
Ἔγχος μὲν τόδε κεῖται ἐπὶ χθονὸς, οὐδέ τι φῶτα
Λεύσσω, τῷ ἐφέηκα, κατακτάμεναι μενεαίνων.
Ἦ ῥα καὶ Αἰνείας φίλος ἀθανάτοισι θεοῖσιν
Ἦεν· ἀτάρ μιν ἔφην μὰψ αὔτως εὐχετάασθαι.
Ἐῤῥέτω· οὔ οἱ θυμὸς ἐμεῦ ἔτι πειρηθῆναι
Ἔσσεται, ὃς καὶ νῦν φύγεν ἄσμενος ἐκ θανάτοιο.
Ἀλλ' ἄγε δὴ, Δαναοῖσι φιλοπτολέμοισι κελεύσας,
Τῶν ἄλλων Τρώων πειρήσομαι ἀντίος ἐλθών.
Ἦ, καὶ ἐπὶ στίχας ἆλτο· κέλευε δὲ φωτὶ ἑκάστῳ·
Μηκέτι νῦν Τρώων ἑκὰς ἕστατε, δῖοι Ἀχαιοὶ,
Ἀλλ' ἄγ', ἀνὴρ ἄντ' ἀνδρὸς ἴτω, μεμάτω δὲ μάχεσθαι.

" At postquàm Achilles mortem et fatum assecutus fuerit,
" Audactèr deinceps inter primos pugna:
" Non enim aliquis te alius Achivorum interficiet."
Sic fatus, reliquit illic, postquàm praeceperat omnia.
Tunc confestim Achillis ab oculis dispersit caliginem
Densam: Is verò continuò clarè vidit oculis:
Ingemiscens autem dixit ad suum magnum animum:
" Papae, certè magnum miraculum hoc oculis video:
" Hasta quidem haec jacet in terrâ, neque omninò virum
" Video, in quem immisi, interficere cupiens.
" Certè et Aeneas igitur charus immortalibus diis
" Erat: sed ipsum putabam frustrà sic gloriari.
" Valeat: non ei animus me ampliùs experiri
" Erit, qui et nunc fugit lubens ex morte.
" Sed agedum, Danaos bellicosos adhortatus,
" Alios Trojanos experiar obvius profectus."
Dixit, et in ordines saliit: adhortabaturque virum quemque:
" Nè ampliùs nunc à Trojanis procul state, nobiles Achivi,
" Sed age, vir contra virum eat, animoque-praesenti capessat-pugnam.

" autem dubium est, quin violentam et inopinatam mortem significaverit; quæ quidem potest rectè videri accidere præter naturam." *Gell. lib.* XIII. *cap.* 1.

Ver. 338. Θαρσήσας.] Cod. *Harleian.* Θαῤῥήσας.

Ibid. —— δὴ ἔπειτα.] Ita edidit *Barnesius.* *Al.* δ' ἤπειτα.

Ibid. —— μετὰ πρώτοισι.] *Al* μετὰ Τρώεσσι.

Ver. 340. —— διεπέφραδε.] Vide suprà ad β', 514. et ad ξ', 500.

Ver. 341. —— σκέδασ'.] Vide suprà ad β', 140.

Ver. 345. — ἐπὶ χθονὸς.] *Al.* ἐπὶ χθονί.

Ver. 347 et 367. — ἀθανάτοισι.] Vide suprà ad ά, 398.

Ver. 350. — ὃς καὶ.] Cod. *Harleian.* ὡς καί.

Ver. 351. —— ἄγε δὴ.] *Age quæso.* Vide suprà ad β', 158.

Ἀργαλέον δέ μοι ἐστὶ, καὶ ἰφθίμῳ περ ἐόντι,
Τοσσούσδ' ἀνθρώπους ἐφέπειν, καὶ πᾶσι μάχεσθαι·
Οὐδέ κ' Ἄρης, ὅσπερ θεὸς ἄμβροτος, οὐδέ κ' Ἀθήνη,
Τοσσῆσδ' ὑσμίνης ἐφέποι στόμα, καὶ πονέοιτο·
Ἀλλ' ὅσσον μὲν ἐγὼ δύναμαι χερσίν τε, ποσίν τε,
Καὶ σθένει, οὔ μ' ἔτι φημὶ μεθησέμεν οὐδ' ἠβαιόν·
Ἀλλὰ μάλα στιχὸς εἶμι διαμπερὲς, οὐδέ τιν' οἴω
Τρώων χαιρήσειν, ὅστις σχεδὸν ἔγχεος ἔλθῃ.
Ὣς φάτ' ἐποτρύνων· Τρώεσσι δὲ φαίδιμος Ἕκτωρ
Κέκλεθ' ὁμοκλήσας, φάτο δ' ἴμεναι ἄντ' Ἀχιλῆος·
Τρῶες ὑπέρθυμοι, μὴ δείδιτε Πηλείωνα.
Καί κεν ἐγὼν ἐπέεσσι καὶ ἀθανάτοισι μαχοίμην,
Ἔγχεϊ δ' ἀργαλέον, ἐπειὴ πολὺ φέρτεροί εἰσιν.
Οὐδ' Ἀχιλεὺς πάντεσσι τέλος μύθοις ἐπιθήσει,
Ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεσσηγὺ κολούει.
Τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
Εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ.

" Difficile autem mihi est, etiam fortis licèt sim,
" Tot homines insequi, et cum omnibus pugnare:
" Neque enim vel Mars, qui tamen deus immortalis, neque Minerva,
" Tantae aciei persequens-obire-possit adversos-ordines, et impigre-agere:
" Sed quantum quidem ego valeo manibusque, pedibusque,
" Et animis, me jam nego contentionem-remissurum nè minimùm quidem:
" Sed omninò per ordines ibo penitùs, neque quenquam puto
" Troüm gavisurum esse, qui prope hastam venerit."
Sic dixit incitans: Trojanos verò illustris Hector
Hortabatur increpitans, affirmabatque *se* iturum contra Achillem:
" Trojani magnanimi, ne timete Pelidem.
" Et sanè ego verbis vel cum immortalibus pugnare-possem,
" Hastâ verò arduum, longè enim potentiores sunt.
" Neque Achilles omnibus finem sermonibus imponet,
" Sed aliud quidem perficiet, aliud verò in-medio-conatu imperfectum-relinquet.
" Illi autem ego obvius ibo, etiam si igni manuum-vi similis-est, 371
" Si igni manuum-vi similis-est, animoque rutilo ferro."

Ver. 357—359. Τοσσούσδ' —— Τοσσῆσδ'.] *Barnesius* hîc παρέλκειν τὸ "δὲ" contendit; quod, ut opinor, haud patitur linguæ Græcæ ratio. Ego potiùs voces istas "Τοσσούσδ', "Τοσσῆσδ'," *demonstrativas* esse arbitror; (κατὰ δεῖξιν· *Schol.*) quasi dicas, *Hos tot viros*; vel, *Hanc tantam hominum multitudinem*: et *Hujus tantæ aciei*. Cæterùm Codex *Harleianus* hîc legit Τόσσους —— Τόσσης.

Ibid. —— ἀνθρώπους.] Cod. *Harleian.* ἀνθρώπων.

Ver. 362. —— μάλα στιχὸς.] *Al.* μάλ' ἂν στίχας.

Ibid. —— οὐδέ τιν' οἴω Τρώων χαιρήσειν.] De venustate istius, χαιρήσειν, vide suprà ad ε', 11. ad ν', 344. et ad α', 333.

Ver. 363. —— ἔλθῃ.] *Al.* ἔλθοι.

Ver. 368. —— ἀργαλέον, ἐπειὴ.] Quâ ratione, ἀργαλέον, hîc ultimam producat; item ὑπὸ, *ver.* 385. et ἑλκόμενος, *ver.* 404. vide suprà ad α', 51.

Ver. 370. —— κολούει.] Ἀκέφαλον καὶ ἀτελῆ-ποιήσει, τοῦτ' ἔστιν, ἀποτεύξεται πρὸ τοῦ ποιῆσαι. *Schol.*

Ver. 371. Τοῦ δ' ἐγὼ ἀντίος εἶμι.]

Audeo, et Æneadûm promitto occurrere turmæ;
Solaque Tyrrhenos equites ire obvia contrà.
Æn. XI, 503.

Ibid. —— καὶ εἰ πυρὶ χεῖρας ἔοικεν, Εἰ πυρὶ χεῖρας ἔοικε.] Vide infrà ad χ', 127. et ad ψ', 642.

Ὣς φάτ' ἐποτρύνων· οἱ δ' ἀντίοι ἔγχε' ἄειρον
Τρῶες· τῶν δ' ἄμυδις μίχθη μένος, ὦρτο δ' ἀϋτή.
Καὶ τότ' ἄρ' Ἕκτορα εἶπε παραστὰς Φοῖβος Ἀπόλλων·
Ἕκτορ, μηκέτι πάμπαν Ἀχιλλῆϊ προμάχιζε,
Ἀλλὰ κατὰ πληθύν τε καὶ ἐκ φλοίσβοιο δέδεξο,
Μήπως σ' ἠὲ βάλῃ, ἠὲ σχεδὸν ἄορι τύψῃ.
Ὣς ἔφαθ'· Ἕκτωρ δ' αὖτις ἐδύσατο οὐλαμὸν ἀνδρῶν,
Ταρβήσας, ὅτ' ἄκουσε θεοῦ ὄπα φωνήσαντος.
Ἐν δ' Ἀχιλεὺς Τρώεσσι θόρε φρεσὶν εἱμένος ἀλκὴν,
Σμερδαλέα ἰάχων· πρῶτον δ' ἕλεν Ἰφιτίωνα
Ἐσθλὸν, Ὀτρυντείδην, πολέων ἡγήτορα λαῶν,
Ὃν νύμφη τέκε Νηῒς Ὀτρυντῆϊ πτολιπόρθῳ,
Τμώλῳ ὕπο νιφόεντι, Ὕδης ἐν πίονι δήμῳ·
Τόν ῥ' ἰθὺς μεμαῶτα βάλ' ἔγχεϊ δῖος Ἀχιλλεὺς,
Μέσσην κακκεφαλήν· ἡ δ' ἄνδιχα πᾶσα κεάσθη·
Δούπησεν δὲ πεσών· ὁ δ' ἐπεύξατο δῖος Ἀχιλλεύς·
Κεῖσαι, Ὀτρυντείδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν·

Sic dixit incitans: adversi verò hastas tollebant
Troës: horum autem in-unum congressa est vis, ortusque est clamor.
Et tunc quidem Hectorem allocutus est astans Phoebus Apollo:
" Hector, ne jam omninò cum Achille congrediaris-ante-aciem,
" Sed in agmineque et ex turbâ excipe,
" Ne quà te vel missili-feriat, vel cominùs ense percutiat."
Sic dixit: Hector verò rursus immersit-se in agmen densum virorum,
Perculsus, ut audivit dei vocem locuti.
At Achilles in Trojanos insiliit, praecordia indutus robur,
Horrendè vociferans: Primum autem interfecit Iphitiona
Strenuum, Otryntidem, magnarum ductorem copiarum,
Quem nympha peperit Naïs Otrynteo urbium-eversori,
Tmolo sub nivoso, Hydae in opulentâ civitate:
Hunc quidem rectâ animosè-irruentem percussit hastâ nobilis Achilles,
Medio capite; illud verò in-duas-partes totum diffissum est:
Fragorem autem edidit cadens: super *eum* verò gloriabatur Achilles:
" Jaces, Otryntide, omnium terribilissime virorum:

Ver. 375. Καὶ τότ' ἄρ'.] *Et tum deinceps* —.

Ver. 377. —— δέδεξο.] *Al.* δέδεξαι.

Ver. 378. —— ἠὲ βάλῃ, ἠὲ σχεδὸν.] Vide suprà ad δ', 540. et ad ρ', 84.

Ver. 382. Σμερδαλέα ἰάχων.] Vide suprà ad δ', 456.

Ver. 385. Τμώλῳ.] Ὄρει Λυδίας. *Schol.*

Ibid. —— νιφόεντι.] Quâ analogiâ vox νιφόεντι, quæ primam *corripit*, deducta sit ex νίφειν, quæ primam *producit;* vide suprà ad ά, 338. et ad μ', 280.

Ibid. —— Ὕδης.] Πόλις Λυδίας, ἡ νῦν καλουμένη Σάρδεις. *Schol.*

Ver. 386. Τόν ῥ'.] *Hunc, inquam,* ———. Cæterùm Codex *Harleianus* hîc legit, Τόν δ'.

Ibid. —— μεμαῶτα.] Vide suprà ad ν', 46.

Ver. 387. Μέσσην κακκεφαλήν· ἡ δ' ἄνδιχα.]

Et mediam ferro gemina inter tempora frontem
Dividit; ————
——— atque illi partibus æquis
Huc caput atque illuc humero ex utroque pependit. *Æn.* IV, 750, 754.

Ver. 388. Δούπησεν δὲ.] Vide suprà ad ν', 181.

Ἐνθάδε τοι θάνατος· γενεὴ δέ τοι ἔστ' ἐπὶ λίμνῃ
Γυγαίῃ, ὅθι τοι τέμενος πατρώϊόν ἐστιν,
Ὕλλῳ ἐπ' ἰχθυόεντι, καὶ Ἕρμῳ δινήεντι.
Ὣς φάτ' ἐπευχόμενος· τὸν δὲ σκότος ὄσσε κάλυψε·
Τὸν μὲν Ἀχαιῶν ἵπποι ἐπισσώτροις δατέοντο
Πρώτῃ ἐν ὑσμίνῃ· ὁ δ' ἐπ' αὐτῷ Δημολέοντα,
Ἐσθλὸν ἀλεξητῆρα μάχης, Ἀντήνορος υἱὸν,
Νύξε κατὰ κρόταφον, κυνέης διὰ χαλκοπαρήου.
Οὐδ' ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ δι' αὐτῆς
Αἰχμὴ ἱεμένη ῥῆξ' ὀστέον, ἐγκέφαλος δὲ
Ἔνδον ἅπας πεπάλακτο· δάμασσε δέ μιν μεμαῶτα.
Ἱπποδάμαντα δ' ἔπειτα καθ' ἵππων ἀΐσσοντα,
Πρόσθεν ἕθεν φεύγοντα, μετάφρενον οὔτασε δουρί·
Αὐτὰρ ὁ θυμὸν ἄϊσθε καὶ ἤρυγεν, ὡς ὅτε ταῦρος
Ἤρυγεν ἑλκόμενος Ἑλικώνιον ἀμφὶ ἄνακτα,

" Hîc tibi mors; genus autem tibi est ad lacum
" Gygaeum, ubi tibi ager paternus est,
" Hyllum ad piscosum, et Hermum vorticosum."
Sic dixit super *eum* glorians; Illum autem caligo oculos obtexit:
Hunc quidem Achivorum equi canthis-rotarum lacerârunt
Primâ in acie: Ille verò post hunc Demoleontem,
Strenuum propulsatorem pugnae, Antenoris filium,
Percussit ad tempus per galeam aeneis-munitam-malis.
Nec sanè aerea galea prohibuit, sed per ipsam
Cuspis pergendi-cupida rupit os; cerebrum verò
Intùs totum foedatum est: domuit verò illum ardentem.
Hippodamantem autem deindè à curru desilientem,
Ante se fugientem, in dorso percussit hastâ:
Et is animum exhalabat et mugiebat, ut cùm taurus
Mugit vi-tractus Heliconium circum regem,

Ver. 390. Ἐνθάδε τοι θάνατος· γενεὴ δέ.]
Hîc tibi mortis erant metæ: domus alta sub Idâ. *Æn.* XII, 546.

Ibid. —— ἐπὶ λίμνῃ.] *Al.* ἐνὶ λίμνῃ.

Ibid. —— λίμνῃ Γυγαίῃ.] Οὕτως ἐν Λυδίᾳ λίμνη καλουμένη Γυγαίη· ἤτοι ἀπὸ Γύγου τοῦ Κανδαύλου, ὃν πρῶτόν φασι βασιλεῦσαι Λυδῶν· ἢ ἀπό τινος ἐγχωρίου ἥρωος Γύγου καλουμένου. *Schol.*

Ver. 392. Ὕλλῳ ἐπ' ἰχθυόεντι.] Sic apud *Virgilium :*
——— *piscosove* amne Padusæ. *Æn.* XI, 457.

Ver. 393. —— τὸν δὲ σκότος ὄσσε κάλυψε.] Vide suprà ad δ', 461 et 503.

Ver. 399. Αἰχμὴ ἱεμένη.] Vide suprà ad ό, 317.

Ibid. —— ῥῆξ' ὀστέον, ἐγκέφαλος δὲ.] Vide suprà ad λ', 97.

Ver. 400. —— μεμαῶτα.] Vide suprà ad ν', 46.

Ver. 402. Πρόσθεν ἕθεν φεύγοντα, μετάφρενον οὔτασε.]
Tum Pallas bijugis fugientem Rhœtea praeter
Trajicit. ——— *Æn.* X, 399.

Ibid. —— οὔτασε.] Vide suprà ad ν', 192. et ad δ', 525.

Ver. 403. —— ἤρυγεν, ὡς ὅτε ταῦρος Ἤρυγεν ἑλκόμενος.]
Clamores simul horrendos ad sidera tollit:
Quales mugitus, fugit cum saucius aram
Taurus, et incertam excussit cervice securim. *Æn.* II, 222.

Quem locum inter eos recenset *Macrobius*, in quibus *Virgilius Homerici* carminis majestatem non æquat. *Lib.* V. *cap.* 13.

Ver. 404. ——— Ἑλικώνιον ἀμφὶ ἄνακτα.] Τὸν Ποσειδῶνα· ἤτοι, ὅτι ἐν Ἑλικῶνι ὄρει τῆς Βοιωτίας τιμᾶται· ἢ ἐν Ἑλίκῃ· ——— Ἑλίκῃ

Κούρων ἑλκόντων· γάνυται δέ τε τοῖς Ἐνοσίχθων·
Ὣς ἄρα τόν γ' ἐρυγόντα λίπ' ὀστέα θυμὸς ἀγήνωρ.
Αὐτὰρ ὁ βῆ σὺν δουρὶ μετ' ἀντίθεον Πολύδωρον
Πριαμίδην· τὸν δ' οὔτι πατὴρ εἴασκε μάχεσθαι,
Οὕνεκά οἱ μετὰ πᾶσι νεώτατος ἔσκε γόνοιο,
Καί οἱ φίλτατος ἔσκε, πόδεσσι δὲ πάντας ἐνίκα.
Δὴ τότε νηπιέῃσι, ποδῶν ἀρετὴν ἀναφαίνων,
Θῦνε διὰ προμάχων, εἷως φίλον ὤλεσε θυμόν.
Τὸν βάλε μέσσον ἄκοντι ποδάρκης δῖος Ἀχιλλεὺς,
Νῶτα παραΐσσοντος, ὅθι ζωστῆρος ὀχῆες
Χρύσειοι σύνεχον, καὶ διπλόος ἤντετο θώρηξ·
Ἀντικρὺ δὲ διέσχε παρ' ὀμφαλὸν ἔγχεος αἰχμή·
Γνὺξ δ' ἔριπ' οἰμώξας· νεφέλη δέ μιν ἀμφεκάλυψε
Κυανέη, προτί οἱ δ' ἔλαβ' ἔντερα χερσὶ λιασθείς.
Ἕκτωρ δ', ὡς ἐνόησε κασίγνητον Πολύδωρον,
Ἔντερα χερσὶν ἔχοντα, λιαζόμενον προτὶ γαίῃ,
Κάῤῥα οἱ ὀφθαλμῶν κέχυτ' ἀχλὺς, οὐδ' ἄρ' ἔτ' ἔτλη

Adolescentibus trahentibus; gaudet autem his Neptunus:
Sic utique hujus mugientis reliquit ossa animus ferox.
At ille ivit cum hastâ in deo-parem Polydorum
Priamidem: Eum verò neutiquam pater sinebat pugnare,
Quòd sibi inter omnes minimus erat natu,
Et sibi charissimus erat, pedibusque omnes vincebat.
Tum verò juvenili-stultitiâ, pedum virtutem ostentans,
Ruebat per primos-pugnatores, donec suam perdidit animam.
Hunc percussit medium jaculo pedibus-valens nobilis Achilles,
Terga praetercurrentis, ubi baltei annuli
Aurei constringebant, et duplex occurrebat thorax;
In adversam verò partem perrupit ad umbilicum hastae cuspis:
In-genua autem procidit ejulatu-edito; nubesque ipsum obtexit
Nigra; ad se verò collegit intestina manibus inclinatus.
Hector verò, ut vidit fratrem Polydorum,
Viscera manibus tenentem, advolutum terrae;
Continuò ejus oculis offusa est caligo, neque ampliùs sustinuit

---

δὲ νῆσος Ἀχαιΐας, ἐν ᾗ ἱερὸν Ποσειδῶνος: *Schol.* Vide et *Strabonem, Geograph. lib.* VIII. *pag.* 589. *Al.* 384.

Ver. 405. — γάνυται.] Vide suprà ad γ', 260.

Ver. 406. —— ἄρα.] *Ut dictum est,* ——— *ver.* 403.

Ibid. —— ἐρυγόντα.] Ita ex *Eustathio* edidit *Barnesius. Al.* ἐρύγοντα.

Ver. 408—418. Πριαμίδην.] ——— Κυανέη.] Vide suprà ad ά, 398.

Ver. 409. ——— μετὰ πᾶσι.] Cod. *Harleian.* μετὰ παισί.

Ver. 410. —— πόδεσσι δὲ.] Cod. *Harleian.* πόδεσσί τε.

Ibid. ——— ἐνίκα.] *Vincere solebat.* Vide suprà ad *ver.* 28. et ad ν', 84.

Ver. 414. —— ὀχῆες.] Οἱ συνέχοντες τὸν ζωστῆρα ἱμάντες. *Schol.*

Ver. 416. Ἀντικρὺ δὲ.] Quâ ratione, Ἀντικρὺ hîc ultimam producat; item εὐχόμενος, *ver.* 424. et ἔτι, *ver.* 426. et νηπύτιον, *ver.* 431. vide suprà ad ά, 51.

Ver. 421. Κάῤῥα.] Id est, ut rectè notavit *Barnesius,* Κατά ῥα. Eodem modo ac καγγόνυ pro κατὰ γόνυ infrà *ver.* 458; κάδδε pro κατὰ δέ, *&c.*

Ibid. —— κέχυτ' ἀχλὺς.] Cod. *Harleian.* κέχυτο χόλος.

Δηρὸν ἑκὰς στρωφᾶσθ', ἀλλ' ἀντίος ἦλθ' Ἀχιλῆϊ,
Ὀξὺ δόρυ κραδάων, φλογὶ εἴκελος· αὐτὰρ Ἀχιλλεὺς
Ὡς εἶδ', ὡς ἀνέπαλτο, καὶ εὐχόμενος ἔπος ηὔδα·
Ἐγγὺς ἀνὴρ, ὃς ἐμόν γε μάλιστ' ἐσεμάσσατο θυμὸν,
Ὅς μοι ἑταῖρον ἔπεφνε τετιμένον· οὐδ' ἄρ' ἔτι δὴν
Ἀλλήλους πτώσσοιμεν ἀνὰ πτολέμοιο γεφύρας.
Ἦ, καὶ ὑπόδρα ἰδὼν προσεφώνεεν Ἕκτορα δῖον·
Ἆσσον ἴθ', ὥς κεν θᾶσσον ὀλέθρου πείραθ' ἵκηαι.
Τὸν δ' οὐ ταρβήσας προσέφη κορυθαίολος Ἕκτωρ·
Πηλείδη, μὴ δή μ' ἐπέεσσί γε, νηπύτιον ὣς,
Ἔλπεο δειδίξεσθαι· ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς
Ἠμὲν κερτομίας, ἠδ' αἴσυλα μυθήσασθαι·
Οἶδα δ', ὅτι σὺ μὲν ἐσθλὸς, ἐγὼ δὲ σέθεν πολὺ χείρων.
Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,
Αἴκε σε, χειρότερός περ ἐὼν, ἀπὸ θυμὸν ἕλωμαι,
Δουρὶ βαλών· ἐπειὴ καὶ ἐμὸν βέλος ὀξὺ πάροιθεν.
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δόρυ, καὶ τό γ' Ἀθήνη

Diu procul versari, sed obvius venit Achilli,
Acutam hastam vibrans, flammae similis: At Achilles
Ut vidit, ut exiliit, et jactabundus verbum dixit:
" Propè vir, qui meum quidem maximè intimum-pupugit animum,
" Qui mihi sodalem interfecit charissimum; neque sanè diutius
" Alter alterum trepidi-fugiamus per aciei semitas."
Dixit, et torvè intuitus allocutus est Hectorem nobilem:
" Propiùs accede, ut ocyùs ad mortis metas pervenias."
Illum verò interritus allocutus est pugnam expeditè-ciens Hector:
" Pelide, ne jam me verbis saltem, puerulum tanquam,
" Speres *te* perterrefacturum; facilè enim possum et ipse
" Et convitia, et opprobria proloqui:
" Scio autem, quòd tu quidem strenuus, ego verò te multò inferior.
" Sed haec quidem Deorum in genibus posita sunt,
" An tibi, inferior licèt sim, animum exemero,
" Hastâ percusso: nam et meum telum acutum cuspide."
Dixit utique, et vibratam emisit hastam, et eam quidem Minerva

---

Ver. 422. ——— Ἀχιλῆϊ.] Cod. *Harleian.* Ἀχιλῆος.

Ver. 423. —— εἴκελος.] Ita ex uno MS. edidit *Barnesius.* *Al.* ἴκελος. Minùs rectè. Vide suprà ad σ', 154. et ad ν', 53.

Ver. 424. Ὡς εἶδ', ὡς ἀνέπαλτο.] Vide suprà ad τ', 16.

Ibid. — ἀνέπαλτο.] Vide suprà ad θ', 85.

Ver. 425. — ἐσεμάσσατο.] *Barnesius* edidit ἐσεμάσσετο· rationibus, ut opinor, haud satìs idoneis. Vide suprà ad ρ', 564. *Al.* ἐπεμάσσατο.

Ver. 427. — πτολέμοιο γεφύρας.] Τὰ μεταξὺ τῶν πολεμούντων διαστήματα. *Schol.* Vide suprà ad δ', 371. et ad θ', 378.

Ver. 430. — κορυθαίολος.] Vide suprà ad β', 816.

Ver. 431. Πηλείδη, μὴ δή μ' ἐπέεσσί.] Vide suprà ad *ver.* 200.

Ver. 434. — ὅτι.] Edidit *Barnesius,* ὅ τι. Sed nihil opus. Vide suprà ad ά, 51.

Ver. 435. Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται.] Vide suprà ad ρ', 514. *Al.* θεῶν ἐπὶ γούνασι κείσθω.

Ver. 437. —— ἐπειὴ καὶ ἐμὸν βέλος ὀξύ.]

Et nos tela, pater, ferrumque haud debile dextrâ
Spargimus, et nostro sequitur de vulnere sanguis. *Æn.* XII, 50.

Ver. 438. —— τό γ' Ἀθήνη Πνοιῇ Ἀχιλλῆος πάλιν ἔτραπε.]

Excepere auræ vulnus; Saturnia Juno
Detorsit veniens, portæque infigitur hasta. *Æn.* IX, 745.

Πνοιῇ Ἀχιλλῆος πάλιν ἔτραπε κυδαλίμοιο,
Ἦκα μάλα ψύξασα· τὸ δ' ἂψ ἵκεθ' Ἕκτορα δῖον,
Αὐτοῦ δὲ προπάροιθε ποδῶν πέσεν· αὐτὰρ Ἀχιλλεὺς
Ἐμμεμαὼς ἐπόρουσε, κατακτάμεναι μενεαίνων,
Σμερδαλέα ἰάχων· τὸν δ' ἐξήρπαξεν Ἀπόλλων
Ῥεῖα μάλ', ὥστε θεὸς, ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῇ.
Τρὶς μὲν ἔπειτ' ἐπόρουσε ποδάρκης δῖος Ἀχιλλεὺς
Ἔγχεϊ χαλκείῳ, τρὶς δ' ἠέρα τύψε βαθεῖαν·
Ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο, δαίμονι ἶσος,
Δεινὰ δ' ὁμοκλήσας ἔπεα πτερόεντα προσηύδα·
Ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον· ἦτέ τοι ἄγχι
Ἦλθε κακόν· νῦν αὖτέ σ' ἐρύσσατο Φοῖβος Ἀπόλλων,
Ὧ μέλλεις εὔχεσθαι, ἰὼν ἐς δοῦπον ἀκόντων.
Ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας,
Εἴπου τις καὶ ἔμοιγε θεῶν ἐπιτάῤῥοθός ἐστι·
Νῦν δ' ἄλλους Τρώων ἐπιείσομαι, ὅν κε κιχείω.
Ὣς εἰπὼν, Δρύοπ' οὖτα κατ' αὐχένα μέσσον ἄκοντι·

Flatu ab Achille retrò avertit glorioso,
Leniter admodùm afflatam; illa autem rediit ad Hectorem nobilem,
Ipsiusque ante pedes cecidit: verùm Achilles
Animo-paratissimo irruit, occidere cupiens
Horrendùm vociferans: Illum verò eripuit Apollo
Facilè admodùm, utpote Deus, operuitque caligine multâ.
Ter quidem deindè irruit pedibus-valens nobilis Achilles
Hastâ aereâ, terque caliginem percussit profundam:
Sed quando jam quartò irruebat, deo par,
Minacitèr tum verò increpitans verbis alatis allocutus est:
" Rursùs nunc effugisti mortem, canis; certè tibi propè
" Venerat malum; nunc verò te eripuit Phoebus Apollo,
" Cui scilicèt vota facis, cùm proficisceris in stridorem jaculorum.
" At certè te conficiam omninò et posthàc obvius-factus,
" Si fortè aliquis et mihi deorum adjutor est:
" Nunc verò alios Trojanorum persequar, quemcunque deprehendere-potuero."
Sic locutus, Dryopem percussit ad cervicem mediam jaculo;

Ver. 439. — Ἀχιλλῆος.] Ita edidit *Barnesius. Al.* Ἀχιλῆος.

Ver. 443. Σμερδαλέα ἰάχων.] Vide suprà ad δ', 456.

Ver. 444. —— θεὸς, ἐκάλυψε.] Quâ ratione, θεὸς hìc ultimam producat; item ξίφεϊ, *ver.* 459. et δινόμενον, *ver.* 472. et θάνατον, *ver.* 481. vide suprà ad ά, 51.

Ver. 448. Δεινὰ δ'.] Malè hìc *Barnesius:* " Manifestum est, (inquit,) vel ex hoc u" nico loco, τὸ, " Δὲ," ἐγκλιτικὸν εἶναι, καὶ " παρέλκειν." Vide suprà ad π', 706. et ad ά, 57.

Ver. 450. ——— ἐρύσσατο.] *Al.* ἐρύσατο. Male; antepenultimam enim corripit. Vide suprà ad π', 781.

Ver. 451. — δοῦπον.] Vide suprà ad δ', 455.

Ver. 454. Νῦν δ' ἄλλους Τρώων.] Cod. *Harleian.* Νῦν δ' αὖ τοὺς ἄλλους.

Ver. 455. Ὣς εἰπὼν, Δρύοπ' οὖτα κατ' αὐχένα.]

——— rigidâ Dryopen ferit eminùs hastâ
Sub mentum graviter pressâ, pariterque loquentis
Vocem animamque rapit, trajecto gutture ———. *Æn.* X, 346.

Ver. 455. 469 et 472. ——— οὖτα.] Vide suprà ad ν', 192.

Ἤριπε δὲ προπάροιθε ποδῶν· ὁ δὲ τὸν μὲν ἔασε,
Δημοῦχον δὲ Φιλητορίδην ἠΰν τε μέγαν τε
Καγγόνυ δουρὶ βαλὼν ἠρύκακε· τὸν μὲν ἔπειτα
Οὐτάζων ξίφεϊ μεγάλῳ, ἐξαίνυτο θυμόν.
Αὐτὰρ ὁ Λαόγονον καὶ Δάρδανον, υἷε Βίαντος,
Ἄμφω ἐφορμηθεὶς ἐξ ἵππων ὦσε χαμᾶζε,
Τὸν μὲν δουρὶ βαλὼν, τὸν δὲ σχεδὸν ἄορι τύψας.
Τρῶα δ' Ἀλαστορίδην· ὁ μὲν ἀντίος ἤλυθε, γούνων,
Εἴπως εὖ πεφίδοιτο, λαβὼν, καὶ ζωὸν ἀφείη,
Μηδὲ κατακτείνειεν, ὁμηλικίην ἐλεήσας·
Νήπιος, οὐδὲ τὸ ἤδη, ὃ οὐ πείσεσθαι ἔμελλεν.
Οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν, οὐδ' ἀγανόφρων,
Ἀλλὰ μάλ' ἐμμεμαώς· ὁ μὲν ἥπτετο χείρεσι γούνων,
Ἱέμενος λίσσεσθ', ὁ δὲ φασγάνῳ οὖτα καθ' ἧπαρ·
Ἐκ δέ οἱ ἧπαρ ὄλισθεν, ἀτὰρ μέλαν αἷμα κατ' αὐτοῦ
Κόλπον ἐνέπλησεν, τὸν δὲ σκότος ὄσσε κάλυψε,
Θυμοῦ δευόμενον· ὁ δὲ Μούλιον οὖτα παραστὰς

Cecidit autem *is ei* ante pedes: Ille autem hunc quidem reliquit;
Demuchum verò Philetoridem strenuumque magnumque
Ad genu hastâ percussum detinuit: huic quidem deindè,
Feriens ense magno, exemit animam.
Porrò ille Laogonum et Dardanum, filios Biantis,
Ambos cum-impetu-adortus ex curru depulit in terram,
Alterum hastâ percussum-eminùs, alterum verò cominùs ense.
Troëm etiam Alastoridem: hic quidem obvius venerat, genibus,
Si quo modo sibi parceret, prehensis, et vivum dimitteret,
Neque interficeret, aequalem-aetatem miseratus:
Demens, neque hoc sciebat, quòd non persuasurus erat.
Haudquaquam enim *Achilles* animo-mitis vir erat, neque lenis,
Sed valdè ferox: Hic quidem ceperat manibus genua,
Cupiens precari, ille autem ense percussit ad hepar;
Hujus autem hepar excidit, et ater sanguis ex ipso
Sinum implevit, eumque tenebrae oculos contexere,
Animâ cassum: *Achilles* verò Mulium percussit propè astans

Ver. 456. — ἔασε.] Vide suprà ad δ', 42.

Ver. 458. Καγγόνυ.] Cod. *Harleian.* Κακγόνυ.

Ver. 459. —— ἐξαίνυτο.] Vide suprà ad γ', 260.

Ver. 462. Τὸν μὲν δουρὶ βαλὼν, τὸν δὲ σχεδὸν.]

Turnus —— Amycum, fratremque Diorem,
—— hunc venientem cuspide longâ,
Hunc mucrone ferit —. *Æn.* XII, 509.

Ver. 463. —— ἤλυθε.] Vide suprà ad ό, 454. et ad ά, 37.

Ver. 464. Εἴπως εὖ πεφίδοιτο.] Cod. *Harleian.* Εἴπως οἱ πεφίδοιτο.

Ver. 467. Οὐ γάρ τι γλυκύθυμος.]

Impiger, iracundus, inexorabilis, acer,
Jura negat sibi nata, nihil non arrogat armis. *Horat. Ars Poëtic.* 121.

Exhibet nempe Heroem suum Poeta, non qualis esse debuerit, sed qualem famâ accepisset.

Ver. 470. —— ἀτὰρ μέλαν αἷμα κατ' αὐτοῦ Κόλπον ἐνέπλησεν.]

—— validum namque exigit ensem
Per medium Æneas juvenem ——
Implevitque sinum sanguis. ——
Æn. X, 815. 819.

Ver. 471. — τὸν δὲ σκότος ὄσσε κάλυψε.] Vide suprà ad δ', 461 et 503.

Δουρὶ κατ' οὖς· εἶθαρ δὲ δι' οὔατος ἦλθ' ἑτέροιο
Αἰχμὴ χαλκείη· ὁ δ' Ἀγήνορος υἱὸν Ἔχεκλον
Μέσσην κακκεφαλὴν ξίφει ἤλασε κωπήεντι·
Πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ' ὄσσε
Ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
Δευκαλίωνα δ' ἔπειθ', ἵνα τε ξυνέχουσι τένοντες
Ἀγκῶνος, τῇ τόν γε φίλης διὰ χειρὸς ἔπειρεν
Αἰχμὴ χαλκείη· ὁ δέ μιν μένε χεῖρα βαρυνθεὶς,
Πρόσθ' ὁρόων θάνατον· ὁ δὲ φασγάνῳ αὐχένα θείνας,
Τῆλ' αὐτῇ πήληκι κάρη βάλε, μυελὸς αὖτε
Σφονδυλίων ἔκπαλθ'· ὁ δ' ἐπὶ χθονὶ κεῖτο τανυσθείς.
Αὐτὰρ ὁ βῆ ῥ' ἰέναι μετ' ἀμύμονα Πείρεω υἱὸν,
Ῥίγμον, ὃς ἐκ Θρήκης ἐριβώλακος εἰληλούθει·
Τὸν βάλε μέσσον ἄκοντι, πάγη δ' ἐν νηδύϊ χαλκός·
Ἤριπε δ' ἐξ ὀχέων· ὁ δ' Ἀρηΐθοον θεράποντα,
Ἂψ ἵππους στρέψαντα, μετάφρενον ὀξέϊ δουρὶ
Νύξ', ἀπὸ δ' ἅρματος ὦσε· κυκήθησαν δέ οἱ ἵπποι.

Hastâ ad aurem; moxque per aurem ivit alteram
Cuspis aerea: Ille verò Agenoris filium Echeclum
Medium ad caput ense feriit capulum-magnum-habente;
Totus autem incaluit ensis sanguine: hunc verò oculos
Occupavit purpurea mors et fatum violentum.
Deucalionem autem deindè, ubi connectuntur nervi
Cubiti, hâc illum dilectam per manum transfixit
Cuspis aerea; is verò illum expectavit manu gravatus,
Prae *se* videns mortem: Ille autem gladio cervice percussâ,
Procul cum ipsâ galeâ caput excussit: medulla verò
Vertebris exiliit: hic autem in terrâ jacuit extensus.
At ille perrexit ire in eximium Pirei filium,
Rhigmum, qui è Thraciâ glebosâ venerat:
Hunc percussit medium telo, fixumque est in ventre aes;
Decidit autem è curru: Ille autem Areïthoum famulum,
Retrò equos convertentem, in dorsum acutâ hastâ
Feriit, curruque deturbavit: turbati sunt autem ejus equi.

Ver. 473. — εἶθαρ δὲ δι' οὔατος ἦλθ' ἑτέροιο Αἰχμὴ χαλκείη.

—— it hasta Tago per tempus utrumque
Stridens ——.

Æn. IX, 418.

Ver. 475. Μέσσην κακκεφαλὴν ξίφει ἤλασε.] Vide suprà ad *ver.* 387.

Ver. 476. Πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι.] Ἔστι καὶ ἡ Ἔμφασις· ἥπερ, δι' ὑπονοίας, ἐπίτασιν τοῦ λεγομένου παρίστησιν· Οἷον, "Πᾶν δ' "ὑπεθερμάνθη ξίφος αἵματι." Καὶ γὰρ ἐν τούτῳ παρέχει μείζονα ἔμφασιν, ὡς βαπτισθέντος οὕτω τοῦ ξίφους, ὥστε θερμανθῆναι. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 7.

Ver. 477. Ἔλλαβε πορφύρεος θάνατος.] Vide suprà ad π', 334.

Ibid. —— πορφύρεος.] Vide suprà ad ά, 482.

Ver. 481. — ὁ δὲ φασγάνῳ αὐχένα θείνας, Τῆλ' αὐτῇ πήληκι κάρη βάλε.]

—— huic uno dejectum cominùs ictu
Cum galeâ longè jacuit caput ——.

Æn. IX, 770.

Ver. 485. —— Θρήκης.] Cod. *Harleian.* Θράκης.

Ibid. —— εἰληλούθει.] Vide suprà ad λ', 230.

Ver. 486. — πάγη.] Vide suprà ad δ', 185.

Ibid. — ἐν νηδύϊ.] Cod. *Harleian.* ἐν πνεύμονι. Ut suprà δ', 528.

Ὡς δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεσπιδαὲς πῦρ
Οὔρεος ἀζαλέοιο, βαθεῖα δὲ καίεται ὕλη,
Πάντη τε κλονέων ἄνεμος φλόγα εἰλυφάζει·
Ὣς ὅγε πάντη θῦνε σὺν ἔγχεϊ, δαίμονι ἶσος,
Κτεινομένους ἐφέπων, ῥέε δ' αἵματι γαῖα μέλαινα.
Ὡς δ' ὅτε τις ζεύξῃ βόας ἄρσενας εὐρυμετώπους,
Τριβέμεναι κρῖ λευκὸν ἐϋτροχάλῳ ἐν ἀλωῇ,
Ῥίμφα τε λέπτ' ἐγένοντο βοῶν ὑπὸ πόσσ' ἐριμύκων·
Ὣς ὑπ' Ἀχιλλῆος μεγαθύμου μώνυχες ἵπποι
Στεῖβον ὁμοῦ νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ' ἄξων
Νέρθεν ἅπας πεπάλακτο, καὶ ἄντυγες αἱ περὶ δίφρον,
Ἃς ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον,
Αἵτ' ἀπ' ἐπισσώτρων· ὁ δὲ ἵετο κῦδος ἀρέσθαι
Πηλείδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους.

Ut verò fertur-furens per profundas convalles immanè-ardens ignis
Montis aridi; profunda autem crematur sylva,
Et quaquaversùs agitans ventus flammam contorquet:
Sic ille quaquaversùs furibundus ferebatur cum hastâ, deo par,
Occidendos insequens; fluebat autem sanguine terra nigra.
Ut verò cum quis junxerit boves mares latis-frontibus,
Ut triturent hordeum album aequabili in areâ,
Facilè protinùs comminuuntur boüm sub pedibus vehementèr-mugientium:
Sic ab Achille acti magnanimo solidi-ungulis equi
Calcabant simul cadaveraque et clypeos: sanguine autem axis
Subtùs totus foedatus erat, et ambitus qui *erant* circa sellam-currûs,
Quos utique ab equinis ungulis guttae aspergebant,
Atque à canthis: cupiebat verò gloriam referre
Pelides, cruore autem et sudore-pulverulento foedabatur manus invictas.

Ver. 490. *Ὡς δ' ἀναμαιμάει.*] Vide suprà ad λ', 155.

Ver. 491. — *ὕλη.*] Vide suprà ad γ', 151.

Ver. 492 et 493. Πάντη.] *Al.* Πάντῃ.

Ver. 493. *Ὣς ὅγε πάντη θῦνε σὺν ἔγχεϊ.*]

Multa virûm volitans dat fortia corpora leto:
Semineces volvit multos, aut agmina curru
Proterit, aut raptas fugientibus ingerit hastas.
Æn. XII, 328.

Ver. 496. ——— *ἐϋτροχάλῳ ἐν ἀλωῇ.*] *Al.* *ἐϋκτιμένῃ ἐν ἀλωῇ.*

Ver. 498. *Ὣς ὑπ' Ἀχιλλῆος.*]

Talis equos alacer media inter prœlia Turnus
Fumantes sudore quatit, miserabile cæsis
Hostibus insultans; spargit rapida ungula rores
Sanguineos, mixtâque cruor calcatur arenâ.
Æn. XII, 337.

Quem locum inter eos recenset *Macrobius*, in quibus Poëtarum "*par penè splendor ambo-*" *rum est.*" Lib. V. cap. 12.

Ver. 500. —— *πεπάλακτο.*] Vide suprà ad δ', 492. et ad ό, 153.

Ver. 501. *Ἃς ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον.*] *Ἃς ἀποπίπτουσαι τῶν ἱππείων ὁπλῶν, ὅ ἐστιν ὀνύχων, αἱ ῥανίδες ἔβαλλον.* *Schol.*

Ibid. *Ἃς ἄρ'.*] *Quos utique,* ———. *Quos scilicèt* ———.

Ver. 503. —— *λύθρῳ.*] *Ὁ ἐκ τῆς πολεμικῆς ἐνεργείας μολυσμός· ἢ τὸ μετὰ κονιορτοῦ καὶ ἱδρῶτος ἀνθρώπειον αἷμα λύθρος καλεῖται.* *Schol.*

ΤΗΣ

ΟΜΗΡΟΥ ΙΛΙΑΔΟΣ

ῬΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ Φ′.

Ὑπόθεσις τῆς Φ′. ὉΜΗΡΟΥ Ῥαψῳδίας.

ΤΩΝ Τρώων εἰς δύο διαιρεθέντων μέρη, τοὺς μὲν εἰς τὴν πόλιν, τοὺς δὲ εἰς τὸν Σκάμανδρον Ἀχιλλεὺς διώκει, καὶ δεκαδύο νεανίας ζωγρεῖ, εἰς ποινὴν Πατρόκλου· τὸν δὲ Λυκάονα, τὸν Πριάμου, καὶ Ἀστεροπαῖον ἀναιρεῖ. Ἔπειτα τοῦ ποταμοῦ πλημμύραντος, κινδυνεύοντα αὐτὸν σώζει Ἥφαιστος, ἐμπρήσας τὸν ποταμὸν καὶ τὸ πεδίον. Μετὰ ταῦτα θεῶν μάχη γίνεται πρὸς ἀλλήλους. Ἀχιλλέα δὲ Ἀπόλλων εἴργει, Ἀγήνορι ὁμοιωθεὶς, καὶ φεύγων ἐξαπατᾷ, ἕως οἱ Τρῶες διασώζονται εἰς τὴν πόλιν.

Ἐπιγραφαί.

Παραποτάμιος μάχη· ἢ, αἱ παραποτάμιαι· καὶ θεῶν μάχη.

Ἄλλως·

Φῖ, * μόγος Αἰακίδαο παρ' ἠϊόνας ποταμοῖο.

Ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋῤῥεῖος ποταμοῖο
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεὺς,
Ἔνθα διατμήξας, τοὺς μὲν πεδίονδ' ἐδίωκε
Πρὸς πόλιν, ᾗπερ Ἀχαιοὶ ἀτυζόμενοι φοβέοντο,
Ἤματι τῷ προτέρῳ, ὅτε μαίνετο φαίδιμος Ἕκτωρ·
Τῇ ῥ' οἵ γε προχέοντο πεφυζότες· ἠέρα δ' Ἥρη

SED ubi jam ad meatum pervenerant pulchrè-fluentis fluvii
Xanthi vorticosi, quem immortalis genuit Jupiter;
Ibi tum divisos, hos quidem campum versùs insequebatur
Ad urbem, quà Graeci turbati fugerant,
Die superiori, quandò furebat illustris Hector:
Illàc hi profundebantur trepidâ-fugâ; caliginem autem Juno

Ver. 1. Ἀλλ' ὅτε δὴ πόρον ἷξον.] Vide suprà ad ξ, 433.

Ibid. — πόρον —— ποταμοῖο.] Τὸ διαβατὸν αὐτῷ μέρος, καθ' ὃν διαπορεύονται αὐτόν. *Schol.*

Ver. 2. —— ἀθάνατος.] Similitèr infrà *ver.* 13. ἀκάματον· et *ver.* 88. θυγατέρα. Vide suprà ad ά, 398.

Ver. 4. ᾗπερ Ἀχαιοὶ.] Ita ex uno MS. et ex *Eustathio* edidit *Barnesius*. *Al.* ᾗπερ οἱ ἄλλοι. Quæ lectio ex *ver.* 554. infrà fortassè huc irrepserit.

Ver. 6. Τῇ ῥ'.] *Eâ utique* ——. *Eâ inquam* ——.

Ibid. —— ἠέρα δ' Ἥρη Πίτνα πρόσθε βαθεῖ-

* *Al.* μόθος.

Πίτνα πρόσθε βαθεῖαν, ἐρυκέμεν· ἡμίσεες δὲ
Ἐς ποταμὸν εἰλεῦντο βαθύῤῥοον, ἀργυροδίνην·
Ἐν δ' ἔπεσον μεγάλῳ πατάγῳ· βράχε δ' αἰπὰ ῥέεθρα,
Ὄχθαι δ' ἀμφὶ περὶ μεγάλ' ἴαχον· οἱ δ' ἀλαλητῷ
Ἔννεον ἔνθα καὶ ἔνθα, ἑλισσόμενοι κατὰ δίνας.
Ὡς δ' ὅθ' ὑπαὶ ῥιπῆς πυρὸς ἀκρίδες ἠερέθονται
Φευγέμεναι ποταμόνδε, τὸ δὲ φλέγει ἀκάματον πῦρ
Ὄρμενον ἐξαίφνης, ταὶ δὲ πτώσσουσι καθ' ὕδωρ·
Ὣς ὑπ' Ἀχιλλῆος Ξάνθου βαθυδινήεντος
Πλῆτο ῥόος κελάδων ἐπιμὶξ ἵππων τε καὶ ἀνδρῶν.

Expandit antè densam, ut-inhiberet: dimidii verò
In fluvium volvebantur profundè-fluentem, vorticibus-argenteum;
Inciderunt autem magno strepitu: sonitum verò dedêre alta fluenta,
Ripaeque circumcircà graviter gemuere: Illi verò fremitum-edentes
Innatabant huc et illuc, agitati per vortices.
Ut verò cùm exactae impetu ignis locustae evolant
Ut fugiant ad-fluvium, ardet autem indefessus ignis
Excitatus derepentè; illae verò metu-perculsae-cadunt in aquam:
Sic Achille fugante Xanthi vorticibus-profundi
Implebatur fluentum resonans mixtim equisque et viris.

αν, ἐρυκέμεν.] Domina *Dacier* hæc ita accipit, ut *Juno Trojanos* nebulâ circumfusos ab *Achille* eripere ac servare dicatur: " Ἐρυκέμεν," inquit, " ne signifie pas ici, *pour les empêcher de fuir*, mais au contraire, *pour les sauver, pour les dérober à Achille.* " Junon pour empêcher Achille de poursuivre cette moitié de l'armée ennemie, " qui fuyoit vers la ville, la couvre d'un " épais nuage." Ego verò vulgari explicandi rationi magis assentior; nempè, *Junonem Trojanos*, caligine offusâ, in fugâ impedire. Nam vox, ἐρύκω, semper apud *Homerum*, *detinere, inhibere, impedire*, significat:

Μηδέ μ' ἔρυκε μάχης ——. *Il.* σʹ, 126.
—— ἀέκοντα δέ σ' οὔτις ἐρύξει.
Odyss. ηʹ, 315.
—— οὓς ἀέκοντας ὀρυκτὴ τάφρος ἔρυκε.
Il. πʹ, 369.

Atque huic explicandi rationi favere videtur *Eustathius:* Τὸ δὲ, " ἠέρα Ἥρη Πίτνα πρόσθε " βαθεῖαν," ταὐτόν ἐστι τῷ ἀορασίαν πολλὴν κατεπετάννυε πρὸ ὀφθαλμῶν τοῖς Τρωσὶν, ὡς ἂν δηλαδὴ μὴ βλέποντες ἐν τῷ φεύγειν, πίπτοιεν εἰς τὸν ποταμόν.

Ver. 7. — ἡμίσεες δὲ Ἐς ποταμὸν εἰλεῦντο.] Καὶ ὅρα, ὅτε κἀνταῦθα ὁ ποιητὴς ἐπίτηδες ἐτράχυνε λέξεσι τὴν τοῦ λόγου προφορὰν, ἀναλόγως τῷ ἤχῳ τῆς εἰς τὸν ποταμὸν πτώσεως τῶν φευγόντων. *Eustath.*

Ver. 8. —— ποταμὸν εἰλεῦντο.] Quâ ratione, ποταμὸν, hîc ultimam producat; item περὶ, *ver.* 10. et λιμένος, *ver.* 23. et κατὰ, *ver.* 25. vide suprà ad αʹ, 51. *Barnesius*, inter varias lectiones, retulit ποταμόν γ' εἰλεῦντο. Sed nihil opus.

Ver. 9. —— μεγάλῳ πατάγῳ· βράχε δ'.] De hujus ὀνοματοποιΐας pulchritudine, vide suprà ad βʹ, 210. et ad δʹ, 455.

Ver. 11. —— ἑλισσόμενοι κατὰ δίνας.]

—————— Σκάμανδρος,
Καὶ Σιμόεις, ὅθι πολλὰ βοάγρια καὶ τρυφάλειαι
Κάππεσον ἐν κονίῃσι, καὶ ἡμιθέων γένος ἀνδρῶν.
Suprà μʹ, 21.

Ubi, quum ψάμαθος propriè, non κονίη, sit *arena;* pro Κάππεσον ἐν κονίῃσι, ex hoc loco, itemque ex *ver.* 132. 213. et 239. hujus libri, scribendum conjicit Vir summæ eruditionis *Richardus Bentleius*, Κάππεσον ἐν δίνῃσι. Quocum et meliùs congruit *Virgilius*, *Æn.* I, 104.

—— ubi tot Simoïs correpta *sub undis*
Scuta virûm ——————.

Porrò in eodem versu, cum ἡμίθεος non sit vox Homerica; pro ἡμιθέων γένος ἀνδρῶν, ex δʹ, 447. scribendum conjicit Vir idem eruditissimus:

————— ἰφθίμων μένε' ἀνδρῶν.

Atque ita *Virgilius* loco jam citato:

—— virûm —— *fortia* corpora volvit.

Ver. 13. — τὸ δὲ φλέγει ἀκάματον πῦρ.]
Sed non idcirco flammæ atque incendia vires
Indomitas posuere. —— *Æn.* V, 680.

Αὐτὰρ ὁ διογενὴς δόρυ μὲν λίπεν αὐτοῦ ἐπ' ὄχθαις,
Κεκλιμένον μυρίκῃσιν· ὁ δ' ἔνθορε, δαίμονι ἶσος,
Φάσγανον οἶον ἔχων, κακὰ δὲ φρεσὶ μήδετο ἔργα·
Τύπτε δ' ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς
Ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι ὕδωρ.
Ὡς δ' ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι
Φεύγοντες, πιμπλᾶσι μυχοὺς λιμένος εὐόρμου,
Δειδιότες· μάλα γάρ τε κατεσθίει, ὅν κε λάβῃσιν·
Ὣς Τρῶες ποταμοῖο κατὰ δεινοῖο ῥέεθρα
Πτῶσσον ὑπὸ κρημνούς· ὁ δ', ἐπεὶ κάμε χεῖρας ἐναίρων,
Ζωοὺς ἐκ ποταμοῖο δυώδεκα λέξατο κούρους,
Ποινὴν Πατρόκλοιο Μενοιτιάδαο θανόντος·
Τοὺς ἐξῆγε θύραζε τεθηπότας, ἠΰτε νεβρούς·
Δῆσε δ' ὀπίσσω χεῖρας ἐϋτμήτοισιν ἱμᾶσι,
Τοὺς αὐτοὶ φορέεσκον ἐπὶ στρεπτοῖσι χιτῶσι·
Δῶκε δ' ἑταίροισιν, κατάγειν κοίλας ἐπὶ νῆας.
Αὐτὰρ ὁ ἂψ ἐπόρουσε, κατακτάμεναι μενεαίνων.
Ἔνθ' υἷεῖ Πριάμοιο συνήντετο Δαρδανίδαο,

At ille nobilissimus hastam quidem reliquit illic in ripis
Acclinatam myricis; ipse autem insiliit, deo par,
Gladium solum habens, exitialiaque animo meditabatur opera:
Et feriebat quaquaversùm: eorum verò gemitus excitabatur foedus
Ense dum-caedebantur; rubescebatque sanguine aqua.
Ut verò metu Delphinis ingentis pisces alii
Fugientes, implent recessus-intimos portûs stationibus-tuti,
Formidantes; omninò enim devorat, quemcunque ceperit:
Sic Trojani fluvii per impetuosi fluenta
Abdebant-se-perculsi sub crepidinibus: Ille verò ut lassatus erat manus caedendo,
Vivos è fluvio duodecim legit juvenes,
Poenas-daturos de Patroclo Menoetiade mortuo:
Hos eduxit è fluvio metu-stupentes, tanquam hinnulos;
Ligavitque à tergo manus scitè-sectis loris,
Quae ipsi ferebant innexa tortilibus-annulis tunicis:
Tradidit autem sociis, deducendos cavas ad naves.
At ipse iterùm irruit, interficere cupiens.
Illic filio Priami obvius-factus-est Dardanidae,

Ver. 17. —— ἐπ' ὄχθαις.] *Al.* ἐπ' ὄχθῃ.

Ver. 18. Κεκλιμένον μυρίκῃσιν.] Ὑπὸ μυρικῶν περιεχόμενον, κεκαλυμμένον. *Schol.* Minùs rectè.

Ibid. — Κεκλιμένον.] Vide suprà ad ά, 309. et 314.

Ibid. —— ἔνθορε.] *Al.* ἔσθορε.

Ver. 20. — ὤρνυτ'.] Vide suprà ad γ′, 260.

Ver. 23. —— εὐόρμου.] *Al.* εὐόρμους.

Ver. 24. —— μάλα.] *Al.* μέγα.

Ver. 25. —— δεινοῖο.] Nonnulli, notante *Eustathio*, legerunt δινοῖο. Δίνας καὶ συστροφὰς ἔχοντες.

Ver. 27. Ζωοὺς ἐκ ποταμοῖο δυώδεκα.]
—— Sulmone creatos
Quatuor hic juvenes, totidem, quos educat Ufens,
Viventes rapit; inferias quos immolet umbris,
Captivoque rogi perfundat sanguine flammas. *Æn.* X, 517.

Ver. 29. Τοὺς ἐξῆγε.] *Al.* Τούσδ' ἐξῆγε. Quo modo legit et Codex *Harleianus.*

Ver. 31. —— φορέεσκον.] *Ferre solebant.* Vide suprà ad β′, 231. et ad ν′, 84.

Ver. 33. — κατακτάμεναι.] *Al.* δαϊζέμεναι.

Ἐκ ποταμοῦ φεύγοντι, Λυκάονι· τόν ῥά ποτ' αὐτὸς
Ἦγε, λαβὼν ἐκ πατρὸς ἀλωῆς οὐκ ἐθέλοντα,
Ἐννύχιος προμολών· ὁ δ' ἐρινεὸν ὀξέϊ χαλκῷ
Τάμνε, νέους ὄρπηκας, ἵν' ἅρματος ἄντυγες εἶεν·
Τῷ δ' ἄρ' ἀνώϊστον κακὸν ἤλυθε δῖος Ἀχιλλεύς·
Καὶ τότε μέν μιν Λῆμνον ἐϋκτιμένην ἐπέρασσε,
Νηυσὶν ἄγων· ἀτὰρ υἱὸς Ἰήσονος ὦνον ἔδωκεν.
Κεῖθεν δὲ ξεῖνός μιν ἐλύσατο, πολλὰ δ' ἔδωκεν,
Ἴμβριος Ἠετίων, πέμψεν δ' ἐς δῖαν Ἀρίσβην·
Ἔνθεν ὑπεκπροφυγὼν, πατρώϊον ἵκετο δῶμα.
Ἕνδεκα δ' ἤματα θυμὸν ἐτέρπετο οἷσι φίλοισιν,
Ἐλθὼν ἐκ Λήμνοιο· δυωδεκάτῃ δέ μιν αὖτις
Χερσὶν Ἀχιλλῆος θεὸς ἔμβαλεν, ὅς μιν ἔμελλε
Πέμψειν εἰς ἀΐδαο, καὶ οὐκ ἐθέλοντα νέεσθαι.
Τὸν δ' ὡς οὖν ἐνόησε ποδάρκης δῖος Ἀχιλλεὺς
Γυμνὸν ἄτερ κόρυθός τε καὶ ἀσπίδος, οὐδ' ἔχεν ἔγχος,
Ἀλλὰ τὰ μέν ῥ' ἀπὸ πάντα χαμαὶ βάλε· τεῖρε γὰρ ἱδρὼς

E fluvio fugienti, Lycaoni; quem olim ipsemet
Abduxerat, captum ex patris agro invitum,
Nocturnus progressus: is verò caprifici acuto aere
Incidebat novellos ramos, ut currûs ambitus essent:
Ei autem improvisum malum supervenit nobilis Achilles;
Et tunc quidem ipsum in Lemnum benè-habitatam vendidit,
Navibus abductum: filius autem Iasonis pretium dedit.
Illinc verò hospes ipsum redemit, multaque dedit,
Imbrius Eëtion, misitque ad nobilem Arisben:
Inde *is* clàm-arreptâ-fugâ, paternam venit in domum.
Undecim autem dies animum oblectabat cum suis amicis,
Reversus ex Lemno: duodecimâ verò ipsum rursùs
Manibus Achillis Deus injecit, qui ipsum erat
Missurus ad Orcum, etiam nolentem ire.
Hunc autem ut advertit pedibus-valens nobilis Achilles
Nudum sine galeâque et clypeo, neque habebat hastam,
Namque ea quidem omnia in terram abjecerat; conficiebat enim sudor

Ver. 35. —— τόν ῥά.] *Quem scilicèt* ——.
Ver. 37. ——— ἐρινεὸν.] Vide suprà ad ζʹ, 433.
Ver. 38. — Τάμνε.] Vide suprà ad θʹ, 87. et ad νʹ, 84.
Ver. 39. —— ἄρ'.] *Ut dictum est* ——— *ver.* 36, 37.
Ibid. — ἤλυθε.] Vide suprà ad όʹ, 454. et ad ά, 37.
Ver. 40. — ἐπέρασσε.] Rectè cum duplici σ. Nam πέρασε penultimam corripit, quippe ex πιπράσκω, non ex περάω deducta. Vide suprà ad ά, 67. *Al.* ἐπέρησε.
Ver. 41. —— υἱὸς Ἰήσονος.] Ὁ Εὔνηος. *Schol.* Rectè; ut liquet ex *Iliad.* ή, 468. ψʹ, 747.
Ver. 42. — ἐλύσατο.] Vide suprà ad ά, 20.
Ver. 43. —— Ἀρίσβην.] Πόλιν Θρᾴκης ὑπ' Ἑλλήσποντον. *Schol.* *Eustathius* autem, Ἀρίσβη δὲ, (inquit,) πόλις Τρῳάδος, Μιτυληναίων ἀποικίαν σχοῦσα. Vide et *Strabonem, Geograph. lib.* XIII. *pag.* 883. *Al.* 590.
Ver. 49. — οὖν.] Non hîc supervacaneum est istud οὖν· sed vim habet in connectendâ sententiâ cum eo quòd præcessit, *ver.* 34. Ἔνθ' υἷι Πριάμοιο, *&c.*
Ibid. — ποδάρκης.] Vide suprà ad ά, 58.
Ver. 51. —— ἀπὸ πάντα χαμαὶ βάλε.] Id est, πάντα χαμαὶ ἀπέβαλε.
Ibid. —— τεῖρε γὰρ ἱδρὼς.] Cod. *Harleian.* τεῖρε δὲ ἱδρώς.

Φεύγοντ' ἐκ ποταμοῦ, κάματος δ' ὑπὸ γούνατ' ἐδάμνα·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὦ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
Ἦ μάλα δὴ Τρῶες μεγαλήτορες, οὕσπερ ἔπεφνον,
Αὖτις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος·
Οἷον δὴ καὶ ὅδ' ἦλθε, φυγὼν ὑπὸ νηλεὲς ἦμαρ,
Λῆμνον ἐς ἠγαθέην πεπερημένος· οὐδέ μιν ἔσχε
Πόντος ἁλὸς πολιῆς, ὃ πολεῖς ἀέκοντας ἐρύκει.
Ἀλλ' ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο
Γεύσεται, ὄφρα ἴδωμαι ἐνὶ φρεσὶν, ἠδὲ δαείω,
Ἢ ἄρ' ὁμῶς καὶ κεῖθεν ἐλεύσεται, ἤ μιν ἐρύξει
Γῆ φυσίζοος, ἥτε κατὰ κρατερόν περ ἐρύκει.
Ὣς ὥρμαινε μένων· ὁ δέ οἱ σχεδὸν ἦλθε τεθηπὼς,
Γούνων ἅψασθαι μεμαώς· περὶ δ' ἤθελε θυμῷ
Ἐκφυγέειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν.
Ἤτοι ὁ μὲν δόρυ μακρὸν ἀνέσχετο δῖος Ἀχιλλεὺς,
Οὐτάμεναι μεμαώς· ὁ δ' ὑπέδραμε καὶ λάβε γούνων

Fugientem è fluvio, delassatioque genua subtùs domabat:
Indignatus utique dixit ad suum magnum animum:
" Papae, ingens sanè miraculum hoc oculis video:
" Jam nimirùm Trojani magnanimi, quos interfeci,
" Rursùs resurgent ex infernis tenebris caliginosis;
" Ut jam et hic reversus est, postquàm effugit saevum diem,
" Lemnum in sacram *licèt* venundatus: neque ipsum tenuit
" Pontus sali cani, qui multos invitos coërcet.
" Sed agedum et hastae cuspidem nostrae
" Gustabit, ut videam in mente et edocear,
" An similitèr et illinc reversurus-sit, an ipsum coërcebit
" Terra alma, quae et fortem licèt coërcet."
Haec animo-versabat manens: Is verò prope eum venit animo-consternatus,
Genua tangere cupiens; valdè enim exoptabat animo
Effugere mortemque exitialem et fatum nigrum.
Ac quidem hastam longam sustulit nobilis Achilles,
Percutere paratus: is autem currens subiit et prehendit genua

---

Ver. 53. Ὀχθήσας δ'.] Edidit *Barnesius* Ὀχθήσασδ'. " *Sensu* (ut ait) et *Syntaxi* co- " gentibus." Sed minùs rectè. Vide suprà ad ά, 57. et ad έ, 439.

Ver. 60. ——— ἄγε δὴ.] Vide suprà ad έ, 249. et ad β', 158.

Ver. 64. —— τεθηπὼς.] Vide suprà ad β', 314.

Ver. 65. —— ἅψασθαι.] *Al.* ἅψεσθαι.

Ver. 67. Ἤτοι ὁ μὲν δόρυ μακρὸν ἀνέσχετο.]
Inde Mago procul infensam cum tenderet hastam;
Ille astu subit, ac tremebunda supervolat hasta:
Et genua amplectens, effatur talia supplex;
Per patrios manes, et spes surgentia Iüli,
Te precor, hanc animam serves natoque patrique. *Æn.* X, 521.

Ibid. ——— ἀνέσχετο.] *Eustathius* legit ἀνέσχεθε.

Ver. 68. Οὐτάμεναι.] Non ex οὐτᾷν, inde enim fit οὐτήμεναι, vel οὐτάμεναι, quod antepenultimam necessariò producat: Sed, quâ analogiâ ex τίθημι fit τιθέναι· ex δίδωμι, διδόναι· eâdem ex οὔτημι fit οὐτᾶναι, indeque οὐτάμεναι, quod antepenultimam necessariò corripit.

Κύψας· ἐγχείη δ᾽ ἄρ᾽ ὑπὲρ νώτου ἐνὶ γαίῃ
Ἔστη, ἱεμένη χροὸς ἄμμεναι ἀνδρομέοιο.
Αὐτὰρ ὁ τῇ ἑτέρῃ μὲν ἑλὼν ἐλλίσσετο γούνων,
Τῇ δ᾽ ἑτέρῃ ἔχεν ἔγχος ἀκαχμένον, οὐδὲ μεθίει·
Καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
Γουνοῦμαί σ᾽, Ἀχιλεῦ· σὺ δέ μ᾽ αἴδεο, καί μ᾽ ἐλέησον·
Ἀντί τοι εἴμ᾽ ἱκέταο, διοτρεφὲς, αἰδοίοιο.
Πὰρ γάρ σοι πρώτῳ πασάμην Δημήτερος ἀκτὴν,
Ἤματι τῷ, ὅτε μ᾽ εἷλες ἐϋκτιμένῃ ἐν ἀλωῇ,
Καί μ᾽ ἐπέρασσας, ἄνευθεν ἄγων πατρός τε, φίλων τε,
Λῆμνον ἐς ἠγαθέην· ἑκατόμβοιον δέ τοι ἦλφον·
Νῦν δ᾽ ἐλύμην τρὶς τόσσα πορών· ἠὼς δέ μοι ἐστὶν
Ἥδε δυωδεκάτη, ὅτ᾽ ἐς Ἴλιον εἰλήλουθα,
Πολλὰ παθών, νῦν αὖ με τεῆς ἐν χερσὶν ἔθηκε
Μοῖρ᾽ ὀλοή· μέλλω που ἀπέχθεσθαι Διῒ πατρὶ,
Ὅς με σοὶ αὖτις ἔδωκε· μινυνθάδιον δέ με μήτηρ
Γείνατο Λαοθόη, θυγάτηρ Ἄλταο γέροντος,

Pronus: hasta verò super dorsum in terrâ
Stetit, cupiens corpore satiari humano.
Caeterùm hic alterâ *manu* quidem prehensis supplicabat genibus,
Alterâ verò tenebat hastam acutam, neque dimittebat;
Et eum supplicans verbis alatis allocutus est:
" Genua-amplexus te oro, Achille; tu autem me respice, meîque miserere:
" Loco tibi sum supplicis, Jovis-alumne, reverendi.
" Apud te enim primùm gustavi Cereris fruges,
" Die illo, quandò me cepisti benè-culto in agro,
" Et me vendidisti, procul abductum à patreque, amicisque,
" Lemnum in sacram; centum autem boüm-pretium tibi peperi:
" Nunc verò redemptus-fuero ter tantis datis: Aurora autem mihi est
" Haec duodecima, postquàm in Ilium perveni,
" Multa perpessus; nunc verò me tuis in manibus posuit
" Fatum exitiale: odio nimirùm sum Jovi patri,
" Qui me tibi rursùs tradidit: Brevis autem aevi me mater
" Peperit Laothoë, filia Altae senis,

Ver. 69. —— ἄρ᾽.] *Ut necesse erat* ——.
Ver. 70. —— ἱεμένη χροὸς ἄμμεναι.] Vide suprà ad δʹ, 126. et ad ὁʹ, 317.
Ver. 71. —— ἐλλίσσετο.] Ita restituit *Barnesius.* *Al.* ἐλίσσετο. Quod et ipsum ferri posset; eâdem scilicèt analogiâ, ac ἐλώρια. Vide suprà ad ἁʹ, 4. Ἐλλίσσετο tamen rectiùs videtur; non modò propter similia, ἔλλαβε, ἐλλιτάνευε; sed maximè propter eandem ipsam vocem, ἐλλισάμην, *Odyss.* λʹ, 35. et νʹ, 273; ubi Exemplaria conveniunt.
Ver. 72. —— οὐδὲ μεθίει.] Vide suprà ad ὁʹ, 24 et 66. et ad πʹ, 762.
Ver. 73. —— λισσόμενος ἔπεα.] Vide suprà ad ἁʹ, 51. *Al.* φωνήσας ἔπεα.
Ver. 76. —— πρώτῳ.] *Al.* πρῶτον.
Ver. 78. —— ἐπέρασσας.] Cod. *Harleian.* ἐπέρασας. Minùs rectè. Vide suprà ad *ver.* 40.
Ver. 79. —— ἑκατόμβοιον.] Τιμὴν ἑκατὸν βοῶν ἀξίαν. *Schol.*
Ver. 80. Νῦν δ᾽ ἐλύμην.] Ita edidit *Barnesius.* *Al.* Νῦν δὲ λύμην. Ἰστέον, ὅτι τὸ, " Νῦν " δ᾽ ἐλύμην τρὶς τόσσα πορὼν," οὐκ ἔστιν εὐκτικὸν, ἀλλ᾽ ὁριστικὸν, ὑπερσυντελικὸς, ἀντὶ τοῦ ἐλελύμην. *Etymolog. Magn.* à *Barnesio* citatum. Vide infrà ad *ver.* 114. et ad ὡʹ, 1.
Ver. 81. —— εἰλήλουθα.] Hoc est, quod aiunt Galli, *Je suis venu.* Vide suprà ad ἁʹ, 37.
Ver. 85, 86. Ἄλταο —— Ἄλτεω.] Vide suprà ad ἁʹ, 265.

Ἄλτεω, ὃς Λελέγεσσι φιλοπτολέμοισιν ἀνάσσει,
Πήδασον αἰπήεσσαν ἔχων ὑπὸ Σατνιόεντι·
Τοῦ δ' ἔχε θυγατέρα Πρίαμος, πολλὰς δὲ καὶ ἄλλας·
Τῆσδε δύω γενόμεσθα, σὺ δ' ἄμφω δειροτομήσεις.
Ἤτοι τὸν πρώτοισι μετὰ πρυλέεσσι δάμασσας,
Ἀντίθεον Πολύδωρον, ἐπεὶ βάλες ὀξέϊ δουρί·
Νῦν δὲ δὴ ἐνθάδε μοι κακὸν ἔσσεται· οὐ γὰρ ὀΐω
Σὰς χεῖρας φεύξεσθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι·
Μή με κτεῖν', ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορός εἰμι,
Ὅς τοι ἑταῖρον ἔπεφνεν ἐνηέα τε, κρατερόν τε.
Ὣς ἄρα μιν Πριάμοιο προσηύδα φαίδιμος υἱὸς,
Λισσόμενος ἐπέεσσιν· ἀμείλικτον δ' ὄπ' ἄκουσε·
Νήπιε, μή μοι ἄποινα πιφαύσκεο, μηδ' ἀγόρευε·
Πρὶν μὲν γὰρ Πάτροκλον ἐπισπεῖν μόρσιμον ἦμαρ,

" Altae, qui Lelegibus bellicosis imperat,
" Pedasum excelsam obtinens propè Satnioëntem:
" Hujus autem habuit filiam Priamus, multas etiam et alias:
" Ex-hâc duo nati sumus, tu verò ambos obtruncaveris.
" Illum quidem primos inter pedites domuisti,
" Deo-parem Polydorum, postquàm percussisti acutâ hastâ:
" Nunc verò hîc mihi malum erit; non enim puto
" Tuas manus *me* effugiturum, postquàm propè-adduxit Deus.
" Aliud autem tibi dicam, tu verò in mente reconde tuâ:
" Ne me interfice, non enim uterinus-frater Hectoris sum,
" Qui tibi sodalem interemit mitemque, fortemque."
Sic utique eum Priami allocutus est illustris filius,
Supplicans verbis; immitem autem vocem audivit:
" Stulte, ne mihi pretia-redemptionis memora, neque narra:
" Antequàm enim Patroclus assecutus esset fatalem diem,

Ver. 87. Πήδασον αἰπήεσσαν ἔχων ὑπὸ Σατνιόεντι.] Καὶ νῦν δὲ προσληπτέον ὅτι Πήδασόν τινα λέγει ["Ομηρος] πόλιν αὐτῶν [Λελέγων] ὑπὸ Ἄλτῃ τεταγμένων· "Ἄλτεω, ὃς Λελέγεσσι φιλοπτολέ-"μοισιν ἀνάσσει, Πήδασον αἰπήεσσαν ἔχων ἐπὶ "Σατνιόεντι." Καὶ νῦν ὁ τόπος δείκνυται τῆς πόλεως ἔρημος. Γράφουσι δέ τινες οὐκ εὖ, "ὑπὸ Σατ-"νιόεντι," ὡς ὑπὸ ὄρει Σατνιόεντι κειμένης τῆς πόλεως· οὐδὲν δ' ἐστὶν ὄρος ἐνταῦθα Σατνιόεις προσαγορευόμενον· ἀλλὰ ποταμὸς, ἐφ' ᾧ ἵδρυται ἡ πόλις· νῦν δ' ἐστὶν ἐρήμη. *Strabo, Geograph. lib.* XIII.

Ver. 91. Ἀντίθεον.] Insignem; non utique ad *omnem* virtutem, sed propter *agilitatem singularem.* Vide suprà ad ύ, 410.

Ibid. —— ὀξέϊ δουρί.] Cod. *Harleian.* ὀξέϊ χαλκῷ.

Ver. 93. — ἐπέλασσέ.] Vide suprà ad ν', 1.

Ver. 94. Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι.] Vide suprà ad π', 851.

Ver. 95. —— ὁμογάστριος.] Ὁ ἐκ τῆς αὐτῆς γαστρὸς ἀδελφός. *Schol.*

Ver. 98. Λισσόμενος ἐπέεσσιν.] *Al.* μειλιχίοις ἐπέεσσιν· Ut suprà λ', 137. Cui lectioni et aptiùs respondet sequens ἀμείλικτον. Porrò, quâ ratione, Λισσόμενος, hîc ultimam producat; item ἀπὸ, *ver.* 113. et ἄμφηκες, *ver.* 118. et ἐπευχόμενος, *ver.* 121; vide suprà ad ά, 51.

Ver. 99. Νήπιε, μή μοι ἄποινα πιφαύσκεο.] *Al.* μή μοι ταῦτα πιφαύσκεο.

Argenti atque auri memoras quae multa talenta,
Gnatis parce tuis: belli commercia Turnus
Sustulit illa prior, jam tum Pallante perempto. *Æn.* X, 531.

Ver. 100. —— μόρσιμον ἦμαρ.] *Al.* αἴσιμον ἦμαρ.

Τόφρα τί μοι πεφιδέσθαι ἐνὶ φρεσὶ φίλτερον ἦεν
Τρώων, καὶ πολλοὺς ζωοὺς ἕλον, ἠδ' ἐπέρασσα·
Νῦν δ' οὐκ ἔσθ', ὅς κεν θάνατον φύγῃ, ὅν κε θεός γε
Ἰλίου προπάροιθεν ἐμῆς ἐν χερσὶ βάλῃσι,
Συμπάντων Τρώων, περὶ δ' αὖ Πριάμοιό γε παίδων.
Ἀλλὰ, φίλος, θάνε καὶ σύ· τίη ὀλοφύρεαι αὔτως;
Κάτθανε καὶ Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων.
Οὐχ ὁράας, οἷος κἀγὼ, καλός τε, μέγας τε;
Πατρὸς δ' εἴμ' ἀγαθοῖο, θεὰ δέ μ' ἐγείνατο μήτηρ·
Ἀλλ' ἐπί τοι κἀμοὶ θάνατος καὶ μοῖρα κραταιὴ
Ἔσσεται, ἢ ἠὼς, ἢ δείλης, ἢ μέσον ἦμαρ·
Ὁππότε τις καὶ ἐμεῖο ἄρει ἐκ θυμὸν ἕληται,
Ἢ ὅγε δουρὶ βαλὼν, ἢ ἀπὸ νευρῆφιν ὀϊστῷ.

" Intereà aliquantùm mihi parcere in animo gratum erat
" Trojanis, et multos vivos cepi, et vendidi:
" Nunc verò non est, qui mortem effugiat, quemcunque utique Deus
" Ilium ante meas in manus conjecerit,
" Universorum Trojanorum, praecipuè autem Priami filiorum.
" Sed, amice, morere et tu: cur lamentaris frustrà?
" Occubuit et Patroclus, qui tamen te multò praestantior.
" Nonne vides, qualis et ego, pulcherque, magnusque;
" Quin et patre natus sum eximio, deaque me peperit mater:
" Et mihi tamen utique mors et fatum violentum
" Aderit, seu aurora *fuerit*, seu crepusculum, seu meridies;
" Quando quis et mihi aere animum auferet,
" Sive is hastâ percusserit, sive à nervo sagittâ."

Ver. 102. —— ἐπέρασσα.] Vide suprà ad *ver.* 40.

Ver. 103. ——— ὅς κεν θάνατον φύγῃ.] *Al.* ὅστις θάνατον φύγοι.

Ver. 104. Ἰλίου προπάροιθεν.] Vide suprà ad ὀ, 24 et 66.

Ver. 105. Συμπάντων.] *Al.* Καὶ πάντων. Atque ita legit Codex *Harleianus.*

Ver. 106. —— αὔτως.] *Al.* οὕτως.

Ver. 107. Κάτθανε καὶ Πάτροκλος.]

Ipse Epicurus obît decurso lumine vitæ,
Qui genus humanum ingenio superavit, et omnes
Præstinxit, stellas exortus uti ætherius Sol:
Tu verò dubitabis, et indignabere obire?
Lucret. Lib. III, 1055.

Et *ver.* 1038. ejusdem libri:

Lumina sis [*Al.* sic] oculis etiam bonus Ancu' reliquit,
Qui melior multis, quam tu, fuit ——.

Similitèr ferè et *Cicero:* " Ii viri hoc bello " occiderunt, ut impudentia videatur ean-" dem fortunam, si res cogat, recusare." *Ad Familiares, Lib.* VI. *Epist.* 4. Λέγεται δέ ποτε —— τὸν —— Καλλισθένην συνέντα τὴν ἀλλοτριότητα τοῦ βασιλέως, [Ἀλεξάνδρου,] δὶς ἢ τρὶς ἀπιόντα πρὸς αὐτὸν εἰπεῖν, " Κάτθανε καὶ " Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων." *Plutarch. Vitæ Alexandri et Julii Cæsaris comparatæ.* Vide suprà ad σ', 117.

Ver. 108. Οὐχ ὁράας, οἷος κἀγὼ.] Vide *Suetonium, Domitian. cap.* 18; ubi versum hunc ab Imperatore usurpatum refert.

Ibid. —— οἷος κἀγὼ, καλός τε, μέγας τε.] *Al.* οἷος μὲν ἐγὼν, ἠΰς τε, μέγας τε.

Ibid. —— καλός.] Vide suprà ad β', 43.

Ver. 110. —— τοι κἀμοὶ.] *Al.* τοι καὶ ἐμοί. Atque ita legit Codex *Harleianus.*

Ver. 111. —— ἢ ἠὼς, ἢ δείλης.] *Al.* δείλη. " Quæ lectio" (inquit *Henricus Stephanus*) " mihi simplicior videtur, et aptiùs jungi " cum ἠώς." *Al.* δείλῃ.

Ver. 112. —— ἄρει.] Cod. *Harleian.* ἄρῃ. *Al.* ἄρης· quo modo legit et *Scholiastes;* exponitque, Σίδηρος τὴν ψυχὴν ἀφέληται.

Ver. 113. —— ὅγε.] De hujus Syntaxeos venustate, vide suprà ad γ', 409.

Ibid. ——— νευρῆφιν.] Vide suprà ad ν', 588.

Ὣς φάτο· τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ·
Ἔγχος μέν ῥ' ἀφέηκεν, ὁ δ' ἕζετο χεῖρε πετάσσας
Ἀμφοτέρας· Ἀχιλεὺς δὲ ἐρυσσάμενος ξίφος ὀξὺ
Τύψε κατὰ κληῗδα παρ' αὐχένα· πᾶν δέ οἱ εἴσω
Δῦ ξίφος ἄμφηκες· ὁ δ' ἄρα πρηνὴς ἐπὶ γαίῃ
Κεῖτο ταθείς· ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
Τὸν δ' Ἀχιλεὺς ποταμόνδε, λαβὼν ποδὸς, ἧκε φέρεσθαι,
Καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντ' ἀγόρευεν·
Ἐνταυθοῖ νῦν κεῖσο μετ' ἰχθύσιν· οἵ σ' ὠτειλῆς
Αἷμ' ἀπολιχμήσονται, ἀκηδέες· οὐδέ σε μήτηρ
Ἐνθεμένη λεχέεσσι γοήσεται· ἀλλὰ Σκάμανδρος
Οἴσει δινήεις εἴσω ἁλὸς εὐρέα κόλπον.
Θρώσκων τις κατὰ κῦμα μέλαιναν φρῖχ' ὑπαλύξει

Sic dixit: illius verò ibi soluta sunt genua et charum cor:
Hastam quidem dimisit, conseditque manibus passis
Ambabus: Achilles verò stricto ense acuto
Percussit ad claviculam propè cervicem; totus autem ei intrò
Subiit ensis anceps: ille verò pronus in terrâ
Jacebat extensus; sanguis autem ater effluebat, rigabatque terram.
Illum verò Achilles in-fluvium, prehensum pede, misit ferendum,
Et super eum glorians verba alata profatus est:
" Istic nunc jace inter pisces, qui tibi vulneris
" Sanguinem delambent, securi; neque te mater
" Impositum lectis deflebit, sed Scamander
" Feret vorticosus in maris latum sinum.
" Saltans quis per undam sub nigram horrescentem-superficiem evehetur

---

Ver. 114. —— λύτο.] Non ex ἐλύετο, inde enim fit λῦτο primâ productâ; sed ex ἐλέλυτο. Eodem modo ac λέκτο ex ἐλέλεκτο. Vide infrà ad ώ, 1.

Ver. 115. ——— πετάσσας.] Rectè cum duplici σ. Nam πετάσας mediam corripit, quippe à πετάννυμι deducta. Vide suprà ad ά, 67. et ad *ver.* 40. hujus libri.

Ver. 117. Τύψε κατὰ κληῗδα παρ' αὐχένα· πᾶν δέ οἱ εἴσω Δῦ ξίφος.]

Cervice orantis capulo tenus abdidit ensem. *Æn.* X, 536.

Ver. 118. ——— ἄρα.] *Ut ex tali vulnere necesse erat* ———.

Ibid. —— γαίῃ.] Cod. *Harleian.* γαίης.

Ver. 120. 148. 152. Τὸν δ' ——— Οἱ δ' —— Τὸν δ'.] Vide suprà ad ά, 57. et ad θ', 160.

Ver. 121. ——— ἔπεα πτερόεντ' ἀγόρευεν.] *Al.* ἔπεα πτερόεντα προσηύδα.

Ver. 122. —— Ἐνταυθοῖ νῦν κεῖσο.]

Istic nunc, metuende, jace; non te optima mater
Condet humi, patriove onerabit membra sepulchro;
Alitibus linquere feris, aut gurgite mersum
Unda feret, piscesque impasti vulnera lambent. *Æn.* X, 557.

Ver. 123. —— ἀκηδέες.] *Al.* ἀνηλέες.

Ver. 124. 223. —— Σκάμανδρος — Σκάμανδρε.] Cod. *Harleian.* Κάμανδρος — Κάμανδρε.

Ver. 126. Θρώσκων τις κατὰ κῦμα, *&c.*] Ἐφαλλόμενος καὶ νηχόμενός τις τῶν ἰχθύων κατὰ θάλασσαν, καὶ ἐμπλησθεὶς τῆς Λυκάονος πιμελῆς, πάλιν ὑπὸ τὴν μέλαιναν φρῖκα κατελεύσεται. *Schol.*

Ibid. —— μέλαιναν φρῖχ'.] Φρὶξ δέ ἐστιν ἡ ἠρεμαία τοῦ ὕδατος κίνησις. *Schol.* Ἀλλ' οὐδὲ τὴν φρῖκα ἀκούειν δύναμαι τὸν ἀφρὸν, Ὁμήρου μὲν μέλαιναν φρῖκα λέγοντος, τούτου δὲ ἀξιοῦντος λευκότητα, ἀκούειν —— Καὶ ἔστιν ἡ φρὶξ, κινουμένου τοῦ πνεύματος ἀρχή. *Porph. Quæst. Homeric.* 7.

Ibid. —— φρῖχ' ὑπαλύξει.] Ita ex duobus MSS. et ex *Eustathio* edidit *Barnesius*. *Al.* ὑπαΐξει. Quod, ut opinor, vix ferri potest. Nam vox ἀΐσσω (uti notavit *Barnesius*,) quàm saepè apud *Homerum* occurrat, primam producit, corripit ne *semel* quidem.

Ἰχθὺς, ὥς κε φάγῃσι Λυκάονος ἀργέτα δημόν.
Φθείρεσθ', εἰσόκεν ἄστυ κιχείομεν Ἰλίου ἱρῆς,
Ὑμεῖς μὲν, φεύγοντες, ἐγὼ δ' ὄπιθεν κεραΐζων·
Οὐδ' ὑμῖν ποταμός περ ἐΰῤῥοος, ἀργυροδίνης,
Ἀρκέσει, ᾧ δὴ δηθὰ πολεῖς ἱερεύετε ταύρους,
Ζωοὺς δ' ἐν δίνῃσι καθίετε μώνυχας ἵππους.
Ἀλλὰ καὶ ὧς ὀλέεσθε κακὸν μόρον, εἰσόκε πάντες
Τίσετε Πατρόκλοιο φόνον, καὶ λοιγὸν Ἀχαιῶν,
Οὓς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνετε, νόσφιν ἐμεῖο.
  Ὣς ἄρ' ἔφη· Ποταμὸς δὲ χολώσατο κηρόθι μᾶλλον·
Ὥρμηνεν δ' ἀνὰ θυμὸν, ὅπως παύσειε πόνοιο
Δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι.
Τόφρα δὲ Πηλέος υἱὸς, ἔχων δολιχόσκιον ἔγχος,
Ἀστεροπαίῳ ἐπᾶλτο, κατακτάμεναι μενεαίνων,
Υἱέϊ Πηλεγόνος· τὸν δ' Ἀξιὸς εὐρυρέεθρος
Γείνατο, καὶ Περίβοια, Ἀκεσσαμενοῖο θυγατρῶν
Πρεσβυτάτη· τῇ γάρ ῥα μίγη Ποταμὸς βαθυδίνης.
Τῷ δ' Ἀχιλεὺς ἐπόρουσεν· ὁ δ' ἀντίος ἐκ ποταμοῖο

"Piscis, ut comedat Lycaonis albam pinguedinem.
"Pereatis, donec urbe potiamur Ilii sacrae,
"Vos quidem, fugientes, ego verò à-tergo contrucidans:
"Neque vobis ipse fluvius latè-fluens, vorticibus-argenteus,
"Proderit, cui jam saepè multos sacrificatis tauros,
"Vivosque in vortices demittitis solidos-ungulis equos.
"Sed et sic peribitis dirâ morte, usque dum omnes
"Lueritis Patrocli caedem, et interitum Achivorum,
"Quos ad naves veloces interfecistis, absente me."
Sic utique dixit: Fluvius autem iram-concepit ipso penitùs corde;
Agitabatque animo, quomodo cessare faceret à labore bellico
Nobilem Achillem, et à Trojanis pestem averteret.
Intereà autem Pelei filius, tenens praelongam hastam,
Asteropaeo insiliit, interficere cupiens,
Filio Pelegonis: illum autem Axius fluentis-latus
Genuit, et Periboea, Acessameni filiarum
Natu-maxima: Huic enim mistus est Fluvius vorticibus-profundus.
In hunc utique Achilles impetum fecit: hic autem adversus è fluvio *prodiens*

Ver. 127. ——— ὥς κε φάγῃσι.] *Al.* ὅς κε φάγῃσι. Quo modo citat *Porphyrius* loco suprà citato. Atque ita etiam legit Codex *Harleianus.*

Ibid. ——— ἀργέτα δημόν.] Vide suprà ad ϑ′, 206. et ad π′, 185.

Ver. 132. Ζωοὺς ——— ἵππους.] Τὰ ὁρμητικώτατα τῶν ζώων τοῖς ποταμοῖς ἱερεύονται. *Schol.* MS. apud *Barnesium.*

Ibid. ——— καθίετε.] Vide suprà ad π′, 762. et ad ό, 24.

Ver. 134. Τίσετε.] Vide suprà ad δ′, 257. ad ί, 508. et ad ό, 116.

Ver. 136. ——— χολώσατο κηρόθι μᾶλλον.]
——— stetit acri fixa dolore.
Æn. VII, 291.

Ver. 137. ——— πόνοιο.] Cod. *Harleian.* φόνοιο.

Ver. 138. ——— λοιγὸν ἀλάλκοι.] *Al.* λοιγὸν ἀμύνοι.

Ver. 144. Τῷ δ' Ἀχιλεὺς.] *Al.* Τῷ ῥ' Ἀχιλεύς.

Ἔστη, ἔχων δύο δοῦρε· μένος δέ οἱ ἐν φρεσὶ θῆκε
Ξάνθος, ἐπεὶ κεχόλωτο δαϊκταμένων αἰζηῶν,
Τοὺς Ἀχιλεὺς ἐδάϊξε κατὰ ῥόον, οὐδ᾽ ἐλέαιρεν.
Οἱ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
Τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
Τίς, πόθεν εἶς ἀνδρῶν, ὅ μευ ἔτλης ἀντίος ἐλθεῖν;
Δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσι.
Τὸν δ᾽ αὖ Πηλεγόνος προσεφώνεε φαίδιμος υἱός·
Πηλείδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεις;
Εἶμ᾽ ἐκ Παιονίης ἐριβώλου, τηλόθ᾽ ἐούσης,
Παίονας ἄνδρας ἄγων δολιχεγχέας· ἥδε δέ μοι νῦν
Ἠὼς ἐνδεκάτη, ὅτ᾽ ἐς Ἴλιον εἰλήλουθα·
Αὐτὰρ ἐμοὶ γενεὴ ἐξ Ἀξιοῦ εὐρὺ ῥέοντος,
Ἀξιοῦ, ὃς κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησιν,
Ὃς τέκε Πηλεγόνα κλυτὸν ἔγχεϊ· τόνδ᾽ ἐμὲ φασὶ
Γείνασθαι· νῦν αὖτε μαχώμεθα, φαίδιμ᾽ Ἀχιλλεῦ.
Ὣς φάτ᾽ ἀπειλήσας· ὁ δ᾽ ἀνέσχετο δῖος Ἀχιλλεὺς
Πηλιάδα μελίην· ὁ δ᾽ ὁμαρτῆ δούρασιν ἀμφὶς

Constitit, tenens duas hastas: animos autem ei præcordiis indidit
Xanthus; indignabatur enim de caesis-pugnâ juvenibus,
Quos Achilles ceciderat per fluentum, neque miseratus erat.
Hi verò quandò jam propè erant alter in alterum vadentes,
Illum prior allocutus est pedibus-valens nobilis Achilles:
" Quis, unde es virorum, qui mihi ausus es obvius venire?
" Infelicium utique filii meo robori occurrunt."
Hunc verò Pelegonis allocutus est illustris filius:
" Pelide magnanime, cur genus interrogas?
" Sum ex Paeoniâ glebosâ, longe sitâ,
" Paeonas viros ducens longis-hastis-armatos; haec autem mihi nunc
" Aurora undecima, postquàm in Ilium veni:
" At mihi genus ex Axio latè fluente,
" Axio, qui pulcherrimam aquam per terram fundit,
" Qui genuit Pelegonem inclytum hastâ: hunc me aiunt
" Genuisse: Nunc verò pugnemus, illustris Achille."
Sic dixit minitans: At sustulit nobilis Achilles
Peliacam fraxinum; simulque hastis utrinque

Ver. 145. —— μένος δέ οἱ ἐν φρεσὶ θῆκε.] Vide suprà ad ύ, 110.

Ver. 147. —— ἐδάϊξε.] *Al.* ἐδάϊζε. Quomodo legit et Codex *Harleianus*. Quæ et, ut opinor, melior lectio.

Ibid. — κατὰ ῥόον.] Quâ ratione, κατὰ, hîc ultimam producat; item Πηλιάδα, *ver.* 162. et ἄρα, *ver.* 174. et πρὶν, *ver.* 179. et εὐχόμενος, *ver.* 183. vide suprà ad ά, 51.

Ver. 148. Οἱ δ᾽ ὅτε δὴ.] Vide suprà ad ξ', 433.

Ver. 151. — ἀντιόωσι.] *Al.* ἀντιφέρονται.

Ver. 156. Ἠὼς ἐνδεκάτη, ὅτ᾽ ἐς Ἴλιον εἰλήλουθα.] Vide suprà ad β', 848.

Ibid. —— εἰλήλουθα.] Vide suprà ad *ver.* 81. et ad ά, 57.

Ver. 157. —— Ἀξιοῦ.] Ποταμὸς Παιονίας· ἡ δὲ Παιονία τῆς Θράκης. *Schol.* *Al.* Ἀξίου.

Ver. 158. Ἀξιοῦ, ὃς κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησιν.] Vide suprà ad β', 850.

Ver. 160. —— νῦν αὖτε μαχώμεθα.] Cod. *Harleian.* νῦν δ᾽ αὖτε μαχώμεθα.

Ver. 161. —— ἀνέσχετο.] *Al.* ἀνέσχεθε.

Ver. 162. —— ὁ δ᾽ ὁμαρτῆ δούρασιν ἀμφὶς.]

Ἥρως Ἀστεροπαῖος, ἐπεὶ περιδέξιος ἦε·
Καί ῥ' ἑτέρῳ μὲν δουρὶ σάκος βάλεν, οὐδὲ διὰ πρὸ
Ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο·
Τῷ δ' ἑτέρῳ μιν πῆχυν ἐπιγράϐδην βάλε χειρὸς
Δεξιτερῆς, σύτο δ' αἷμα κελαινεφές· ἡ δ' ὑπὲρ αὐτοῦ
Γαίῃ ἐνεστήρικτο, λιλαιομένη χροὸς ἆσαι.
Δεύτερος αὖτ' Ἀχιλεὺς μελίην ἰθυπτίωνα
Ἀστεροπαίῳ ἐφῆκε, κατακτάμεναι μενεαίνων·
Καὶ τοῦ μέν ῥ' ἀφάμαρτεν· ὁ δ' ὑψηλὴν βάλεν ὄχθην,
Μεσσοπαγὲς δ' ἄρ' ἔθηκε κατ' ὄχθης μείλινον ἔγχος.
Πηλείδης δ', ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
Ἆλτ' ἐπί οἱ μεμαώς· ὁ δ' ἄρα μελίην Ἀχιλῆος
Οὐ δύνατ' ἐκ κρημνοῖο ἐρύσσαι χειρὶ παχείῃ·

Heros Asteropaeus, ambidexter enim erat:
Atque alterâ quidem hastâ scutum percussit, neque penitùs
Perrupit scutum; aurum enim prohibuit, dona Dei:
Alterâ verò eum *ad* cubitum strictim percussit manûs
Dextrae; exiliit autem sanguis ater; ipsa verò super eum
Terrae infixa est, cupiens corpore satiare se.
Secundus verò Achilles hastam rectà-volantem
In Asteropaeum immisit, occidere cupiens:
Et ab hoc quidem aberravit; at altam percussit ripam,
Medio-tenus autem impegit ripae fraxineam hastam.
Pelides verò, ense acuto extracto à femore,
Saliit in eum ardenti-animo: at ille fraxinum Achillis
Non poterat è crepidine evellere manu robustâ:

Καί ἐστιν ὁ λόγος οὐκ εὐσύντακτος· οὔτε γὰρ ἀκολούθως πρὸς τὸ μελίην, ὅπερ ἐστιν αἰτιατικῆς πτώσεως, εἴρηται τὸ δούρασιν, ὤφειλε γὰρ δούρατα εἰπεῖν· ἀλλ' οὐδὲ ῥῆμα κεῖται ἵνα ἦν ὅτι ὁ δὲ Ἀστεροπαῖος ὁμοῦ ὡς ἀμφιδέξιος δούρασιν ἔϐαλεν, ἢ ἠκόντισεν ἐξ ἀμφοτέρων τῶν χειρῶν. *Eustath.* Scholia MS. apud *Barnesium* hîc legunt ἁμαρτῇ· itaque exponunt Ἁμαρτῇ, ἐπίῤῥημα· καὶ σημαίνει τὸ ὁμοῦ, καὶ κατὰ τὸ αὐτό· ἀπὸ ἁμαρτῆδην κατ' ἀποκοπήν. Καὶ ἐνταῦθα σημαίνει, Ἀμφότερα τὰ δούρατα ὁμοῦ ἀφῆκεν. *Eustathius* porrò hîc legit ἁμαρτῇ· eodemque modo in uno MS. scriptum repperit *Barnesius:* Ipse autem edidit ὁμάρτει δούρασιν ἀμφοῖν· nullâ idoneâ auctoritate.

Ver. 163. —— περιδέξιος.] Ἀμφοτέραις ταῖς χερσὶ δεξιῶς χρώμενος. *Schol.* Porro vocem hanc *æquimanum* reddit *Symmachus, Ep.* IX. 110.

Ver. 166. —— ἐπιγράϐδην βάλε.] Ἄχρι τοῦ ἐπιξέσαι μόνον τὸ δέρμα. *Schol.*

— partim *stringentia* corpus. *Æn.* X, 331.
Tandem etiam magno *stringit* de corpore Turni. *Ibid.* 476.

Ver. 168. —— λιλαιομένη χροὸς ἆσαι.] Οἱ ποιηταὶ, — πρὸς τὰς ἐμφάσεις καὶ τὰς μιμήσεις καὶ ὀνοματοποιΐας, χρῶνται καὶ μεταφοραῖς· —— λέγοντες καὶ τὰ βέλη φέρεσθαι "λιλαιόμενα "χροὸς ἆσαι." *Plutarch. Symposiac. lib.* IX. *Probl.* 15. Vide suprà ad ό, 317. et ad δ', 126.

Ver. 169. —— μελίην ἰθυπτίωνα.] Ἐπ' εὐθείας φερομένην, καὶ οἱονεὶ ἱπταμένην. *Schol.*

Καὶ δ' ἄλλως τοῦ γ' ἰθὺ βέλος πέτετ'. ——
Suprà ύ, 99.

Quem ad locum *Eustathius:* Τὸ δὲ, "ἰθὺ "πέτεται," ἀφορμὴ γίνεται τοῦ συνθέτως ἰθυπτίωνα εἰπεῖν τὴν Ἀχιλλέως μελίαν. *Al.* ἰθυκτίωνα.

Ver. 172. Μεσσοπαγὲς.] *Al.* Μεσσοπαλές.

Ibid. —— μείλινον ἔγχος.] *Al.* χάλκεον ἔγχος.

Ver. 174. —— ὁ δ' ἄρα μελίην Ἀχιλῆος Οὐ δύνατ' ἐκ κρημνοῖο ἐρύσσαι.]

Incubuit, voluitque manu convellere ferrum
Dardanides. —— *Æn.* XII, 774.
Namque diu luctans, lentoque in stirpe moratus
Viribus haud ullis valuit discludere morsus
Roboris Aeneas. —— *Ibid.* 781.

Τρὶς μέν μιν πελέμιξεν, ἐρύσσασθαι μενεαίνων,
Τρὶς δὲ μεθῆκε βίῃ· τὸ δὲ τέτρατον, ἤθελε θυμῷ
Ἄξαι ἐπιγνάμψας δόρυ μείλινον Αἰακίδαο,
Ἀλλὰ πρὶν Ἀχιλεὺς σχεδὸν ἄορι θυμὸν ἀπηύρα·
Γαστέρα γάρ μιν τύψε παρ' ὀμφαλόν· ἐκ δ' ἄρα πᾶσαι
Χύντο χαμαὶ χολάδες· τὸν δὲ σκότος ὄσσε κάλυψεν
Ἀσθμαίνοντ'· Ἀχιλεὺς δ' ἄρ' ἐνὶ στήθεσσιν ὀρούσας,
Τεύχεά τ' ἐξενάριξε, καὶ εὐχόμενος ἔπος ηὔδα·
  Κεῖσ' οὕτω· χαλεπόν τοι ἐρισθενέος Κρονίωνος
Παισὶν ἐριζέμεναι, Ποταμοῖό περ ἐκγεγαῶτι.
Φῆσθα σὺ μὲν Ποταμοῦ γένος ἔμμεναι εὐρὺ ῥέοντος·
Αὐτὰρ ἐγὼ γενεὴν μεγάλου Διὸς εὔχομαι εἶναι·
Τίκτε μ' ἀνὴρ, πολλοῖσιν ἀνάσσων Μυρμιδόνεσσι,
Πηλεὺς Αἰακίδης· ὁ δ' ἄρ' Αἰακὸς ἐκ Διὸς ἦεν·
Τῷ κρείσσων μὲν Ζεὺς Ποταμῶν ἁλιμυρηέντων·
Κρείσσων δ' αὖτε Διὸς γενεὴ, Ποταμοῖο τέτυκται.
Καὶ γάρ σοι ποταμός γε πάρα μέγας, εἰ δύναταί τι

Ter quidem ipsam concussit, extrahere cupiens;
Ter verò deseruit vi: at quartò, parabat animo
Frangere incurvatam hastam fraxineam Aeacidae;
Sed antè Achilles cominùs ense animam abstulit:
Ventrem enim ei percussit ad umbilicum: omnia autem
Effusa sunt in terram intestina; et eum continuò tenebrae oculos contexere
Expirantem: Achilles verò in pectora irruens,
Armaque detraxit, et glorians verbum dixit:
" Jaceto sic: arduum tibi praepotentis Saturnii
" Cum filiis contendere, è Fluvio licèt genito.
" Dicebas tu quidem Fluvii genus *te* esse latè fluentis;
" At ego genus magni Jovis glorior esse:
" Genuit me vir, multis imperans Myrmidonibus,
" Peleus Aeacides; ipse verò Aeacus ex Jove erat:
" Ideo potentior quidem Jupiter Fluviis in mare fluentibus:
" Potentius itidem Jovis genus, *quàm* Fluvii est.
" Etenim tibi fluvius utique adest magnus, si potest quid

Ver. 176. —— ἐρύσσασθαι.] *Al.* ἐρύσσεσθαι.

Ver. 177. ——βίῃ.] *Barnesius* edidit βίη. Verum, ut opinor, minùs rectè.

Ver. 181. Χύντο χαμαὶ χολάδες.] Rem *turpem* consultâ verborum κακοφωνίᾳ depingit. Similitèr *Virgilius* belli civilis horrorem:

Neu patriæ validas in viscera vertite vires.
Æn. VI, 833.

Item Deæ vulnerandæ turpitudinem:

— et Veneris violavi vulnere dextram.
Æn. XI, 277.

Ibid. — τὸν δὲ σκότος ὄσσε κάλυψεν.] Vide suprà ad δ', 461. et 503.

Ver. 182. Ἀχιλεὺς δ' ἄρ'.] *Al.* Ἀχιλεὺς γάρ.

Ibid. —— ἄρ'.] *Deinceps* ——. *Ut facere solitus erat* ———.

Ibid. —— ἐνὶ.] *Al.* ἐπί.

Ver. 184—193. — Κρονίωνος —— Κρονίωνι.] De prosodiâ vocis Κρονῖονος *et* Κρονΐωνος, vide suprà ad ά, 397. ad ζ', 464. et ad ν', 46.

Ver. 185. ἐκγεγαῶτι.] Vide suprà ad β', 818. ad ζ', 464. et ad ν', 46.

Ver. 191—198. —— τέτυκται —— δείδοικε.] Vide suprà ad σ', 261. ad ν', 481. et 736.

Ver. 192. —— πάρα μέγας.] Quâ ratione ultima vocis, πάρα, hîc producatur; item πρὶν, *ver.* 225. vide suprà ad ά, 51.

Χραισμεῖν· ἀλλ' οὐκ ἔστι Διῒ Κρονίωνι μάχεσθαι·
Τῷ, οὔτε κρείων Ἀχελώϊος ἰσοφαρίζει,
Οὐδὲ βαθυῤῥείταο μέγα σθένος Ὠκεανοῖο,
Ἐξ οὗπερ πάντες ποταμοὶ, καὶ πᾶσα θάλασσα,
Καὶ πᾶσαι κρῆναι, καὶ φρείατα μακρὰ νάουσιν·
Ἀλλὰ καὶ ὃς δείδοικε Διὸς μεγάλοιο κεραυνὸν,
Δεινήν τε βροντὴν, ὅτ' ἀπ' οὐρανόθεν σμαραγήσῃ.
Ἦ ῥα, καὶ ἐκ κρημνοῖο ἐρύσσατο χάλκεον ἔγχος.
Τὸν δὲ κατ' αὐτόθι λεῖπεν, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
Κείμενον ἐν ψαμάθοισι, δίαινε δέ μιν μέλαν ὕδωρ.
Τὸν μὲν ἄρ' ἐγχέλυές τε καὶ ἰχθύες ἀμφεπένοντο,
Δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον κείροντες.
Αὐτὰρ ὁ βῆ ῥ' ἰέναι μετὰ Παίονας ἱπποκορυστὰς,
Οἵ ῥ' ἔτι πὰρ ποταμὸν πεφοβήατο δινήεντα,

"Prodesse; sed non licet cum Jove Saturnio pugnare:
"Ideò, nè rex quidem Acheloïus aequiparatur,
"Neque profundè-fluentis ingens vis Oceani,
"Ex quo tamen omnes fluvii, et omne mare,
"Et omnes fontes, et putei alti fluunt:
"Sed et is metuit Jovis magni fulmen,
"Horrendumque tonitru, quando è coelo fragorem-dederit."
Dixit utique, et è crepidine evulsit aeream hastam.
Illum verò ibidem reliquit, postquàm charam animam abstulerat,
Jacentem in arenis; alluebat autem ipsum nigra aqua.
Illum quidem anguillaeque et pisces circum-occupati-erant,
Pinguedinem raptim comedentes renibus-obtensam carpentes.
At ille perrexit ire ad Paeonas bellatores-equestres,
Qui utique jam juxta fluvium in-fugam-conversi-erant vorticosum,

Ver. 193. — οὐκ ἔστι Διῒ Κρονίωνι μάχεσθαι.] —— χρὴ δὲ πρὸς Θεὸν οὐκ ἐρίζειν. *Pindar. Pythior. Od.* II. *ver.* 161.

Ver. 194. —— Ἀχελώϊος.] Ποταμὸς μεταξὺ Αἰτωλίας καὶ Ἀκαρνανίας.

Ver. 195. —— Ὠκεανοῖο, Ἐξ οὗπερ πάντες ποταμοὶ.] Pulchrè *Eustathius, Proœm. ad Iliad.* Ἐξ ὠκεανοῦ μὲν γὰρ ποταμοὶ πάντες, πηγαὶ πᾶσαι, φρέατα πάντα, κατὰ τὸν πάλαι λόγον. Ἐξ Ὁμήρου δὲ, εἰ καὶ μὴ πᾶσα, πολλὴ γοῦν παρεισέῤῥευσε τοῖς σοφοῖς λόγου ἐπιῤῥοή. Οὐδεὶς γοῦν οὔτε τῶν τὰ ἄνω περιεργαζομένων, οὔτε τῶν περὶ φύσιν, οὔτε τῶν περὶ ἦθος, οὐθ' ἁπλῶς τῶν περὶ λόγους ἐξωτερικοὺς, ὁποίους ἂν εἴποι τις, παρῆλθε τὴν Ὁμηρικὴν σκηνὴν ἀξεναγώγητος, ἀλλὰ πάντες παρ' αὐτῷ κατέλυσαν, &c. Item *Dionysius Halicarnessensis:* Κορυφὴ μὲν οὖν ἁπάντων καὶ σκοπὸς, ἐξ οὗ πως πάντες ποταμοὶ, καὶ πᾶσα θάλασσα, Καὶ πᾶσαι κρῆναι, δικαίως ἂν Ὅμηρος λέγοιτο. Περὶ συνθέσεως, § 24. Et *Quintilianus:* "Hinc enim (quemadmodum ex "oceano dicit ipse amnium vim fontium-"que cursus initium capere,) omnibus elo-"quentiæ partibus exemplum et ortum de-"dit." *Lib.* X, *cap.* 1.

Ver. 197. —— νάουσιν.] *Al.* νέουσιν.

Ver. 199. —— βροντὴν, —— σμαραγήσῃ.] De hujusmodi ὀνοματοποιΐας venustate, vide suprà ad βʹ, 210. ad γʹ, 363. et ad δʹ, 455.

Ibid. —— σμαραγήσῃ.] *Al.* σμαραγήσει.

Ver. 200. —— χάλκεον ἔγχος.] Vide suprà ad γʹ, 380.

Ver. 203. —— ἄρ'.] *Ut fieri solet* ——.

Ibid. —— ἐγχέλυές.] *Al.* ἐγχέλιες.

Ver. 205. —— ἱπποκορυστὰς.] Γελοίως ὁ Ἀπίων ἱπποκορυστὰς ἀπέδωκε, τοὺς κόρυθας ἔχοντας ἱππείαις θριξὶ κεκοσμημένας. Εἰ γὰρ παρὰ τὴν κόρυν συνέκειτο, ἱπποκόρυθος ἂν ἐλέγετο. Νῦν δὲ σημαίνει τὸν ἔφιππον ὁπλίτην· κορυστὴς γὰρ ἀπὸ μέρους ὁ ὁπλίτης καὶ μαχητής. *Porphyr. Quæst. Homeric.* 15.

Ver. 206. Οἵ ῥ'.] *Qui utique* ——. *Qui scilicèt.*

Ὡς εἶδον τὸν ἄριστον ἐνὶ κρατερῇ ὑσμίνῃ
Χέρσ' ὑπὸ Πηλείδαο καὶ ἄορι ἶφι δαμέντα.
Ἔνθ' ἕλε Θερσίλοχόν τε, Μύδωνά τε, Ἀστύπυλόν τε,
Μνῆσόν τε, Θράσιόν τε, καὶ Αἴνιον, ἠδ' Ὀφελέστην·
Καί νύ κ' ἔτι πλέονας κτάνε Παίονας ὠκὺς Ἀχιλλεὺς,
Εἰ μὴ χωσάμενος προσέφη Ποταμὸς βαθυδίνης,
Ἀνέρι εἰσάμενος, βαθέης δ' ἐκφθέγξατο δίνης·
Ὦ Ἀχιλεῦ, περὶ μὲν κρατέεις, περὶ δ' αἴσυλα ῥέζεις
Ἀνδρῶν· αἰεὶ γάρ τοι ἀμύνουσιν θεοὶ αὐτοί.
Εἴ τοι Τρῶας ἔδωκε Κρόνου παῖς πάντας ὀλέσσαι,
Ἐξ ἐμέθεν γ' ἐλάσας πεδίον κάτα, μέρμερα ῥέζειν·
Πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα,
Οὐδέ τί πη δύναμαι προχέειν ῥόον εἰς ἅλα δῖαν,
Στεινόμενος νεκύεσσι· σὺ δὲ κτείνεις ἀϊδήλως.
Ἀλλ', ἄγε δὴ καὶ ἔασον· ἄγη μ' ἔχει, ὄρχαμε λαῶν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἔσται ταῦτα, Σκάμανδρε διοτρεφὲς, ὡς σὺ κελεύεις·

Ut viderunt illum fortissimum in asperâ pugnâ
Manibus Pelidae et ense fortitèr domitum.
Tunc interfecit Thersilochumque, Mydonaque, Astypylumque,
Mnesumque, Thrasiumque, et Aenium, atque Ophelestem:
Et omninò adhuc plures interemisset Paeonas velox Achilles,
Nisi iratus allocutus fuisset Fluvius vorticibus-profundus,
Viro se postquàm assimulârat, è profundo autem vocem-edidit vortice:
" O Achille, *aliis* quidem fortitudine superior es, superior et indignè-factis,
" Hominibus: semper enim tibi auxiliantur dii ipsi.
" Si tibi Trojanos dedit Saturni filius omnes perdere,
" Ex me saltem cum exegeris per campum, ardua patrato:
" Referta enim jam sunt mihi cadaveribus amoena fluenta,
" Neque prorsùs aliquò possum effundere undas in mare vastum,
" Angustatus cadaveribus; tu autem interficis omnes penitùs.
" Quin agedum et desiste; stupor me occupat, princeps populorum."
Hunc autem respondens allocutus est pedibus celer Achilles:
" Erunt haec, Scamander Jovis-alumne, ut tu jubes:

Ver. 213. Ἀνέρι εἰσάμενος.] Vide suprà ad ν', 45. et ad γ', 141.

Ibid. —— ἐκφθέγξατο.] Ita edidit *Barnesius*, ex emendatione *Isaaci Casauboni*. *Al.* ἐφθέγξατο.

Ver. 217. — ῥέζειν.] *Al.* ῥέζε. Atque ita legit Codex *Harleianus*.

Ver. 218. Πλήθει γὰρ δή μοι νεκύων.]

—— Cùm —— Achilles ———
Millia multa daret leto, gemerentque repleti
Amnes, nec reperire viam atque evolvere posset
In mare se Xanthus ———.
Æn. V, 804. 806.

Ver. 219. —— ἅλα δῖαν.] *Mare magnum.* Quicquid enim *quâvis* de causâ *eximium* est, δῖον appellatur. Vide suprà ad ά, 141.

Ver. 220. —— σὺ δὲ κτείνεις ἀϊδήλως.] Ἀφανίζων, καὶ ἀδήλους ποιῶν· οὐ κακῶς δὲ καὶ Σέξστος, ἀΐδηλον ἀπέδωκε, τὸ ἐξ ἀδήλου ἐμπεσόν. *Porphyr. Quæst. Homeric.* 26. Vide autem ad *Odyss.* π', 29.

Ver. 221. —— ἄγε δή.] Vide suprà ad ύ, 351. et ad β', 158.

Ibid. ——— ἔασον.] Vide suprà ad δ', 42. Male *Barnesius*, ἔασσον. Τινὲς, ἀπὸ τοῦ ἤδω οἰόμενοι τὸ ἔασον κατὰ διαίρεσιν τῆς πρώτης συλλαβῆς· ἵνα σημαίνῃ πληρώθητι. *Schol.* MS. apud *Barnesium*.

Τρῶας δ' οὐ πρὶν λήξω ὑπερφιάλους ἐναρίζων,
Πρὶν ἔλσαι κατὰ ἄστυ, καὶ Ἕκτορι πειρηθῆναι
Ἀντιβίην, ἤ κέν με δαμάσσεται, ἤ κεν ἐγὼ τόν.
Ὣς εἰπὼν, Τρώεσσιν ἐπέσσυτο, δαίμονι ἶσος.
Καὶ τότ' Ἀπόλλωνα προσέφη Ποταμὸς βαθυδίνης·
Ὢ πόποι, Ἀργυρότοξε, Διὸς τέκος, οὐ σύ γε βουλὰς·
Εἰρύσαο Κρονίωνος, ὅ τοι μάλα πόλλ' ἐπέτελλε
Τρωσὶ παριστάμεναι καὶ ἀμύνειν, εἰσόκεν ἔλθῃ
Δείελος ὀψὲ δύων, σκιάσῃ δ' ἐρίβωλον ἄρουραν.
Ἦ, καὶ Ἀχιλλεὺς μὲν δουρικλυτὸς ἔνθορε μέσσῳ,
Κρημνοῦ ἀπαΐξας· ὁ δ' ἐπέσσυτο, οἴδματι θύων·
Πάντα δ' ὄρινε ῥέεθρα κυκώμενος· ὦσε δὲ νεκροὺς
Πολλοὺς, οἵ ῥα κατ' αὐτὸν ἅλις ἔσαν, οὓς κτάν' Ἀχιλλεύς·
Τοὺς ἔκβαλλε θύραζε, μεμυκὼς, ἠΰτε ταῦρος,
Χέρσονδε· ζωοὺς δ' ἐσάω κατὰ καλὰ ῥέεθρα,
Κρύπτων ἐν δίνῃσι βαθείῃσιν μεγάλῃσι.
Δεινὸν δ' ἀμφ' Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα,

"Trojanos tamen non antè desinam foedifragos interficere,
"Quàm conclusero in urbem, & Hectorem periculum-fecero
"Adversus, an utique me domabit, an ego ipsum."
Sic fatus, in Trojanos irruit, deo-par.
Et tunc Apollinem allocutus est Fluvius profundus-vorticibus:
"Proh, malum, Argenteo-arcu-insignis, Jovis fili, non tu sanè consilia
"Observâsti Saturnii, qui tibi multis admodùm mandavit
"Trojanis adesse et opem ferre, usque dum veniret
"Sol-vespertinus serò occidens, obumbraretque glebosa arva."
Dixit, et Achilles quidem hastâ-inclytus insiliit medio,
A crepidine ruens: ille verò concitus-ingruit tumidis-fluctibus furens;
Omnia autem commovit fluenta turbidus: impulit verò mortuos
Multos, qui per eum affatim erant, quos occiderat Achilles;
Hos ejecit foràs, mugiens, tanquam taurus,
In terram: vivos autem servavit in pulchris fluentis,
Occultans in vorticibus profundis ingentibus.
Horrenda autem circum Achillem turbida constitit unda,

Ver. 225. Πρὶν ἔλσαι.] Cod. *Harleian.* Πρὶν ἰλάσαι.

Ver. 230. Εἰρύσαο.] *Al.* Εἴρυσας.

Ver. 232. Δείελος ὀψὲ δύων, σκιάσῃ δ'.]
Sol ruit intereà, et montes umbrantur opaci. *Æn.* III, 508.

Ibid. Δείελος ὀψὲ δύων.] Ἡ ὀψινὴ κατάστασις τοῦ ἡλίου, παρ' Ἀττικοῖς δείελος λεγομένη. *Schol.*

Ibid. —— σκιάσῃ.] Vide suprà ad ά, 140. *Al.* σκιάσει.

Ibid. —— ἄρουραν.] Vide suprà ad ζ', 142.

Ver. 234. —— ἀπαΐξας.] *Al.* ἐπαΐξας. Cod. *Harleian.* ὑπαΐξας.

Ver. 236. —— οἵ ῥα.] *Qui videlicèt* ——. *Qui, ut suprà memoratum est* ——.

Ibid. —— ἅλις ἔσαν.] Quâ ratione, ἅλις hîc ultimam producat; item σάκεϊ, *ver.* 241. et Εὐφύεα, *ver.* 243. et ἕπετο, *ver.* 256. vide suprà ad ά, 51. Cæterùm Cod. *Harleian.* hîc legit, ἔσαν ἅλις. Quo modo et in *Commentario* legit *Eustathius.*

Ver. 237. —— μεμυκὼς.] Vide suprà ad β', 314.

Ver. 238. —— ζωοὺς δ' ἐσάω.] Τὸ δὲ, σάω, ἀποκοπὴν ἔπαθεν· ὡς γὰρ οὔταζεν, οὖτα, οὔτω, σάωζε, σάω. *Eustath.* Vide suprà ad π', 363. et ad ν', 192.

Ibid. ver. 244. 301. 317. et 352. —— καλὰ.] Vide suprà ad β', 43.

Ver. 240. Δεινὸν δ' ἀμφ' Ἀχιλῆα.] Βιαζόμενον δέ τινα πρὸς ἐναντίον ῥεῦμα ποταμοῦ

Ὤθει δ' ἐν σάκεϊ πίπτων ῥόος, οὐδὲ πόδεσσιν
Εἶχε στηρίξασθαι· ὁ δὲ πτελέην ἕλε χερσὶν
Εὐφυέα, μεγάλην· ἡ δ' ἐκ ῥιζῶν ἐριποῦσα
Κρημνὸν ἅπαντα διῶσεν, ἐπέσχε δὲ καλὰ ῥέεθρα
Ὄζοισιν πυκινοῖσι· γεφύρωσεν δέ μιν αὐτὸν,
Εἴσω πᾶσ' ἐριποῦσ'· ὁ δ' ἄρ' ἐκ λίμνης ἀνορούσας,
Ἤϊξεν πεδίοιο ποσὶ κραιπνοῖσι πέτεσθαι,
Δείσας· οὐδ' ἔτ' ἔληγε μέγας θεὸς, ὦρτο δ' ἐπ' αὐτὸν
Ἀκροκελαινιόων, ἵνα μιν παύσειε πόνοιο
Δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι.
Πηλείδης δ' ἀπόρουσεν, ὅσον τ' ἐπὶ δουρὸς ἐρωὴ,
Αἰετοῦ οἴματ' ἔχων μέλανος, τοῦ θηρητῆρος,
Ὅς θ' ἅμα κάρτιστός τε καὶ ὤκιστος πετεηνῶν.
Τῷ εἰκὼς ἤϊξεν· ἐπὶ στήθεσσι δὲ χαλκὸς
Σμερδαλέον κονάβιζεν· ὕπαιθα δὲ τοῖο λιασθεὶς

Urgebatque scuto incumbens fluctus, neque pedibus
Poterat se stabilire: At ille ulmum prehendit manibus
Feliciter-crescentem, ingentem: ea autem radicitùs procidens
Crepidinem totam disjecit, repressitque pulchra fluenta
Ramis densis; junxit autem tanquam ponte illum ipsum,
Intùs tota prolapsa: Is verò è voragine prosiliens
Festinavit per campum pedibus rapidis volare,
Perculsus: Necdum destitit magnus deus, sed surrexit-ruiturus in illum
In-summo-nigricans, ut ipsum arceret à bellico-labore
Nobilem Achillem, Trojanisque exitium averteret.
Pelides verò saltu-dato refugit, quantum est hastae jactus,
Aquilae impetus habens nigrae, venatricis,
Quae simul fortissimaque et celerrima volucrum.
Huic similis ruit; circa pectus autem aes
Horrendùm resonabat: obliquè autem ab illo declinans

μετὰ τῶν ὅπλων, καὶ τὰ μὲν ἀντίχοντα, τὰ δὲ ὑποφερόμενον εἰσάγων, ἀνακοπάς τε ποιήσει συλλαβῶν, καὶ ἀναβολὰς χρόνων, καὶ ἀντιστηριγμοὺς γραμμάτων· "Δεινὸν δ' ἀμφ' Ἀχιλῆα κυκώμενον "ἵστατο κῦμα, Ὤθει δ' ἐν σάκεϊ πίπτων ῥόος, "οὐδὲ πόδεσσιν Εἶχε στηρίζεσθαι." *Dionys. Halicarn.* περὶ συνθέσεως, § 16. Ubi, in transitu, notandum, pro στηρίξασθαι legisse *Dionysium* στηρίζεσθαι.

Ibid. —— κῦμα.] *Al.* ῥεῦμα.

Ver. 241. —— οὐδὲ πόδεσσιν Εἶχε στηρίξασθαι.] Observandus hîc maximè proprius Vocis *Mediæ* Usus. *Nec potuit pedibus se ipse stabilire.* Vide suprà ad ν', 45. et ad γ', 141.

Ver. 244. Κρημνὸν ἅπαντα διῶσεν.] Τὴν συνεχομένην ὑπὸ τῶν ῥιζῶν γῆν πᾶσαν διέλυσεν. *Schol.* MS. apud *Barnesium.*

Ver. 245. —— γεφύρωσεν.] Διαβατὸν ἐποίησε. *Schol.*

Ver. 246. —— ἐκ λίμνης.] *Al.* ἐκ δίνης.

Ver. 248. —— ἐπ' αὐτὸν.] *Al.* ἐπ' αὐτῷ.

Vex. 250. —— λοιγὸν ἀλάλκοι.] *Al.* λοιγὸν ἀμύνοι.

Ver. 251. —— ἐρωὴ.] *Al.* ἐρωήν.

Ver. 252. Αἰετοῦ οἴματ' ἔχων.] Sic suprà π', 752:

Οἶμα λέοντος ἔχων ——.

Et infrà χ', 308:

Οἴμησεν δὲ ἀλεὶς ——.

Al. Αἰετοῦ ὄμματ' ἔχων.

Ibid —— μέλανος, τοῦ.] *Al.* μελανόστου, et μελανόσσου, et μέλανός του· notante *Scholiaste.*

Ver. 254. —— ἐπὶ στήθεσσι δὲ χαλκὸς Σμερδαλέον κονάβιζεν.

—————— et arma
Horrendùm sonuere. ——
Æn. IX, 731.

Ver. 255. Σμερδαλέον κονάβιζεν.] Vide suprà ad β', 210. et ad δ', 455.

Φεῦγ', ὁ δ' ὄπισθε ῥέων ἕπετο μεγάλῳ ὀρυμαγδῷ.
Ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγὸς ἀπὸ κρήνης μελανύδρου
Ἀμφυτὰ καὶ κήπους ὕδατος ῥόον ἡγεμονεύει,
Χερσὶ μάκελλαν ἔχων, ἀμάρης δ' ἐξ ἔχματα βάλλων·
Τοῦ μέν τε προρέοντος, ὑπὸ ψηφῖδες ἅπασαι
Ὀχλεῦνται, τὸ δέ τ' ὦκα κατειβόμενον κελαρύζει
Χώρῳ ἐνὶ προαλεῖ, φθάνει δέ τε καὶ τὸν ἄγοντα·
Ὣς αἰεὶ Ἀχιλῆα κιχήσατο κῦμα ῥόοιο,
Καὶ λαιψηρὸν ἐόντα· θεοὶ δέ τε φέρτεροι ἀνδρῶν.
Ὁσσάκι δ' ὁρμήσειε ποδάρκης δῖος Ἀχιλλεὺς
Στῆναι ἐναντίβιον, καὶ γνώμεναι, εἴ μιν ἅπαντες
Ἀθάνατοι φοβέουσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
Τοσσάκι μιν μέγα κῦμα διϊπετέος ποταμοῖο
Πλάζ' ὤμους καθύπερθεν· ὁ δ' ὑψόσε ποσσὶν ἐπήδα,
Θυμῷ ἀνιάζων· ποταμὸς δ' ὑπὸ γούνατ' ἐδάμνα

Fugiebat, is verò à-tergo fluens sequebatur magno sonitu.
Ut verò cum vir aquilex à fonte aquis-nigro
Per plantas et hortos aquae rivum deducit,
Manibus ligonem tenens, et sulco obices ejiciens;
Et hâc quidem profluente subtùs calculi omnes
Agitantur, haec autem citò defluens immurmurat
Loco in declivi, praecurritque etiam ipsum ductorem:
Sic perpetuò Achillem assequebatur fluctus fluvii,
Velocem licèt: Dii enim potentiores mortalibus.
Quoties verò conaretur pedibus-valens nobilis Achilles
Stare contrà, et cognoscere, an ipsum omnes
Immortales in fugam-agerent, qui coelum latum tenent;
Toties ipsi magnus fluctus à-Jove-fluentis fluvii
Alluebat humeros desupèr: Is autem in altum pedibus saliebat,
Animo moestus: fluvius verò subtùs genua domabat

Ver. 256. *Φεῦγ', ὁ δ' ὄπισθε ῥέων ἕπετο μεγάλῳ ὀρυμαγδῷ.*] Mirificâ hîc *ὀνοματοποιΐα* rem ipsam auribus exhibere videtur verborum sonitus. Vide suprà ad γ', 363.

Ver. 257. *Ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγὸς.*]

Deinde satis fluvium inducit rivosque sequentes.
Et cùm exustus ager morientibus æstuat herbis,
Ecce, supercilio clivosi tramitis undam
Elicit: illa cadens raucum per levia murmur
Saxa ciet, scatebrisque arentia temperat arva. *Virg. Georg.* I, 106.

Ibid. —— *ὀχετηγὸς.*] Ὑδραγωγὸς, ὁ τὸν τοῦ ὕδατος ὀχετὸν καθαίρων. *Schol.*

Ver. 258. — *ὕδατος ῥόον.*] *ὕδατι ῥόον·* MS. *Oxon.* à *Barnesio*, item MS. *Harleian.* à *Tho. Bentleio* collatus. Quod et ferri potest. Vide suprà ad ά, 51.

Ibid. —— *ἡγεμονεύει.*] Cod. *Harleian.* ἡγεμονεύῃ.

Ver. 259. —— *ἀμάρης.*] Τῆς ὑδροῤῥόης τοῦ ὀχετοῦ. *Schol.*

Ver. 261. —— *κελαρύζει.*] De hujusmodi *ὀνοματοποιΐα*, vide suprà ad β', 210. ad γ', 363. et ad δ', 455, 456. et 504.

Ver. 262. —— *φθάνει.*] Vide suprà ad β', 43.

Ver. 267—298—380. —— *Ἀθάνατοι* —— *ἀθανάτους* —— *Ἀθάνατον.*] Vide suprà ad ά, 398.

Ibid. —— *φοβέουσι.*] *Al.* φοβέωσι.

Ver. 268 et 326. — *διϊπετέος.*] Vide suprà ad π', 174.

Ver. 270. *Θυμῷ ἀνιάζων.*] De antepenultimâ vocis, *ἀνιάζων*, hoc in loco *productâ*; suprà autem σ', 300. *correptâ*; vide suprà ad ό, 24.

Λάβρος, ὕπαιθα ῥέων, κονίην δ' ὑπέρεπτε ποδοῖϊν·
Πηλείδης δ' ᾤμωξεν, ἰδὼν ἐς οὐρανὸν εὐρύν·
 Ζεῦ πάτερ, ὡς οὔτις με θεῶν ἐλεεινὸν ὑπέστη
Ἐκ ποταμοῖο σαῶσαι· ἔπειτα δὲ καί τι πάθοιμι.
Ἄλλος δ' οὔτις μοι τόσον αἴτιος οὐρανιώνων,
Ἀλλὰ φίλη μήτηρ, ἥ με ψεύδεσσιν ἔθελγεν,
Ἥ μ' ἔφατο Τρώων ὑπὸ τείχεϊ θωρηκτάων
Λαιψηροῖς ὀλέεσθαι Ἀπόλλωνος βελέεσσιν.
Ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε τέτραφ' ἄριστος,
Τῷ κ' ἀγαθὸν μὲν ἔπεφν', ἀγαθὸς δέ κεν ἐξενάριξε·
Νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι,
Ἐρχθέντ' ἐν μεγάλῳ ποταμῷ, ὡς παῖδα συφορβὸν,
Ὅν ῥά τ' ἔναυλος ἀποέρσει χειμῶνι περῶντα.
 Ὣς φάτο· τῷ δὲ μάλ' ὦκα Ποσειδάων καὶ Ἀθήνη
Στήτην ἐγγὺς ἰόντε, δέμας δ' ἄνδρεσσιν ἐίκτην·
Χειρὶ δὲ χεῖρα λαβόντες ἐπιστώσαντ' ἐπέεσσι·
Τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων·

Rapidus, obliquè fluens, pulveremque subtrahebat pedibus:
Pelides autem ejulavit, intuitus in coelum latum:
" Jupiter pater, ut nullus me deorum miserabilem sustinet
" Ex fluvio eripere: in posterum verò vel quidvis patiar.
" Alius autem nullus mihi tantum in culpâ coelestium,
" Quantum mea mater, quæ me mendaciis lactabat;
" Quae me dicebat Trojanorum sub muro armatorum
" Velocibus periturum esse Apollinis jaculis.
" Utinam me Hector occidisset, qui hîc nutritus est fortissimus;
" Tum fortem quidem occidisset, et ipse fortis occisum spoliâsset:
" Nunc autem me ingloriâ-morte fatale-est corripi,
" Conclusum in magno fluvio, tanquam servulum subulcum,
" Quem torrens obrutum-perdit pluvio-tempore transeuntem."
Sic dixit: Hunc autem valdè citò Neptunus et Minerva
Steterunt propè accedentes, corpore autem hominibus similes-facti erant;
Manuque manum prehendentes, confirmârunt verbis:
Inter hos autem sermonem orsus est Neptunus terrae-quassator:

Ver. 271. —— κονίην.] *Al.* γαῖαν.

Ver. 274. ———— ἔπειτα δὲ καί τι πάθοιμι.] Σωθείην ἐκ τοῦ ποταμοῦ· ἔπειτα δὲ καὶ πάθοιμί τι· *Schol.* Cæterùm legitur (notante *Henrico Stephano*) et καὶ τί πάθοιμι; *Quid me fiet?* Ut *Odyss.* ι, 464. Ὤ μοι ἐγὼ τί πάθω —.

Ver. 276. —— ἔθελγεν.] Vide suprà ad β', 221. et ad ν', 84.

Ver. 279. —— Ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι.

———— ô Danaûm fortissime gentis
Tydide, mene Iliacis occumbere campis
Non potuisse? tuâque animam hanc effundere dextrâ?
Æn. I, 100.

Ibid. ——— ὃς ἐνθάδε τέτραφ' ἄριστος.] *Al.* ὃς ἐνθάδε γ' ἔτραφ' ἄριστος. Quam lectionem et præfert *Barnesius.*

Ver. 280. Τῷ κ' ἀγαθὸν μὲν ἔπεφν', ἀγαθὸς δέ κεν ἐξενάριξε.] Τῷ κ' ἀγαθὸς μὲν ἔπεφν', ἀγαθὸν δέ κεν ἐξενάριξε. Cod. *Oxon.* à *Barnesio,* item Cod. *Harleian.* à *Tho. Bentleio* collatus.

Ver. 283. ——— ἔναυλος.] Χείμαῤῥος ποταμὸς, διὰ στενοῦ ῥέων. *Schol.*

Ibid. — ἀποέρσει.] *Al.* ἀποέρσῃ. Pronuntiabatur autem, ut opinor, ἀπούερσει, vel *appouversei.* Vide suprà ad τ', 35.

Ver. 285. ——— δέμας δ' ἄνδρεσσιν ἐΐκτην.] Vide suprà ad ξ', 136.

Ver. 287. Τοῖσι δὲ.] Vide suprà ad θ', 160. Malè *Barnesius,* Τοῖσιδε.

Πηλείδη, μήτ' ἄρ τι λίην τρέε, μήτε τι τάρβει·
Τοίω γάρ τοι νῶϊ θεῶν ἐπιταῤῥόθω εἰμὲν,
Ζηνὸς ἐπαινήσαντος, ἐγὼ καὶ Παλλὰς Ἀθήνη·
Ὡς οὔ τοι ποταμῷ γε δαμήμεναι αἴσιμόν ἐστιν·
Ἀλλ' ὅδε μὲν τάχα λωφήσει, σὺ δὲ εἴσεαι αὐτός·
Αὐτάρ τοι πυκινῶς ὑποθησόμεθ', αἴκε πίθηαι,
Μὴ πρὶν παύειν χεῖρας ὁμοιΐου πολέμοιο,
Πρὶν κατὰ Ἰλιόφιν κλυτὰ τείχεα λαὸν ἐέλσαι
Τρωϊκὸν, ὅς κε φύγησι· σὺ δ' Ἕκτορι θυμὸν ἀπούρας
Ἄψ ἐπὶ νῆας ἴμεν· δίδομεν δέ τοι εὖχος ἀρέσθαι.
Τὼ μὲν ἄρ' ὣς εἰπόντε μετ' ἀθανάτους ἀπεβήτην·
Αὐτὰρ ὁ βῆ, (μέγα γάρ ῥα θεῶν ὤτρυνεν ἐφετμὴ,)
Ἐς πεδίον· τὸ δὲ πᾶν πλῆθ' ὕδατος ἐκχυμένοιο·
Πολλὰ δὲ τεύχεα καλὰ δαϊκταμένων αἰζηῶν
Πλῶον, καὶ νέκυες· τοῦ δ' ὑψόσε γούνατ' ἐπήδα
Πρὸς ῥόον ἀΐσσοντος ἀν' ἰθύν· οὐδέ μιν ἔσχε
Εὐρὺ ῥέων ποταμός· μέγα γάρ σθένος ἔμβαλ' Ἀθήνη·
Οὐδὲ Σκάμανδρος ἔληγε τὸ ὃν μένος, ἀλλ' ἔτι μᾶλλον
Χώετο Πηλείωνι, κόρυσσε δὲ κῦμα ῥόοιο,
Ὑψόσ' ἀειρόμενος· Σιμόεντι δὲ κέκλετ' ἀΰσας·

" Pelide, neque jam valdè trepida, neque turbare;
" Tales enim tibi nos ex diis auxiliatores sumus,
" Jove approbante, ego et Pallas Minerva:
" Quoniam haud tibi à fluvio utique domari fatale est;
" Sed hic quidem citò desinet, tu autem videbis ipse:
" At tibi prudens suggeremus consilium, si modò parueris,
" Nè priùs abstineas manus ab omnibus-aequè-gravi pugnâ,
" Quàm in Ilii inclytos muros populum concluseris
" Trojanum, quicunque effugere poterit: Tu verò Hectori animâ ereptâ
" Ad naves redito: damus nempè tibi gloriam referre."
Hi sanè sic locuti ad immortales abierunt:
At ille ivit, (valdè enim deorum impellebat *eum* praeceptum,)
In campum; Hic verò totus inundabatur aquâ effusâ:
Multa autem arma pulchra proelio-caesorum juvenum
Fluitabant, et cadavera: illius autem in altum genua exiliebant
Adversus cursum ruentis rectà; neque enim tenuit
Latè fluens fluvius; magnum enim robur immiserat Minerva:
Neque Scamander remisit suam vim, sed adhuc magis
Irascebatur Pelidae, tumefaciebatque undam fluenti,
In altum sublatus: Simoëntem verò hortabatur vociferans:

Ver. 288. —— ἄρ τι.] Ita edidit *Barnesius*. Quocum facit Codex *Harleianus*. *Al.* ἄρτι.

Ver. 292. —— λωφήσει.] Κοπάσει, παύσεται· μετενήνεκται δὲ ἡ λέξις ἀπὸ τῶν τὰ φορτία ἀποθεμένων τοῦ λόφου ὑποζυγίων. *Schol.* MS. apud *Barnesium*.

Ver. 294. — ὁμοιΐου πολέμοιο.] Vide suprà ad σ', 242.

Ver. 296. —— ἀπούρας.] Cod. *Harleian.* ἀπηύρας.

Ver. 303. —— ἀν' ἰθύν.] Ἐπ' εὐθείας· κατὰ τὴν ὁρμὴν τοῦ ποταμοῦ. *Schol.*

Ver. 304. — μέγα γὰρ σθένος ἔμβαλ' Ἀθήνη.] Vide suprà ad ὑ, 110.

Ver. 305. 603. — Σκάμανδρος —— Σκάμανδρον.] Cod. *Harleian.* Κάμανδρος — Κάμανδρον.

Φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ
Σχῶμεν, ἐπεὶ τάχα ἄστυ μέγα Πριάμοιο ἄνακτος
Ἐκπέρσει, Τρῶες δὲ κατὰ μόθον οὐ μενέουσιν.
Ἀλλ' ἐπάμυνε τάχιστα, καὶ ἐμπίπληθι ῥέεθρα
Ὕδατος ἐκ πηγέων, πάντας δ' ὀρόθυνον ἐναύλους·
Ἵστη δὲ μέγα κῦμα· πολὺν δ' ὀρυμαγδὸν ὄρινε
Φιτρῶν καὶ λάων, ἵνα παύσομεν ἄγριον ἄνδρα,
Ὃς δὴ νῦν κρατέει, μέμονεν δ' ὅγε ἶσα θεοῖσι.
Φημὶ γὰρ οὔτε βίην χραισμησέμεν, οὔτε τι εἶδος,
Οὔτε τὰ τεύχεα καλὰ, τά που μάλα νειόθι λίμνης
Κείσεθ' ὑπ' ἰλύος κεκαλυμμένα· κὰδ δέ μιν αὐτὸν
Εἰλύσω ψαμάθοισιν, ἅλις χεράδος περιχεύας
Μυρίον, οὐδέ οἱ ὀστέ' ἐπιστήσονται Ἀχαιοὶ
Ἀλλέξαι· τόσσην οἱ ἄσιν καθύπερθε καλύψω.
Αὐτοῦ οἱ καὶ σῆμα τετεύξεται, οὐδέ τι μὶν χρεὼ
Ἔσται τυμβοχοῆς, ὅτε μιν θάπτωσιν Ἀχαιοί.
Ἦ, καὶ ἐπῶρτ' Ἀχιλῆϊ κυκώμενος ὑψόσε θύων,

" Chare frater, robur viri ambo saltem
" Cohibeamus, mox enim urbem magnam Priami regis
" Evertet; Trojani verò in pugnâ non manebunt.
" Sed auxilium affer celerrimè, et imple fluenta
" Aquâ ex fontibus, omnesque concita rivos;
" Atque erige magnam undam: multam verò turbam excita
" Truncorum et lapidum, ut compescamus immanem virum,
" Qui jamdudùm victor-grassatur, animoque-agitat paria diis.
" Aio enim neque vim *illius* profuturam, neque omninò formam,
" Neque illa arma pulchra, quae alicubi in imo fundo voraginis
" Jacebunt sub limo tecta: quin et ipsum
" Involvam arenis, sabulo affatim circumfuso
" Immenso; neque ejus ossa poterunt Achivi
" Colligere: tantam ei colluviem desupèr obtendam.
" Ibidem ei et sepulchrum erit, neque omninò ei opus
" Erit humatione, quandò ei exequias-facient Achivi."
Dixit, et ingruit in Achillem turbidus in-altum furens,

Ibid. — ἔληγε τὸ ὃν μένος.] Vide suprà ad ν', 424.

Ver. 310. —— κατὰ μόθον.] Quâ ratione, κατὰ, hîc ultimam producat; item δὲ, *ver.* 313 et 328. et πρὶν, *ver.* 340. et ἅλις, *ver.* 344. vide suprà ad ά, 51.

Ver. 312. ——— πηγέων.] Pronuntiabatur πηγῶν.

Ibid. — ἐναύλους.] Τὰς τῶν ποταμῶν διώρυγας· ἢ τοὺς διὰ στενοῦ ῥέοντας ποταμούς. *Schol.*

Ver. 315. —— μέμονεν.] Vide suprà ad ν', 481. et ad ά, 37.

Ibid. —— ὅγε.] Vide suprà ad γ', 409.

Ver. 318. Κείσεθ' ὑπ' ἰλύος.] Ὑπὸ τῆς ἰλύος τοῦ ποταμοῦ· ὅ ἐστι τοῦ πλήθους τοῦ πηλοῦ. *Schol.*

Ibid. — ἰλύος.] Τὸ δὲ ἰλύος ἐν ἄλλοις μὲν συστέλλει τὴν παραλήγουσαν· νῦν δὲ, ἐξέτεινεν. *Eustath.* Quod quâ ratione fiat, vide suprà ad ό, 24.

Ver. 319. Εἰλύσω.] Cod. *Harleian.* Εἰλύσσω. *Al.* Ἰλύσω.

Ibid. ——— χεράδος.] Τῆς ὑπὸ ποταμῶν ἀθροιζομένης ψάμμου, καὶ ξύλων συγκομιδῆς. *Schol.*

Ver. 321. —— ἄσιν.] Ἰλύν· ὅ ἐστι γῆν ψαμμώδη. *Schol.*

Ver. 322. —— σῆμα.] *Al.* μοῖρα.

Ibid. — χρεὼ.] Pronuntiabatur χρῶ. Vide et suprà ad κ', 43.

Ver. 323. —— τυμβοχοῆς.] *Al.* τυμβοχοῆσ'· pro τυμβοχοῆσαι.

Μορμύρων ἀφρῷ τε, καὶ αἵματι, καὶ νεκύεσσι.
Πορφύρεον δ' ἄρα κῦμα διϊπετέος ποταμοῖο
Ἵστατ' ἀειρόμενον, κατὰ δ' ᾕρεε Πηλείωνα.
Ἥρη δὲ μέγ' ἄϋσε, περιδδείσασ' Ἀχιλῆϊ,
Μή μιν ἀποέρσειε μέγας ποταμὸς βαθυδίνης·
Αὐτίκα δ' Ἥφαιστον προσεφώνεεν ὃν φίλον υἱόν·
Ὄρσεο, Κυλλοπόδιον, ἐμὸν τέκος· ἄντα σέθεν γὰρ
Ξάνθον δινήεντα μάχῃ ἠΐσκομεν εἶναι·
Ἀλλ' ἐπάμυνε τάχιστα, πιφαύσκεο δὲ φλόγα πολλήν·
Αὐτὰρ ἐγὼ Ζεφύροιο καὶ ἀργέσταο Νότοιο,
Εἴσομαι ἐξ ἁλόθεν χαλεπὴν ὄρσουσα θύελλαν,
Ἥ κεν ἀπὸ Τρώων κεφαλὰς καὶ τεύχεα κήαι,
Φλέγμα κακὸν φορέουσα· σὺ δὲ Ξάνθοιο παρ' ὄχθας
Δένδρεα καῖ', ἐν δ' αὐτὸν ἵει πυρί· μηδέ σε πάμπαν
Μειλιχίοις ἐπέεσσιν ἀποτρεπέτω, καὶ ἀρειῇ·
Μηδὲ πρὶν ἀπόπαυε τεὸν μένος· ἀλλ' ὁπόταν δὴ
Φθέγξομ' ἐγὼν ἰάχουσα, τότε σχεῖν ἀκάματον πῦρ.

Murmurans spumâque, et sanguine, et cadaveribus.
Purpurea verò continuò unda à-Jove-fluentis fluvii
Stabat elevata, occupabatque Pelidem.
Juno autem altè-clamavit, admodùm-timens Achilli,
Ne ipsum abriperet magnus fluvius vorticibus-profundus:
Statim verò Vulcanum allocuta est suum dilectum filium:
" Exurge-ad-certamen, Vulcane, mi fili: contra te enim
" Xanthum vorticosum in pugnâ conjicimus parem esse:
" Quin opem-fer citissimè, et ostenta flammam multam:
" Ego verò Zephyri et velocis Noti
" Ibo è mari gravem excitatura procellam,
" Quae Trojanorum capita et arma comburat,
" Incendium exitiale ferens: tu verò Xanthi praeter ripas
" Arbores ure, ipsumque immitte igni; neque te omninò
" Blandis verbis avertat, aut minis:
" Neque antè cohibeas tuam vim, quàm ubi
" Signum-dedero clamore; tunc compesce indefessum ignem."

Ibid. —— θάπτωσιν] Cod. *Harleian.* θάπτουσιν.

Ver. 325. Μορμύρων.] Vide suprà ad έ, 599.

Ver. 326. Πορφύρεον.] Vide suprà ad ά, 482.

Ibid. —— διϊπετέος.] Τοῦ ἐκ τῶν ὄμβρων τοῦ Διὸς γεγονότος. *Schol.*

Ver. 329. —— ἀποέρσειε.] Vide suprà ad *ver.* 283.

Ver. 330. Αὐτίκα δ' Ἥφαιστον.] Ὅμηρος δὲ τῷ ποταμῷ τὸν Ἥφαιστον, καὶ τῷ Ποσειδῶνι τὸν Ἀπόλλωνα κατὰ τὴν μάχην φυσικῶς μᾶλλον ἢ μυθικῶς ἀντέταξεν. *Plutarch.* περὶ τοῦ πρώτου ψυχροῦ.

Ver. 331. Ὄρσεο, Κυλλοπόδιον.] Pulcherrima super hâc re *Plutarchi* observatio: Ὁ Θερσίτης ὑπὸ τοῦ Ὀδυσσέως, οὐ χωλὸς, οὐ φαλακρὸς, οὐ κυρτὸς, ἀλλ' ἀκριτόμυθος λοιδορεῖται· Τὸν δ' Ἥφαιστον ἡ τεκοῦσα καὶ φιλοφρονουμένη προσηγόρευσεν ἀπὸ τῆς χωλότητος, "Ὄρσεο, Κυλλοπόδιον, ἐμὸν τέκος." —— *De audiend. Poetis.*

Ver. 332. —— μάχῃ ἠΐσκομεν εἶναι.] Κατὰ σοῦ γὰρ ἄξιον ἀνταγωνιστὴν ἡγούμεθα τὸν Ξάνθον, *Schol.*

Ver. 335. —— ὄρσουσα.] *Al* ὀρέουσα.

Ver. 339. —— καὶ ἀρειῇ.] Cod. *Harleian.* ἢ ἀρειῇ· Quo modo legit et *Eustathius.*

Ver. 341. —— ἀκάματον πῦρ.] Vide suprà ad *ver.* 13. et ad ά, 398.

Ὣς ἔφαθ'· Ἥφαιστος δὲ τιτύσκετο θεσπιδαὲς πῦρ.
Πρῶτα μὲν ἐν πεδίῳ πῦρ δαίετο, καῖε δὲ νεκροὺς
Πολλοὺς, οἵ ῥα κατ' αὐτὸν ἅλις ἔσαν, οὓς κτάν' Ἀχιλλεύς·
Πᾶν δ' ἐξηράνθη πεδίον, σχέτο δ' ἀγλαὸν ὕδωρ.
Ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης νεοαρδέ' ἀλωὴν
Αἶψ' ἂν ξηραίνῃ, χαίρει δέ, μιν ὅστις ἐθείρει·
Ὣς ἐξηράνθη πεδίον πᾶν, κὰδδ' ἄρα νεκροὺς
Κῆεν, ὁ δ' ἐς ποταμὸν τρέψε φλόγα παμφανόωσαν.
Καίοντο πτελέαι τε, καὶ ἰτέαι, ἠδὲ μυρῖκαι,
Καίετο δὲ λωτός τ', ἠδὲ θρύον, ἠδὲ κύπειρον,
Τὰ περὶ καλὰ ῥέεθρα ἅλις ποταμοῖο πεφύκει·
Τεῖροντ' ἐγχέλυές τε, καὶ ἰχθύες, οἳ κατὰ δίνας,
Οἳ κατὰ καλὰ ῥέεθρα κυβίστων ἔνθα καὶ ἔνθα,
Πνοιῇ τειρόμενοι πολυμήτιος Ἡφαίστοιο.
Καίετο δ' ἲς Ποταμοῖο, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Ἥφαιστ', οὔτις σοί γε θεῶν δύνατ' ἀντιφερίζειν,
Οὐδ' ἂν ἐγώ σοί γ' ὧδε πυρὶ φλεγέθοντι μαχοίμην·

Sic dixit: Vulcanus autem jaculabatur immanè-ardentem ignem.
Primùm quidem in campo ignis accendebatur, cremabatque mortuos
Multos, qui in eo affatim erant, quos interfecerat Achilles:
Totus verò siccatus est campus, coërcitaque est limpida aqua.
Ut verò cùm autumnalis Boreas recens-irrigatum-hortum
Statim exiccaverit, gaudet verò, ipsum quisquis de-more-colit:
Sic exiccatus est campus totus, atque mortuos
Exussit: at is in fluvium vertit flammam collucentem.
Urebantur ulmique et salices, atque myricae;
Urebatur etiam lotusque, et ulva, atque cyperus,
Quae circum pulchra fluenta affatim fluvii nascebantur:
Laborabant anguillaeque, et pisces, qui per vortices,
Qui per pulchra fluenta urinabantur huc et illuc,
Spiritu laborantes varii-artificiis Vulcani.
Urebatur et vis Fluvii, verbaque fecit, dixitque:
" Vulcane, nullus tibi certè deorum potest ex-aequo adversari,
" Neque omninò ego tibi sic igne ardenti pugnavero:

Ver. 343. —— καῖε.] *Al.* δαῖε.

Ver. 344. —— ῥα.] *Ut dictum est* ——.

Ver. 346. —— ὀπωρινὸς.] Vide suprà ad έ, 5.

Ibid. —— νεοαρδέ' ἀλωὴν.] Νεωστὶ πεποτισμένην καὶ ἀρδευθεῖσαν. *Schol.*

Ver. 347. — ἐθείρει.] Ἐξ ἔθους ἐπιμελοῖτο. *Schol.* *Al.* ἐθείρῃ.

Ver. 348. —— ἄρα.] *Ut fit* ——. *Ut par erat* ——.

Ver. 351. —— δὲ λωτός.] Quâ ratione, δὲ, hîc producatur; item Τὰ, *ver.* 352. et καιόμενος, *ver.* 361. et μελδόμενος, *ver.* 363. et λισσόμενος, *ver.* 368. vide suprà ad ά, 51.

Ibid. — λωτός τ', ἠδὲ θρύον.] *Al.* λωτός τε ἰδὲ θρύον. Quo modo legit et Codex *Harleianus.*

Ibid. —— θρύον.] Εἶδος πόας, ὁ λεγόμενος θρύσις. *Schol.*

Ver. 352. — πεφύκει.] Si πέφυκε dixisset, jam non constitisset Temporum ratio. Vide suprà ad ά, 37. et ad δ', 492.

Ver. 353. Τεῖροντ' ἐγχέλυές τε, καὶ ἰχθύες.] Καὶ ὁ ποιητὴς οὖν θέλων δηλῶσαι τὸ εἰς βάθος τοῦ ποταμοῦ καιόμενον, οὕτως ἔφη· "Τεῖροντ' ἐγχέλυές "τε καὶ ἰχθύες." Ἰδικώτερον δὲ καὶ κατ' ἐξαίρετον ἐγχέλυες, ἵνα καὶ τὸ βάθος τοῦ κεκαυμένου ὕδατος δηλώσῃ. *Athenæus, Lib.* VII. *cap.* 13.

Ver. 354. 361. 365. et 382. —— καλὰ.] Vide suprà ad β', 43.

Λῆγ' ἔριδος· Τρῶας δὲ καὶ αὐτίκα δῖος Ἀχιλλεὺς
Ἄστεος ἐξελάσειε· τί μοι ἔριδος καὶ ἀρωγῆς;
  Φῆ πυρὶ καιόμενος· ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα.
Ὡς δὲ λέβης ζεῖ ἔνδον, ἐπειγόμενος πυρὶ πολλῷ,
Κνίσση μελδόμενος ἁπαλοτρεφέος σιάλοιο,
Πάντοθεν ἀμβολάδην, ὑπὸ δὲ ξύλα κάγκανα κεῖται·
Ὣς τοῦ καλὰ ῥέεθρα πυρὶ φλέγετο, ζέε δ' ὕδωρ·
Οὐδ' ἔθελε προρέειν, ἀλλ' ἴσχετο· τεῖρε δ' ἀϋτμὴ,
Ἡφαίστοιο βίηφι πολύφρονος· αὐτὰρ ὅγ' Ἥρην,
Πολλὰ λισσόμενος, ἔπεα πτερόεντα προσηύδα·
  Ἥρη, τίπτε σὸς υἱὸς ἐμὸν ῥόον ἔχραε κήδειν
Ἐξ ἄλλων; οὐ μέν τοι ἐγὼ τόσον αἴτιός εἰμι,
Ὅσσον οἱ ἄλλοι πάντες, ὅσοι Τρώεσσιν ἀρωγοί.
Ἀλλ' ἤτοι μὲν ἐγὼν ἀποπαύσομαι, εἰ σὺ κελεύεις·

" Desine à certamine: Trojanos verò vel statim nobilis Achilles
" Urbe expellat: Quid mihi cum contentione et auxilio?"
Dixit igne ardens: ebulliebant autem pulchra fluenta.
Ut verò lebes fervet intùs, dum urgetur igne multo,
Adipem liquefaciens saginati porci,
Undique eructans, subtùs nempè ligna sicca jacent:
Sic hujus pulchra fluenta igne ardebant, bulliebatque aqua;
Nec poterat profluere, sed inhibebatur: infestabat enim vapor,
Vulcani per vim multiscii: At ille Junonem,
Multis supplicans, verbis alatis allocutus est:
" Juno, cur tuus filius in meum fluentum furentèr-incubuit, ut infestaret
" Prae caeteris? non sanè tibi ego tantum in culpâ sum,
" Quantum caeteri omnes *dii*, quotquot Trojanis auxiliatores.
" Sed certè quidem ego desistam, si tu jubes:

Ver. 362. Ὡς δὲ λέβης.]
——— Magno veluti cum flamma sonore
Virgea suggeritur costis undantis aheni,
Exultantque æstu latices; furit intus aquæ vis,
Fumidus atque altè spumis exuberat amnis:
Nec jam se capit unda; volat vapor ater ad auras. *Æn.* VII, 462.

Quo de loco *Macrobius:* " Græci versus aëni continent mentionem multo igne ebullientis: et totum ipsum locum hæc verba ornant πάντοθεν ἀμβολάδην· nam scaturigines ex omni parte emergentes sic elegantèr expressit. In Latinis versibus tota rei pompa descripta est, sonus flammæ; et pro hoc, quod ille dixerat, πάντοθεν ἀμβολάδην, *exsultant æstu latices*, et amnem fumidum exuberantem spumis atque intus furentem (unius enim verbi non reperiens similem dignitatem, compensavit quod deerat copiæ varietate descriptionis,) adjecit post omnia; *Nec jam se capit unda:* quo expressit quod semper usu evenit " suppositi nimietate caloris." *Lib.* V. *cap.* 11.

Ver. 363. Κνίσση μελδόμενος.] Οἱ μὲν διορθοῦντες, ἠξίουν μετὰ τοῦ ν γράφειν, " Κνίσσην " μελδόμενος," ἀντὶ τοῦ, τήκων, ἀκούοντες· ἵνα ᾖ, τὴν κνίσσαν τήκων· σημαίνει γὰρ κυρίως τὸ μέλδειν, τὸ τὰ μέλη ἔδειν. *Porphyr. Quæst. Homeric.* 10. Similitèr exponit *Scholiastes:* Ἀντὶ τοῦ, τὰ λίπη τήκων.

Ver. 366. ——— προρέειν.] Cod. *Harleian.* προχέειν.

Ver. 368. Πολλὰ λισσόμενος.] Vox πολλὰ, ultimam hîc, etiam extra cæsuram, mihi videtur eâdem de causâ *consultò* producere, ac vox μέγα, in μέγα ἰάχουσα, et similibus. Vide suprà ad δ', 456. *Barnesius* ex conjecturâ edidit, πολλὰ ἑ λισσόμενος. Quam lectionem, " omninò *sensui Versuique* aptiorem" contendit. Sed, ut opinor, minùs rectè.

Ver. 372. 384. —— ἀποπαύσομαι, ——— Παυσάσθην.] Vide suprà ad γ', 141.

Παυέσθω δὲ καὶ οὗτος· ἐγὼ δ' ἐπὶ καὶ τόδ' ὀμοῦμαι,
Μήποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ,
Μηδ' ὁπόταν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται
Καιομένη, καίωσι δ' ἀρήϊοι υἷες 'Αχαιῶν.
Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε θεὰ λευκώλενος Ἥρη,
Αὐτίκ' ἄρ' Ἥφαιστον προσεφώνεεν ὃν φίλον υἱόν·
Ἥφαιστε, σχέο, τέκνον ἀγακλέες· οὐ γὰρ ἔοικεν
'Αθάνατον θεὸν ὧδε βροτῶν ἕνεκα στυφελίζειν.
Ὣς ἔφαθ'· Ἥφαιστος δὲ κατέσβεσε θεσπιδαὲς πῦρ·
Ἄψοῤῥον δ' ἄρα κῦμα κατέσσυτο καλὰ ῥέεθρα.
Αὐτὰρ ἐπεὶ Ξάνθοιο δάμη μένος, οἱ μὲν ἔπειτα
Παυσάσθην· Ἥρη γὰρ ἐρύκακε χωομένη περ.
'Εν δ' ἄλλοισι θεοῖσιν ἔρις πέσε βεβριθυῖα,
'Αργαλέη, δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸς ἄητο·
Σὺ δ' ἔπεσον μεγάλῳ ὁμάδῳ, βράχε δ' εὐρεῖα χθών·
'Αμφὶ δὲ σάλπιγξεν μέγας οὐρανός· ἄϊε δὲ Ζεὺς

" Desistat autem et hic: ego verò insupèr et hoc juro,
" Nunquàm à Trojanis *me* depulsurum-ope-allatâ malum diem;
" Nè quidem cum Troja exitiali igne tota cremabitur
" Incensa, incenderint autem Mavortii filii Achivorum."
Ut verò hoc audierat dea ulnas-candida Juno,
Confestim Vulcanum allocuta est suum dilectum filium:
" Vulcane, abstine, fili inclyte: haud enim par est
" Immortalem Deum ità mortalium gratiâ torquere."
Sic dixit: Vulcanus autem extinxit immanè-ardentem ignem:
Et reflua continuò unda dejecit se in pulchros rivos.
At postquàm Xanthi domita est vis, hi quidem posteà
Quieverunt: Juno enim coërcuit irata licèt.
Caeteris verò diis contentio incubuit gravis,
Importuna; in diversa nempè iis in praecordiis animus ferebatur:
Concurrerunt autem ingenti tumultu, remugiit verò lata tellus;
Circumque clangorem-reddidit magnum coelum; audivit autem Jupiter

Ver. 376. Καιομένη, καίωσι δ'.] Cod. *Harleian.* Δαιομένη, δαίωσι δ'. Ut suprà ύ, 317.

Ver. 378. Αὐτίκ' ἄρ'.] *Statim deinceps; Statim proindè* ———.

Ver. 380. — συφιλίζειν.] *Al.* στυφελίξειν.

Ver. 382. — κατέσσυτο.] *Al.* κατέσχετο.

Ver. 385. — βεβριθυῖα.] Vide suprà ad β', 314.

Ver. 386. — δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸς ἄητο.] Διχῶς δὲ αὐτῶν ὡρμήθη ἡ ψυχὴ, τουτέστι διάφορον ἔσχεν τὴν γνώμην. *Schol.*

Ver. 387. ——— μεγάλῳ ὁμάδῳ, βράχε δ' εὐρεῖα χθών.] Vide suprà ad β', 210. et ad δ', 455.

Ibid. —— ὁμάδῳ.] *Al.* πατάγῳ· Ut suprà *ver.* 9.

Ver. 388. 'Αμφὶ δὲ σάλπιγξεν μέγας οὐρανός· ἄϊε δὲ Ζεὺς.]

It clamor cœlo: ——— *Æn.* V, 451.
Tyrrhenusque tubæ mugire per æthera clangor. *Æn.* VIII, 526.
At tuba terribilem sonitum procul ære canoro
Increpuit: sequitur clamor, cœlumque remugit. *Æn.* IX, 503.
It cœlo clamorque virûm, clangorque tubarum. *Æn.* XI, 192.

Ubi in transcursu notandum, istud, "*It* "*cœlo clamor,*" non esse, "*It clamor ad* "*cœlum;*" vel, "*Clamor tollitur ad cœ-* "*lum,*" uti minùs rectè reddit *Ruæus*; sed, "*It clamor per totum cœlum;*" vel, "*To-* "*tum cœlum clamore resonat.*" Ἔνιαι μεταφοραὶ σμικροπρέπειαν ποιοῦσι μᾶλλον ἢ μέγεθος. ——— οὐρανὸν γὰρ ὅλον ἠχοῦντα, οὐκ ἐχρῆν προσεικάσαι ἠχούσῃ σάλπιγγι. Πλὴν εἰ μή τις ἅμα ἀπολογοῖτο ὑπὲρ τοῦ Ὁμήρου λέγων,

Ἥμενος Οὐλύμπῳ, ἐγέλασσε δέ οἱ φίλον ἦτορ
Γηθοσύνῃ, ὅθ' ὁρᾶτο θεοὺς ἔριδι ξυνιόντας.
Ἔνθ' οἵ γ' οὐκ ἔτι δηρὸν ἀφέστασαν· ἦρχε γὰρ Ἄρης
Ῥινοτόρος, καὶ πρῶτος Ἀθηναίῃ ἐπόρουσε,
Χάλκεον ἔγχος ἔχων· καὶ ὀνείδειον φάτο μῦθον·
Τίπτ' αὖ, ὦ κυνόμυια, θεοὺς ἔριδι ξυνελαύνεις
Θάρσος ἄητον ἔχουσα; μέγας δέ σε θυμὸς ἀνῆκεν·
Ἦ οὐ μέμνῃ, ὅτε Τυδείδην Διομήδε' ἀνῆκας
Οὐτάμεναι; αὐτὴ δὲ πανόψιον ἔγχος ἑλοῦσα,
Ἰθὺς ἐμεῦ ὦσας, διὰ δὲ χρόα καλὸν ἔδαψας·
Τῷ σ' αὖ νῦν ὀΐω ἀποτισέμεν, ὅσσα μ' ἔοργας.
Ὣς εἰπὼν, οὔτησε κατ' αἰγίδα θυσσανόεσσαν,
Σμερδαλέην, ἣν οὐδὲ Διὸς δάμνησι κεραυνός·
Τῇ μιν Ἄρης οὔτησε μιαιφόνος ἔγχεϊ μακρῷ·

Sedens in Olympo; risitque ei suum cor
Laetitiâ, ut vidit deos certamine congredientes.
Tum ii non ampliùs diù seorsùm-stetere: incepit enim Mars
Clypeorum-perforator, et primus in Minervam irruit,
Aeream hastam tenens; et probrosa dixit verba:
" Cur verò jam, ô impudentissima, deos ad certamen committis,
" Audaciâ immensâ praedita? Magnus autem te animus extimulavit
" Annon recordaris, quandò Tydidem Diomedem impulisti,
" Ut *me* percuteret? Ipsaque fulgidâ hastâ sumptâ,
" Rectà-in me adegisti, corpusque pulchrum dilacerâsti:
" Ideò te vicissim nunc puto luituram esse, quaecunque in me fecisti."
Sic fatus, feriit aegidem fimbriatam,
Horrendam, quam ne Jovis quidem domuerit fulmen;
In hâc eam Mars percussit caede-inquinatus hastâ longâ:

ὡσαύτως ἤχησεν ὁ μέγας οὐρανὸς, ὡς ἂν ἠχήσειε σαλπίζων ὅλος οὐρανός. Demetr. Phaler. § 84. *Longinus* autem Ὑπερφυᾶ, inquit, *καὶ τὰ ἐπὶ τῆς θεομαχίας φαντάσματα·*

" Ἀμφὶ δ' ἐσάλπιγξεν μέγας οὐρανὸς οὔλυμπός τε."

Ubi notandum pro vulgato, ἄϊε δὲ Ζεὺς, legisse hîc *Longinum*, aut memoriter citâsse οὔλυμπός τε. Cæterùm hæc de *tonitru* accipit *Popius*; minùs rectè. Quod autem de hoc loco ait *Terrassonus*, id verò planè est ineptum: " Pour moi, je dis, que le ciel " n'ayant ni ne pouvant avoir une bouche, " et n'etant point dans l'ordre des animaux " qui sont doüez de la parole ou de la voix; " nôtre regle condamne ce merveilleux, " comme n'étant point analogique à ce qui se " passe dans la nature." *Dissert. sur l'Iliade, Part* IV. *cap.* 1.

Ibid. —— ἄϊε δὲ Ζεὺς Ἥμενος Οὐλύμπῳ.]

At non haec nullis hominum sator atque Deorum
Observans oculis, summo sedet altus Olympo. *Æn.* XI, 725.

Ver. 391. —— ἀφέστασαν.] Vide suprà ad μ', 55.

Ver. 394. Τίπτ' αὖ.] *Al.* Τίπτ' αὖτ.

Ibid. —— κυνόμυια.] *Impudens et molesta.*

Ver. 396. Ἦ οὐ μέμνῃ.] Pronuntiabatur ἦυ μέμνῃ. Vide suprà ad ύ, 188. et ad ί, 349.

Ver. 397. Οὐτάμεναι.] Vide suprà ad *ver.* 68.

Ibid. —— πανόψιον.] Ἐν τῇ πάντων ὄψει ὁρώμενον. *Schol.* Ἀντίμαχος δὲ, ὑπονόσφιον γράφει. *Eustath.*

Ver. 399. —— ἀποτισέμεν.] Vide suprà ad ί, 508.

Ver. 400 et 402. —— οὔτησε.] Vide suprà ad δ', 469.

Ver. 400. —— αἰγίδα.] *Eustathius* videtur legisse ἀσπίδα.

Ibid. —— θυσσανόεσσαν.] Rectè cum duplici σ. Vide suprà ad ρ', 593.

Ἡ δ' ἀναχασσαμένη λίθον εἵλετο χειρὶ παχείῃ,
Κείμενον ἐν πεδίῳ, μέλανα, τρηχύν τε, μέγαν τε,
Τόν ῥ' ἄνδρες πρότεροι θέσαν ἔμμεναι οὖρον ἀρούρης·
Τῷ βάλε θοῦρον Ἄρηα κατ' αὐχένα, λῦσε δὲ γυῖα·
Ἑπτὰ δ' ἐπέσχε πέλεθρα πεσὼν, ἐκόνισσε δὲ χαίτας·
Τεύχεά τ' ἀμφαράβησε· γέλασσε δὲ Παλλὰς Ἀθήνη,
Καί οἱ ἐπευχομένη ἔπεα πτερόεντα προσηύδα·
Νηπύτι', οὐδέ νύ πώ περ ἐπεφράσω, ὅσσον ἀρείων
Εὔχομ' ἐγὼν ἔμεναι, ὅτι μοι μένος ἀντιφερίζεις;
Οὕτω κεν τῆς μητρὸς ἐριννύας ἐξαποτίνοις,
Ἥ τοι χωομένη κακὰ μήδεται, οὕνεκ' Ἀχαιοὺς
Κάλλιπες, αὐτὰρ Τρωσὶν ὑπερφιάλοισιν ἀμύνεις.
Ὣς ἄρα φωνήσασα, πάλιν τράπεν ὄσσε φαεινώ·
Τὸν δ' ἄγε χειρὸς ἑλοῦσα Διὸς θυγάτηρ Ἀφροδίτη,
Πυκνὰ μάλα στενάχοντα· μόγις δ' ἐσαγείρατο θυμόν.

Illa verò retrò-cedens saxum prehendit manu robustâ,
Jacens in campo, nigrum, asperumque, magnumque,
Quod homines prisci posuerant, ut-esset terminus arvi;
Hoc percussit impetuosum Martem ad cervicem, solvitque membra:
Septem autem *is* occupavit jugera stratus, foedavitque pulvere crines;
Armaque circùm-sonitum-dedere: Risit verò Pallas Minerva,
Et super eum glorians verbis alatis allocuta est:
" Stulte, nè adhuc quidem sensisti, quantò fortior
" Glorior ego esse, quòd mihi vires opponis?
" Sic sanè tuae matris furias luas,
" Quae tibi irata mala machinatur; quòd Achivos
" Deseruisti, ac Trojanis foedifragis auxiliaris."
Sic quidem locuta, avertit oculos lucidos:
Hunc verò abduxit manu prehensum Jovis filia Venus,
Crebrò admodùm suspirantem: aegrè autem *is* collegit animum.

Ver. 403. —— λίθον εἵλετο χειρὶ.]
Saxum antiquum, ingens, campo quod fortè jacebat
Limes agro positus, litem ut discerneret arvis.
Vix illud lecti bis sex cervice subirent,
Qualia nunc hominum producit corpora tellus.
Ille manu raptum trepidâ torquebat in hostem
Altior insurgens. —— *Æn.* XII, 897.

Quo in loco *Virgilium Homero* superiorem existimat *Scaliger:* "Plus (inquit) ad rem "facit *antiquum*, quàm *nigrum*, declarat "enim magnitudinem; et verosimilius est, "non esse asperum, si pro termino positum "fuerat." Ipse tamen paulò post: "Etiam illud (inquit) notare possumus, *Saxum antiquum* aptè designare verba illa; "ἄνδρες πρότεροι." *Poëtic. lib.* V. *cap.* 3.

Ver. 404. —— τρηχύν.] Vide suprà ad β', 533.

Ver. 405. Τόν ῥ'.] *Quòd scilicèt* ——.

Ibid. et *ver.* 465. —— ἀρούρης.] Vide suprà ad ζ', 142.

Ver. 408. —— ἀμφαράβησε.] Vide suprà ad δ', 455.

Ver. 410. —— ἐπεφράσω.] Vide suprà ad ά, 140.

Ver. 411. —— ἀντιφερίζεις.] *Al.* ἰσοφαρίζεις.

Ver. 412. —— ἐξαποτίνοις.] Vide suprà ad β', 43.

Ver. 414. —— ἀμύνεις.] Cod. *Harleian.* ἀρήγεις.

Ver. 415. —— τράπεν.] Cod. *Harleian.* τρέπεν.

Ver. 416. —— Διὸς θυγάτηρ Ἀφροδίτη.] Cod. *Harleian.* φιλομμειδὴς Ἀφροδίτη.

Τὴν δ' ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη,
Αὐτίκ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
Ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη,
Καὶ δ' αὖθ' ἡ κυνόμυια ἄγει βροτολοιγὸν Ἄρηα
Δηΐου ἐκ πολέμοιο κατὰ κλόνον· ἀλλὰ μέτελθε.
Ὣς φάτ'· Ἀθηναίη δὲ μετέσσυτο, χαῖρε δὲ θυμῷ·
Καί ῥ' ἐπιεισαμένη, πρὸς στήθεα χειρὶ παχείῃ
Ἤλασε, τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
Τὼ μὲν ἄρ' ἄμφω κεῖντο ποτὶ χθονὶ πουλυβοτείρῃ·
Ἡ δ' ἄρ' ἐπευχομένη ἔπεα πτερόεντ' ἀγόρευε·
Τοιοῦτοι νῦν πάντες, ὅσοι Τρώεσσιν ἀγωγοὶ,
Εἶεν, ὅτ' Ἀργείοισι μαχοίατο θωρηκτῆσιν,
Ὧδέ τε θαρσαλέοι καὶ τλήμονες, ὡς Ἀφροδίτη
Ἦλθεν Ἄρει ἐπίκουρος, ἐμῷ μένει ἀντιόωσα·
Τῷ κεν δὴ πάλαι ἄμμες ἐπαυσάμεθα πτολέμοιο,
Ἰλίου ἐκπέρσαντες ἐϋκτίμενον πτολίεθρον.
Ὣς φάτο· μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη.

Hanc verò ut advertit dea ulnas-candida Juno,
Statim Minervam verbis alatis allocuta est:
" Proh mirum, Aegiochi Jovis filia indomita,
" En rursùs illa impudentissima abducit hominum-perniciem Martem
" Ardenti è proelio per tumultum: at insequere."
Sic dixit: Minerva autem concito-gradu-persequebatur, gaudebatque animo;
Et impetu in eam facto, ad pectora manu robustâ
Percussit: ejus autem ibidem soluta sunt genua et charum cor.
Illi itaque ambo jacebant in terrâ almâ:
Illa verò super *eos* glorians verba alata dixit:
" Tales nunc omnes, quotquot Trojanis auxiliatores
" Sint, quandò cum Argivis pugnant armatis,
" Et aequè audaces et tolerantes, ac Venus
" Venit Marti auxiliatrix, meo robori occurrens:
" Tum prorsùs jam olim nos destitissemus pugnâ,
" Ilii eversâ benè-aedificatâ urbe."
Sic dixit: Subrisit autem dea ulnas-candida Juno.

Ver. 418. 434. et 512. ——— λευκώλενος Ἥρη.] Vide suprà ad ά, 572. et ad ό, 92.

Ver. 420. —— αἰγιόχοιο Διὸς.] Vide suprà ad ά, 202.

Ibid. — ἀτρυτώνη.] Vide suprà ad β', 157.

Ver. 421. —— κυνόμυια.] Vide suprà ad *ver.* 394.

Ver. 424. 432. —— ἐπιεισαμένη, — ἐπαυσάμεθα.] Vide suprà ad ν', 90. et ad γ', 141.

Ver. 425. —— λύτο.] Vide suprà ad *ver.* 114.

Ver. 426. —— ποτὶ.] *Al.* ἐπί.

Ver. 429. — θωρηκτῆσιν.] Ita ex uno MS. edidit *Barnesius.* Ut sit videlicèt ex θωρηκτής· quam vocem (uti ipse annotat) usurpat Poëta suprà μ', 317. ό, 689. 739. itemque *ver.* 277. hujus libri. *Al.* θωρηκτοῖσιν· scilicèt ex θωρηκτός· quæ vox alibi apud *Homerum* non reperitur.

Ver. 431. ——Ἄρει ἐπίκουρος.] Cod. *Harleian.* Ἄρηϊ ἐπίκουρος. Quæ si vera sit lectio, pronuntiandum erit, Ἄρη' ἐπίκουρος.

Ver. 432. 442. 450. —— κεν δὴ —— ὅσα δὴ — Ἀλλ' ὅτε δὴ.] Vide suprà ad ξ', 433. 504. et ad β', 158.

Ver. 434. Ὣς φάτο.] Deest hic versus in Codice *Harleiano.*

Αὐτὰρ Ἀπόλλωνα προσέφη κρείων Ἐνοσίχθων·
Φοῖβε, τίη δὴ νῶϊ διέσταμεν; οὐδὲ ἔοικεν,
Ἀρξάντων ἑτέρων· τὸ μὲν αἴσχιον, αἴκ' ἀμαχητὶ
Ἴομεν Οὔλυμπόνδε, Διὸς προτὶ χαλκοβατὲς δῶ.
Ἄρχε· σὺ γὰρ γενεῆφι νεώτερος· οὐ γὰρ ἔμοιγε
Καλὸν, ἐπεὶ πρότερος γενόμην, καὶ πλείονα οἶδα·
Νηπύτι', ὡς ἄνοον κραδίην ἔχες· οὐδέ νυ τῶν περ
Μέμνηαι, ὅσα δὴ πάθομεν κακὰ Ἴλιον ἀμφὶ,
Μοῦνοι νῶϊ θεῶν, ὅτ' ἀγήνορι Λαομέδοντι
Πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτὸν,
Μισθῷ ἐπὶ ῥητῷ, ὁ δὲ σημαίνων ἐπέτελλεν;
Ἤτοι ἐγὼ Τρώεσσι πόλιν καὶ τεῖχος ἔδειμα
Εὐρύ τε καὶ μάλα καλὸν, ἵν' ἄῤῥηκτος πόλις εἴη·
Φοῖβε, σὺ δ' εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες
Ἴδης ἐν κνημοῖσι πολυπτύχου ὑλήεσσης.

At Apollinem allocutus est rex Terrae-quassator:
" Phoebe, cur jam nos seorsùm-stamus? Neque enim par est,
" Cùm coeperint alii: Hoc quidem turpe, si sine-pugnâ
" Redierimus in Olympum, Jovis ad aere-fundatam domum.
" Incipe; tu enim natu junior: Non enim mihi quidem
" Honestum, quippe qui prior natus sum, et plura cognovi.
" Stulte, cùm ita mente-cassum cor habes: neque prorsùs eorum saltem
" Recordaris, quot jam passi sumus mala Ilium circa,
" Soli nos deorum, cùm superbo Laomedonti
" A Jove profecti operam-locavimus in annum,
" Mercede condictâ; is autem praecipiens mandata dabat?
" Ego quidem Trojanis urbem et muros aedificavi
" Latosque et admodùm pulchros, ut inexpugnabilis urbs esset:
" Phoebe, tu verò flexipedes camuros boves pascebas
" Idae in saltibus multas-convalles-habentis sylvosae.

Ver. 438 et 505. ——— χαλκοβατὲς δῶ.] Vide suprà ad ά, 426.

Ver. 439. —— γενεῆφι.] Vide suprà ad ν', 588.

Ver. 440 et 447. Καλὸν.] Vide suprà ad β', 43.

Ver. 445. ——— ἐπὶ ῥητῷ.] Quâ ratione, ἐπὶ, hîc ultimam producat; item, εἰλίποδας, *ver.* 448. et ἐνὶ, *ver.* 475; vide suprà ad ά, 51. *Al.* ἐπί ῥ' ῥητῷ.

Ver. 446. Ἤτοι ἐγὼ Τρώεσσι πόλιν καὶ τεῖχος ἔδειμα.

Structa meis manibus perjuræ mœnia Trojæ. *Æn.* V, 811.

Ibid. —— πόλιν καὶ τεῖχος.] Cod. *Harleian.* πόλιν περὶ τεῖχος.

Ver. 448. Φοῖβε, σὺ δ' εἰλίποδας.] " Sol " pascit omnia, quæ terra progenerat: Un- " de non unius generis, sed omnium peco- " rum Pastor canitur. Ut apud Homerum " Neptuno dicente:

" Φοῖβε, σὺ δ' εἰλίποδας ἕλικας βοῦς βουκολεεσ-
" κες." *Macrob. Lib.* I. *cap.* 17.

Ibid. —— ἕλικας βοῦς.] Ἕλικας δὲ τὰς βοῦς φησιν ἐπιθετικῶς, ἤτοι ἀπὸ τῆς κινήσεως τῶν ποδῶν, καθ' ὃ εἰλίποδες λέγονται· ἢ τοὺς ἑλικοειδῆ τὰ κέρατα ἔχοντας, ὅ ἐστιν ἐπικαμπῆ. *Schol.* At si vera esset prior interpretatio, tum præcedens εἰλίποδας omninò esset supervacaneum. Vide suprà ad ί, 462.

Ibid. ——— βουκολέεσκες.] *Pascere solebas.* Vide suprà ad *ver.* 31. et ad ν', 84.

Ver. 449. —— κνημοῖσι.] Ταῖς προβάσεσι τῶν ὀρῶν. *Schol.*

Ibid. —— πολυπτύχου.] Πολλὰς ἐξοχὰς καὶ ἀποκλίσεις ἔχοντος. *Schol.*

Ibid. —— ὑλήεσσης.] *Nemorosæ.* *Æn.* III, 270. Vide suprà ad γ', 151.

Ἀλλ' ὅτε δὴ μισθοῖο τέλος πολυγηθέες Ὧραι
Ἐξέφερον, τότε νῶϊ βιήσατο μισθὸν ἅπαντα
Λαομέδων ἔκπαγλος, ἀπειλήσας δ' ἀπέπεμπε.
Σοὶ μὲν ὅγ' ἠπείλησε πόδας καὶ χεῖρας ὕπερθε
Δήσειν, καὶ περάαν νήσων ἔπι τηλεδαπάων·
Στεῦτο δ' ὅγ' ἀμφοτέρων ἀποκοψέμεν οὔατα χαλκῷ.
Νῶϊ δέ τ' ἄψοῤῥοι κίομεν, κεκοτηότι θυμῷ,
Μισθοῦ χωόμενοι, τὸν ὑποστὰς οὐκ ἐτέλεσσε.
Τοῦ δὴ νῦν λαοῖσι φέρεις χάριν; οὐδὲ μεθ' ἡμέων
Πειρᾷ, ὥς κεν Τρῶες ὑπερφίαλοι ἀπόλωνται
Πρόχνυ κακῶς, σὺν παισὶ καὶ αἰδοίῃς ἀλόχοισι;
 Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·
Ἐννοσίγαι', οὐκ ἄν με σαόφρονα μυθήσαιο
Ἔμμεναι, εἰ δὴ σοί γε, βροτῶν ἕνεκα, πτολεμίζω,
Δειλῶν, οἳ φύλλοισιν ἐοικότες, ἄλλοτε μέν τε
Ζαφλεγέες τελέθουσιν, ἀρούρης καρπὸν ἔδοντες,

" Sed cùm jam mercedis terminum gratissimae Horae
" Attulerunt, tunc nos vi-fraudavit mercede totâ
" Laomedon violentus, minatusque dimisit.
" Tibi quidem is minabatur pedes et manus desuper *se*
" Ligaturum, et venditurum insulas in longinquas;
" Affirmabatque idem utriusque *se* abscissurum aures aere.
" Nos verò continuò revertebamur, irato animo,
" Ob mercedem indignantes, quam pollicitus non persolvit.
" Propter hoc jam nunc populis gratificaris? Neque nobiscum
" Tentas, ut Trojani foedifragi pereant
" Funditùs malè, cum filiis et pudicis uxoribus?"
Illum verò vicissim allocutus est rex longè-jaculans Apollo:
" Neptune, haudquaquàm me prudentem dixeris
" Esse, si jam tecum, mortalium gratiâ, dimicem,
" Miserorum, qui foliis similes, interdum quidem
" Admodùm-vegeti sunt, terrae fructu vescentes,

Ver. 450. — πολυγηθέες Ὧραι.] Πολλὴν χαρὰν τοῖς ἀνθρώποις τῇ αὐτῶν ἐπελεύσει ἐμποιοῦσαι. *Schol.* Cæterùm alii, notante *Eustathio*, hîc scribunt πολυγηθέος· ut ad μισθοῖο referatur.

Ver. 453. Σοὶ.] Cod. *Harleian.* Σύν.

Ver. 455. —— ἀποκοψέμεν.] Nonnulli, notante *Eustathio*, quibuscum facit et *Scholiastes*, hîc legunt ἀπολεψέμεν. Ut suprà ά, 236. ——— περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε. ——— *Al.* ἀποκόψειν.

Ver. 459. Πειρᾷ.] Cod. *Harleian.* Πειρᾷς.

Ver. 461—472—478.—ἑκάεργος—Ἑκάεργε; —— ἑκάεργος.] Vide suprà ad ά, 43 et 58.

Ver. 463. ——— βροτῶν ἕνεκα, πτολεμίζω.] *Plutarchus, de Consolat. ad Apollonium,* locum hunc hoc modo citat:

——— βροτῶν δ' ἕνεκα πτολεμίζειν
Δειλῶν, οἳ φύλλοισιν ἐοικότες, ἄλλοτε μέντοι
Ζαφλεγέες τελέθουσιν, ἀρούρης καρπὸν ἔδοντες,
Ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι, οὐδέ τις ἀλκή.

Ibid. —— πτολεμίζω.] *Al.* πτολεμίξω.

Ver. 464. —— φύλλοισιν ἐοικότες, — ἄλλοτε —— τελέθουσιν ——Ἄλλοτε δ' αὖ φθινύθουσιν.] Vide suprà ad ζ', 146.

Ver. 465. Ζαφλεγέες.] Μεγάλως ἔνθερμοι, ἐνεργεῖς. *Schol.*

Ἄλλοτε δ' αὖ φθινύθουσιν ἀκήριοι· ἀλλὰ τάχιστα
Παυσώμεσθα μάχης· οἱ δ', αὐτοὶ δηριαάσθων.
Ὣς ἄρα φωνήσας πάλιν ἐτράπετ'· αἴδετο γάρ ῥα
Πατροκασιγνήτοιο μιγήμεναι ἐν παλάμῃσι.
Τὸν δὲ κασιγνήτη μάλα νείκεσε, πότνια θηρῶν
Ἄρτεμις ἀγροτέρη, καὶ ὀνείδειον φάτο μῦθον·
Φεύγεις δὴ, Ἑκάεργε; Ποσειδάωνι δὲ νίκην
Πᾶσαν ἐπέτρεψας; μέλεον δέ οἱ εὖχος ἔδωκας;
Νηπύτιε, τί νυ τόξον ἔχεις ἀνεμώλιον αὔτως;
Μή σευ νῦν ἔτι πατρὸς ἐνὶ μεγάροισιν ἀκούσω
Εὐχομένου, ὡς τὸ πρὶν ἐν ἀθανάτοισι θεοῖσιν,
Ἄντα Ποσειδάωνος ἐναντίβιον πολεμίζειν.
Ὣς φάτο· τὴν δ' οὔτι προσέφη ἑκάεργος Ἀπόλλων·
Ἀλλὰ χολωσαμένη Διὸς αἰδοίη παράκοιτις,
Νείκεσεν Ἰοχέαιραν ὀνειδείοις ἐπέεσσι·
Πῶς δὲ σὺ νῦν μέμονας, κύον ἀδδεὲς, ἀντί' ἐμεῖο
Στήσασθαι; χαλεπή τοι ἐγὼ μένος ἀντιφέρεσθαι,
Τοξοφόρῳ περ ἐούσῃ· ἐπεί σε λέοντα γυναιξὶ

" Interdum verò contrà pereunt exanimes: Sed citissimè
" Desistamus à pugnâ; illi verò, ipsi proelientur."
Sic utique locutus retrò se vertit; verebatur enim
Cum patruo conserere manus.
Hunc autem soror vehementèr objurgavit, domina ferarum
Diana agrestis, et probrosa dixit verba:
" Fugis jam, Longè-jaculans? Neptunoque victoriam
" Totam concessisti? impuneque ei gloriam dedisti?
" Stulte, cur omninò arcum gestas inutilem frustrà?
" Non te nunc ampliùs patris in aedibus audiam
" Gloriantem, sicut anteà inter immortales deos,
" Contra Neptunum adversis-viribus *te* pugnaturum."
Sic dixit: Eam verò neutiquàm allocutus est longè-jaculans Apollo:
Sed irata Jovis veneranda uxor,
Increpuit Sagittis-gaudentem contumeliosis verbis:
" Quomodò verò tu nunc sustines, canis audax, contra me
" Stare? Difficilis tibi ego, cui vîres opponas,
" Sagittifera licèt sis: te nempè leonem inter mulieres

Ver. 466. —— φθινύθουσιν.] De hujus vocis prosodiâ, vide suprà ad β', 43.

Ver. 467. Παυσώμεσθαι.] *Al.* Παυώμεσθα.

Ver. 468. —— πάλιν ἐτράπετ'.] *Retrò se convertit.* Vide suprà ad *ver.* 241. et ad π', 594.

Ver. 473. —— μέλεον.] Vide suprà ad π', 336.

Ver. 474. Νηπύτιε.] *Barnesius* ex conjecturâ edidit Νηπύτιος. "Et sæpè alias," inquit, "*Nominativus* pro *Vocativo* ponitur." Quod ferri non potest. Vide suprà ad ά, 175. Prætereà mutato hîc nihil opus. Vide ad ά, 51.

Ver. 476. 500. et 513. —— ἀθανάτοισι.] Similitérque infrà *ver.* 504. θυγατέρος· et *ver.* 561. ἀπονεοίμην. Vide suprà ad ά, 398.

Ver. 480. Νείκεσεν.] Deest hic versus in Codice *Harleiano.*

Ibid. — ὀνειδείοις.] Vide suprà ad π', 628.

Ver. 481. — μέμονας.] Vide suprà ad ί, 481 et 736.

Ver. 482. Στήσασθαι.] *Al.* Στήσεσθαι.

Ibid. — ἀντιφέρεσθαι.] *Al.* ἀντιφερίζειν.

Ζεὺς θῆκεν, καὶ ἔδωκε κατακτάμεν᾽ ἥν κ᾽ ἐθέλησθα.
Ἦτοι βέλτερόν ἐστι κατ᾽ οὔρεα θῆρας ἐναίρειν,
Ἀγροτέρας τ᾽ ἐλάφους, ἢ κρείσσοσιν ἶφι μάχεσθαι.
Εἰ δ᾽ ἐθέλεις πολέμοιο δαήμεναι· ὄφρ᾽ εὖ εἰδῇς,
Ὅσσον φερτέρη εἴμ᾽, ὅτι μοι μένος ἀντιφερίζεις.
  Ἦ ῥα, καὶ ἀμφοτέρας ἐπὶ καρπῷ χεῖρας ἔμαρπτε
Σκαιῇ, δεξιτερῇ δ᾽ ἄρ᾽ ἀπ᾽ ὤμων αἴνυτο τόξα·
Αὐτοῖσιν δ᾽ ἄρ᾽ ἔθεινε παρ᾽ οὔατα μειδιόωσα
Ἐντροπαλιζομένην· ταχέες δ᾽ ἔκπιπτον ὀϊστοί·
Δακρυόεσσα δ᾽ ἔπειτα θεὰ φύγεν, ὥστε πέλεια,
Ἥ ῥά θ᾽ ὑπ᾽ ἴρηκος κοίλην εἰσέπτατο πέτρην,
Χηραμόν· οὐδ᾽ ἄρα τῇ γε ἁλώμεναι αἴσιμον ἦεν·
Ὣς ἡ δακρυόεσσα φύγεν, λίπε δ᾽ αὐτόθι τόξα.
Λητῶ δὲ προσέειπε διάκτορος Ἀργειφόντης·
  Λητοῖ, ἐγὼ δέ τοι οὔτι μαχήσομαι· ἀργαλέον δὲ
Πληκτίζεσθ᾽ ἀλόχοισι Διὸς νεφεληγερέταο·
Ἀλλὰ μάλα πρόφρασσα μετ᾽ ἀθανάτοισι θεοῖσιν

"Jupiter constituit, et dedit interficere quamcunque velis.
"Certè satius est per montes feras interficere,
"Agrestesque cervas, quàm cum potentioribus vi pugnare.
"Sed si vis pugnae periculum-facere, *fac*; ut benè scias,
"Quanto fortior sim, quandoquidem mihi vires opponas."
Dixit, et ambas ad carpum manus prehendit
Sinistrâ; dextrâ autem ab humeris detraxit pharetram:
Ipsâque verberabat *eam* ad aures subridens
Huc illuc se versantem; veloces autem excidebant sagittae:
Lachrymabunda verò deindè dea fugit, veluti columba,
Quae nempè metu accipitris cavam volat in petram,
In latebram; (neque enim illi capi fatale erat:)
Sic illa lacrymabunda fugit, reliquitque illic pharetram.
Latonam autem allocutus est internuncius Argicîda:
"Latona, ego verò tecum haudquaquàm pugnabo; arduum enim
"Confligere cum uxoribus Jovis nubes-cogentis:
"Sed promptissima inter immortales deos

Ver. 484.—ἥν κ᾽ ἐθέλησθα.] Cod. *Harleian.* ἥν κ᾽ ἐθέλησθα.

Ver. 487. Εἰ δ᾽ ἐθέλεις πολέμοιο δαήμεναι—.] Στικτέον εἰς τὸ δαήμεναι· ἔστι γὰρ ἀντὶ τοῦ δάηθι. *Schol.* MSS. apud *Barnesium.* Elegantiùs tamen, ut opinor, reticeri hîc intelligitur sententiæ Apodosis: Ἵνα λέγῃ ἡ Ἥρα, ὡς εἴπερ ἐθέλεις γνῶναι, ἰδοὺ πάσχε. *Eustath.* Vide suprà ad ά, 135. 137. et 340.

Ver. 490—502. —— αἴνυτο —— συναίνυτο.] Vide suprà ad γ', 260.

Ver. 491.—ἔθεινε.] Vide suprà ad ν', 84.

Ver. 492. Ἐντροπαλιζομένην.] *Al.* Ἐντροπαλιζομένη.

Ver. 493. ——— ὥστε πέλεια, Ἥ ῥά θ᾽ ὑπ᾽ ἴρηκος.

Quam facilè accipiter saxo sacer ales ab alto
Consequitur pennis sublimem in nube columbam.

Æn. XI, 721.

Ver. 494. Ἥ ῥά θ᾽.] *Quæ scilicèt* ———.

Ibid. —— ὑπ᾽ ἴρηκος.] Vide suprà ad σ', 615.

Ver. 497. —— Λητῶ.] Ita *Barnesius.* *Al.* Λητώ.

Ver. 498. —— μαχήσομαι.] Cod. *Harleian.* μαχέσσομαι.

Εὔχεσθαι ἐμὲ νικῆσαι κρατερῆφι βίηφιν.
Ὣς ἄρ᾽ ἔφη· Λητὼ δὲ συναίνυτο καμπύλα τόξα,
Πεπτεότ᾽ ἄλλυδις ἄλλα μετὰ στροφάλιγγι κονίης·
Ἡ μὲν τόξα λαβοῦσα πάλιν κίε θυγατέρος ἧς·
Ἡ δ᾽ ἄρ᾽ Ὄλυμπον ἵκανε, Διὸς ποτὶ χαλκοβατὲς δῶ·
Δακρυόεσσα δὲ πατρὸς ἐφέζετο γούνασι κούρη,
Ἀμφὶ δ᾽ ἄρ᾽ ἀμβρόσιος ἑανὸς τρέμε· τὴν δὲ προτὶ οἷ
Εἷλε πατὴρ Κρονίδης, καὶ ἀνήρετο, ἡδὺ γελάσσας·
Τίς νύ σε τοιάδ᾽ ἔρεξε, φίλον τέκος, οὐρανιώνων
Μαψιδίως, ὡσεί τι κακὸν ῥέζουσαν ἐνωπῇ;
Τὸν δ᾽ αὖτε προσέειπεν ἐϋστέφανος Κελαδεινή·
Σή μ᾽ ἄλοχος στυφέλιξε, πάτερ, λευκώλενος Ἥρη,
Ἐξ ἧς ἀθανάτοισιν ἔρις καὶ νεῖκος ἐφῆπται.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Αὐτὰρ Ἀπόλλων Φοῖβος ἐδύσετο Ἴλιον ἱρήν·
Μέμβλετο γάρ οἱ τεῖχος ἐϋδμήτοιο πόληος,

" Gloriator *te* me vicisse asperâ vi."
Sic utique dixit: Latona verò collegit incurvos arcus et sagittas,
Quae ceciderant aliò aliae in vertigine pulveris:
Haec quidem sagittandi-instrumentis sumptis secuta est filiam suam:
Illa verò ad Olympum pervenerat, Jovis ad aere-fundatam domum;
Lacrymabunda autem patris insedit genibus filia,
Circumque divinum peplum tremebat: hanc verò ad se
Recepit pater Saturnius, et interrogavit, suavitèr ridens:
" Quisnam tibi talia fecit, chara filia, coelestium
" Temerè, ac si quid flagitii patrâsses palàm?"
Illum verò vicissim allocuta est pulchrè-coronata Tumultuum-venaticorum-amans:
" Tua me conjux malè-excepit, pater, ulnas-candida Juno,
" A quâ immortalibus contentio et lis impendet.
Sic hi quidem talia inter se loquebantur.
At Apollo Phœbus subiit Ilium sacram:
Curae-erant enim ei murus benè-aedificatae urbis,

Ver. 501. — *κρατερῆφι βίηφιν.*] Vide suprà ad *ν'*, 588.

Ver. 503. Πεπτεότ᾽.] Vox hæc *singularis* est; nec, ut opinor, ullâ ex analogiâ defendi potest. Vide suprà ad *ά*, 265. ad *β'*, 818. et ad *ν'*, 46. Codex *Harleianus* habet Πεπτεῶτ᾽· quam et veram esse crediderim lectionem, propter similia *τεθνεῶτ᾽*, *μεμαῶτ᾽*, &c. Pronuntiabatur autem Πεπτῶτ᾽.

Ver. 504. ——— *θυγατέρος ἧς.*] Quâ ratione, *θυγατέρος*, hîc ultimam producat; item *ἀμβρόσιος* et *προτὶ*, *ver.* 507. et *γάρ*, *ver.* 516. et δὲ, *ver.* 519. vide suprà ad *ά*, 51.

Ver. 507. —— *ἄρ᾽.*] *Ut fit* ——.

Ibid. —— ἑανὸς.] Vide suprà ad *σ'*, 352. et ad *γ'*, 385.

Ver. 508. ——— *ἀνήρετο.*] *Al.* *ἀνείρετο.* Atque ita legit Codex *Harleianus.*

Ver. 509. — *τοιάδ᾽.*] Vide suprà ad *ύ*, 357.

Ver. 510. Μαψιδίως.] Deest hic versus in codice *Harleiano.*

Ver. 511. — Κελαδεινή.] Παρὰ τὸν γενόμενον ἐν τοῖς Κυνηγετικοῖς κέλαδον, ἤγουν θόρυβον· *Schol.* MSS. apud *Barnesium.*

Ver. 513. —— ἐφῆπται.] *Al.* ἐφῆπτο. Utrumque hoc quidem in loco ferri possit. *Al.* *ὑφῆπται.*

Ver. 515. —— ἐδύσετο.] Vide suprà ad *β'* 35. et ad *ί*, 109.

Μὴ Δαναοὶ πέρσειαν ὑπὲρ μόρον ἤματι κείνῳ·
Οἱ δ' ἄλλοι πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες,
Οἱ μὲν, χωόμενοι, οἱ δὲ, μέγα κυδιόωντες·
Κὰδ δ' ἶζον παρὰ πατρὶ κελαινεφεῖ· αὐτὰρ Ἀχιλλεὺς
Τρῶας ὁμῶς αὐτούς τ' ὄλεκεν καὶ μώνυχας ἵππους.
Ὡς δ' ὅτε καπνὸς ἰὼν εἰς οὐρανὸν εὐρὺν ἱκάνει
Ἄστεος αἰθομένοιο, θεῶν δέ ἑ μῆνις ἀνῆκε·
Πᾶσι δ' ἔθηκε πόνον, πολλοῖσι δὲ κήδε' ἐφῆκεν·
Ὣς Ἀχιλεὺς Τρώεσσι πόνον καὶ κήδε' ἔθηκεν.
Εἱστήκει δ' ὁ γέρων Πρίαμος θείου ἐπὶ πύργου,
Ἐς δ' ἐνόησ' Ἀχιλῆα πελώριον· αὐτὰρ ὑπ' αὐτοῦ
Τρῶες ἄφαρ κλονέοντο πεφυζότες, οὐδέ τις ἀλκὴ
Γίνεθ'· ὁ δ' οἰμώξας ἀπὸ πύργου βαῖνε χαμᾶζε,
Ὀτρυνέων παρὰ τεῖχος ἀγακλειτοὺς πυλαωρούς·
Πεπταμένας ἐν χερσὶ πύλας ἔχετ', εἰσόκε λαοὶ
Ἔλθωσι προτὶ ἄστυ πεφυζότες· ἦ γὰρ Ἀχιλλεὺς
Ἐγγὺς ὅδε κλονέων· νῦν οἴω λοίγι' ἔσεσθαι.
Αὐτὰρ ἐπεί κ' ἐς τεῖχος ἀναπνεύσωσιν ἀλέντες,
Αὖτις ἐπ' ἂψ θέμεναι σανίδας πυκινῶς ἀραρυίας·

Ne Danaï everterent praeter fatum die illo:
At caeteri ad Olympum rediêre dii sempiterni,
Alii quidem, irati, alii verò, admodùm gloriâ-exultantes;
Assederuntque patri atras-nubes-cogenti: At Achilles
Trojanos simul ipsosque perdebat et solidos-ungulis equos.
Ut verò cùm fumus ascendens ad coelum latum pervenit
Urbe ardente, Deorum nempè eum ira excitat;
Omnibus autem affert laborem, multisque mala immittit;
Sic Achilles Trojanis laborem et mala attulit.
Stabat autem senex Priamus sacrâ in turri,
Animadvertitque Achillem ingentem: At sub illo
Trojani facilè turbabantur trepidâ-fugâ, neque ulla vis
Erat: ille autem ejulatu edito à turri descendit in-terram,
Mandata-daturus ad murum inclytis portarum-custodibus:
" Apertas in manibus portas tenete, usque dum copiae
" Venerint ad urbem trepidâ-fugâ: Certè enim Achilles
" Propè iste perturbans; nunc existimo exitialia futura.
" Sed postquàm intra murum respiraverint conclusae,
" Rursùs obserate tabulas peritè-aptatas:

Ver. 517. —— ὑπὲρ μόρον.] Vide suprà ad ύ, 336.

Ver. 520. —— παρὰ πατρὶ.] *Al.* πὰρ Ζηνί.

Ver. 525. —— πόνον.] Cod. *Harleian.* φόνον.

Ver. 526. 549. Εἱστήκει —— κεκάλυπτο.] Vide suprà ad δ', 434. 492. et ad ά, 37.

Ibid. —— θείου ἐπὶ πύργου.]

Turrim in præcipiti stantem, summisque sub astra
Eductam tectis, unde omnis Troja videri,
Et Danaûm solitæ naves, et Achaïca castra.
Æn. II, 460.

Ver. 529. Γίνεθ'.] *Al.* Γίγνεθ'. Quod perinde est. Nam γίνομαι primam producit.

Ibid. —— βαῖνε.] Vide supra ad θ', 87. et ad ν', 84.

Ver. 530. Ὀτρυνέων.] Vide suprà ad ά, 309.

Δείδια γὰρ, μὴ οὖλος ἀνὴρ ἐς τεῖχος ἅληται.
"Ως ἔφαθ'· οἱ δ' ἄνεσάν τε πύλας, καὶ ἀπῶσαν ὀχῆας·
Αἱ δὲ πετασθεῖσαι τεῦξαν φάος· αὐτὰρ 'Απόλλων
'Αντίος ἐξέθορε, Τρώων ἵνα λοιγὸν ἀλάλκοι.
Οἱ δ' ἰθὺς πόλιος καὶ τείχεος ὑψηλοῖο,
Δίψῃ καρχαλέοι, κεκονιμένοι, ἐκ πεδίοιο
Φεῦγον· ὁ δὲ σφεδανὸν ἔφεπ' ἔγχεϊ· λύσσα δέ οἱ κῆρ
Αἰὲν ἔχε κρατερὴ, μενέαινε δὲ κῦδος ἀρέσθαι.
"Ενθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες 'Αχαιῶν,
Εἰ μὴ 'Απόλλων Φοῖβος 'Αγήνορα δῖον ἀνῆκε,
Φῶτ', 'Αντήνορος υἱὸν, ἀμύμονά τε, κρατερόν τε.
'Εν μέν οἱ κραδίῃ θάρσος βάλε, πὰρ δέ οἱ αὐτὸς
"Εστη, ὅπως θανάτοιο βαρείας χεῖρας ἀλάλκοι,
Φηγῷ κεκλιμένος· κεκάλυπτο δ' ἄρ' ἠέρι πολλῇ.
Αὐτὰρ ὅγ', ὡς ἐνόησεν 'Αχιλλῆα πτολίπορθον,
"Εστη, πολλὰ δέ οἱ κραδίη πόρφυρε μένοντι·

"Metuo enim, ne exitialis vir in murum irrumpat."
Sic dixit: Illi autem aperueruntque portas, et retruserunt obices;
Hae autem apertae pepererunt salutem: At Apollo
Obvius exiliit, à Trojanis ut perniciem arceret.
Ii autem rectà ad urbem et murum altum,
Siti aridi, pulvere-obsiti, ex campo
Fugiebant; ille verò vehementèr insequebatur hastâ: rabies nempè ei cor
Continentèr tenebat violenta, irâque-percitus-cupiebat gloriam referre.
Tum certè altam-portis Trojam cepissent filii Achivorum,
Nisi Apollo Phoebus Agenora nobilem excitâsset,
Virum, Antenoris filium, eximiumque, fortemque.
Ejus quidem cordi audaciam immisit, eique ipse
Astitit, ut mortis graves manus arceret,
Fago tectus: coopertus autem erat caligine multâ.
At ille, ut advertit Achillem urbium-vastatorem,
Constitit; multaque ei cor volvebat-aestuans manenti:

Ver. 536. —— Δείδια.] Vide suprà ad ρ', 240. et ad ν', 736.

Ibid. —— ἅληται.] *Al.* ἄληται.

Ver. 538. — τεῦξαν φάος.] Παρέσχον τοῖς φυγοῦσι τὴν σωτηρίαν. *Schol.* MSS. apud *Barnesium.*

Ver. 541. Δίψῃ.] *Al.* Δίψει.

Ibid. —— καρχαλέοι.] *Al.* καρφαλέοι.

Ibid. —— κεκονιμένοι.] *Al.* κεκονισμένοι.

Ver. 542. —— σφεδανὸν ἔφεπ'.] Quâ ratione σφεδανὸν, hîc ultimam producat; item μὲν, etiam extra cæsuram, *ver.* 547. et πεδίον, *ver.* 558. et τι, *ver.* 559. et αὐτὰρ, iterùm extra cæsuram, *ver.* 570. vide suprà ad ά, 51. *Al.* σφεδανὸν μέθεπ'. Et σφεδανῶν ἔφεπ'· ἀντὶ τοῦ σφοδρῶς διώκων. Notante *Eustathio.*

Ver. 545. —— 'Απόλλων Φοῖβος.] Vide suprà ad ά, 43.

Ver. 546. Φῶτ', 'Αντήνορος υἱὸν.] Vox, φῶτα, non hîc παρέλκει· Quod est ridiculum, et Poëtâ omninò indignum. Sed, ut opinor, *virum inclytum* denotat.

Ver. 547. 'Εν μέν οἱ.] *Barnesius* meliùs legi posse existimat, 'Εν μέν ἑοῖ. Sed nihil opus.

Ver. 548. —— χεῖρας.] *Barnesius de suo* edidit κῆρας. Verùm, ut opinor, rationibus haud satis idoneis. Præsertim cùm haud dissimilem phrasin usurpat Poëta suprà ά, 67.

Οὐδ' ὅγε πρὶν λοιμοῖο βαρείας χεῖρας ἀφέξει.

Ver. 549. —— κεκλιμένος.] Vide suprà ad ά, 309 et 314.

Ver. 550. —— 'Αχιλλῆα πτολίπορθον.] Vide suprà ad β', 278.

Ver. 551. —— πόρφυρε.] Vide suprà ad ά, 338 et 482.

Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
"Ὤμοι ἐγὼν, εἰ μέν κεν ὑπὸ κρατεροῦ Ἀχιλῆος
Φεύγω, τῇπερ οἱ ἄλλοι ἀτυζόμενοι φοβέονται,
Αἱρήσει με καὶ ὣς, καὶ ἀνάλκιδα δειροτομήσει·
Εἰ δ' ἂν ἐγὼ τούτους μὲν ὑποκλονέεσθαι ἐάσω
Πηλείδῃ Ἀχιλῆϊ, ποσὶν δ' ἀπὸ τείχεος ἄλλῃ
Φεύγω πρὸς πεδίον Ἰλήϊον, ὄφρ' ἂν ἵκωμαι
Ἴδης τε κνημοὺς, κατά τε ῥωπήϊα δύω,
Ἑσπέριος δ' ἂν ἔπειτα λοεσσάμενος ποταμοῖο,
Ἱδρῶ ἀποψυχθεὶς, ποτὶ Ἴλιον ἀπονεοίμην·
Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
Μή μ' ἀπαειρόμενον πόλεως πεδίονδε νοήσῃ,
Καί με μεταΐξας μάρψῃ ταχέεσσι πόδεσσιν·
Οὐκ ἔτ' ἔπειτ' ἔσται θάνατον καὶ κῆρας ἀλύξαι.
Λίην γὰρ κρατερὸς περὶ πάντων ἔστ' ἀνθρώπων.
Εἰ δέ κέν οἱ προπάροιθε πόλεως κατεναντίον ἔλθω·
Καὶ γάρ θην τούτῳ τρωτὸς χρὼς ὀξέϊ χαλκῷ,

Ingemiscens autem dixit ad suum magnum animum:
"Hei mihi, siquidem metu violenti Achillis
"Fugero, quâ et alii turbati fugantur;
"Capiet me etiam sic, et imbellem obtruncabit:
"Si verò ego hos quidem turbari sinam
"A Pelide Achille, pedibusque à muro aliò
"Fugero per campum Iliacum, donec pervenero
"Idaeque ad saltus, senticetaque ingrediar;
"Vespertinus autem deindè cùm me lavero in fluvio,
"A sudore refrigeratus, ad Ilium reverterer:
"Sed cur mihi haec meus secum-disserit animus?
"Nè me abeuntem ab urbe ad campum advertat,
"Et me rapidè-persecutus consequatur velocibus pedibus:
"Non ampliùs deindè licebit mortem et fatum effugere.
"Valdè enim fortis suprà omnes est mortales.
"Quòd si ipsi ante urbem obviàm venero;
"Etenim huic certè vulnerabile corpus acuto aere,

Ibid. —— *μένοντι.*] *Al. κιόντι.*

Ver. 554. —— *φοβέονται.*] *Al. κλονέονται.*

Ver. 556. —— *ἐάσω.*] Vide suprà ad δ', 42.

Ver. 558. —— *πεδίον Ἰλήϊον.*] Τόπος ἐν ᾧ Ἴλου τάφος ἐστί. *Schol.* Τινὲς δὲ Ἰδήϊον πεδίον γράφουσι, τὸ τῇ Ἴδῃ ὑποκείμενον· διὰ τὸ εὐθὺς ἐπαγαγεῖν τὸν Ποιητὴν, "ὄφρ' ἂν ἵκωμαι Ἴδης "κνημούς." *Eustath.*

Ver. 559. —— *ῥωπήϊα.*] Ἱμαντώδη φυτὰ, ἀφ' οὗ τὰ δάσεα τῆς ὕλης. *Schol.*

Ver. 560. — *λοεσσάμενος.*] *Quum me ipse lavero.* Vide suprà ad *ver.* 241. et ad γ', 141.

Ver. 561. —— *ποτὶ.*] *Al. προτί.* Quod perindè est.

Ibid. —— *ἀπονεοίμην.*] *Al. ἀπονέεσθαι.*

Ver. 563. —— *ἀπαειρόμενον.*] Ἐκ μεταφορᾶς τῶν νεῶν ἀπαιρουσῶν. *Schol.* MS. apud *Barnesium.*

Ibid. —— *πόλεως.*] Ita edidit *Barnesius. Al. πόλιος.* Quod idem.

Ver. 565. —— *ἔσται.*] *Al. ἔσεται.*

Ver. 567. Εἰ δέ κεν οἱ προπάροιθε πόλεως.] Vide suprà ad β', 811. *Al. πόλιος.*

Ver. 568. Καὶ γάρ θην τούτῳ τρωτὸς χρὼς.]
—— mortali urgemur ab hoste
Mortales: totidem nobis animæque manusque. *Æn.* X, 375.

Ἐν δὲ ἴα ψυχὴ, θνητὸν δέ ἑ φάσ' ἄνθρωποι
Ἔμμεναι· αὐτάρ οἱ Κρονίδης Ζεὺς κῦδος ὀπάζει.
Ὣς εἰπὼν, Ἀχιλῆα ἀλεὶς μένεν· ἐν δέ οἱ ἦτορ
Ἄλκιμον ὡρμᾶτο πτολεμίζειν ἠδὲ μάχεσθαι.
Ἠΰτε πάρδαλις εἶσι βαθείης ἐκ ξυλόχοιο
Ἀνδρὸς θηρητῆρος ἐναντίον, οὐδέ τι θυμῷ
Ταρβεῖ, οὐδὲ φοβεῖται, ἐπεί κεν ὑλαγμὸν ἀκούσῃ·
Εἴπερ γὰρ φθάμενός μιν ἢ οὐτάσῃ, ἠὲ βάλησιν,
Ἀλλά τε καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει
Ἀλκῆς, πρίν γ' ἠὲ ξυμβλήμεναι, ἠὲ δαμῆναι·
Ὣς Ἀντήνορος υἱὸς ἀγαυοῦ, δῖος Ἀγήνωρ,
Οὐκ ἔθελεν φεύγειν, πρὶν πειρήσαιτ' Ἀχιλῆος.
Ἀλλ' ὅ γὰρ ἀσπίδα μὲν πρόσθ' ἔσχετο πάντοσε ἴσην,
Ἐγχείῃ δ' αὐτοῖο τιτύσκετο, καὶ μέγ' ἄϋτει·
Ἦ δή που μάλ' ἔολπας ἐνὶ φρεσὶ, φαίδιμ' Ἀχιλλεῦ,
Ἤματι τῷδε πόλιν πέρσειν Τρώων ἀγερώχων·
Νηπύτι', ἦτ' ἔτι πολλὰ τετεύξεται ἄλγε' ἐπ' αὐτῇ·
Ἐν γάρ οἱ πολέες τε καὶ ἄλκιμοι ἀνέρες εἰμὲν,

" Inestque una anima, mortalemque ipsum dicunt homines
" Esse: atqui ei Saturnius Jupiter gloriam praebet."
Sic fatus, Achillem conversus expectabat; intusque ei cor
Forte gestiebat proeliari atque pugnare.
Veluti panthera prodit alto ex fruticeto
Virum venatorem contra, neque quicquam animo
Percellitur; neque in fugam vertitur, latratu audito;
Etsi enim prior eam cominùs percusserit, aut eminùs,
Tamen vel hastâ transfixa non desistit
A strenuâ pugnâ, antequàm vel cominùs congrediatur, vel dometur:
Sic Antenoris filius praeclari, nobilis Agenor,
Nolebat fugere, antequàm periculum-faceret Achillis.
Sed clypeum quidem sibi praetendit undique aequalem,
Hastâ autem in eum collimabat, et altùm clamabat:
" Certè jam omninò sperabas apud animum, illustris Achille,
" Die hoc urbem *te* eversurum Troüm gloriosorum;
" Stulte, certè adhuc multi efficientur dolores de eâ;
" In eâ enim multique et fortes viri in-sumus,

Ver. 572. ——— πτολεμίζειν ἠδὲ μάχεσθαι.] Vide suprà ad ή, 232 et 279.

Ver. 573. ——— πάρδαλις.] Cod. *Harleian.* πόρδαλις.

Ibid. ——— ξυλόχοιο.] Ὑλώδους τόπου συνδένδρου. *Schol.*

Ver. 574. ——— ἐναντίον.] *Al.* ἐναντίη.

Ver. 575. ——— κεν ὑλαγμὸν.] Scribunt nonnulli, teste *Eustathio*, κυνυλαγμόν.

Ver. 576. ——— φθάμενος.] Vide suprà ad β', 43.

Ibid. ——— ἢ οὐτάσῃ, ἠὲ βάλησιν.] *Vel cominùs, vel eminùs vulneraverit.* Vide suprà ad δ', 540. et ad ρ', 84.

Ibid. ——— οὐστάσῃ.] Vide suprà ad ν', 192. et ad ά, 140.

Ver. 581. ——— πρόσθ' ἔσχετο.] Cod. *Harleian.* πρόσθε σχέτο.

Ver. 583. Ἦ δή που.] *Al.* Ἤδη που.

Ibid. ——— ἔολπας.] Vide suprà ad ά, 37. et ύ, 186.

Ver. 585. ——— ἦτ' ἔτι πολλὰ.] *Al.* ἢ μάλα πολλά.

Ver. 586. Ἐν γάρ οἱ.] Edidit *Barnesius* Ἐν γάρ τοι. Sed nihil opus. Vide suprà ad ά, 51.

Οἵ κεν πρόσθε φίλων τοκέων, ἀλόχων τε, καὶ υἱῶν,
Ἴλιον εἰρυόμεσθα· σὺ δ' ἐνθάδε πότμον ἐφέψεις,
Ὧδ' ἔκπαγλος ἐὼν καὶ θαρσαλέος πολεμιστής.
Ἦ ῥα, καὶ ὀξὺν ἄκοντα βαρείης χειρὸς ἀφῆκε·
Καί ῥ' ἔβαλε κνήμην ὑπὸ γούνατος, οὐδ' ἀφάμαρτεν·
Ἀμφὶ δέ μιν κνημὶς νεοτεύκτου κασσιτέροιο
Σμερδαλέον κονάβησε· πάλιν δ' ἀπὸ χαλκὸς ὄρουσε
Βλημένου, οὐδ' ἐπέρησε· θεοῦ δ' ἠρύκακε δῶρα.
Πηλείδης δ' ὡρμήσατ' Ἀγήνορος ἀντιθέοιο
Δεύτερος· οὐδέ τ' ἔασεν Ἀπόλλων κῦδος ἀρέσθαι,
Ἀλλά μιν ἐξήρπαξε, κάλυψε δ' ἄρ' ἠέρι πολλῇ,
Ἡσύχιον δ' ἄρα μιν πολέμου ἔκπεμπε νέεσθαι.
Αὐτὰρ ὁ Πηλείωνα δόλῳ ἀποέργαθε λαοῦ·
Αὐτῷ γάρ ῥ' Ἑκάεργος Ἀγήνορι πάντα ἐοικὼς,
Ἔστη πρόσθε ποδῶν, ὁ δ' ἐπέσσυτο ποσσὶ διώκειν.
Ἕως ὁ τὸν πεδίοιο διώκετο πυροφόροιο,
Στρέψας πὰρ ποταμὸν βαθυδινήεντα Σκάμανδρον,
Τυτθὸν ὑπεκπροθέοντα· δόλῳ δ' ἄρ' ἔθελγεν Ἀπόλλων,

"Qui utique propugnantes charis parentibus, uxoribusque, et liberis,
"Ilium tutemur: tu verò fatum hîc consequêris,
"Adeò terribilis licèt sis et audax bellator."
Dixit utique, et acutum telum gravi manu emisit;
Et percussit tibiam sub genu, neque aberravit;
Circaque ipsam ocrea recèns-elaborati stanni
Horrendùm resonuit: aes verò resiliit
A percusso, neque penetravit; dei enim prohibuere dona.
Pelides verò impetum-fecit in Agenora deo-parem.
Secundus: at non sivit Apollo gloriam referre,
Sed ipsum eripuit, texitque caligine multâ,
Quietumque ipsum è proelio misit ut-abiret.
At hic Pelidem dolo avertit à populo:
Ipsi enim Longè-jaculans Agenori omnia cum se assimulârat,
Stetit ante pedes; ille verò festinabat pedibus persequi.
Dum ille hunc per campum persequebatur tritici-feracem,
Conversus praeter fluvium verticibus-profundum Scamandrum,
Parvo intervallo praecurrentem; dolo etenim lactabat Apollo,

Ver. 587. ——— τοκέων, ἀλόχων τε.] *Al.* ἀλόχων, τοκέων τε. Quod lectionem et præfert *Barnesius*. Sed, ut opinor, minùs rectè.

Ver. 588. ——— εἰρυόμεσθα.] *Al.* εἰρυσόμεσθα.

Ver. 590. ——— βαρείης.] *Al.* παχείης. Quo modo legit et Codex *Harleianus*.

Ver. 593. Σμερδαλέον κονάβησε.] Vide suprà ad β', 210. et ad δ', 455.

Ver. 594. —— ἐπέρησε.] Vide suprà ad ά, 67.

Ver. 596. —— ἔασεν.] Vide suprà ad δ', 42.

Ver. 598. —— ἄρα.] *Deinceps* ———.

Ver. 600. —— Ἀγήνορι πάντα ἐοικὼς.] Vide suprà ad ξ', 136.

Ver. 602. Ἕως ὁ τὸν.] Pronuntiabatur Ὥσεο vel Ὥσου. Vide suprà ad σ', 15. et ad ό, 539.

Ver. 603. Στρέψας.] *Al.* Τρέψας.

Ver. 604. —— δόλῳ δ' ἄρ'.] *Henricus Stephanus* legendum hîc δόλῳ γὰρ, verbaque δόλῳ γὰρ ἔθελγεν Ἀπόλλων parenthesi includenda censet. Sed, ut opinor, minùs aptè. Porrò sententiam connectit vocula ἄρ' cum eo quod præcessit, *ver.* 599, 600.

Ὡς αἰεὶ ἔλποιτο κιχήσεσθαι ποσὶν οἷσι·
Τόφρ' ἄλλοι Τρῶες πεφοβημένοι ἦλθον ὁμίλῳ
Ἀσπάσιοι προτὶ ἄστυ· πόλις δ' ἔμπλητο ἀλέντων.
Οὐδ' ἄρα τοί γ' ἔτλαν πόλεως καὶ τείχεος ἐκτὸς
Μεῖναι ἔτ' ἀλλήλους, καὶ γνώμεναι, ὅς τε πεφεύγοι,
Ὅς τ' ἔθαν' ἐν πολέμῳ· ἀλλ' ἀσπασίως ἐσέχυντο
Ἐς πόλιν, ὅντινα τῶν γε πόδες καὶ γοῦνα σάωσαν.

Ut semper speraret *se* assecuturum pedibus suis:
Interim caeteri Trojani fugati venerunt conferti
Laeti ad urbem; urbs verò implebatur conclusis.
Neque enim illi sustinebant urbem et murum extra
Expectare jam se-invicem, et cognoscere, et quis effugisset,
Et quis occubuisset in pugnâ; sed cupidè infundebantur
In urbem, quemcunque eorum pedes et genua incolumem-retulerant.

Ver. 607. — ἔμπλητο.] *Al.* ἔμπληστο.
Ver. 607—610. Ἀσπάσιοι —— ἀσπασίως.] Vide suprà ad ά, 140.

Ver. 608. — πόλεως.] Vide suprà ad *ver* 563.
Ver. 610. — ἀσπασίως.] *Al.* ἐσσυμένως.
Ibid. — ἐσέχυντο.] *Al.* ἐπέχυντο.

ΤΗΣ

ΟΜΗΡΟΥ ΙΛΙΑΔΟΣ

ῬΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ Χ'.

Ὑπόθεσις τῆς Χ'. ὉΜΗΡΟΥ Ῥαψῳδίας.

ΤΩΝ λοιπῶν Τρώων εἰς τὸ Ἴλιον ἀναχωρησάντων, μόνος Ἕκτωρ ἔξω μένει· παρακαλούντων δὲ αὐτὸν τῶν γονέων εἰσελθεῖν ἐς τὴν πόλιν, ἀπαρνεῖται· καὶ ὁ μὲν ὑπεναντίον Ἀχιλλέως ἐλθὼν, διώκεται τρὶς περὶ τὰ τείχη. Ζεὺς δὲ ταλαντεύει ἀμφοτέρων τὰς μοιρας· καὶ αἱ μὲν τοῦ Ἕκτορος, ἐπὶ γῆς χωροῦσιν· αἱ δὲ τοῦ Ἀχιλλέως ἄνω φέρονται· καὶ οὕτω Ζεὺς κελεύει Ἀπόλλωνα ἀποχωρεῖν τῆς μάχης· καὶ ὁ μὲν ὑποχωρεῖ· ἡ δὲ Ἀθῆνα, καθομοιωθεῖσα τῷ Πριάμου παιδὶ, Δηϊφόβῳ, παρορμᾷ Ἕκτορα ἀντιτάξασθαι τῷ Ἀχιλλεῖ· ὁ δὲ πεισθεὶς, ἀνθίσταται, καὶ ἀναιρεῖται, δεθείς τε ὑπὸ τοῦ ἅρματος Ἀχιλλείου, σύρεται εἰς τὸ στρατόπεδον Ἑλλήνων.

Ἄλλη Ὑπόθεσις.

ΤΩΝ Τρώων ἐγκλεισθέντων εἰς τὴν πόλιν, μόνος Ἕκτωρ ὑπομείνας Ἀχιλλέα, τὸ μὲν πρῶτον φεύγει· ἔπειτα δὲ ἀνθίσταται, Ἀθηνᾶς αὐτὸν πεισάσης, καὶ ἀναιρεῖται· ἐξάψας δὲ αὐτὸν τοῦ ἅρματος Ἀχιλλεὺς, διὰ τοῦ πεδίου ἐπὶ τὸν ναύσταθμον ἕλκει· οἱ δὲ κατὰ τὴν πόλιν ὀδύρονται ταῦτα ὁρῶντες ἐγκεκλεισμένοι.

Ἐπιγραφαί.

Ἕκτορος ἀναίρεσις.

Ἄλλως.

Χὶ Θέτιδος γόνος ὠκὺς ἀπώλεσεν Ἕκτορα δῖον.

Ἄλλη.

Χῖ δ' ἄρα, τρὶς περὶ τεῖχος ἄγων κτάνεν Ἕκτορ' Ἀχιλλεύς.

Ὣς οἱ μὲν κατὰ ἄστυ πεφυζότες, ἠΰτε νεβροὶ,
Ἱδρῶ ἀπεψύχοντο, πίον τ', ἀκέοντό τε δίψαν,
Κεκλιμένοι καλῇσιν ἐπάλξεσιν· αὐτὰρ Ἀχαιοὶ

Sic hi quidem per urbem trepidâ-fugâ-dissipati, velut hinnuli,
A sudore se refrigerabant, bibebantque, medebanturque siti,
Acclinati pulchris propugnaculis: At Achivi

Ver. 3. Κεκλιμένοι καλῇσιν ἐπάλξεσιν.] Παρακεκλιμένοι, ὅ ἐστι περιεχόμενοι ὑπὸ τῶν τειχῶν· ἐπάλξεις γὰρ, οἱ τῶν τειχῶν καλούμενοι προμαχῶνες. *Schol.*

Τείχεος ἆσσον ἴσαν, σάκε' ὤμοισι κλίναντες.
Ἕκτορα δ' αὐτοῦ μεῖναι ὀλοὴ Μοῖρ' ἐπέδησεν,
Ἰλίου προπάροιθε, πυλάων τε Σκαιάων·
Αὐτὰρ Πηλείωνα προσηύδα Φοῖβος Ἀπόλλων·
Τίπτε με, Πηλέος υἱὲ, ποσὶν ταχέεσσι διώκεις,
Αὐτὸς θνητὸς ἐὼν, θεὸν ἄμβροτον; οὐδέ νυ πώ με
Ἔγνως ὡς θεός εἰμι, σὺ δ' ἀσπερχὲς μενεαίνεις.
Ἦ νύ τοι οὔτι μέλει Τρώων πόνος, οὓς ἐφόβησας,
Οἳ δή τοι εἰς ἄστυ ἄλεν, σὺ δὲ δεῦρο λιάσθης·
Οὐ γάρ με κτανέεις, ἐπεὶ οὔτοι μόρσιμός εἰμι.
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἔβλαψάς μ', Ἑκάεργε, θεῶν ὀλοώτατε πάντων,
Ἐνθάδε νῦν τρέψας ἀπὸ τείχεος· ἦ κ' ἔτι πολλοὶ
Γαῖαν ὀδὰξ εἷλον, πρὶν Ἴλιον εἰσαφικέσθαι.

Ad murum propè accedebant, scuta humeris inclinantes.
Hectorem verò ibi manere exitiale Fatum tanquam-compede-vinctum-coëgit,
Ilium ante, portasque Scaeas.
At Pelidem allocutus est Phoebus Apollo:
" Cur me, Pelei fili, pedibus velocibus persequeris,
" Ipse mortalis cùm sis, deum immortalem? nec dum omninò me
" Agnovisti, quòd Deus sum; tu autem indesinentèr furis.
" Tibi nimirùm nihil curae est contra Troas labor-bellicus, quos fugâsti,
" Qui jam in urbem conclusi-sunt, tu verò huc divertisti:
" Neque enim me interficies, quoniam haud mortalis sum."
Hunc autem gravitèr indignatus allocutus est pedibus velox Achilles:
" Laesisti me, Longè-jaculans, Deorum perniciosissime omnium,
" Qui huc nunc avertisti à muro: Certè adhuc multi
" Terram mordicùs prehendissent, antequàm in Ilium pervenissent.

Ibid. et *ver.* 73. 154. et 155. —— *καλῆσιν* —— *καλὰ* —— *Καλοὶ,* —— *καλαί.*] Vide suprà ad *β'*, 43.

Ibid. et *ver.* 4. *Κεκλιμένοι* —— *κλίναντες.*] Vide suprà ad *ά*, 309 et 314.

Ver. 5. *ὀλοὴ.*] Ita et Codex *Harleianus*. *Barnesius* autem ex conjecturâ edidit *ὀλωή*. Vide suprà ad *ά*, 342.

Ver. 6. *Ἰλίου προπάροιθε.*] Vide suprà ad *ό*, 24 et 66.

Ibid. —— *πυλάων τε Σκαιάων.*] *Ἐν ἀριστερᾷ τοῦ τείχους κεῖνται αἱ πύλαι αὗται· καλοῦνται δὲ Δαρδάνιαι.* *Schol.* MSS. apud *Barnesium*.

Ver. 7. —*Φοῖβος Ἀπόλλων.*] Vide suprà ad *ά*, 43.

Ver. 8. *Τίπτε με, Πηλέος υἱὲ, ποσὶν ταχέεσσι διώκεις.*] *Οὐχ ἁλωτὸν γὰρ εἶναι θνητῷ, οὐδὲ καταληπτὸν τὸ θεῖον, οὔτε ποσὶν, οὔτε χερσὶν, οὔτε ὀφθαλμοῖς, οὐδ' ὅλως τῷ σώματι, δεδήλωκεν.* *Clemens Alexandrin. Strom.* V. ubi hunc *Homeri* locum adducit.

Ver. 11. *Τρώων πόνος.*] *Τὸ κατὰ Τρώων ἔργον.* *Schol.*

Ver. 13. *Οὐ γάρ με.*] Refertur istud *γὰρ*, non ad id quod proximè præcessit, sed ad id quod elegantiùs reticetur: *Atqui frustrà me insequeris;* vel, *Ne me ampliùs insequere; non ENIM,* &c. Cæterum Codex *Harleianus* hîc legit, *Οὐ μέν με.*

Ibid. —— *κτανέεις.*] *Al. κτενέεις.*

Ver. 15. *Ἔβλαψάς μ', Ἑκάεργε.*] Vituperat hunc locum *Plato*: *Ὀκνῶ δέ γε — δι' Ὅμηρον λέγειν, ὅτι οὐδ' ὅσιον ταῦτά γε κατὰ Ἀχιλλέως φάναι καὶ ἄλλων λεγόντων πείθεσθαι. Καὶ αὖ ὡς πρὸς τὸν Ἀπόλλω εἶπεν, "Ἔβλαψάς μ', Ἑκάεργε, " θεῶν ὀλοώτατε πάντων. Ἦ σ' ἂν τισαίμην, εἴ " μοι δύναμίς γε παρείη."* *De Republ. lib.* 3.

Ibid. —— *ὀλοώτατε.*] *Al. δολοώτατε.*

Ver. 17. *Γαῖαν ὀδὰξ εἷλον.*]

Procubuit moriens et humum semel ore momordit. *Æn.* XI, 418.

Vide suprà ad *β'*, 418.

Ibid. —— *πρὶν Ἴλιον.*] Quâ ratione, *πρὶν*, hîc, etiam extra cæsuram, producatur; item *πρῶτος*, *ver.* 25. vide suprà ad *ά*, 51.

Νῦν δ' ἐμὲ μὲν μέγα κῦδος ἀφείλεο, τοὺς δ' ἐσάωσας
Ῥηϊδίως, ἐπεὶ οὔτι τίσιν γ' ἔδδεισας ὀπίσσω·
Ἦ σ' ἂν τισαίμην, εἴ μοι δύναμίς γε παρείη.
Ὣς εἰπὼν, προτὶ ἄστυ μέγα φρονέων ἐϐεϐήκει,
Σευάμενος, ὥσθ' ἵππος ἀεθλοφόρος, σὺν ὄχεσφιν,
Ὅς ῥά τε ῥεῖα θέῃσι τιταινόμενος πεδίοιο.
Ὣς Ἀχιλεὺς λαιψηρὰ πόδας καὶ γούνατ' ἐνώμα.
Τὸν δ' ὁ γέρων Πρίαμος πρῶτος ἴδεν ὀφθαλμοῖσι,
Παμφαίνονθ', ὥστ' ἀστέρ', ἐπεσσύμενον πεδίοιο,
Ὅς ῥά τ' ὀπώρης εἶσιν· ἀρίζηλοι δέ οἱ αὐγαὶ
Φαίνονται πολλοῖσι μετ' ἄστρασι νυκτὸς ἀμολγῷ·
Ὅν τε κύν' Ὠρίωνος ἐπίκλησιν καλέουσι·
Λαμπρότατος μέν ὅγ' ἐστὶ, κακὸν δέ τε σῆμα τέτυκται,
Καί τε φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσιν·

"Nunc verò mihi quidem magnam gloriam eripuisti, illosque servâsti
"Facilè; non enim ultionem ullam veritus es in posterum:
"Profectò te ulciscerer, si mihi facultas utique adesset."
Sic fatus, ad urbem magnis elatus animis abiit,
Ruens, velut equus certamine-victor, cum curru,
Qui celeritèr currit magno nisu contendens per campum,
Sic Achilles celeritèr pedes et genua movebat.
Hunc verò senex Priamus primus vidit oculis,
Collucentem tanquam stellam, ruentem per campum,
Quae scilicèt Autumno oritur: perillustres autem ejus radii
Lucent multa inter astra nocte intempestâ;
Quam canem Orionis vulgò vocant:
Splendidissima quidem haec est, at exitiale signum est,
Atque immittit magnum aestum miseris mortalibus:

Ver. 19, 20. ——— τίσιν ——— τισαίμην.] Quâ analogiâ ex λύω, λύσω, deducitur λύσις· ex φθίνω, φθίσω, φθίσις· ex κρίνω, κρίσις· ex φαίνω, φάσις· eâdem ex τίω, τίσω, deducitur τίσις. Vide suprà ad ζ', 434. ad ν', 414. et ad ξ', 484.

Ver. 21. Ὣς εἰπὼν, ——— ἐϐεϐήκει.] Vide suprà ad φ', 352. et ad π', 751.

Ver. 22. Σευάμενος.] Vide infrà ad *ver.* 33. item suprà ad γ', 141. et ad θ', 199.

Ver. 23 et 27. Ὅς ῥά τε.] *Qui scilicèt* ———.

Ver. 26. Παμφαίνονθ', ὥστ' ἀστέρ'.]

——— ipse agmine Pallas
In medio, chlamyde et pictis conspectus in armis:
Qualis, ubi Oceani perfusus Lucifer undâ,
Quem Venus ante alios astrorum diligit ignes,
Extulit os sacrum cœlo. ———
Æn. VIII, 587.

Non secùs, ac liquidâ si quandò nocte cometæ
Sanguinei lugubre rubent, aut Sirius ardor;
Ille sitim morbosque ferens mortalibus ægris,
Nascitur, et lævo contristat lumine cœlum. *Æn.* X, 272.

Vide suprà ad ε', 4. ad λ', 62. et infrà ad *ver.* 317.

Ibid. et *ver.* 62. —— ἐπεσσύμενον —— ὀλλυμένους.] Vide suprà ad γ', 260.

Ver. 27. Ὅς ῥά τ' ὀπώρης εἶσιν.] Ἔδει, πρὸ ὀπώρης, εἰπεῖν· τότε γὰρ ἡ τοῦ Κυνὸς ἐπιτολή. *Schol.* MSS. apud *Barnesium.* Ὀπώρα δὲ καὶ νῦν μέρος θέρους τὸ τελευταῖον, μεθ' ὃ τὸ μετόπωρον. *Eustath.*

Ver. 29. Ὅν τε κύν' Ὠρίωνος.] Τὸν ἀστρῷον κύνα οὕτως ἔφη. *Schol.*

Ver. 30. —— ὅγ'.] *Al.* ὅδ'. Atque ita legit et Codex *Harleianus.*

Ibid. ——— τέτυκται.] Vide suprà ad ν', 481 et 736. et ad ά, 37.

Ver. 31. —— πυρετὸν.] Ἤτοι κυρίως, ὡς ἡμεῖς λέγομεν· ἢ τὴν τοῦ ἀέρος ἔκκαυσιν. *Schol.*

Ibid. —— δειλοῖσι βροτοῖσιν.]
—— mortalibus ægris. *Georgic.* I, 237.
—— miseris mortalibus ———.
Georgic. III, 66

Ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος.
Ὤμωξεν δ' ὁ γέρων, κεφαλὴν δ' ὅγε κόψατο χερσὶν,
Ὑψόσ' ἀνασχόμενος, μέγα δ' οἰμώξας ἐγεγώνει,
Λισσόμενος φίλον υἱόν· ὁ δὲ προπάροιθε πυλάων
Εἱστήκει, ἄμοτον μεμαὼς Ἀχιλῆϊ μάχεσθαι·
Τὸν δ' ὁ γέρων ἐλεεινὰ προσηύδα, χεῖρας ὀρεγνύς·
Ἕκτορ, μή μοι μίμνε, φίλον τέκος, ἀνέρα τοῦτον
Οἶος, ἄνευθ' ἄλλων· ἵνα μὴ τάχα πότμον ἐπίσπῃς,
Πηλείωνι δαμείς· ἐπειὴ πολὺ φέρτερός ἐστιν.
Σχέτλιος, αἴθε θεοῖσι φίλος τοσσόνδε γένοιτο,
Ὅσσον ἐμοί· τάχα κέν ἑ κύνες καὶ γῦπες ἔδονται
Κείμενον· ἦ κέ μοι αἰνὸν ἀπὸ πραπίδων ἄχος ἔλθοι.
Ὅς μ' υἱῶν πολλῶν τε καὶ ἐσθλῶν εὖνιν ἔθηκε,
Κτείνων, καὶ περνὰς νήσων ἔπι τηλεδαπάων.
Καὶ γὰρ νῦν δύο παῖδε Λυκάονα καὶ Πολύδωρον
Οὐ δύναμαι ἰδέειν, Τρώων εἰς ἄστυ ἀλέντων,
Τούς μοι Λαοθόη τέκετο, κρείουσα γυναικῶν.
Ἀλλ' εἰ μὲν ζώουσι μετὰ στρατῷ, ἦτ' ἂν ἔπειτα
Χαλκοῦ τε χρυσοῦ τ' ἀπολυσόμεθ'· ἔστι γὰρ ἔνδον·

Sic hujus aes splendebat circa pectora currentis.
Ejulabat verò senex, caputque pulsabat manibus,
In altum sublatis, magnoque edito ejulatu clamabat,
Supplex-orans dilectum filium: is autem ante portas
Stabat, vehementèr animis-ardens cum Achille pugnare:
Illum verò senex miserabilitèr allocutus est, manus extendens:
" Hector, nè mihi expecta, dilecte fili, virum hunc
" Solus, absque aliis; ut nè mox mortem assequaris,
" A Pelidâ domitus: longè enim viribus praestat.
" Crudelis, utinam diis charus tantùm esset,
" Quantùm mihi; citò prorsùs eum canes et vultures vorarent
" Jacentem: certè mihi gravis ex praecordiis dolor abiret.
" Iste me filiis multisque et strenuis orbum fecit,
" Interficiens, et deportatos-vendens insulas in longinquas.
" Quin et nunc duos filios Lycaonem et Polydorum
" Non possum videre, Trojanis in urbem conclusis,
" Quos mihi Laothoë peperit praecellens mulieribus.
" At si quidem vivunt in castris, certè postmodùm
" Aereque auroque redimemus; est enim domi:

Ver. 33. — ὅγε.] Vide suprà ad γ', 409.

Ibid. — κόψατο.] Observandus hìc maximè proprius Vocis *mediæ* Usus. *Caput sibi ipse percussit.* Vide suprà ad φ', 241. et ad γ', 141.

Ver. 36. Εἱστήκει.] Vide suprà ad δ', 434 et 492.

Ver. 42. — τάχα κέν ἑ.] Quâ ratione vox κέν, hìc producatur; item μηδὲ, *ver.* 57. et σε, *ver.* 88. et τις, *ver.* 106. vide suprà ad ά, 51.

Ver. 43. — ἔλθοι.] Cod. *Harleian.* ἔλθῃ.

Ver. 44. —— εὖνιν.] Ἔρημον, χῆρον, ἐστερημένον. *Schol.*

Ver. 48. —— Λαοθόη.] *Al.* Λαοθίη.

Ver. 49. — μετὰ στρατῷ.] *Al.* μετὰ στρατόν.

Ver. 50. — ἀπολυσόμεθ'.] Vide suprà ad ά, 20.

Πολλὰ γὰρ ὤπασε παιδὶ γέρων ὀνομακλυτὸς Ἄλτης.
Εἰ δ' ἤδη τεθνᾶσι, καὶ εἰν ἀΐδαο δόμοισιν,
Ἄλγος ἐμῷ θυμῷ καὶ μητέρι, τοὶ τεκόμεσθα.
Λαοῖσιν δ' ἄλλοισι μινυνθαδιώτερον ἄλγος
Ἔσσεται, ἢν μὴ καὶ σὺ θάνῃς, Ἀχιλῆϊ δαμασθείς.
Ἀλλ' εἰσέρχεο τεῖχος, ἐμὸν τέκος, ὄφρα σαώσῃς
Τρῶας καὶ Τρῳὰς, μηδὲ μέγα κῦδος ὀρέξῃς
Πηλείδῃ, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς·
Πρὸς δέ με τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέαιρε,
Δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ
Αἴσῃ ἐν ἀργαλέῃ φθίσει, κακὰ πόλλ' ἐπιδόντα,
Υἷάς τ' ὀλλυμένους, ἑλκυσθείσας τε θύγατρας,
Καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
Βαλλόμενα προτὶ γαίῃ, ἐν αἰνῇ δηϊοτῆτι,

" Multa enim dedit filiae senex famâ-inclytus Altes.
" Si verò jam mortui sunt, et in Orci domo,
" Dolor meo animo et matri, qui genuimus.
" Populo autem caetero brevior dolor
" Erit, modò non et tu moriaris, ab Achille domitus.
" Sed ingredere murum, mi fili, ut serves
" Trojanos et Trojanas, neque magnam gloriam praebeas
" Pelidae, ipseque dilectâ vitâ priveris:
" Praetereà et meî infelicis adhuc mentis-compotis miserere,
" Calamitosi, quem pater Saturnius in senectutis limine
" Fortunâ in acerbâ perdet, mala multa conspicatum,
" Filiosque interemptos, raptatasque filias,
" Et thalamos direptos, et infantes liberos
" Allisos terrae, in gravi caede,

Ver. 51. — ὤπασε.] Vide suprà ad ά, 140.

Ver. 57. — Τρῶας.] *Plutarchus* loco infrà ad *ver.* 60. citato legit Τρωϊάδας.

Ver. 59. Πρὸς δέ με τὸν δύστηνον.]
——— miserere parentis
Longævi ———. *Æn.* XII, 43.

Ibid. — ἔτι φρονέοντ'.] Scholia MSS. apud *Barnesium* exponunt; Ἔτι ζώοντα· τὸ γὰρ ζωτικὸν, φρένας καλεῖ ὁ Ὅμηρος. Sed (ut videtur) minùs rectè.

Ibid. —— ἐλέαιρε.] Cod. *Harleian.* ἐλέησον. Quo modo et legit *Plutarchus*, loco jam infrà citato.

Ver. 60. Δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ Αἴσῃ ἐν ἀργαλέῃ φθίσει, &c.] Πολλαὶ γὰρ μεταβολαὶ γίνονται καὶ παντοῖαι τύχαι κατὰ τὸν βίον· καὶ ἐνδέχεται τὸν μάλιστα εὐθηνοῦντα μεγάλαις συμφοραῖς περιπεσεῖν ἐπὶ γήρως, καθάπερ ἐν τοῖς ἡρωϊκοῖς περὶ Πριάμου μυθεύεται. *Aristot. Ethic. Lib.* I. *cap.* 10. *sub fine.* Δῆλον οὖν ὅτι καὶ ὁ λεγόμενος ἄωρος θάνατος εὐπαραμύθητός ἐστι, ——— μεῖον γὰρ ὄντως Τρωΐλος ἐδάκρυσεν ἢ Πρίαμος· οὗτος δὲ, εἰ προετελεύτησεν, ἔτι ἀκμαζούσης αὐτῷ τῆς βασιλείας, καὶ τῆς τοσαύτης τύχης, ἧς ἐθρήνει. Οἷα γοῦν πρὸς τὸν ἑαυτοῦ διελέχθη υἱὸν Ἕκτορα, παραινῶν ἀναχωρεῖν ἀπὸ τῆς πρὸς τὸν Ἀχιλλέα μάχης, ἐν οἷς φησιν, " Δύσμορον, ὅν ῥα " πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ," &c. Ὄντων οὖν σοι παμπόλλων παραδειγμάτων περὶ τούτου, ἐννοήθητι τὸν θάνατον οὐκ ὀλίγους ἀπαλλάττειν μεγάλων καὶ χαλεπῶν κακῶν, ὧν, εἰ ἐπεβίωσαν, πάντως ἂν ἐπειράθησαν. *Plutarch. de Consolat. ad Apoll.* Citat porrò totum hunc locum *Dio Chrysostomus, Orat.* XI. Vide et infrà ad ψ', 222.

Ibid. —— ὅν ῥα.] *Quem utique* ——.

Ibid. — ἐπὶ γήραος οὐδῷ.] Ἐπὶ τῇ τοῦ γήρως ἐξόδῳ, ἐπὶ τῷ τέρματι. *Schol.*

Ver. 61. —— φθίσει.] Vide suprà ad *ver.* 19. et ad β', 43 et 833.

Ver. 62. —— ἑλκυσθείσας.] Ἀντὶ τοῦ αἰχμαλωτισθείσας. *Schol. Al.* ἑλκηθείσας et ἑλκηθείσας.

Ἑλκομένας τε νυοὺς ὀλοῆς ὑπὸ χερσὶν Ἀχαιῶν.
Αὐτὸν δ' ἂν πύματόν με κύνες πρώτησι θύρῃσιν
Ὠμησταὶ ἐρύουσι, ἐπεί κέ τις ὀξέϊ χαλκῷ
Τύψας, ἠὲ βαλὼν, ῥεθέων ἐκ θυμὸν ἕληται,
Οὓς τρέφον ἐν μεγάροισι, τραπεζῆας πυλαωροὺς,
Οἵ κ' ἐμὸν αἷμα πιόντες, ἀλύσσοντες περὶ θυμῷ,
Κείσοντ' ἐν προθύροισι· νέῳ δέ τε πάντ' ἐπέοικεν
Ἄρηϊ κταμένῳ, δεδαϊγμένῳ ὀξέϊ χαλκῷ,
Κεῖσθαι· πάντα δὲ καλὰ θανόντι περ, ὅ,ττι φανείη·
Ἀλλ' ὅτε δὴ πολιόν τε κάρη, πολιόν τε γένειον,
Αἰδῶ τ' αἰσχύνωσι κύνες κταμένοιο γέροντος,
Τοῦτο δὴ οἴκτιστον πέλεται δειλοῖσι βροτοῖσιν.
Ἦ ῥ' ὁ γέρων, πολιὰς δ' ἄρ' ἀνὰ τρίχας ἕλκετο χερσὶ,
Τίλλων ἐκ κεφαλῆς· οὐδ' Ἕκτορι θυμὸν ἔπειθε.
Μήτηρ δ' αὖθ' ἑτέρωθεν ὀδύρετο δακρυχέουσα,
Κόλπον ἀνιεμένη, ἑτέρηφι δὲ μαζὸν ἀνέσχε,
Καί μιν δακρυχέουσ' ἔπεα πτερόεντα προσηύδα·
Ἕκτορ, τέκνον ἐμὸν, τάδε τ' αἴδεο, καί μ' ἐλέησον

" Tractasque nurus perniciosis manibus Achivorum.
" Ipsum verò forsitan extremum me canes in primis foribus
" Cruda-vorantes raptabunt, postquàm aliquis acuto aere
" Cominùs vel eminùs feriens ex artubus animam eripuerit,
" Quos nutrivi in aedibus, mensae asseclas janitores,
" Qui meo sanguine hausto, rabie-acti animis,
" Jacebunt in vestibulis: Juveni autem omninò decorum-est
" Pugnâ caeso, lacerato acuto aere,
" Jacere; omnia nempè honesta etiam mortuo quicquid apparuerit:
" Sed quum jam canumque caput, canamque barbam,
" Pudendaque deturpent canes occisi senis,
" Hoc utique miserrimum accidit miseris mortalibus."
Dixit quidem senex, canosque capillos extrahebat manibus,
Vellens è capite; neque Hectori animum flectebat.
Mater verò deinceps ex-aliâ parte lamentabatur lacrymas-fundens,
Sinum denudans, alterâ autem *manu* mamillam exeruit,
Et illum lachrymas-fundens verbis alatis allocuta est:
" Hector, fili mi, et haec reverere, et mei miserere

Ver. 65. —— ὀλοῆς.] *Al.* ὀλοῶν.

Ver. 67. —— ἐρύουσι.] Apud *Plutarchum*, loco suprà citato, ἐρύσωσιν.

Ibid. —— ἐπεί κέ τις.] *Al.* ἐπεί μέ τις.

Ver. 68. Τύψας, ἠὲ βαλὼν.] Vide suprà ad φ', 576. et ad ρ', 84.

Ver. 70. —— πιόντες.] *Al.* πίνοντες. Quod ferri non potest; nam πίνω primam semper producit.

Ibid. — ἀλύσσοντες.] Ὑπὸ πλησμονῆς ἀλύοντες· οἷον ἐν ἄλῃ ὄντες, δυσφοροῦντες. Οἱ δὲ εἶπον, ἄγαν λυττῶντες. Schol.

Ver. 72. Ἄρηϊ κταμένῳ.] *Al.* Ἄρει κτεινομένῳ.

Ver. 74. 76. Ἀλλ' ὅτε δὴ —— Τοῦτο δὴ.] Vide suprà ad β', 158. et ad ξ', 433.

Ver. 77. —— ἄρ'.] *Deinceps.*

Ver. 78. — οὐδ' Ἕκτορι θυμὸν ἔπειθε.]
— haudquaquam dictis violentia Turni
Flectitur: exuperat magis ——.
Æn. XII, 45.

Ver. 80. — ἑτέρηφι.] Vide suprà ad ν', 588.

Ver. 82. 85. —— τάδε τ' αἴδεο, καί μ' ἐλέησον —— μηδὲ πρόμος ἵστασο τούτῳ.]

Αὐτὴν, εἴ ποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον,
Τῶν μνῆσαι, φίλε τέκνον· ἄμυνε δὲ δήϊον ἄνδρα
Τείχεος ἐντὸς ἰών· μηδὲ πρόμος ἵστασο τούτῳ·
Σχέτλιος· εἴπερ γάρ σε κατακτάνῃ, οὔ σέ τ' ἔγωγε
Κλαύσομαι ἐν λεχέεσσι, φίλον θάλος, ὃν τέκον αὐτὴ,
Οὐδ' ἄλοχος πολύδωρος· ἄνευθε δέ σε μέγα νῶϊν
Ἀργείων παρὰ νηυσὶ κύνες ταχέες κατέδονται.
Ὣς τώ γε κλαίοντε προσαυδήτην φίλον υἱὸν,
Πολλὰ λισσομένω· οὐδ' Ἕκτορι θυμὸν ἔπειθον·
Ἀλλ' ὅγε μίμν' Ἀχιλῆα πελώριον ἆσσον ἰόντα.
Ὡς δὲ δράκων ἐπὶ χειῇ ὀρέστερος ἄνδρα μένῃσι,
Βεβρωκὼς κακὰ φάρμακ', ἔδυ δέ τέ μιν χόλος αἰνὸς,

"Ipsius, si unquam tibi vagitus-sedantem mammam praebui,
"Horum reminiscere, chare fili; arceque infestum virum
"Moenia ingressus: Neque prostes pugnator adversus ipsum;
"Praeferox: si enim te interemerit, haudquaquàm te ego
"Deflebo in lectis, charum germen, quem peperi ipsa,
"Neque uxor magnificè-dotata; seorsùm autem te longè à nobis
"Argivorum apud naves canes veloces comedent."
Sic hi lugentes alloquebantur dilectum filium,
Multis supplicantes; neque Hectori animum flectebant:
Sed is expectabat Achillem ingentem propiùs accedentem.
Ut verò draco ad lustrum ferus virum expectat,
Pastus mala venena; subiit autem et ipsum ira gravis,

Turne, per has ego te lachrymas, per siquis Amatæ
Tangit honos animum ———;
Unum oro: desiste manum committere Teucris. *Æn.* XII, 56. 60.

Ver. 83. — λαθικηδέα μαζὸν.] Τὸν λήθην ἐμποιοῦντα τοῖς παισὶ τῶν κακῶν πάντων. *Schol.*

Ibid. —— ἐπέσχον.] *Al.* ἀνέσχον.

Ver. 85. —— ἰών.] *Al.* ἐών.

Ver. 86. —— κατακτάνῃ.] Cod. *Harleian.* κατακτενεῖ.

Ibid. —— οὔ σέ τ' ἔγωγε Κλαύσομαι.]

Heu! terrâ ignotâ, canibus data præda Latinis
Alitibusque jaces! nec te tua funera mater
Produxi, pressive oculos, aut vulnera lavi. *Æn.* IX, 485.

Ver. 88. —— πολύδωρος.] Πολλὰ δωρουμένη ἀγαθά· ἢ, ἡ μετὰ πολλῶν δώρων καὶ ἕδνων γεγαμημένη. *Schol.* *Al.* πολύεδνος.

Ver. 91. Πολλὰ λισσομένω.] Edidit *Barnesius* Πολλὰ ἑ λισσομένω. Sed nihil opus. Vide suprà ad φ', 368.

Ver. 93. Ὡς δὲ δράκων.]

Qualis ubi in lucem coluber mala gramina pastus,
Frigida sub terrâ tumidum quem bruma tegebat,
Nunc positis novus exuviis, nitidusque juventâ,
Lubrica convolvit sublato pectore terga;
Arduus ad Solem, et linguis micat ore trisulcis. *Æn.* II, 471.

Scaliger hæc à *Virgilio* φυσικωτέρως quam ab *Homero* depicta existimat. "Solis appetentem atque apricantem, etiam *arduus ad Solem.* Erigit enim se, ac vibrantem linguam exerit. Proindè ait ——— *linguis micat ore trisulcis.* Obtutum tantùm torvum Homerus, optimè. Nihil enim illo acrius. Præterea cubilis sui propugnationem, à quo non discedit. Idcircò dixit; ἑλισσόμενος περὶ χειῇ, quo etiam propiùs tutum habeat receptum. Perpendes *tumidum.*" *Poëtic. Lib.* V. *cap.* 3. Atqui, ut opinor, utraque ad rem aptata est similitudo. *Homerus* nempè virum depingit, qui, vultu feroci, animoque ad pugnam parato, hostem ingruentem expectet; *Virgilius*, virum, qui in prœlio emicet, et ad domum regiam expugnandam acerrimè aggrediatur.

Ibid. —— χειῇ.] Σχισμῇ· λέγει δὲ, τῇ τοῦ δράκοντος καταδύσει. *Schol.*

Ver. 94. Βεβρωκὼς κακὰ φάρμακ'.] Οἱ δράκοντες ——— μέλλοντές τινα ἐλλοχᾷν ἢ ἄνθρωπον ἢ θῆρα, τὰς θανατοφόρους ῥίζας ἐσθίουσι, καὶ

Σμερδαλέον δὲ δέδορκεν, ἑλισσόμενος περὶ χειῇ·
Ὣς Ἕκτωρ, ἄσβεστον ἔχων μένος, οὐχ ὑπεχώρει,
Πύργῳ ἔπι προὔχοντι φαεινὴν ἀσπίδ' ἐρείσας·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὤμοι ἐγὼν, εἰ μέν κε πύλας καὶ τείχεα δύω,
Πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει,
Ὅς μ' ἐκέλευσε Τρωσὶ ποτὶ πτόλιν ἡγήσασθαι,
Νύχθ' ὕπο τήνδ' ὀλοὴν, ὅτε τ' ὤρετο δῖος Ἀχιλλεύς.
Ἀλλ' ἐγὼ οὐ πιθόμην· ἦτ' ἂν πολὺ κέδριον ἦεν·
Νῦν δ' ἐπεὶ ὤλεσα λαὸν ἀτασθαλίῃσιν ἐμῇσιν,
Αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους,
Μήποτέ τις εἴπῃσι κακώτερος ἄλλος ἐμεῖο,
Ἕκτωρ ἧφι βίηφι πιθήσας ὤλεσε λαόν.
Ὣς ἐρέουσιν· ἐμοὶ δὲ τότ' ἂν πολὺ κέρδιον εἴη,
Ἄντην ἢ Ἀχιλῆα κατακτείναντα νέεσθαι,

Horrendúmque aspicit, convolvens se circa latibulum:
Sic Hector, inextinguibili praeditus animorum-vi, non recedebat,
Turrim ad prominentem fulgido clypeo-acclinato:
Indignabundus verò dixit ad suum magnum animum:
" Hei mihi, si quidem portas et moenia ingressus fuero,
" Polydamas me primus probris onerabit,
" Qui me hortatus-est Trojanos ad urbem ducere,
" Nocte istâ exitiali, quandò surrexit-ad-certamen nobilis Achilles.
" At ego non parui; certè multò utilius fuisset:
" Nunc verò postquàm perdidi populum damnosâ-pertinaciâ meâ,
" Vereor Trojanos et Trojanas longa-peplorum-syrmata-trahentes,
" Ne quandò quis dicat deterior alius me;
" ' Hector suis viribus fretus perdidit copias.'
" Sic dicent: mihi verò tunc multò satius esset,
" Contrà *pugnando* aut Achille interfecto redire,

τὰς πόας μέντοι τὰς τοιαύτας. Οὐκ ἦν δὲ ἄρα οὐδὲ Ὅμηρος αὐτῶν τῆς τροφῆς ἀμαθής. Λέγει γοῦν ὅπως ἀναμένει περὶ τὸν φωλεὸν εἰλούμενος, προεμπλησθεὶς σιτίων πολλῶν φαρμακωδῶν καὶ κακῶν. *Ælian. de Animal. Lib.* VI. *cap.* 4.

Ver. 95. —— δέδορκεν.] Vide suprà ad β', 314.

Ver. 100. Πουλυδάμας μοι πρῶτος.] Ἀνδρειότατοι δοκοῦσιν εἶναι, παρ' οἷς οἱ δειλοὶ ἄτιμοι, οἱ δὲ ἀνδρεῖοι ἔντιμοι. Τοιούτους δὲ καὶ Ὅμηρος ποιεῖ, οἷον τὸν — Ἕκτορα· " Πουλυδάμας μοι " πρῶτος ἐλεγχείην ἀναθήσει." *Aristot. Ethic. Nicom. Lib.* III. *cap.* 11. Πάλιν ἐστὶν ἄλλη ἀνδρία πολιτικὴ δοκοῦσα εἶναι· οἷον εἰ δι' αἰσχύνην τὴν εἰς τοὺς πολίτας ὑπομένουσι τοὺς κινδύνους, καὶ δοκοῦσιν ἀνδρεῖοι εἶναι. Σημεῖον δὲ τούτου· καὶ γὰρ Ὅμηρος πεποίηκε τὸν Ἕκτορα λέγοντα. " Πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει." Διὸ οἴεται δεῖν μάχεσθαι. *Idem, Ethic. Magn. Lib.* I. *cap.* 21. Οἱ διὰ τὴν αἰδῶ ὑπομένοντες, μάλιστα φανεῖεν ἀνδρεῖοι· καθάπερ καὶ Ὅμηρος τὸν Ἕκτορά φησιν ὑπομεῖναι τὸν κίνδυνον τὸν πρὸς Ἀχιλλέα. Ἕκτορα δ' αἰδὼς εἷλε, " Πουλυδά- " μας μοι πρῶτος ἐλεγχείην ἀναθήσει." Καὶ ἔστιν ἡ πολιτικὴ ἀνδρία αὕτη. *Id. Ethic. Eudem. Lib.* III. *cap.* 1.

Ibid. —— πρῶτος ἐλεγχείην ἀναθήσει.] *Al.* πρῶτον ἐλεγχείην καταχεύοι.

Ver. 101. Ὅς μ' ἐκέλευσε Τρωσὶ ποτὶ πτόλιν ἡγήσασθαι.] Suprà σ', 254. 266.

Ibid. — ἐκέλευσε.] Cod. *Harleian.* ἐκέλευε. Quo modo et in duobus MSS. scriptum repperit *Barnesius.* Verùm, ut opinor, hoc quidem in loco præstat vulgata lectio. Vide suprà ad ν', 84. et ad ά, 37.

Ver. 102. —— ὅτε τ'.] *Quandò utique.* —— *Quandò videlicèt* ———.

Ver. 107. — βίηφι.] Vide suprà ad ν', 588.

Ver. 109. Ἄντην ἢ Ἀχιλῆα.] *Al.* Ἢ ἄντην Ἀχιλῆα.

Ibid. κατακτείναντα.] Cod. *Harleian.* κατακτείναντι.

Ἠέ κεν αὐτῷ ὀλέσθαι ἐϋκλειῶς πρὸ πόληος.
Εἰ δέ κεν ἀσπίδα μὲν καταθείομαι ὀμφαλόεσσαν,
Καὶ κόρυθα βριαρὴν, δόρυ δὲ πρὸς τεῖχος ἐρείσας,
Αὐτὸς ἰὼν Ἀχιλῆος ἀμύμονος ἀντίος ἔλθω,
Καί οἱ ὑπόσχωμαι Ἑλένην, καὶ κτήμαθ᾽ ἅμ᾽ αὐτῇ
Πάντα μάλ᾽, ὅσσα τ᾽ Ἀλέξανδρος κοίλης ἐνὶ νηυσὶν
Ἠγάγετο Τροίηνδ᾽, ἥ τ᾽ ἔπλετο νείκεος ἀρχὴ,
Δωσέμεν Ἀτρείδῃσιν ἄγειν, ἅμα τ᾽ ἀμφὶς Ἀχαιοῖς
Ἀλλ᾽ ἀποδάσσεσθαι, ὅσσα πτόλις ἥδε κέκευθε·
Τρωσὶν δ᾽ αὖ μετόπισθε γερούσιον ὅρκον ἕλωμαι,
Μήτι κατακρύψειν, ἀλλ᾽ ἄνδιχα πάντα δάσασθαι,
Κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργει.
Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
Μή μιν ἐγὼ μὲν ἵκωμαι ἰών· ὁ δέ μ᾽ οὐκ ἐλεήσει,
Οὐδέ τι μ᾽ αἰδέσεται, κτενέει δέ με, γυμνὸν ἐόντα,
Αὔτως, ὥστε γυναῖκα, ἐπεί κ᾽ ἀπὸ τεύχεα δύω.
Οὐ μέν πως νῦν ἐστὶν ἀπὸ δρυὸς οὐδ᾽ ἀπὸ πέτρης

" Aut ab ipso interfici gloriosè pro urbe.
" Quòd si clypeum quidem deposuero umbonibus munitum,
" Et cassidem validam, hastâque ad murum acclinatâ,
" Ipse profectus Achilli eximio obvius venero,
" Et ei pollicear Helenam, et opes cum ipsâ
" Omnes prorsùs, quascunque Alexander cavis in navibus
" Duxit ad Trojam, quae fuit certaminis origo,
" Daturum Atridis abducendas, simulque separatim Achivis
" Alias distributurum, quascunque urbs haec abditas-habet:
" A Trojanis verò deindè honorabile jusjurandum exigam,
" Nihil occultaturos, sed bifariàm omnia divisuros,
" Facultates quascunque urbs amabilis intùs continet.
" Sed cur mihi haec meus secum-disserit animus?
" *Vereor*, ne ei ego quidem supplicem profectus; is autem meî non misereatur,
" Neque omninò me revereatur, interficiat verò me, inermem existentem,
" Temerè, tanquam mulierem, postquàm arma exuero.
" Non sanè prorsùs nunc licet à quercu neque à petrâ

Ver. 110. Ἠέ κεν αὐτῷ ὀλέσθαι.] Ὑπὸ τοῦ Ἀχιλλέως δαμασθῆναι. *Schol.* MSS. apud *Barnesium.* Cæterùm Codex *Harleianus* hîc legit, Ἠέ κεν αὐτὸν ὀλέσθαι. *Al.* Ἤ κεν ὑπ᾽ αὐτῷ ὀλέσθαι.

Ver. 116. —— ἥ τ᾽ ἔπλετο νείκεος ἀρχὴ.]
—— Primus leti primusque malorum
Causa fuit ———— ———. *Æn.* IV, 169.
—— Quæ prima malorum
Causa fuit ————. *Æn.* VII, 481.

Ver. 117. —— ἅμα τ᾽ ἀμφὶς.] *Al.* ἅμα δ᾽ ἀμφίς.

Ver. 118. —— ἀποδάσσεσθαι.] *Al.* ἀποδάσσασθαι.

Ibid. —— κέκευθε.] Vide suprà ad ά, 37.

Ver. 120. —— δάσασθαι.] *Henricus Stephanus* reponendum censet δάσεσθαι propter præcedentem κατακρύψειν.

Ver. 121. —— ἐπήρατον.] Vide suprà ad σ΄, 512.

Ver. 124. —— κτενέει.] *Al.* κτανέει.

Ver. 126. —— ἀπὸ δρυὸς οὐδ᾽ ἀπὸ πέτρης Τῷ ὀαριζέμεναι.]

Ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην;
Hesiod. Theogon. 35.

Οὐκ ἔστι, φησὶν, ἄντικρυς Ἀχιλλέως μύθους διηγεῖσθαι, ὁποίους ἂν παρθένοι, καὶ ἤϊθεοι· ——— οἱ γὰρ παλαιοὶ νομαδικῷ ἐχρῶντο βίῳ, οἰκίας μηδέπω κεκτημένοι· αἱ οὖν γυναῖκες τίκτουσαι ἐν τοῖς ὄρεσιν ὑπὸ τὰ κοιλώματα τῶν πετρῶν καὶ

Τῷ ὀαριζέμεναι, ἅτε παρθένος ἠΐθεός τε,
Παρθένος ἠΐθεός τ', ὀαρίζετον ἀλλήλοισιν.
Βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν· ὅττι τάχιστα
Εἴδομεν, ὁπποτέρῳ κεν Ὀλύμπιος εὖχος ὀρέξῃ.
Ὣς ὅρμαινε μένων· ὁ δέ οἱ σχεδὸν ἦλθεν Ἀχιλλεὺς,
Ἶσος Ἐνυαλίῳ κορυθάϊκι πτολεμιστῇ,
Σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον,
Δεινήν· ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο εἴκελος αὐγῇ
Ἢ πυρὸς αἰθομένοιο, ἢ ἠελίου ἀνιόντος.
Ἕκτορα δ', ὡς ἐνόησεν, ἕλε τρόμος, οὐδ' ἄρ' ἔτ' ἔτλη
Αὖθι μένειν, ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς.
Πηλείδης δ' ἐπόρουσε, ποσὶ κραιπνοῖσι πεποιθώς·
Ἠΰτε κίρκος ὄρεσφιν, ἐλαφρότατος πετεηνῶν,
Ῥηϊδίως οἴμησε μετὰ τρήρωνα πέλειαν·
Ἡ δέ θ' ὕπαιθα φοβεῖται· ὁ δ' ἐγγύθεν ὀξὺ λεληκὼς

" Cum hoc confabulari, ceu virgo juvenisque,
" Virgo juvenisque confabulantur inter se.
" Satius verò certamine congredi: quàm celerrimè
" Videamus, utri Olympius gloriam praebiturus sit."
Haec animo-versabat manens: Ast ad eum propè accessit Achilles,
Par Marti galeam-quassanti bellatori,
Vibrans Peliacam hastam ad dextrum humerum
Terribilem; circùm verò aes splendebat simile fulgori
Vel ignis ardentis, vel solis orientis.
Hectorem verò, ut vidit, cepit tremor, neque ampliùs sustinuit
Illic manere, à tergo autem portas reliquit, abiitque perterritus.
Pelides verò irruit, pedibus rapidis fretus;
Veluti Circus in montibus, velocissimus volucrum,
Facilè impetum-dat in pavidam columbam:
Haec autem obliquè fugit: iste verò in-proximo acutum-edens-clangorem,

---

δρυῶν [τὰ βρέφη] ἀνέστρεφον· εὑρίσκοντες δέ τινες, ἐνόμιζον ἐκεῖθεν γεγεννῆσθαι· ἡ ἱστορία παρὰ Διδύμῳ. *Schol.*

Gensque virûm truncis et duro robore nata. *Æn.* VIII, 315.

Ver. 127. ——— ἅτε παρθένος ἠΐθεός τε, Παρθένος ἠΐθεός τ'.] " Nascitur pathos et de " repetitione, quam Græci ἐπαναφορὰν vo- " cant, cum sententiæ ab iisdem nominibus " incipiunt. Hinc *Virgilius*, (*Georg.* IV. " 525.):

" ——— Eurydicen vox ipsa et frigida
" lingua,
" Ah miseram Eurydicen, animâ fugiente,
" vocabat.
" Eurydicen toto referebant flumine ripæ."

Macrob. Lib. IV. *cap.* 6. Τὸ δὲ σχῆμα, ἐπανάληψις δι' ἐπαναστροφῆς, ὅμοιον τῷ, " εἰ πυρὶ " χεῖρας ἔοικεν, Εἰ πυρὶ χεῖρας ἔοικε, μένος δὲ " σιδήρῳ." *Eustath.* Vide suprà ad ύ, 371. et infrà ad ψ', 641.

Ver. 128. —— ἀλλήλοισιν.] Cod. *Harleian.* ἀλλήλοιϊν.

Ver. 130. ——— ὀρέξῃ.] Cod. *Harleian.* ὀρέξει.

Ver. 132. —— κορυθάϊκι.] Κορυθαίολος, —— ὁ συνεχῶς κινῶν τὴν κόρυθα· ὃ μεταποιηθὲν, ἐπὶ τοῦ Ἄρεος, ἔφη, " Ἶσος Ἐνυαλίῳ κορυθάϊκι." *Porphyr. Quæst. Homeric.* 3. Vide suprà ad β', 816.

Ver. 133. —— Πηλιάδα μελίην.] Quâ ratione, Πηλιάδα, hîc ultimam producat; item ὕδατι, *ver.* 149. et πρὶν, *ver.* 156. vide suprà ad ά, 51.

Ver. 134. —— εἴκελος.] Vide suprà ad ύ, 423. et ad ν', 53.

Ver. 135. —— αἰθομένοιο.] Cod. *Harleian.* αἰθομένου.

Ver. 138—141. —— πεποιθώς· —— λεληκὼς.] Vide suprà ad β', 314.

Ver. 139. Ἠΰτε κίρκος.] Vide suprà ad φ', 493.

Ταρφέ' ἐπαΐσσει, ἑλέειν τέ ἑ θυμὸς ἀνώγει·
Ὣς ἄρ' ὅγ' ἐμμεμαὼς ἰθὺς πέτετο· τρέσε δ' Ἕκτωρ
Τεῖχος ὑπὸ Τρώων, λαιψηρὰ δὲ γοῦνατ' ἐνώμα.
Οἱ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα
Τείχεος αἰὲν ὑπ' ἐκ κατ' ἀμαξιτὸν ἐσσεύοντο·
Κρουνὼ δ' ἵκανον καλλιῤῥόω, ἔνθα δὲ πηγαὶ
Δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος.
Ἡ μὲν γάρ θ' ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνὸς
Γίνεται ἐξ αὐτῆς, ὡσεὶ πυρὸς αἰθομένοιο·
Ἡ δ' ἑτέρη θέρεϊ προρέει, εἰκυῖα χαλάζῃ,
Ἢ χιόνι ψυχρῇ, ἢ ἐξ ὕδατος κρυστάλλῳ.
Ἔνθα δ' ἐπ' αὐτάων πλυνοὶ εὐρέες ἐγγὺς ἔασι
Καλοὶ, λαΐνεοι, ὅθι εἵματα σιγαλόεντα
Πλύνεσκον Τρώων ἄλοχοι, καλαί τε θύγατρες,

Crebros faciens impetus, insequitur, capereque illam animus jubet:
Sic utique ille ardens rectà volabat: trepidus autem fugiebat Hector
Muro sub Trojanorum, velociaque genua movebat.
Hi verò praeter speculam et caprificum ventosam
Murum usque subter per viam-publicam rapido-cursu-ferebantur:
Ad scaturigines autem pervenerunt pulchrè-fluentes, ubi nempè fontes
Duo erumpunt Scamandri vorticosi.
Alter quidem aquâ calidâ fluit, circumque fumus
Oritur ex ipso, velut *ab* igne ardenti:
Alter verò aestate profluit, similis grandini,
Vel nivi frigidae, vel ex aquâ *concretae* glaciei.
Illic autem ad ipsos labra-ad-lavandum lata propè sunt,
Pulchra, lapidea, ubi vestes speciosas
Lavabant Trojanorum uxores, pulchraeque filiae,

Ver. 142.—— ἑλέειν τέ ἑ.] *Al.* ἑλέειν δέ τε.

Ver. 143.—— ἄρ'.] *Ut dictum est* ——, *ver.* 138.

Ibid. —— τρέσε δ' Ἕκτωρ.]

Ergo amens diversa fugâ petit æquora Turnus,
Et nunc huc, inde huc incertos implicat orbes. *Æn.* XII, 742.

Ver. 144. Τεῖχος.] *Al.* τείχη.

Ver. 145.— ἐρινεὸν.] Vide suprà ad ζ', 433.

Ver. 146. Τείχεος αἰὲν ὑπ' ἐκ κατ' ἀμαξιτὸν ἐσσεύοντο.] Τὸ ἑξῆς, Κατ' ἀμαξιτὸν ἐσσεύοντο, ὑπ' ἐκ τείχεος, ὁ μὲν ὑποδῦναι τὸ τεῖχος σπουδάζων· ὁ δὲ ἐκτὸς αὐτὸν ἀεὶ κωλύειν. *Schol.* MSS. apud *Barnesium.*

Ibid. —— ὑπ' ἐκ.] *Al.* ὑπέρ.

Ver. 148.—— Σκαμάνδρου.] Cod. *Harleian.* Καμάνδρου.

Ver. 151. Ἡ δ' ἑτέρη θέρεϊ προρέει.] "Est "adeò invenire apud nobiles poëtas hujus-"cemodi suavitatis multa, quæ apparent "novata esse non fortuita; sed præter cæ-"teros omnes apud Homerum plurima. "Uno quippe in loco tales tanquam hiatus "et sonitus in assiduis vocibus pluris fa-"cit:

"Ἡ δ' ἑτέρη θέρεϊ προρέει, εἰκυῖα χαλάζῃ,
"Ἢ χιόνι ψυχρῇ, ἢ ἐξ ὕδατος κρυστάλλῳ."
Gell. lib. VII. *cap.* 20.

Ver. 153. 155. —— πλυνοὶ —— Πλύνεσκον.] Quâ analogiâ ex λῡω fit λῠσις, λῠτὸς; ex κρῖνω, κρῐσις, κρῐτὸς; ex μαρτῡρομαι, μάρτῠρος; ex νῖφειν, νῐφαδες; ex φαῖνω, ἐμφᾰσις, ἐμφᾰνὴς; eâdem ex πλῡνω fit πλῠνοὶ, ἐϋπλῠνής·

Πλυνούσῃ τις πρῶτα ——. *Odyss.* ό, 419.
—— πολλὸν γὰρ ἄπο πλυνοί εἰσι πόληος. ζ', 140.
Τῶν οἱ ἕκαστος φᾶρος ἐϋπλυνὲς, ἠδὲ χιτῶνα. θ', 392.

Vide suprà ad ά, 338. ad ζ', 434. ad μ', 280. et ad ν', 414.

Ver. 155. Πλύνεσκον.] *Lavare solebant.* Vide suprà ad β', 221. et ad ν', 84.

Τοπρὶν ἐπ' εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν.
Τῇ ῥα παραδραμέτην, φεύγων, ὁ δ' ὄπισθε διώκων·
Πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων
Καρπαλίμως· ἐπεὶ οὐχ ἱερήϊον, οὐδὲ βοείην
Ἀρνύσθην, ἅ,τε ποσσὶν ἀέθλια γίνεται ἀνδρῶν,
Ἀλλὰ περὶ ψυχῆς θέον Ἕκτορος ἱπποδάμοιο.
Ὡς δ' ὅτ' ἀεθλοφόροι περὶ τέρματα μώνυχες ἵπποι
Ῥίμφα μάλα τρωχῶσι· τὸ δὲ μέγα κεῖται ἄεθλον,
Ἢ τρίπος, ἠὲ γυνὴ, ἀνδρὸς κατατεθνειῶτος·
Ὣς τὼ τρὶς Πριάμοιο πόλιν περιδινηθήτην
Καρπαλίμοισι πόδεσσι· θεοὶ δέ τε πάντες ὁρῶντο.

Olim tempore pacis, priusquàm venissent filii Achivorum.
Hàc utique praetercurrerunt, *alter* fugiens, alterque à tergo persequens:
Ante quidem fortis fugiebat, persequebatur verò ipsum multò fortior
Rapidè: Neque enim victimam, neque bubulam pellem
Adipisci-conabantur, qualia pedibus praemia sunt virorum;
Sed de animâ *certantes* currebant Hectoris equûm-domitoris.
Ut verò cùm assueti-vincere circa metas solidis-ungulis equi
Celeritèr admodùm currunt; magnum autem propositum est praemium,
Vel tripos, vel mulier, viri *in honorem* defuncti:
Sic hi ter Priami urbem gyro-circum-acti sunt
Rapidis pedibus: Dii verò omnes spectabant.

Ver. 157. Τῇ ῥα.] *Eâ utique* ———. *Eâ inquam*———.

Ver. 159. ——— ἐπεὶ οὐχ ἱερήϊον, ——— Ἀλλὰ περὶ ψυχῆς.]

——— nec enim levia aut ludicra petuntur
Præmia, sed Turni de vitâ et sanguine
certant. *Æn.* XII, 764.

" Ἱερεῖον, quod propriè est *sacrificium*, significat etiam *quodvis animal quod in cibum mactatur*: ἱερεῖα sunt ἁπλῶς τὰ θρέμματα, *pecudes quæ mactantur in usum et in esum hominibus; animantes, quarum vescimur carnibus.* ——— Neque certè aliter sumi videtur hæc vox apud Homerum, in loco illo insigni *Iliad.* χ'.

" ——— ἐπεὶ οὐχ ἱερήϊον, οὐδὲ βοείην
" Ἀρνύσθην, ἅ τε ποσσὶν ἀέθλια γίνεται ἀνδρῶν,
" Ἀλλὰ περὶ ψυχῆς θέον Ἕκτορος ἱπποδάμοιο."

Duport. Prælect. in Theophrast. cap. 9.

" Ἱερεῖα sunt animantes, quarum vescimur carnibus. ——— Atqui non alitèr veteres grammatici illud Homeri interpretantur; ἐπεὶ οὐχ' ἱερήϊον, οὐδὲ βοείην. Rectéque notant iidem, ἱερεῖα dici ἁπλῶς τὰ θρέμματα, pecudes et quæcunque esui solent esse mortalibus." *Casaub. in Athenæum, Lib.* I. *cap.* 11.

Ver. 161. Ἀλλὰ περὶ ψυχῆς θέον.] Τὸ δὲ " περὶ ψυχῆς ἔθεον" παροιμίαν ἀπετέλεσε λέγουσαν τὸν περὶ ψυχῆς θέειν, ὅτε τις ἀγωνιῶν ἐπὶ ἐσχάτῳ κινδύνῳ διαπράττεταί τι. *Eustath.*

Ibid. et *ver.* 211. ——— ἱπποδάμοιο.] Vide suprà ad β', 23.

Ver. 162. — τέρματα.] Τέλη τῆς νίκης καὶ τοῦ ἀγῶνος· ἢ καμπτῆρας· ὅταν οἱ ἵπποι ὀξύτερον θέουσι, πλησιάζοντες ἐγγύτερον τῆς νίκης. *Schol.* MSS. apud *Barnesium.*

Ver. 163. ——— τρωχῶσι.] *Al.* τροχόωσι.

Ibid. — τὸ δὲ μέγα.] Edidit *Barnesius*, τὸ δὴ μέγα. Sed nihil opus. Vide suprà ad ά, 51.

Ver. 164. — ἀνδρὸς κατατεθνειῶτος.] Legitur et ἀνδρὸς περὶ τεθνειῶτος· notante *Henrico Stephano.*

Ibid. — κατατεθνειῶτος.] Vide suprà ad ν', 46. et ad ζ', 464. *Al.* κατατεθνηῶτος.

Ver. 165. ——— πόλιν περιδινηθήτην.] Οὐδ' ἡ τοῦ Ἕκτορος δὲ περιδρομὴ ἡ περὶ τὴν πόλιν ἔχει τι εὔλογον· οὐ γάρ ἐστι περίδρομος ἡ νῦν, διὰ τὴν συνεχῆ ῥάχιν· ἡ δὲ παλαιὰ ἔχει περιδρομήν. *Strabo, Geograph. lib.* XIII. Cæterùm Codex *Harleianus* legit πόλιν πέρι δινηθήτην.

Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ὦ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
Ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ
Ἕκτορος, ὅς μοι πολλὰ βοῶν ἐπὶ μηρί' ἔκηεν,
Ἴδης ἐν κορυφῇσι πολυπτύχου, ἄλλοτε δ' αὖτε
Ἐν πόλει ἀκροτάτῃ· νῦν αὖτέ ἑ δῖος Ἀχιλλεὺς
Ἄστυ περὶ Πριάμοιο ποσὶν ταχέεσσι διώκει.
Ἀλλ' ἄγετε, φράζεσθε, θεοὶ, καὶ μητιάασθε,
Ἠέ μιν ἐκ θανάτοιο σαώσομεν, ἠέ μιν ἤδη
Πηλείδῃ Ἀχιλῆϊ δαμάσσομεν, ἐσθλὸν ἐόντα.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Ὦ πάτερ, ἀργικέραυνε, κελαινεφὲς, οἷον ἔειπες;
Ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ,
Ἂψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
Ἔρδ'· ἀτὰρ οὔτοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Θάρσει, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῷ
Πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι·
Ἔρξον, ὅπῃ δή τοι νόος ἔπλετο, μηδέ τ' ἐρώει.

Inter hos autem sermonem orsus est pater hominumque deûmque :
" Proh malum, profectò dilectum virum agitari circa murum
" Oculis video : meum autem dolet cor
" *De* Hectore, qui mihi multa boûm femora adolevit,
" Idae in verticibus multas-convalles-habentis ; interdum etiam
" In urbe summâ : nunc verò eum nobilis Achilles
" Urbem circa Priami pedibus velocibus insequitur.
" Sed agite, deliberate, dii, et consultate,
" An eum è morte salvum-eripiemus, an eum jam
" Sub Pelidâ Achille domabimus, bonum licèt."
Hunc verò allocuta est dea oculis-caesia Minerva :
" O pater, rutuli-fulminis-missor, atras-nubes-cogens, quale dixisti ?
" Virum mortalem, jam olim destinatum fato,
" Jam vis à morte tristi liberare ?
" Fac : at non tibi omnes assentiemur dii caeteri."
Hanc autem respondens allocutus est nubes-cogens Jupiter :
" Bono esto animo, Tritonia, dilecta filia : neutiquam animo
" Serio loquor, volo autem tibi mitis esse :
" Fac, prout tibi animus est, neque quid cessa."

Ver. 167. ——— πατὴρ ἀνδρῶν τε θεῶν τε.] Vide suprà ad ό, 12.

Ver. 168. Ὦ πόποι, ἦ φίλον ἄνδρα.] Vituperat hunc locum *Plato :* Δεησόμεθα [Ὁμήρου] μή τοι ——— τόν γε μέγιστον τῶν θεῶν τολμῆσαι οὕτως ἀνομοίως μιμήσασθαι, ὥστε, " Ὦ πόποι, " (φάναι) ἦ φίλον ἄνδρα διωκόμενον περὶ ἄστυ " Ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ." *De Republ. lib.* 3. Ubi in transcursu notandum pro τεῖχος, legisse *Platonem*, ἄστυ.

Ver. 172. Ἐν πόλει ἀκροτάτῃ.] Sic apud *Virgilium :*
Urbe ——— summâ ———.
Æn. VII, 171.

Ver. 177. ——— γλαυκῶπις Ἀθήνη.] Vide suprà ad ά, 206.

Ver. 178. ——— ἔειπες.] *Al.* ἔειπας. Ut alibi sæpè.

Ver. 182. — νεφεληγερέτα.] Vide suprà ad ά, 175.

Ὣς εἰπὼν, ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
Βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα.
Ἕκτορα δ' ἀσπερχὲς κλονέων ἔφεπ' ὠκὺς Ἀχιλλεύς.
Ὡς δ' ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο δίηται,
Ὄρσας ἐξ εὐνῆς, διά τ' ἄγκεα, καὶ διὰ βήσσας·
Τὸν δ', εἴπερ τε λάθῃσι καταπτήξας ὑπὸ θάμνῳ,
Ἀλλά τ' ἀνιχνεύων θέει ἔμπεδον, ὄφρα κεν εὕρῃ·
Ὣς Ἕκτωρ οὐ λῆθε ποδώκεα Πηλείωνα.
Ὁσσάκι δ' ὁρμήσειε πυλάων Δαρδανιάων
Ἀντίον ἀΐξασθαι, ἐϋδμήτους ἐπὶ πύργους,
Εἴπως οἱ καθύπερθεν ἀλάλκοιεν βελέεσσι·
Τοσσάκι μιν προπάροιθεν ἀποστρέψασκε παραφθὰς
Πρὸς πεδίον γ'· αὐτὸς δὲ ποτὶ·πτόλιος πέτετ' αἰεί.
Ὡς δ' ἐν ὀνείρῳ οὐ δύναται φεύγοντα διώκειν·

Sic locutus, impulit anteà paratam-animo Minervam:
Descendit autem *ea* ab Olympi verticibus impetu-facto.
Hectorem verò indesinentèr urgens sequebatur celer Achilles.
Ut verò quum hinnulum in montibus canis cervae insequitur,
Excitatum è cubili: perque convalles et per fruticeta;
Eum autem, etiam si lateat metu-perculsus sub arbusto,
Tamen vestigia-legens currit perpetuò, donec inveniat:
Sic Hector non latebat pedibus-velocem Pelidem.
Quoties verò impetum-sumeret ad portas Dardanias
Rectà ruere benè-aedificatas versus turres,
Si quo modo ei desupèr auxiliarentur telis;
Toties eum avertebat praevertens
In campum: ipse autem prope urbem volabat semper.
Ut verò in somno non potest fugientem consequi;

Ver. 187. Βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα.]
Illa viam celerans ————
———— cito decurrit tramite virgo.
Æn. V, 609.

Ver. 188. Ἕκτορα δ' ἀσπερχὲς κλονέων ἔφεπ' ὠκὺς Ἀχιλλεύς. Ὡς δ' ὅτε νεβρὸν.]
Nec minùs Æneas ————
Insequitur; trepidique pedem pede fervidus urget.
Inclusum veluti siquando in flumine nactus
Cervum, aut puniceæ septum formidine pennæ,
Venator cursu canis et latratibus instat:
Ille autem insidiis et ripâ territus altâ,
Mille fugit refugitque vias; at vividus Umber
Hæret hians ——. *Æn.* XII, 746. 748.

Ver. 190. — διά τ' ἄγκεα, καὶ διὰ βήσσας.] Οὕτω καλοῦνται οἱ κοῖλοι καὶ βάσιμοι τῶν ὀρῶν τόποι. *Schol.*

Ver. 191. ——— ὑπὸ θάμνῳ.] Θάμνοι καλοῦνται οἱ σύμφυτοι καὶ ὑλώδεις τόποι, παρὰ τὸ θαμινόν. *Schol.*

Ver. 195. — ἐπὶ πύργους.] *Al.* ὑπὸ πύργους.

Ver. 197. ——— παραφθὰς.] Ita ex uno MS. edidit *Barnesius*; quocum facit et Codex *Harleianus*. *Al.* παραστάς.

Ver. 198. ——— πεδίον γ' αὐτὸς.] Cod. *Harleian.* πεδίον· αὐτός. Quod et ferri possit. Vide suprà ad ά, 51.

Ver. 199. Ὡς δ' ἐν ὀνείρῳ.]
Ac velut in somnis, oculos ubi languida pressit
Nocte quies, nequicquam avidos extendere cursus
Velle videmur, et in mediis conatibus ægri
Succidimus; non lingua valet, non corpore notæ
Sufficiunt vires, nec vox, nec verba sequuntur. *Æn.* XII, 908.
——— jam jamque tenet, similisque tenenti

Οὔτ' ἄρ' ὁ τὸν δύναται ὑποφεύγειν, οὔθ' ὁ διώκειν·
Ὣς ὁ τὸν οὐ δύνατο μάρψαι ποσὶν, οὐδ' ὃς ἀλύξαι.
Πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγεν θανάτοιο,
Εἰ μή οἱ πύματόν τε καὶ ὕστατον ἤντετ' Ἀπόλλων
Ἐγγύθεν, ὅς οἱ ἐπῶρσε μένος λαιψηρά τε γοῦνα;
Λαοῖσιν δ' ἀνένευε καρήατι δῖος Ἀχιλλεὺς,
Οὐδ' εἴα ἔμεναι ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα·
Μήτις κῦδος ἄροιτο βαλὼν, ὁ δὲ δεύτερος ἔλθοι.
Ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπὶ κρουνοὺς ἀφίκοντο,
Καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα·

Neque alter alterum potest effugere, neque alter consequi:
Sic hic illum non poterat assequi pedibus, neque ille effugere.
Quo verò tandem pacto Hector fata effugere potuisset mortis,
Nisi ei postremúmque et ultimùm occurrisset Apollo
Propè, qui ei excitavit robur velociaque genua?
Copiis autem renuebat capite nobilis Achilles,
Neque sinebat mittere in Hectorem amara tela;
Ne quis gloriam auferret percutiens, ipseque secundus veniret.
Sed quandò jam quartùm ad scaturigines pervenerant,
Tum verò aureas pater attollebat lances;

Increpuit malis, et morsu elusus inani est.
Ibid. 754.

Quorum priorem ad locum *Scaliger:* "Etiam "numerus (inquit) nobis notandus est. Ex- "tendit enim, aut extendere conatur cur- "sum accentus medius in verbo illo, *vide-* "*mur.* In aliis enim versibus ferè est cæ- "sura; hîc autem superest adhuc una syl- "laba." *Poëtic. Lib.* V. *cap.* 3. Similis ferè cæsuræ dispositio hîc apud Homerum in voce ὀνείρῳ observanda est.

Ver. 201. —— δύνατο μάρψαι.] *Barnesius* inter varias lectiones retulit δύναται μάρψαι. Quo modo non constaret Temporum ratio. Vide suprà ad ά, 37. Porrò, quâ ratione δύνατο hîc ultimam producat; item ὃς, *ver.* 204. et ἐπὶ, *ver.* 225. et μένεος, *ver.* 282. vide suprà ad ά, 51.

Ver. 205. Λαοῖσιν δ' ἀνένευε.] *Al.* Ἄλλοισιν δ' ἀνένευε. Quo modo legit et Codex *Harleianus.*

Æneas mortem contra præsensque minatur
Exitium, si quisquam adeat ——.
Æn. XII, 760.

Ver. 206. Οὐδ' εἴα ἔμεναι.] *Al.* Οὐδ' ἔα ἵεμεναι.

Ver. 207. Μήτις κῦδος.] Οὐδὲ γὰρ τὸν Ἀχιλλέα ποιεῖν ἀνδρὸς ἔργον, ἀλλὰ μειρακίου παντάπασιν ἐμπλήκτου καὶ σεσοβημένου πρὸς δόξαν, ἀνανεύοντα τοῖς ἄλλοις καὶ διακωλύοντα βάλλειν Ἕκτορα· "Μή τις κῦδος ἄροιτο βαλὼν, ὁ δὲ δεύτερος ἔλθοι." *Plutarch. in Pompeio.*

Ibid. —— βαλὼν.] *Al.* ἑλών.

Ver. 208. Ἀλλ' ὅτε δὴ τὸ τέταρτον.]

Quinque orbes explent cursu, totidemque retexunt
Huc, illuc ——. *Æn.* XII, 763.

Ver. 209. Καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα.]

Jupiter ipse duas æquato examine lances
Sustinet, et fata imponit diversa duorum;
Quem damnet labor, et quo vergat pondere letum. *Æn.* XII, 725.

Inferiorem hîc Virgilium Homero observavit *Macrobius,* eò quòd Homerus hæc, jam antequàm appareret utram in partem propenderet victoria; *Virgilius* autem eadem serò dicat, postquàm et prævisum et prædictum fuisset (*Æn.* XII, 149, 150.) Turnum utique periturum. "Hæc autem ratio fuit non "æquandi omnia quæ ab auctore transcrip- "sit, quod in omni operis sui parte alicujus "Homerici loci imitationem volebat inse- "rere, nec tamen humanis viribus illam "divinitatem ubique poterat æquare. —— "Sed hæc et alia ignoscenda Virgilio, qui "studii circa Homerum nimietate excedit "modum; et reverà non poterat non in "aliquibus minor videri, qui per omnem "poësin suam hoc uno est præcipuè usus "archetypo. Acritèr enim in Homerum "oculos intendit, ut æmularetur non modò "magnitudinem, sed et simplicitatem, et "præsentiam orationis, et tacitam majesta- "tem. Hinc diversarum inter heroas suos

Ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο,
Τὴν μὲν, Ἀχιλλῆος, τὴν δ', Ἕκτορος ἱπποδάμοιο·
Ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ,
Ὤχετο δ' εἰς ἀΐδαο· λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων.
Πηλείωνα δ' ἵκανε θεὰ γλαυκῶπις Ἀθήνη,
Ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
  Νῦν δὴ νῶϊ γ' ἔολπα, Διῒ φίλε, φαίδιμ' Ἀχιλλεῦ,
Οἴσεσθαι μέγα κῦδος Ἀχαιοῖσι προτὶ νῆας,
Ἕκτορα δηϊώσαντε, μάχης ἆτόν περ ἐόντα.
Οὔ οἱ νῦν ἔτι γ' ἐστὶ πεφυγμένον ἄμμε γενέσθαι,
Οὐδ' εἴ κεν μάλα πολλὰ πάθοι ἑκάεργος Ἀπόλλων,
Προπροκυλινδόμενος πατρὸς Διὸς αἰγιόχοιο.
Ἀλλὰ σὺ μὲν νῦν στῆθι καὶ ἄμπνυε· τόνδε δ' ἐγώ τοι
Οἰχομένη πεπιθήσω ἐναντίβιον μαχέσασθαι.

Imposuitque duo fata longum-somnum-adferentis mortis,
Hoc quidem, Achillis, illud verò, Hectoris equûm-domitoris:
Sustinuitque medias prehensas: Inclinata autem est Hectoris fatalis dies,
Descenditque ad orcum: reliquitque illum Phoebus Apollo.
Ast ad Pelidem accessit dea caesia-oculis Minerva,
Et propè stans verbis alatis allocuta est:
" Nunc demùm nos utique spero, Jovi dilecte, illustris Achille,
" Relaturos magnam gloriam Achivis ad naves,
" Hectore caeso; pugnae insatiabilis licèt sit.
" Non ei nunc ampliùs certè licet nos effugere,
" Nè quidem si perquàm multùm laboret longè-jaculans Apollo,
" Advolvens se pedibus patris Jovis Aegiochi.
" Sed tu quidem nunc sta et respira; huic verò ego tecum
" Accedens persuadebo adversis-viribus pugnare."

" personarum varia magnificatio; hinc deorum interpositio; hinc auctoritas fabulosorum; hinc affectuum naturalis expressio; hinc monumentorum persecutio; hinc parabolarum exaggeratio; hinc torrentis orationis sonitus; hinc rerum singularum cum splendore fastigium." *Macrob. Lib. V. cap.* 13.

Ver. 210. Ἐν δ' ἐτίθει δύο κῆρε.] Τραγῳδίαν ὁ Αἰσχύλος ὅλην τῷ μύθῳ περιέθηκε, ἐπιγράψας Ψυχοστασίαν, καὶ παραστήσας ταῖς πλάστιγξι τοῦ Διὸς· ἔνθεν μὲν τὴν Θέτιν, ἔνθεν δὲ τὴν Ἠῶ, δεομένας ὑπὲρ τῶν υἱέων μαχομένων· τοῦτο δὲ παντὶ δῆλον, ὅτι μυθοποίημα καὶ πλάσμα, πρὸς ἡδονὴν ἢ ἔκπληξιν ἀκροατοῦ γέγονε. *Plutarch. de audiend. Poëtis.*

Ver. 212. Ἕλκε δὲ μέσσα λαβών.] Χρύσιππος, ἀντὶ τοῦ, μέσσα, " ῥῦμα" γράφει· τὴν μὲν γὰρ ῥοπὴν τοῦ ζυγοῦ ῥῦμα καλεῖσθαι. *Schol.* MSS. apud *Barnesium.*

Ver. 213. —— λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων.]
—— Jam jam linquo acies.
Æn. XII, 875.

Ver. 214 et 238. —— γλαυκῶπις Ἀθήνη.] Vide suprà ad ά, 206.

Ver. 216. —— ἔολπα.] *Spero*, non *Speravi.* Vide suprà ad ν', 481 et 736.

Ver. 218. —— δηϊώσαντε.] *Al.* δῃώσαντε.

Ibid. —— ἆτόν.] *Al.* ἄατον.

Ver. 219. —— πεφυγμένον.] *Barnesius* edidit πεφευγμένον. Sed vide suprà ad ζ', 488.

Ver. 220. —— πάθοι.] *Al.* πάθῃ. *Al.* κάμοι.

Ver. 221. Προπροκυλινδόμενος.] Sic apud *Virgilium; prosubigit, Georg.* III. 256. Οἱ χαριέστατοι ποιητῶν καὶ συγγραφέων, τὰ μὲν αὐτοί τε κατασκευάζουσιν ὀνόματα συμπλέκοντες ἐπιτηδείως ἀλλήλοις τὰ γράμματα· καὶ τὰς συλλαβὰς δὲ οἰκείως, οἷς ἂν βούλωνται παραστῆσαι πάθεσι, ποικίλως φιλοτεχνοῦσιν, ὡς ποιεῖ πολλάκις Ὅμηρος· —— δέησιν ἐνδείξασθαι βουλόμενος πολλὴν καὶ κατεσπουδασμένην, " Οὐδ' εἴ κεν μάλα πολλὰ " πάθοι ἑκάεργος Ἀπόλλων, Προπροκυλινδόμενος " πατρὸς Διὸς αἰγιόχοιο." *Dionys. Halicarn.* περὶ συνθέσεως, § 15.

Ὣς φάτ' Ἀθηναίη· ὁ δ' ἐπείθετο, χαῖρε δὲ θυμῷ·
Στῆ δ' ἄρ' ἐπὶ μελίης χαλκογλώχινος ἐρεισθείς.
Ἡ δ' ἄρα τὸν μὲν ἔλειπε, κιχήσατο δ' Ἕκτορα δῖον,
Δηϊφόβῳ εἰκυῖα δέμας καὶ ἀτειρέα φωνήν.
Ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα.
Ἠθεῖ', ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεὺς,
Ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκων·
Ἀλλ' ἄγε δὴ στέωμεν, καὶ ἀλεξώμεσθα μένοντες.
Τὴν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
Δηΐφοβ', ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦσθα
Γνωτῶν, οὓς Ἑκάβη ἠδὲ Πρίαμος τέκε παῖδας·
Νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσεσθαι,
Ὣς ἔτλης, ἐμεῦ εἵνεκ', ἐπεὶ ἴδες ὀφθαλμοῖσι,
Τείχεος ἐξελθεῖν· ἄλλοι δ' ἔντοσθε μένουσι.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Ἠθεῖ', ἦ μὲν πολλὰ πατὴρ καὶ πότνια μήτηρ
Λίσσονθ', ἑξείης γουνούμενοι, ἀμφὶ δ' ἑταῖροι,
Αὖθι μένειν· (τοῖον γὰρ ὑποτρομέουσιν ἅπαντες·)
Ἀλλ' ἐμὸς ἔνδοθι θυμὸς ἐτείρετο πένθεϊ λυγρῷ.

Sic dixit Minerva; Ille verò paruit, gavisusque est animo:
Stetit autem fraxineae hastae aere-praefixae innixus.
Haec verò hunc quidem reliquit, assecutaque est Hectorem nobilem,
Deïphobo cùm se assimulâsset corpore et indefessâ voce.
Propè autem stans verbis alatis allocuta est:
" Venerande frater, profectò admodùm jam te urget celer Achilles,
" Urbem circa Priami pedibus velocibus persequens:
" Sed age jam stemus, et propulsemus manentes."
Hanc autem vicissim allocutus est ingens pugnam-expeditè-ciens Hector:
" Deïphobe, profectò quidem mihi anteà multò charissimus eras
" Fratrum, quos Hecuba atque Priamus genuit filios:
" Nunc verò adhuc etiam magis habeo in animo honorare,
" Cùm sustinuisti meî gratiâ, ut vidisti oculis,
" Moenibus egredi, caeteri verò intùs manent."
Hunc autem rursùs allocuta est dea caesia-oculis Minerva:
" Venerande frater, profectò quidem multùm pater et veneranda mater
" Supplicabant, deinceps genua-amplectentes, circùm et sodales,
" Ut illic manerem (adeò enim metu tremunt omnes):
" Sed meus intùs animus conficiebatur dolore gravi.

Ibid. —— Διὸς αἰγιόχοιο.] Vide suprà ad ά, 202.

Ver. 225. —— ἄρ'.] *Ut jusserat Minerva, ver.* 222.

Ibid. —— χαλκογλώχινος.] Χαλκᾶς ἔχουσα γωνίας. *Schol.*

Ver. 227. Δηϊφόβῳ εἰκυῖα δέμας καὶ ἀτειρέα φωνήν.] Vide suprà ad ξ', 136.

Ver. 229 et 239. Ἠθεῖ'.] Ὅτι τὸ " ἠ-" θεῖος." ———— ἐστὶν Ἰωνικὴ προσφώνησις σεπτικὴ νεωτέρου πρὸς πρεσβύτερον ἀδελφόν. *Eustath.*

Ver. 231. —— στέωμεν.] Pronuntiabatur στῶμεν. Cod. *Harleian.* στέομεν. Quod et ipsum ferri possit. Vide suprà ad λ', 348.

Ver. 235. — τιμήσεσθαι.] Cod. *Harleian.* τιμήσασθαι. Quo modo et in uno MS. scriptum repperit *Barnesius.*

Ver. 236. Ὣς ἔτλης.] Cod. *Harleian.* Ὅς ἔτλης.

Νῦν δ' ἰθὺς μεμαῶτε μαχώμεθα, μηδ' ἔτι δούρων
Ἔστω φειδωλὴ, ἵνα εἴδομεν, εἴκεν Ἀχιλλεὺς,
Νῶϊ κατακτείνας, ἔναρα βροτόεντα φέρηται
Νῆας ἐπὶ γλαφυρὰς, ἤ κεν σῷ δουρὶ δαμείη.
Ὣς φαμένη, καὶ κερδοσύνῃ ἡγήσατ' Ἀθήνη.
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Τὸν πρότερος προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
Οὔ σ' ἔτι, Πηλέος υἱὲ, φοβήσομαι, ὡς τὸ πάρος περ·
Τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον, οὐδέ ποτ' ἔτλην
Μεῖναι ἐπερχόμενον· νῦν αὖτέ με θυμὸς ἀνῆκε,
Στήμεναι ἀντία σεῖο· ἕλοιμί κεν, ἤ κεν ἁλοίην.
Ἀλλ' ἄγε δεῦρο θεοὺς ἐπιδώμεθα· τοὶ γὰρ ἄριστοι
Μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων·
Οὐ γὰρ ἐγώ σ' ἔκπαγλον ἀεικιῶ, αἴκεν ἐμοὶ Ζεὺς
Δώῃ καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι·
Ἀλλ' ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε', Ἀχιλλεῦ,
Νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν· ὣς δὲ σὺ ῥέζειν.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·

" Nunc verò adversi praesentibus-animis pugnemus, neque jam hastarum
" Sit parsimonia, ut videamus an Achilles,
" Nobis interfectis, spolia sanguinolenta referat
" Naves ad cavas, an tuâ hastâ dometur."
Sic locuta, continuò astu praeivit Minerva.
Illi verò cùm jam propè erant alter in alterum vadentes,
Hunc prior allocutus est ingens pugnam expeditè-ciens Hector:
" Non te ampliùs, Pelei fili, fugiam, ut anteà:
" Ter circa urbem magnam Priami fugi, nec unquam sustinui
" Expectare *te* ingruentem; nunc verò me animus impulit
" Stare contra te: interimam certè, vel interimar.
" Sed agedùm deos testes-faciamus; hi enim optimi
" Testes erunt et custodes pactorum:
" Non enim ego te immaniter deturpabo, si mihi Jupiter
" Dederit victoriam, tuamque animam abstulero:
" At postquàm tibi detraxero pulchra arma, Achille,
" Cadaver Achivis reddam: sic et tu facito."
Illum verò torvè intuitus allocutus est pedibus-velox Achilles:

Ver. 243. 284. —— *μεμαῶτε* —— *μεμαῶτι.*] Vide suprà ad ν', 46. et ad ζ', 464.

Ver. 249. —— *κορυθαίολος.*] Vide suprà ad β', 816.

Ver. 250. —— Πηλέος.] *Al.* Πηλέως. Quod et ferri possit; pronuntiando scilicèt Πηλῶς. Vide suprà ad τ', 216.

Ver. 251. —— *δίον.*] Ἐδιωκόμην, ἔφευγον. *Schol.*

Ver. 253. —— *ἕλοιμί κεν, ἤ κεν ἁλοίην.*] *Al.* *ἤ κεν ἑλοίμην.*

Aut spoliis ego jam raptis laudabor opimis,
Aut leto insigni ———. *Æn.* X, 449.

Ver. 254. —— *θεοὺς ἐπιδώμεθα.*] Ὀμόσωμεν, *ἐπόπτας καὶ μάρτυρας τῶν λεγομένων ποιησώμεθα. Schol.*

Ver. 255. Μάρτυροι.] Vide suprà ad ά. 338.

Ver. 257. —— *καμμονίην.*] Τὴν ἐκ καταμονῆς νίκην, ὅ ἐστιν ἐκ μονομεροῦς. *Schol.*

Ver. 259. —— *ῥέζειν.*] *Al.* *ῥέξειν.*

Ver. 260. —— *πόδας ὠκὺς Ἀχιλλεύς.*] Similitérque infrà *ver.* 344. vide suprà ad ά, 58.

Ἕκτορ, μή μοι, ἄλαστε, συνημοσύνας ἀγόρευε.
Ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστὰ,
Οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν,
Ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν·
Ὣς οὐκ ἔστ' ἐμὲ καί σε φιλήμεναι, οὔτε τι νῶϊν
Ὅρκια ἔσσονται, πρίν γ' ἢ ἕτερόν γε πεσόντα
Αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν.
Παντοίης ἀρετῆς μιμνήσκεο· νῦν σε μάλα χρὴ
Αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.
Οὔ τοι ἔτ' ἔσθ' ὑπάλυξις, ἄφαρ δέ σε Παλλὰς Ἀθήνη
Ἔγχει ἐμῷ δαμάα· νῦν δ' ἀθρόα πάντ' ἀποτίσεις
Κήδε' ἐμῶν ἑτάρων, οὓς ἔκτανες ἔγχεϊ θύων.
  Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος·
Καὶ τὸ μὲν ἄντα ἰδὼν ἠλεύατο φαίδιμος Ἕκτωρ·
Ἕζετο γὰρ προϊδὼν, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος,
Ἐν γαίῃ δ' ἐπάγη· ἀνὰ δ' ἥρπασε Παλλὰς Ἀθήνη,

" Hector, ne mihi, acerbissime, pacta memora.
" Ut non sunt leonibus et hominibus foedera fida,
" Neque lupi et agni concordem animum habent,
" Sed hostili animo sunt perpetuò sibi-invicem:
" Sic non fas est me et te amicitiam contrahere, neque prorsùs nobis
" Foedera erunt, antequàm utique alter stratus
" Sanguine satiârit Martem invictum bellatorem.
" Omnigenae virtutis recordare: nunc te admodùm oportet
" Hastâque acerrimum esse et audacem bellatorem.
" Non tibi est ampliùs effugium; statim enim te Pallas Minerva
" Hastâ meâ domat: nunc verò simul omnes lues
" Dolores meorum sociorum, quos interfecisti hastâ furens."
Dixit quidem, et vibratam emisit praelongam hastam;
Et hanc quidem ex adverso conspicatus evitavit illustris Hector:
Subsedit enim praevidens, supervolavit autem aerea hasta,
Terraeque infixa est: evulsit verò *eam* Pallas Minerva,

Ver. 261. —— ἄλαστε.] Ἀλάθητε, δεινὰ καὶ ἀνεπίληστα εἰργασμένε. *Schol.*

Ver. 263. Οὐδὲ λύκοι τε καὶ ἄρνες.] Sic apud *Aristophanem*:

Οὐ γάρ πω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσιν
Φυλόπιδος λῆξαι, πρίν κεν λύκος οἶν ὑμεναιοῖ.
Pax, *ver.* 1075.

Similitèr et apud *Horatium*:

Lupis et agnis quanta sortitò obtigit,
Tecum mihi discordia est. *Epod.* IV, 1.

Ibid. —— ἄρνες.] *Al.* ἄνδρες.

Ver. 265. — φιλήμεναι.] Vide suprà ad ύ, 304.

Ibid. —— οὔτε τι.] *Al.* οὐδέ τι.

Ver. 268. Παντοίης ἀρετῆς μιμνήσκεο.]

Verte omnes tete in facies; et contrahe quicquid
Sive animis, sive arte vales ——.
Æn. XII, 891.

Ver. 270. Οὔ τοι ἔτ' ἔσθ' ὑπάλυξις.] Ita ex duobus MSS. edidit *Barnesius*. *Al.* Οὔ τοι ἔσθ' ὑπάλυξις.

Ver. 271. —— δαμάα.] *Al.* δαμάσῃ.

Ibid. —— νῦν δ' ἀθρόα.] *Al.* νῦν ἀθρόα.

Ibid. — ἀποτίσεις.] Vide suprà ad σ', 37. et ad ί, 508.

Ver. 274. —— ἄντα ἰδὼν ἠλεύατο.] Vide suprà ad ν', 404.

Ver. 275. Ἕζετο γὰρ προϊδὼν, τὸ δ' ὑπέρπτατο.]

Ille astu subit, ac tremebunda supervolat hasta. *Æn.* X, 522.

Ver. 276. — ἐπάγη.] Vide suprà ad δ', 185.

Ibid. et *ver.* 286. — ἥρπασε —— κομίσαις.] Vide suprà ad ά, 140.

Ἂψ δ' Ἀχιλῆϊ δίδου, λάθε δ' Ἕκτορα, ποιμένα λαῶν.
Ἕκτωρ δὲ προσέειπεν ἀμύμονα Πηλείωνα·
Ἤμβροτες, οὐδ' ἄρα πώ τι, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
Ἐκ Διὸς ἠείδεις τὸν ἐμὸν μόρον, ἤτοι ἔφης γε·
Ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων,
Ὄφρα σ' ὑποδδείσας μένεος ἀλκῆς τε λάθωμαι.
Οὐ μέν μοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξεις,
Ἀλλ' ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον,
Εἴ τοι ἔδωκε θεός· νῦν αὖτ' ἐμὸν ἔγχος ἄλευαι
Χάλκεον· ὡς δή μιν σῷ ἐν χροῒ πᾶν κομίσαιο·
Καί κεν ἐλαφρότερος πόλεμος Τρώεσσι γένοιτο,
Σεῖο καταφθιμένοιο· σὺ γάρ σφισι πῆμα μέγιστον.
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
Καὶ βάλε Πηλείδαο μέσον σάκος, οὐδ' ἀφάμαρτε·
Τῆλε δ' ἀπεπλάγχθη σάκεος δόρυ· χώσατο δ' Ἕκτωρ,
Ὅττι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός·
Στῆ δὲ κατηφήσας, οὐδ' ἄλλ' ἔχε μείλινον ἔγχος·

Achillique reddidit, latuitque Hectorem, pastorem populorum.
Hector verò allocutus est eximium Pelidem :
" Aberrâsti, nec dum utique, diis similis Achille,
" Ex Jove nôras meum fatum, dixisti certè ;
" Sed quidem loquax et subdolus es verbis,
" Ut tui prae metu animorum virtutisque oblivíscerer.
" Haud tamen mihi fugienti dorso hastam infiges,
" Sed rectà-ruenti animis-praesentibus per pectora adige,
" Si tibi dedit deus: nunc vicissim meam hastam evita
" Aeream ; utinam jam tuo in corpore totam recipias
" Tum certè levius bellum Trojanis esset,
" Te interfecto : te enim ipsis pernicies maxima."
Dixit, et vibratam emisit praelongam hastam,
Et percussit Pelidae medium scutum, neque aberravit :
Longè verò excussa est scuto hasta : Iratus autem est Hector,
Quòd sibi telum velox irritum evolâsset è manu :
Stetit autem vultu-dejecto, neque enim aliam habebat fraxineam hastam :

Ibid. —ἀνὰ δ' ἥρπασε Παλλὰς Ἀθήνη, Ἂψ δ' Ἀχιλῆϊ δίδου.]

Procurrit, fratrique ensem Dea Daunia reddit. *Æn.* XII, 785.

Ver. 280. —— ἠείδεις.] *Al.* ἠείδης.

Ver. 281. —— ἀρτιεπής.] Ἀπηρτισμένος καὶ ἱκανὸς εἰπεῖν, ἢ ἄρτι ἐσκευασμένος, δεινός. *Schol.*

Ibid. — ἐπίκλοπος.] Παραλογιστικὸς, ἀπατεὼν διὰ λόγων κλέπτειν τὴν ἀλήθειαν εἰδώς. *Schol.*

Ibid. —— μύθων.] *Al.* μύθῳ, et μύθοις.

Ver. 282. —— μένεος ἀλκῆς τε.] *Barnesius* legendum conjicit, μενεός τ' ἀλκῆς τε. Sed nihil opus.

Ibid. —— λάθωμαι.] *Al.* λαθοίμην.

Ver. 283. Οὐ μέν μοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξεις.] Τούτου δὲ τοῦ ἔπους οἱ Λάκωνες ζηλωταί· παρ' οἷς οὐκ ἦν θέμις ὁσίας τυχεῖν ἄνδρα νεκρὸν, βεβλημένον τὰ ὀπίσω. *Eustath.*

Ver. 285. —— ἄλευαι.] *Al.* ἄλευε.

Ver. 288. — καταφθιμένοιο.] De hujus vocis prosodiâ, vide suprà ad β', 43. et ad ά, 309 et 314.

Ver. 292. Ὅττι ῥά.] *Quòd scilicèt* ——.

Ver. 293. Στῆ δὲ κατηφήσας.]

Cunctaturque metu ——
Nec quò se eripiat, nec quâ vi tendat in hostem ;
Nec currus usquam videt, aurigamque sororem. *Æn.* XII, 916.

Δηΐφοβον δ' ἐκάλει λευκάσπιδα, μακρὸν ἀΰσας,
Ἥτεέ μιν δόρυ μακρόν· ὁ δ' οὔτι οἱ ἐγγύθεν ἦεν.
Ἕκτωρ δ' ἔγνω ᾗσιν ἐνὶ φρεσὶ, φώνησέν τε·
Ὢ πόποι, ἦ μάλα δή με θεοὶ θάνατόνδ' ἐκάλεσσαν·
Δηΐφοβον γὰρ ἔγωγ' ἐφάμην ἥρωα παρεῖναι·
Ἀλλ' ὁ μὲν ἐν τείχει, ἐμὲ δ' ἐξαπάτησεν Ἀθήνη.
Νῦν δὲ δὴ ἐγγύθι μοι θάνατος κακὸς, οὐδέ τ' ἄνευθεν·
Οὐδ' ἀλέη· ἦ γάρ ῥα πάλαι τό γε φίλτερον ἦεν
Ζηνί τε, καὶ Διὸς υἱεῖ Ἑκηβόλῳ, οἵ με πάρος γε
Πρόφρονες εἰρύαται· νῦν αὖτέ με μοῖρα κιχάνει·
Μὴ μὰν ἀσπουδεί γε καὶ ἀκλειῶς ἀπολοίμην,
Ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι.
Ὣς ἄρα φωνήσας, εἰρύσσατο φάσγανον ὀξὺ,
Τό οἱ ὑπὸ λαπάρην τέτατο μέγα τε, στιβαρόν τε·
Οἴμησεν δὲ ἀλεὶς, ὥστ' αἰετὸς ὑψιπετήεις,

Deïphobum verò vocabat albo-clypeo-insignem, alto clamore,
Poscebat eum hastam longam; is verò neutiquàm illum prope erat.
Hector autem sensit suo in animo, dixitque:
" Eheu, profectò omninò jam me Dii ad mortem vocârunt:
" Deïphobum enim ego putabam heroëm adesse;
" Sed ille quidem in muro, me verò decepit Minerva.
" Nunc autem propè mihi mors exitialis, nec jam longè;
" Neque effugium: Certè enim olim hoc gratum erat
" Jovique, et Jovis filio longè-jaculanti; qui tamen me anteà
" Propenso-animo è-periculis-eripuerunt: nunc verò me fatum assequitur:
" Haud tamen ignavitèr saltem et ingloriè perierim,
" Sed magnifico aliquo facinore edito et posteris audiendo."
Sic fatus, strinxit ensem acutum,
Qui ei ad latus pendebat magnusque, validusque;
Impetum autem dedit conversus, velut aquila altivolans,

Ver. 297. —— *ἦ μάλα δή.*] Vide suprà ad *ξ'*, 433.

Ver. 301. —— *πάλαι τό γε φίλτερον ἦεν Ζηνί.*] Τοῦτο, δηλονότι ἐμὲ ἀλεείνειν, τὸ πάροιθε θεοῖς φίλτερον ἦν· ἀλλὰ νῦν οὐκ ἔστι φίλτερον. *Schol.* MSS. apud *Barnesium.*

Ibid. —— *τό γε.*] *Al.* *τότε.*

Ver. 302. —— Ἑκηβόλῳ.] Vide suprà ad *ά*, 43 et 75.

Ibid. —— *οἵ με πάρος γε.*] Cod. *Harleian.* *οἵ με πάρος περ.*

Ver. 303. — *εἰρύαται.*] *Scholiastes* legit *εἰρύατο*, exponitque *εἰρύοντο, ἔσωζον.* Quo modo meliùs constabit Temporum ratio. Vide suprà ad *ά*, 37 et 51.

Ver. 304. Μὴ μὰν ἀσπουδεί γε.]
—— nunquam —— moriemur inulti.
Æn. II, 670.

Ver. 305. —— *μέγα ῥέξας.*] Quâ ratione, *μέγα*, hîc ultimam producat; item *ὑπὸ* et *τέτατο*, *ver.* 307. et *διὰ*, *ver.* 309. et *κόρυθι*, *ver.* 314. vide suprà ad *ά*, 51.

Ver. 306. —— *εἰρύσσατο.*] *Barnesius* in uno MS. scriptum repperit *εἰρύσατο.* Minùs rectè. Antepenultimam enim corripit. Vide suprà ad *π'*, 781.

Ver. 307. Τό *οἱ.*] Pronuntiabatur, ut opinor, ToWWoi. *Al.* Τόῤῥ' *οἱ.* Vide suprà ad *π'*, 228.

Ibid. —— *τέτατο.*] *Barnesius* inter Varias Lectiones retulit *τέταται*; Quo modo non constaret Temporum ratio. Vide suprà ad *φ'*, 352. et ad *ά*, 37.

Ver. 308. Οἴμησεν δὲ ἀλεὶς, ὥστ' αἰετὸς.]
Qualis ubi, aut leporem, aut candenti corpore cycnum
Sustulit alta petens pedibus Jovis armiger uncis:
Quæsitum aut matri multis balatibus agnum

Ὅς τ' εἶσιν πεδίονδε διὰ νεφέων ἐρεβεννῶν,
Ἁρπάξων, ἢ ἄρν' ἀμαλὴν, ἢ πτῶκα λαγωόν·
Ὣς Ἕκτωρ οἴμησε τινάσσων φάσγανον ὀξύ.
Ὡρμήθη δ' Ἀχιλεὺς, μένεος δ' ἐμπλήσατο θυμὸν
Ἀγρίου· πρόσθεν δὲ σάκος στέρνοιο κάλυψε
Καλὸν, δαιδάλεον· κόρυθι δ' ἐπένευε φαεινῇ,
Τετραφάλῳ, καλαὶ δὲ περισσείοντο ἔθειραι
Χρύσεαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμειάς.
Οἷος δ' ἀστὴρ εἶσι μετ' ἀστράσι νυκτὸς ἀμολγῷ
Ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ·
Ὣς αἰχμῆς ἀπέλαμπ' εὐήκεος, ἣν ἄρ' Ἀχιλλεὺς
Πάλλεν δεξιτερῇ, φρονέων κακὸν Ἕκτορι δίῳ,
Εἰσορόων χρόα καλὸν, ὅπη εἴξειε μάλιστα.

Quae descendit in campum per nubes obscuras,
Raptura vel agnam teneram, vel pavidum leporem:
Sic Hector impetum dabat vibrans ensem acutum.
Irruit et Achilles, irâque sibi implevit animum
Atroci; scutum verò pectori praetendit
Pulchrum, artificiosè-factum: galeâ autem nutabat fulgidâ,
Quatuor-conos-habenti; pulchraeque motabantur concussae comae
Aureae, quas Vulcanus fuderat conum circum densas.
Qualis verò stella procedit inter stellas nocte intempestâ
Hesperus, quae pulcherrima in coelo posita est stella:
Sic à cuspide *fulgor* emicabat peracutâ, quam Achilles
Vibrabat dexterâ, struens malum Hectori nobili,
Rimans-oculis corpus pulchrum, ubi acciperet vulnus facillimè.

Martius à stabulis rapuit lupus. Undique clamor
Tollitur ———.
Æn. IX, 563.

Quem locum inter eos recenset *Macrobius*, in quibus Poëtarum "*par penè splendor am-*" "*borum est.*" *Lib.* V. *cap.* 12.

Ibid. Οἴμησεν δὲ ἀλεὶς.] *Servius*, ad locum *Virgilii* jam citatum, legit, Ὥρμησεν δ' ἐ ἀλείς.

Ibid. —— ἀλεὶς.] Ἀθρόον ἑαυτὸν συστρέψας· οἱ γὰρ ἑαυτοὺς εἰς δρόμον δόντες, συστρέφονται· ὡς καὶ αἰετοί. *Schol.* MSS. apud *Barnesium*.

Ver. 310. —— ἄρν' ἀμαλὴν.] *Al.* ἄρνα μαλὴν· notante *Eustathio*.

Ver. 312. —— ἐμπλήσατο θυμὸν.] *Animum sibi ipse implevit.* Vide suprà ad *ver.* 33.

Ver. 313. Ἀγρίου· πρόσθεν δὲ.] Vide suprà ad ό, 24 et 66. et ad φ', 318. "Mirum "autem (inquit *Barnesius*) Artificium *Me-*" "*tri*, rem et passionem notantis; cùm enim "*Achilles* iram penè efferatam exprimeret, "——— subitò Dactyli rapiditatem sistens, "Heroïs curam et prudentiam clypeo se tu-" "tando depingit, Ἀγρίου· πρόσθεν δὲ σάκος." Vide suprà ad γ', 363.

Ver. 314. 315. 321. 323. Καλὸν, ——— καλαὶ —— καλὸν, —— Καλά.] Vide suprà ad β', 43.

Ver. 315. — περισσείοντο.] Cod. *Harleian.* περὶ σείοντο. Quod eodem modo pronuntiandum. Vide suprà ad ά, 51.

Ver. 316. Ἥφαιστος ἵει.] Vide suprà ad π', 762.

Ver. 317. Οἷος δ' ἀστὴρ.
Qualis ubi Oceani perfusus Lucifer undâ,
Quem Venus ante alios astrorum diligit ignes,
Extulit os sacrum cœlo ———.
Æn. VIII, 589.

Vide suprà ad *ver.* 26.

Ver. 319. —— ἣν ἄρ' Ἀχιλλεὺς Πάλλεν.]
Cunctanti telum Æneas fatale coruscat,
Sortitus fortunam oculis ———.
Æn. XII, 919.

Ver. 321. Εἰσορόων χρόα καλὸν, ὅπη εἴξειε μάλιστα.]
——— partes rimatur apertas,
Quà vulnus letale ferat ———.
Æn. XI, 748.

Ibid. — ὅπη εἴξειε μάλιστα.] Ὅπου χωρήσειεν ἡ αἰχμή. *Schol.* MSS. apud *Barnesium*

Τοῦ δὲ καὶ ἄλλο τόσον μὲν ἔχε χρόα χάλκεα τεύχη,
Καλὰ, τὰ Πατρόκλοιο βίην ἐνάριξε κατακτάς·
Φαίνετο δ' ᾗ κληῗδες ἀπ' ὤμων αὐχέν' ἔχουσι,
Λαυκανίης, ἵνα τε ψυχῆς ὤκιστος ὄλεθρος·
Τῇ ῥ' ἐπὶ οἷ μεμαὼς ἔλασ' ἔγχεϊ δῖος Ἀχιλλεύς·
Ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή·
Οὐδ' ἄρ' ἀπ' ἀσφάραγον μελίη τάμε χαλκοβάρεια,
Ὄφρα τί μιν προτιείποι ἀμειβόμενος ἐπέεσσιν.
Ἤριπε δ' ἐν κονίῃσ'· ὁ δ' ἐπεύξατο δῖος Ἀχιλλεύς·
Ἕκτορ, ἀτάρ που ἔφησθα, Πατροκλῆ' ἐξεναρίζων,
Σῶς ἔσσεσθ', ἐμὲ δ' οὐδὲν ὀπίζεο νόσφιν ἐόντα·
Νήπιε, τοῖο δ' ἄνευθεν ἀοσσητὴρ μέγ' ἀμείνων
Νηυσὶν ἔπι γλαφυρῇσιν ἐγὼ μετόπισθε λελείμμην,
Ὅς τοι γούνατ' ἔλυσα· σὲ μὲν κύνες ἠδ' οἰωνοὶ
Ἑλκήσουσ' ἀϊκῶς, τὸν δὲ κτεριοῦσιν Ἀχαιοί.

Hujus autem caeteras quidem partes tegebant corpus aerea arma,
Pulchra, quibus Patrocli vim exuerat occisi:
Apparebat autem *ea pars*, quâ claviculae ab humeris cervicem dirimunt,
Gutturis, ubi animae citissima pernicies;
Hâc in eum ardenti-animo-latus feriit hastâ nobilis Achilles;
E regione autem teneram per cervicem abiit cuspis:
Nec tamen arteriam fraxinus abscidit aere-gravis,
Ut aliquid ipsum alloqueretur respondens verbis.
Cecidit autem in pulveribus; et super *eum* gloriatus est nobilis Achilles:
"Hector, at aliquandò putabas, Patroclum interfectum spolians,
"Salvum *te* fore, me autem nihil veritus es ultorem absentem:
"Stulte, hujus enim seorsùm ultor longè-fortior
"Navibus in cavis ego pòst relictus eram,
"Qui tibi genua solvi: Te quidem canes et alites
"Lacerabunt turpitèr, illi verò exequias-facient Achivi."

Ver. 324. ——— ᾗ κληῗδες ἀπ' ὤμων αὐχέν' ἔχουσι.] Καθ' ὃ μέρος αἱ κατακλεῖδες συνάπτουσι, διείργουσαι τὸν αὐχένα ἀπὸ τῶν ὤμων. *Schol.*

Ver. 325. Λαυκανίης, ἵνα τε.] Ὁ γραμματικὸς Πρωτογένης συνεωρακέναι [ἔφη] πρῶτον Ὅμηρον, ὅτι τῆς μὲν τροφῆς ὁ στόμαχος ἀγγεῖόν ἐστι, τοῦ δὲ πνεύματος βρόγχος, ὃν ἀσφάραγον ἐκάλουν οἱ παλαιοί. Διὸ καὶ τοὺς μεγαλοφώνους, ἐρισφαράγους ἐπονομάζειν εἰώθασιν. Εἰπὼν οὖν, ὅτι τοῦ Ἕκτορος ὁ Ἀχιλλεὺς ἤλασε "λευκανίην, ἵνα "τε ψυχῆς ὤκιστος ὄλεθρος, Οὐδ' ἄρ' ἀπ' ἀσφάρα-"γον," ὄντα φωνῆς ἴδιον ὀχετὸν καὶ πνεύματος, τὴν δὲ λευκανίην ἐσέθηκε. *Plutarch. Symposiac. Lib.* VII. *Probl.* 1.

Ibid. —— Λαυκανίης.] *Al.* Λευκανίης. Quo modo et legisse videtur *Plutarchus* loco jam citato. *Al.* Λαυκανίη et Λαυκανίην.

Ver. 326. —— Τῇ ῥ'.] *Eâ, inquam* ——.

Ibid. ——— μεμαώς.] Cod. *Harleian.* μεμαῶτ'.

Ver. 327. Ἀντικρὺ δ'.] Quâ ratione, Ἀντικρὺ, hîc ultimam producat; item ἀμειβόμενος, *ver.* 329. et Πριάμος, *ver.* 552. et μιν, *ver.* 361. vide suprà ad ά, 51.

Ibid. — ἤλυθ'.] Vide suprà ad ό, 454. et ad ά, 37.

Ver. 328. —— ἄρ'.] *Ut ex tali vulnere fieri verisimillimum erat* ———.

Ibid. — ἀπ' ἀσφάραγον.] *Al.* ἀπὸ σφάραγον.

Ibid. — μελίη τάμε χαλκοβάρεια.] *Al.* μελίῃ τάμε χαλκοβαρείῃ.

Ver. 330. —— ἐν κονίῃσ'.] Vide suprà ad ν', 508.

Ver. 331. — ἔφησθα.] Cod. *Harleian.* ἔφης. Quo modo et in uno MS. scriptum repperit *Barnesius.*

Ver. 333 et 368. —— ἄνευθεν.] Vide suprà ad ά, 349.

Ver. 335. —— σὲ μὲν κύνες ἠδ' οἰωνοὶ Ἑλκήσουσ'.] Vide suprà ad π', 836.

Ver. 336. Ἑλκήσουσ'.] *Al.* Ἑλκύσουσ'.

Τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαίολος Ἕκτωρ·
Λίσσομ' ὑπὲρ ψυχῆς, καὶ γούνων, σῶν τε τοκήων,
Μή με ἔα παρὰ νηυσὶ κύνας καταδάψαι Ἀχαιῶν·
Ἀλλὰ σὺ μὲν χαλκόν τε ἅλις, χρυσόν τε δέδεξο,
Δῶρα, τά τοι δώσουσι πατὴρ καὶ πότνια μήτηρ·
Σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Μή με, κύον, γούνων γουνάζεο, μηδὲ τοκήων.
Αἲ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνείη
Ὤμ' ἀποταμνόμενον κρέα ἔδμεναι, οἷά μ' ἔοργας·
Ὡς οὐκ ἔσθ', ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι·
Οὐδ' εἴ κεν δεκάκις τε καὶ εἰκοσινήριτ' ἄποινα
Στήσωσ' ἐνθάδ' ἄγοντες, ὑπόσχωνται δὲ καὶ ἄλλα·
Οὐδ' εἴ κέν σ' αὐτὸν χρυσῷ ἐρύσασθαι ἀνώγοι
Δαρδανίδης Πρίαμος· οὐδ' ὧς σέ γε πότνια μήτηρ

Illum verò languens allocutus est pugnam-expeditè-ciens Hector:
" Supplex-oro, per animam, et genua, tuosque parentes,
" Ne me sinas apud naves canes dilaniatum-vorare Achivorum:
" Sed tu quidem aesque abundè, aurumque accipe,
" Dona, quae tibi dabunt pater et veneranda mater:
" Corpus autem domum meum reddito, ut rogi me
" Trojani et Trojanorum uxores participem-faciant mortuum."
Hunc autem torvè intuitus allocutus est pedibus velox Achilles:
" Ne me, canis, *per* genua supplex-precare, neque *per* parentes.
" Utinam enim ullo-pacto ipsum me furor et animus stimularet,
" Crudas dissecantem *tuas* carnes comedere, cùm talia in me fecisti:
" Adeò non est, qui tuo utique canes capite arceat:
" Nè quidem si deciesque et vicies tanta dona
" Appenderint huc adducentes, promiserint etiam et alia:
" Nec si te ipsum auro compensare velit
" Dardanides Priamus: nè sic quidem te utique veneranda mater

---

Ibid. —— ἀϊκῶς.] Hinc fortè vox Latina, *Saucius. Al.* ἀεικῶς. Malè.

Ver. 338. Λίσσομ' ὑπὲρ ψυχῆς.]

Ille, humilis supplexque, oculos dextramque precantem
Protendens ———.
—— miseri te siqua parentis
Tangere cura potest, oro (fuit et tibi talis
Anchises genitor) Dauni miserere senectæ;
Et me, seu corpus spoliatum lumine mavis.
Redde meis ———. *Æn.* XII, 930.
Unum hoc, per, siqua est victis venia hostibus, oro;
Corpus humo patiare tegi. —— *Æn.* X, 903.

Ver. 344—355. ——— Τὸν δ' —— Τὸν δὲ.] Vide suprà ad ά, 57. et ad θ', 160. Malè *Barnesius*, Τόνδ' --- Τόνδε.

Ver. 345. —— κύον.] *Al.* κύων.

Ver. 346. —— ἀνείη.] *Al.* ἀνήη.

Ver. 347. ——— ἀποταμνόμενον.] *Al.* ἀποτεμνόμενον· minùs rectè. Vide suprà ad ν', 707.

Ver. 349. —— εἰκοσινήριτ'.] Εἰκοσιπλασίονα, εἰκοσάκις ἐξισούμενα τῇ τοῦ σώματος σωτηρίᾳ· τὸ γὰρ ἐρίζειν, ἐξισοῦσθαί ἐστιν. *Schol.*

Ver. 350. Στήσωσ' ἐνθάδ' ἄγοντες.] Vide suprà ad ν', 745.

Ibid. —— ὑπόσχωνται.] *Al.* ὑπόσχονται.

Ver. 351. Οὐδ' εἴ κέν σ' αὐτὸν χρυσῷ ἐρύσασθαι.] Οὐδ' εἰ χρυσῷ σταθμήσασθαι θελήσει τὸ σῶμα ὁ Πρίαμος. Ἐρύσασθαι γὰρ νῦν, τὸ ζυγοστατῆσαι. *Schol.*

Ibid. — ἐρύσασθαι.] Ἀπὸ τῶν ἑλκόντων τὸν ζυγόν. *Porphyr. Quæst. Homeric.* 25.

Ver. 352. — οὐδ' ὧς σέ γε πότνια μήτηρ.]

Ἐνθεμένη λεχέεσσι γοήσεται, ὃν τέκεν αὐτή,
Ἀλλὰ κύνες τε καὶ οἰωνοὶ κατὰ πάντα δάσονται.
Τὸν δὲ καταθνήσκων προσέφη κορυθαίολος Ἕκτωρ·
Ἦ σ' εὖ γινώσκων προτιόσσομαι, οὐδ' ἄρ' ἔμελλον
Πείσειν· ἦ γὰρ σοί γε σιδήρεος ἔνδοθι θυμός·
Φράζεο νῦν, μήτοι τι θεῶν μήνιμα γένωμαι
Ἤματι τῷ, ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων,
Ἐσθλὸν ἐόντ', ὀλέσωσιν ἐνὶ Σκαιῇσι πύλῃσιν.
Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε·
Ψυχὴ δ' ἐκ ῥεθέων πταμένη ἄϊδόσδε βεβήκει,
Ὃν πότμον γοόωσα, λιποῦσ' ἁδροτῆτα καὶ ἥβην.
Τὸν καὶ τεθνειῶτα προσηύδα δῖος Ἀχιλλεύς·
Τέθναθι· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ

" Impositum lectis deflebit, quem peperit ipsa;
" Sed canesque et alites totum discerpent."
Illum verò jam-moriens allocutus est pugnam expeditè-ciens Hector:
" Profectò te probè noscens praesensi, neque sanè eram
" Persuasurus; certè enim tibi utique ferreus intùs animus:
" Considera nunc, ne tibi aliqua deorum irae causa sim
" Die illo, quandò te Paris et Phoebus Apollo,
" Strenuum licèt, interiment in Scaeis portis."
Sic quidem ipsum locutum finis mortis cooperuit:
Anima verò ex artubus volans ad orcum descendit,
Suam sortem lugens, relicto vigore et juventâ.
Hunc etiam mortuum allocutus est nobilis Achilles:
" *Tu* Morere: fatum verò ego tunc accipiam, quandocunque

——— non te optima mater
Condet humi, patriove onerabit membra sepulchro;
Alitibus linquere feris —. *Æn.* X, 557.

Ver. 356. Ἦ σ' εὖ γινώσκων προτιόσσομαι.] Καλῶς γιγνώσκων καὶ προορῶν ταῦτά σοι λέγω· μάτην δὲ, οὐ γάρ σε πείθω. *Schol.*

Ibid. — γινώσκων.] *Al.* γιγνώσκων. Quod perinde est. Vide suprà ad φ′, 529.

Ibid. — προτιόσσομαι.] *Al.* πρό τε ὄσσομαι.

Ver. 357. —— ἔνδοθι.] *Al.* ἐν φρεσί.

Ver. 358. —— μήτοι τι θεῶν μήνιμα γένωμαι.] Μή πως τῆς ἐκ θεῶν βλάβης αἴτιός σοι καταστῶ. *Schol.*

Ver. 359. —— ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων.]
Phœbe, ————
Dardana qui Paridis direxti tela manusque
Corpus in Æacidæ ——. *Æn.* VI, 56.

Ver. 362. Ψυχὴ δ' ἐκ ῥεθέων.] Vide suprà ad π′, 856.

Ibid. —— βεβήκει.] Vide suprà ad π′, 751. et ad ά, 37.

Ver. 363. Ὃν πότμον γοόωσα.] Vide suprà ad π′, 857.

Ibid. —— ἁδροτῆτα.] Cod. *Harleian.* ἀνδροτῆτα. Atque ita in duobus MSS. repperit *Barnesius.* Vide suprà ad π′, 857.

Ver. 364. — τεθνειῶτα.] Vide suprà ad ν′, 46. *Al.* τεθνηῶτα.

Ver. 365. Τέθναθι· κῆρα δ' ἐγὼ.]
Nunc morere; ast de me Divûm pater atque hominum rex
Viderit ————. *Æn.* X, 743.
Quem locum inter eos citat *Macrobius*, in quibus Poetarum " *par penè splendor ambo*" *rum est.*" *Lib.* V. *cap.* 12. *Scaliger* autem hoc in loco *Virgilium Homero* superiorem existimat. " Cum Orodes (inquit) nondum " esset mortuus, rectè, et quidem cum ad" verbio, *Nunc morere.* Quare cum expi" râsset Hector, non decuit Achillem ver" bum τέθναθι." *Poetic. Lib.* V. *cap.* 3. Sed vim aliquam praeteriti habere videtur vox ista, Τέθναθι·
————— ὃς δέ κεν ὑμέων
Βλήμενος, ἠὲ τυπεὶς, θάνατον καὶ πότμον ἐπίσπῃ,
Τεθνάτω· οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
Τεθνάμεν ————. *Il.* ό, 494.

Ζεὺς ἐθέλῃ τελέσαι, ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι.
Ἦ ῥα, καὶ ἐκ νεκροῖο ἐρύσσατο χάλκεον ἔγχος·
Καὶ τό γ' ἄνευθεν ἔθηχ', ὁ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα
Αἱματόεντ'· ἄλλοι δὲ περίδραμον υἷες Ἀχαιῶν
Οἳ καὶ θηήσαντο φυὴν καὶ εἶδος ἀγητὸν
Ἕκτορος· οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέστη.
Ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
Ὢ πόποι, ἦ μάλα δὴ μαλακώτερος ἀμφαφάασθαι
Ἕκτωρ, ἢ ὅτε νῆας ἐνέπρησεν πυρὶ κηλέῳ.
Ὣς ἄρα τις εἴπεσκε, καὶ οὐτήσασκε παραστάς.
Τὸν δ' ἐπεὶ ἐξενάριξε ποδάρκης δῖος Ἀχιλλεὺς,
Στὰς ἐν Ἀχαιοῖσιν ἔπεα πτερόεντ' ἀγόρευεν·
Ὦ φίλοι, Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες,
Ἐπειδὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν,

" Jupiter voluerit perficere, atque immortales dii caeteri."
Dixit, et è mortuo evulsit aeream hastam;
Et hanc quidem seorsùm posuit, ab humeris autem arma detrahebat
Sanguinolenta: caeteri autem accurrentes circumfusi sunt filii Achivorum,
Qui et admirabundi-contemplati sunt habitum corporis et speciem stupendam
Hectoris: neque ei quis sine-vulnere-inflicto astitit.
Sic verò aliquis dicebat intuitus in proximum alium:
" Papae, certè longè jam mollior tractatu
" Hector, quàm quandò naves incendit igne ardenti."
Sic quidem aliquis dicebat, et vulnerabat astans.
Hunc autem ubi spoliârat pedibus-valens nobilis Achilles,
Stans inter Achivos verba alata dixit:
" O amici, Argivorum ductores, atque principes,
" Postquam hunc virum dii domuisse dederunt,

—— τό μιν οὔποτε ἤλπετο θυμῷ
Τεθνάμεν ——. ρ', 404.
Ἤδη γὰρ Πηλῆά γ' ὀΐομαι ἢ κατὰ πάμπαν
Τεθνάμεν ——. τ', 334.

Ibid. — ὁππότε κεν δὴ.] *Quandocunque erit futurum ut* ——. Vide suprà ad ξ', 433 et 504.

Ver. 366. —— ἀθάνατοι.] Vide suprà ad ά, 598.

Ver. 367. Ἦ ῥα, καὶ ἐκ νεκροῖο ἐρύσσατο χάλκεον ἔγχος.]
—— Hoc dicens eduxit corpore telum.
Æn. X, 744.

Ver. 371. —— οὐδ' ἄρα οἵ τις ἀνουτητί.]
Vulneraque illa gerens, quæ circum plurima muros
Accepit patrios ——.
Æn. II, 278.

Ver. 372. —— τις εἴπεσκεν.] Quâ ratione vox τις hîc, item infrà, *ver.* 375. producatur; Ἀχαιοῖσιν, *ver.* 377. et νέκυς, *ver.* 386. et Ἠράμεθα, *ver.* 393. vide suprà ad ά, 51

Ver. 373. — ἦ μάλα δὴ μαλακώτερος.]
—— quantum mutatus ab illo
Hectore, qui redit exuvias indutus Achillis,
Vel Danaûm Phrygios jaculatus puppibus ignes! *Æn.* II, 274.

Ver. 374. —— ἐνέπρησεν.] *Al.* ἐνέπρηθε.

Ibid. —— κηλέῳ.] Pronuntiabatur κηλῷ.

Ver. 377. —— ἔπεα πτερόεντ' ἀγόρευεν.] *Al.* ἔπεα πτερόεντα προσηύδα.

Ver. 378. Ὦ φίλοι, Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες.] *Al.* Ὦ φίλοι, ἥρωες Δαναοὶ, θεράποντες Ἄρηος.

Ver. 379. Ἐπειδὴ τόνδ'.] Σημειωτέον ὅτι ἀκεφάλοις χρῆται ὁ Ποιητής. *Schol.* Vide infrà ad ψ', 2.

Ibid. Ἐπειδὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν.] Τοὺς δὲ ἀναγκασθέντας ἐπαινεῖν αὐτοὺς ἐλαφροτέρους παρέχει καὶ τὸ μὴ πάντα προσποιεῖν ἑαυτοῖς, ἀλλ' ὥσπερ φορτικοῦ τῆς δόξης, τὸ μὲν εἰς τὴν τύχην, τὸ δὲ εἰς τὸν θεὸν ἀποτίθεσθαι. Διὸ καλῶς μὲν ὁ Ἀχιλλεὺς,

Ὃς κακὰ πόλλ' ἔρδεσκεν, ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι·
Εἴδ' ἄγετ', ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν,
Ὄφρα κέ τι γνῶμεν Τρώων νόον, ὅντιν' ἔχουσιν·
Ἢ καταλείψουσιν πόλιν ἄκρην, τοῦδε πεσόντος,
Ἦε μένειν μεμάασι, καὶ Ἕκτορος οὐκ ἔτ' ἐόντος.
Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
Κεῖται πὰρ νήεσσι νέκυς ἄκλαυστος, ἄθαπτος,
Πάτροκλος· τοῦ δ' οὐκ ἐπιλήσομαι, ὄφρ' ἂν ἔγωγε
Ζωοῖσιν μετέω, καί μοι φίλα γούνατ' ὀρώρῃ·
Εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν ἀΐδαο,
Αὐτὰρ ἐγὼ κᾀκεῖθι φίλου μεμνήσομ' ἑταίρου.
Νῦν δ' ἄγ', ἀείδοντες Παιήονα, κοῦροι Ἀχαιῶν,
Νηυσὶν ἔπι γλαφυρῇσι νεώμεθα, τόνδε δ' ἄγωμεν·
Ἠράμεθα μέγα κῦδος· ἐπέφνομεν Ἕκτορα δῖον,

" Qui mala multa patravit, quot non universi caeteri:
" Eia agite, circa urbem cum armis experiamur,
" Ut cognoscamus Trojanorum mentem, quamnam habeant;
" An deserturi-sint urbem summam, hoc strato,
" An manere ausint, etiam Hectore non jam existente.
" Sed cur mihi haec meus secum disserit animus?
" Jacet ad naves mortuus, indefletus, inhumatus,
" Patroclus; hujus autem non obliviscar, quoad ego
" Vivis interero, et mihi chara genua moveantur:
" Quòd si mortuorum oblivio subit in orco;
" Tamen ego etiam illic dilecti memor ero sodalis.
" Nunc autem age canentes Paeana, juvenes Achivorum,
" Naves ad cavas redeamus, et hunc ducamus:
" Retulimus magnam gloriam: interfecimus Hectora nobilem,

" Ἐπειδὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν." *Plutarch. de Sui Laude.* Vide suprà ad ά, 128.

Ver. 380. —— ἔρδεσκεν.] *Al.* ἔῤῥεξεν.

Ver. 381. Εἴδ' ἄγετ'.] Vide suprà ad ί, 167.

Ibid. Εἴδ' ἄγετ', ἀμφὶ πόλιν σὺν τεύχεσι.]

Nunc iter ad regem nobis murosque Latinos:
Arma parate, animis et spe præsumite bellum. *Æn.* XI, 17.

Ver. 382. Ὄφρα κέ τι.] *Al.* Ὄφρα κ' ἔτι.

Ver. 386. Κεῖται πὰρ νήεσσι νέκυς ἄκλαυστος.]

Præterea, jacet exanimum tibi corpus amici,
—— totamque incestat funere classem;
Dum consulta petis, nostroque in limine pendes.
Sedibus hunc refer ante suis, et conde sepulchro. *Æn.* VI, 149

Ver. 388. Ζωοῖσιν μετέω, καί μοι φίλα γούνατ' ὀρώρῃ.] *Al.* Ζωὸς ἐν Ἀργείοισι φιλοπτολέμοισι μετείω.

Ver. 390. —— κᾀκεῖθι.] Cod. *Harleian.* καὶ κεῖθι.

Ver. 391. Νῦν δ' ἄγ', ἀείδοντες Παιήονα]

—— lætumque choro Pæana canentes. *Æn.* VI, 657.
Conclamant Socii, lætum Pæana secuti. *Æn.* X, 738.

Ὅτι οὐ μόνον συμποτικὴ ἡ πάλαι Μουσικὴ, ἀλλὰ καὶ εἰς θρήνους καὶ εἰς θριάμβους. Παιᾶνες μὲν, κῶμος καὶ εὐφημίαι ἦσαν. — Δύο δὲ Παιᾶνας ᾖδον οἱ Παλαιοὶ, τὸν μὲν πρὸ τῆς μάχης, τῷ Ἄρει· τὸν δὲ, μετὰ τὸν πόλεμον, τῷ Ἀπόλλωνι· τοῦτον δὲ μετὰ τὴν νίκην τῷ Ἀπόλλωνι ᾖδεν Ἀχιλλεύς. *Schol.* MSS. apud *Barnesium.*

Ver. 393. Ἠράμεθα μέγα κῦδος.]

Maxima res effecta, viri; ——
—— hæc sunt spolia, et de rege superbo
Primitiæ: manibusque meis Mezentius hic est. *Æn.* XI, 14.

Porrò conjicit *Barnesius* Distichon hoc, " Ἠράμεθα — εὐχετόωντο," *Achillis* fuisse *Pæana*; vel *Chorum* à toto exercitu repetitum.

Ὦ Τρῶες κατὰ ἄστυ, θεῷ ὡς, εὐχετόωντο.
Ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα·
Ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντε
Ἐς σφυρὸν ἐκ πτέρνης, βοέους δ' ἐξῆπτεν ἱμάντας,
Ἐκ δίφροιο δ' ἔδησε· κάρη δ' ἕλκεσθαι ἔασεν·
Ἐς δίφρον δ' ἀναβὰς, ἀνά τε κλυτὰ τεύχε' ἀείρας,
Μάστιξέν ῥ' ἐλάαν, τὼ δ' οὐκ ἄκοντε πετέσθην·
Τοῦ δ' ἦν ἑλκομένοιο κονίσσαλος· ἀμφὶ δὲ χαῖται
Κυάνεαι πίλναντο, κάρη δ' ἅπαν ἐν κονίῃσι
Κεῖτο, πάρος χαρίεν· τότε δὲ Ζεὺς δυσμενέεσσι
Δῶκεν ἀεικίσσασθαι ἑῇ ἐν πατρίδι γαίῃ·
Ὣς τοῦ μὲν κεκόνιτο κάρη ἅπαν· ἡ δέ νυ μήτηρ

"Cui Trojani per urbem, velut deo, vota-faciebant."
Dixit, et in Hectora nobilem indigna moliebatur opera:
Amborum retrò pedum perforavit tendines
Ad talum usque à calce, bubulaque innexuit lora,
De curruque ligavit; caput verò trahi sivit:
Curruque conscenso, et inclytis armis *in eum* elevatis,
Scuticâ percussit *equos*, ut inirent-cursum; ii autem non inviti volabant:
Ab illo verò oriebatur inter trahendum pulvis: at circum comae
Cyaneae *terrae* admovebantur, caputque totum in pulveribus
Jacebat, antè venustum: tunc verò Jupiter hostibus
Dederat deturpandum ipsius in patriâ terrâ:
Sic hujus quidem pulvere foedabatur caput totum: tum verò mater

---

Ver. 394. — εὐχετόωντο.] *Vota facere solebant.* Vide suprà ad γ', 84. et ad β', 221.

Ver. 395. —— ἀεικέα μήδετο ἔργα.] Vide infrà ad ψ', 176.

Ibid. —— μήδετο.] *Al.* μήσατο.

Ver. 396. Ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε.]

Raptatus bigis, ut quondam, aterque cruento
Pulvere, perque pedes trajectus lora tumentes. *Æn.* II, 272.

Ibid. —— τένοντε.] *Dionysius Halicarnassensis* περὶ συνθέσεως, § 18. legit τένοντας.

Ver. 397. Ἐς σφυρὸν ἐκ πτέρνης.] Ἀντὶ τοῦ, ἀπὸ σφυροῦ ἕως πτέρνης. *Schol.* Malè omninò. Quidni enim et scribere potuisset *Homerus* (si id dicere voluisset) "Ἐκ σφυροῦ ἐς πτέρνην."

Ibid. —— βοέους δ' ἐξῆπτεν.] Cod. *Harleian.* βοίους ἐξῆπτεν.

Ver. 398. Ἐκ δίφροιο δ' ἔδησε.] Ὁ δὲ Καλλίμαχός φησιν ὅτι πάτριόν ἐστι Θετταλοῖς τοὺς τῶν φιλτάτων φονέας σύρειν περὶ τοὺς τῶν φονευθέντων τάφους. *Schol.*

Ibid. —— ἔασεν.] Similitérque infrà *ver.* 416. ἐάσατε. Vide suprà ad δ', 42. Malè *Barnesius:* ἔασσεν — ἐάσσατε.

Ibid. —— κάρη δ' ἕλκεσθαι ἔασεν.]

—— huic cervixque comæque trahuntur
Per terram ——. *Æn.* I, 481.

Ver. 399. Ἐς δίφρον δ' ἀναβὰς, &c.] *Virgilius Hectorem* ter circa Trojam raptatum refert:

Ter circum Iliacos raptaverat Hectora muros. *Æn.* I, 487.

Verùm ejus rei non meminit *Homerus.* Ter quidem circa urbem vivum *Hectorem* fugâsse narratur *Achilles* suprà *ver.* 165. hujus libri: hoc in loco interfectum et à curru ligatum ad naves trahere dicitur (Vide *ver.* 465): itemque infrà ώ, 18. ter circa *Patrocli* sepulchrum traxisse dicitur: at circa urbem raptâsse nusquam memoratur. Uti observavit *Barnesius.*

Ver. 400. Μάστιξέν ῥ' ἐλάαν.] *Dionysius Halicarnassensis* loco jam citato legit, Μάστιξεν δ' ἐλάαν.

Ibid. —— ἄκοντε.] Cod. *Harleian.* ἀέκοντε.

Ver. 401. —— ἀμφὶ δὲ χαῖται Κυάνεαι πίλναντο.]

—— ὡς ὅτε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
Πίλνατο. —— *Hesiod. Theogon. ver.* 702.

Ver. 402. Κυάνεαι.] Vide suprà ad ά, 398.

Ibid. — πίλναντο.] *Al.* πίμπλαντο. Quam lectionem et præfert *Barnesius.* *Synesius* autem, notante itidem *Barnesio,* citat πεφόρηντο.

Ver. 404. —— ἀεικίσσασθαι.] Vide suprà ad τ', 26.

Ver. 405. —— κεκόνιτο.] Vide suprà ad φ', 352. et ad δ', 492. *Al.* κεκόνιστο.

Τίλλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην
Τηλόσε· κώκυσεν δὲ μάλα μέγα, παῖδ᾽ ἐσιδοῦσα.
Ὤμωξεν δ᾽ ἐλεεινὰ πατὴρ φίλος, ἀμφὶ δὲ λαοὶ
Κωκυτῷ τ᾽ εἴχοντο, καὶ οἰμωγῇ κατὰ ἄστυ·
Τῷ δὲ μάλιστ᾽ ἄρ᾽ ἔην ἐναλίγκιον, ὡς εἰ ἅπασα
Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ᾽ ἄκρης.
Λαοὶ μέν ῥα γέροντα μόλις ἔχον ἀσχαλόωντα,
Ἐξελθεῖν μεμαῶτα πυλάων Δαρδανιάων·
Πάντας δ᾽ ἐλλιτάνευε, κυλινδόμενος κατὰ κόπρον,
Ἐξονομακλήδην ὀνομάζων ἄνδρα ἕκαστον·
Σχέσθε, φίλοι, καί μ᾽ οἶον ἐάσατε, κηδόμενοί περ,
Ἐξελθόντα πόληος, ἱκέσθ᾽ ἐπὶ νῆας Ἀχαιῶν·
Λίσσομαι ἀνέρα τοῦτον ἀτάσθαλον, ὀβριμοεργὸν,
Ἤν πως ἡλικίην αἰδέσσεται, ἠδ᾽ ἐλεήσῃ
Γῆρας· καὶ δέ νυ τῷδε πατὴρ τοίοσδε τέτυκται

Evellebat comam, nitidumque abjecit velum
Procul: ejulatumque edidit admodùm altum, filium intuita.
Lamentabatur miserabilitèr et pater dilectus, circumque populi
Ejulatuque tenebantur, et lamentis per urbem:
Huic autem maximè erat simile, ac si tota
Ilios excelsa igni cremaretur à culmine.
Populi quidem senem vix tenebant dolore-indignantem,
Egredi cupientem portis Dardaniis:
Omnes autem supplex-orabat, provolutus in luto,
Nominatim compellans virum quemque:
" Abstinete, amici, et me solum sinite, soliciti licèt,
" Egressum urbe ire ad naves Achivorum:
" Supplicabo viro huic pernicioso, violentiâ-effraeni,
" Si fortè aetatem revereatur, atque misereatur
" Senectutis: etenim et huic pater talis est

Ver. 406. ——— δὲ λιπαρὴν.] Quâ ratione vox δὲ, hîc producatur; item μάλα, *ver.* 407. et μόλις, *ver.* 412. vide suprà ad ά, 51.

Ver. 407. ——— κώκυσεν.] Vide suprà ad σ΄, 37.

Ver. 410. Τῷ δὲ μάλιστ᾽ ἄρ᾽ ἔην ἐναλίγκιον.]

Non aliter quàm si immissis ruat hostibus omnis
Carthago, aut antiqua Tyros; flammæque furentes
Culmina perque hominum volvantur perque Deorum. *Æn.* IV, 669.

Quo de loco *Macrobius:* " A majore (inquit) negaverunt quidam rem augeri posse. " Sed elegantèr hoc circa Didonem *Virgilius* " induxit: dixit enim non minorem luctum " fuisse ex unius morte, quàm si tota urbs, " quod sine dubio esset majus, ruisset. Et " *Homerus* idem fecit:
" ——— ὡς εἰ ἅπασα
" Ἴλιος ὀφρυόεσσα πυρὶ σμήχοιτο κατ᾽ ἄκρας."
Saturnal. Lib. IV. *cap.* 6.

Ibid. ——— ὡς εἰ.] Ita *Barnesius. Vulgg.* ὡσεί.

Ver. 411. — σμύχοιτο.] *Al.* σμήχοιτο. Quo modo legit et *Macrobius* loco jam citato.

Ibid. — κατ᾽ ἄκρης.] Vide suprà ad ό, 557.

Ver. 412. ——— μόλις.] *Al.* μόγις.

Ver. 413. 432. ——— μεμαῶτα ——— ἀποτεθνειῶτος.] Vide suprà ad ν΄, 46.

Ver. 416. — κηδόμενοί περ.] Cod. *Harleian.* κηδόμενόν περ.

Ver. 418. Λίσσομαι ἀνέρα.] *Al.* Λίσσωμ ἀνέρα.

Ver. 420. ——— καὶ δέ νυ τῷδε πατὴρ.] Vide infrà ad ώ, 486.

Ibid. ——— δέ.] Cod. *Harleian.* γέ.

Ibid. ——— τοίοσδε.] Vide suprà ad ύ 357.

Ibid. ——— τέτυκται.] Similitérque infrà *ver.* 450. Vide suprà ad ν΄, 736. et ad ά, 57.

Πηλεὺς, ὅς μιν ἔτικτε καὶ ἔτρεφε, πῆμα γένεσθαι
Τρωσί· μάλιστα δ' ἐμοὶ περὶ πάντων ἄλγε' ἔθηκε·
Τόσσους γάρ μοι παῖδας ἀπέκτανε τηλεθάοντας·
Τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
Ὡς ἑνὸς, οὗ μ' ἄχος ὀξὺ κατοίσεται Ἄϊδος εἴσω,
Ἕκτορος· ὡς ὄφελεν θανέειν ἐν χερσὶν ἐμῇσι·
Τῷ κε κορεσσάμεθα κλαίοντέ τε, μυρομένω τε,
Μήτηρ θ', ἥ μιν ἔτικτε δυσάμμορος, ἠδ' ἐγὼ αὐτός.
Ὣς ἔφατο κλαίων· ἐπὶ δὲ στενάχοντο πολῖται·
Τρῳῇσιν δ' Ἑκάβη ἁδινοῦ ἐξῆρχε γόοιο·
Τέκνον, ἐγὼ δειλὴ τί νυ βείομαι, αἰνὰ παθοῦσα,
Σεῦ ἀποτεθνειῶτος; ὅ μοι νύκτας τε καὶ ἦμαρ
Εὐχωλὴ κατὰ ἄστυ πελέσκεο, πᾶσί τ' ὄνειαρ
Τρωσί τε καὶ Τρῳῇσι κατὰ πτόλιν, οἵ σε, θεὸν ὣς,
Δειδέχατ'· ἦ γάρ κέ σφι μάλα μέγα κῦδος ἔησθα,
Ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
Ὣς ἔφατο κλαίουσ'· ἄλοχος δ' οὔπω τι πέπυστο
Ἕκτορος· οὐ γάρ οἵ τις ἐτήτυμος ἄγγελος ἐλθὼν
Ἤγγειλ', ὅττι ῥά οἱ πόσις ἔκτοθι μίμνε πυλάων·

" Peleus, qui ipsum genuit et nutrivit, perniciem futurum
" Trojanis; maximè autem mihi prae omnibus dolores fecit:
" Tot enim mihi filios interemit aetate florentes:
" De quibus omnibus non tantùm lugeo, tristis licèt,
" Quantum uno, de quo me dolor vehemens *conceptus* deferet ad orcum,
" Hectore: Utinam obiisset inter manus meas:
" Sic enim satiati fuissemus flentesque, lugentesque,
" Materque, quae eum peperit infelix, atque ego ipse."
Sic dixit flens: adgemebant autem cives:
Inter Troadas verò Hecuba densum-suspiriis exorsa est luctum:
" Fili, ego misera curnam vivam, gravia passa,
" Te mortuo? qui mihi noctesque et dies
" Gloria per urbem eras, omnibusque emolumentum
" Trojanisque et Troadibus per urbem, qui te deum tanquam
" Excipiebant: Certè enim ipsis admodùm magna gloria esses,
" Vivus existens: nunc verò mors et fatum occupat."
Sic dixit flens: Uxor autem nondum aliquid audierat
De Hectore; non enim ei aliquis certus nuncius profectus
Nunciârat, quòd ei maritus extra mansisset portas:

Ver. 423. — τηλεθάοντας.] *Al.* τηλεθόωντας.

Ver. 424. —— ἀχνύμενός.] Similitérque infrà *ver.* 453. Πήγνυται. Vide suprà ad γ', 260.

Ver. 427. —— κορεσσάμεθα.] Vide suprà ad τ', 167. et ad *ver.* 33. hujus libri.

Ver. 429—437. Ὣς ἔφατο κλαίων·——Ὣς ἔφατο κλαίουσ'.]

Sic fatur lachrymans ——. *Æn.* VI, 1.

Ver. 431. Τέκνον, ἐγὼ δειλή.] *Scholiastes* citat Ἕκτορ, τέκνον ἐμόν.

Ver. 434. —— θεὸν ὥς.] Quâ ratione, θεὸν, hîc ultimam producat; item μάλα, *ver.* 435. et γάρ, etiam extra cæsuram, *ver.* 438. et τρίποδα, *ver.* 443. vide suprà ad ά, 51.

Ver. 435. —— κέ σφι.] *Al.* καί σφι.] Minùs rectè.

Ver. 437. —— πέπυστο.] Si, πέπυσται, dixisset, jam non constitisset Temporum ratio. Vide suprà ad φ', 352. et ad ά, 57.

Ver. 439. —— ὅττι ῥά.] *Quòd scilicèt* ——.

Ἀλλ' ἥγ' ἱστὸν ὕφαινε, μυχῷ δόμου ὑψηλοῖο,
Δίπλακα μαρμαρέην, ἐν δὲ θρόνα ποικίλ' ἔπασσε·
Κέκλετο δ' ἀμφιπόλοισιν ἐϋπλοκάμοις κατὰ δῶμα
Ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα πέλοιτο
Ἕκτορι θερμὰ λοετρὰ μάχης ἐκνοστήσαντι·
Νηπίη, οὐδ' ἐνόησεν, ὅ μιν μάλα τῆλε λοετρῶν
Χερσὶν Ἀχιλλῆος δάμασεν γλαυκῶπις Ἀθήνη.
Κωκυτοῦ δ' ἤκουσε καὶ οἰμωγῆς ἀπὸ πύργου,
Τῆς δ' ἐλελίχθη γυῖα, χαμαὶ δέ οἱ ἔκπεσε κερκίς·
Ἡ δ' αὖτις δμωῇσιν ἐϋπλοκάμοισι μετηύδα·
Δεῦτε, δύω μοι ἕπεσθον, ἴδωμ', ὅτιν' ἔργα τέτυκται·
Αἰδοίης ἑκυρῆς ὀπὸς ἔκλυον, ἐν δέ μοι αὐτῇ
Στήθεσι πάλλεται ἦτορ ἀνὰ στόμα, νέρθε δὲ γοῦνα
Πήγνυται· ἐγγὺς δή τι κακὸν Πριάμοιο τέκεσσιν.
Αἲ γὰρ ἀπ' οὔατος εἴη ἐμεῦ ἔπος· ἀλλὰ μάλ' αἰνῶς
Δείδω, μὴ δή μοι θρασὺν Ἕκτορα δῖος Ἀχιλλεὺς

Sed illa telam texebat, in secessu domûs altae,
Duplicem splendidam *vestem*, operaque picta varia sparsim-intexebat:
Jusserat autem ancillas comis-pulchras per domum
Igne circumdare positum tripodem magnum, ut essent
Hectori calida lavacra è pugnâ reverso:
Demens, neque enim sciebat, quòd ipsum admodùm procul à lavacris
Manibus Achillis domuerat oculis-caesia Minerva.
Ejulatum autem exaudiit et lamenta à turri;
Ejusque continuò succussi sunt artus, inque terram ei excidit radius:
Ipsaque statim inter ancillas comis-pulchras locuta est:
" Adeste, duae me sequimini, *ut* videam, quaenam opera *fiant:*
" Venerandae socrûs vocem audivi, mihique ipsi
" In pectoribus saliens vibratur cor sursùm ad os, subtúsque genua
" Glaciata-torpent: propè certè aliquod malum Priami filiis.
" Utinam verò procul ab aure sit meum verbum; sed perquàm gravitèr
" Timeo, ne jam mihi audacem Hectorem nobilis Achilles

Ver. 441. —— μαρμαρέην.] *Al.* πορφυρέην.

Ibid. θρόνα.] Ποικίλματα, ἄνθη. *Schol.* *Al.* θρόα.

Ver. 444. —— μάχης ἐκνοστήσαντι.] *Al.* μάχης ἐκ νοστήσαντι.

Ver. 446. —— γλαυκῶπις.] Vide suprà ad ά, 206.

Ver. 447. Κωκυτοῦ δ' ἤκουσε.]

Agnovit longè gemitum præsaga mali mens. *Æn.* X, 843.

Intereà pavidam volitans pennata per urbem
Nuncia fama ruit, matrisque adlabitur aures
Euryali: ac subitus miseræ calor ossa reliquit:
Excussi manibus radii, revolutaque pensa.
Evolat infelix ——. *Æn.* IX, 473.

Quem *Virgilii* locum laudat *Quintilianus*, quòd *affectus non aliter, quàm si rebus intersimus*, commoveat. *Lib.* VI. *cap.* 2. " Et " luctus habitu proditur: ut in Euryali ma- " tre: *Expulsi manibus radii,*" &c. *Macrob. Saturnal. Lib.* IV. *cap.* 1. Cæterùm hoc in loco, pro " *Pensa,*" scribendum conjicit *Barnesius*, " *Membra.*" Sed minùs rectè.

Ver. 448. Τῆς δ' ἐλελίχθη γυῖα, χαμαὶ δέ οἱ ἔκπεσε κερκίς.] Rem ipsam aptissimè depingunt et quasi ob oculos ponunt versûs hujus Numeri. Vide suprà ad γ', 363.

Ver. 450. —— ὅτιν' ἔργα.] *Al.* ἅτιν' ἔργα.

Ver. 452. —— νέρθε δὲ γοῦνα Πήγνυται.] Καλλίμαχος, " —— ἐκόλλασαν γὰρ ἀνίαι Γώ- " νατα." *Schol.* MSS. apud *Barnesium*.

Ver. 454. —— εἴη.] *Al.* ἦεν.

Μοῦνον ἀποτμήξας πόλιος, πεδίονδε δίηται·
Καί δή μιν καταπαύσῃ ἀγηνορίης ἀλεγεινῆς,
Ἥ μιν ἔχεσκ'· ἐπεὶ οὔποτ' ἐνὶ πληθυῖ μένεν ἀνδρῶν,
Ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μένος οὐδενὶ εἴκων.
Ὣς φαμένη, μεγάροιο διέσσυτο, μαινάδι ἴση,
Παλλομένη κραδίην· ἅμα δ' ἀμφίπολοι κίον αὐτῇ.
Αὐτὰρ ἐπεὶ πύργον τε καὶ ἀνδρῶν ἶξεν ὅμιλον,
Ἔστη παπτήνασ' ἐπὶ τείχεϊ· τὸν δ' ἐνόησεν
Ἑλκόμενον πρόσθεν πόλιος, ταχέες δέ μιν ἵπποι
Ἕλκον ἀκηδέστως κοίλας ἐπὶ νῆας Ἀχαιῶν.
Τὴν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν·
Ἤριπε δ' ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε.
Τῆλε δ' ἀπὸ κρατὸς χέε δέσματα σιγαλόεντα,
Ἄμπυκα, κεκρύφαλόν τ', ἠδὲ πλεκτὴν ἀναδέσμην,
Κρήδεμνόν θ', ὅ ῥά οἱ δῶκε χρυσῆ Ἀφροδίτη,
Ἤματι τῷ, ὅτε μιν κορυθαίολος ἠγάγεθ' Ἕκτωρ
Ἐκ δόμου Ἠετίωνος, ἐπεὶ πόρε μυρία ἕδνα·

" Solum interclusum ab urbe, in campum agitet;
" Et jam eum cessare-faciat *ab* audaciâ exitiali,
" Quae ipsum tenebat: quippè nunquam in turbâ manebat virorum;
" Sed longè procurrebat, suâ animi-vi nulli cedens."
Sic locuta, per domum ruit, lymphatae similis,
Vehementèr-palpitans corde; simul et ancillae ibant cum ipsâ.
At postquàm ad turrimque et hominum pervenerat turbam,
Stetit circumspiciens in muro: illumque advertit
Raptatum ante urbem; celeres autem eum equi
Raptabant immanitèr cavas ad naves Achivorum.
Illam verò oculos obscura nox cooperuit:
Collapsa autem est retrò, animamque efflavit.
Procul verò à capite fudit redimicula admiranda,
Vittas, reticulumque, atque textile crinale,
Velumque, quod ei dedit aurea Venus,
Die illo, quo ipsam pugnam-expeditè-ciens duxit Hector
Ex domo Eëtionis, postquàm dederat infinita dona-sponsalia:

Ver. 458. 459. —— *ἴχεσκ'· —— προθέεσκε.*] Vide suprà ad *ver.* 394. et ad *ν'*, 84.

Ver. 458. —— *πληθύϊ μένεν ἀνδρῶν.*] Ita edidit *Barnesius* ex *Eustathio*. *Vulgg.* *πληθύϊ μέν' ἀνδρῶν.* *Al.* *πλήθει μένεν ἀνδρῶν.* Vide suprà ad *π'*, 321 et 526. Confirmatur porrò *Barnesii* lectio, *Odyss.* *π'*, 105:

Εἰ δ' αὖ με πληθύϊ δαμασσαίατο ——.

Ver. 465. Ἕλκον.] *Al.* Εἷλκον.

Ver. 469. Ἄμπυκα.] Κόσμον τινὰ περὶ τὴν κεφαλὴν, ἀνέχοντα τὰς τρίχας τῆς κεφαλῆς. *Schol.*

Ibid. —— *κεκρύφαλόν.*] Τὸν πρὸς ἡμῶν λεγόμενον κροκύφαντον. *Schol.*

Ibid. —— *κεκρύφαλόν τ', ἠδὲ.*] *Al.* *κεκρύφαλόν τε ἰδέ.* Atque ita legit Codex *Harleianus.*

Ver. 470. —— *ὅ ῥά.*] *Quod scilicèt* ——.

Ibid. —— *χρυσῆ.*] Edidit *Barnesius* *χρυσέη.* Quod eodem modo pronuntiandum. Vide suprà ad *ύ*, 272. et ad *ν*, 523.

Ver. 471. —— *κορυθαίολος.*] Vide suprà ad *β'*, 816.

Ver. 472. —— *μυρία ἕδνα.*] *Al.* *μυρί' ἔεδνα.*

Ibid. —— *ἕδνα.*] Τὰ ὑπὸ τῶν νυμφίων διδόμενα δῶρα ταῖς γαμουμέναις. *Schol.*

Ἀμφὶ δέ μιν γαλόῳ τε καὶ εἰνατέρες ἅλις ἔσταν,
Αἵ ἑ μετὰ σφίσιν εἶχον ἀτυζομένην ἀπολέσθαι.
Ἡ δ' ἐπεὶ οὖν ἄμπνυτο, καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
Ἀμϐλήδην γοόωσα, μετὰ Τρωῇσιν ἔειπεν·
Ἕκτορ, ἐγὼ δύστηνος· ἰῇ ἄρα γεινόμεθ' αἴσῃ
Ἀμφότεροι, σὺ μὲν ἐν Τροίῃ Πριάμου κατὰ δῶμα,
Αὐτὰρ ἐγὼ Θήϐῃσιν, Ὑποπλάκῳ ὑλήεσσῃ,
Ἐν δόμῳ Ἠετίωνος· ὅ μ' ἔτρεφε τυτθὸν ἐοῦσαν,
Δύσμορος αἰνόμορον· ὡς μὴ ὤφελλε τεκέσθαι.
Νῦν δὲ σὺ μὲν ἀΐδαο δόμους, ὑπὸ κεύθεσι γαίης,
Ἔρχεαι, αὐτὰρ ἐμὲ στυγερῷ ἐνὶ πένθεϊ λείπεις
Χήρην ἐν μεγάροισι· πάϊς δ' ἔτι νήπιος αὔτως,
Ὃν τέκομεν, σύ τ', ἐγώ τε, δυσάμμοροι· οὔτε σὺ τούτῳ
Ἔσσεαι, Ἕκτορ, ὄνειαρ, ἐπεὶ θάνες· οὔτε σοι οὗτος.
Ἤνπερ γὰρ πόλεμόν γε φύγῃ πολύδακρυν Ἀχαιῶν,
Αἰεί τοι τούτῳ γε πόνος καὶ κήδε' ὀπίσσω

Circum verò ipsam gloresque et fratriae frequentes stabant,
Quae ipsam inter se tenebant prae-dolore-cupidam interitûs.
Ea verò ut ad se rediit, et in praecordia anima collecta est,
Crebris gemitibus plorans, inter Troadas dixit:
" Hector, ego infelix! eodem igitur nati sumus fato
" Ambo, tu quidem in Trojâ Priami in domo,
" Ego autem Thebis, Hypoplaco sylvosâ,
" In domo Eëtionis, qui me enutriit, parvula cùm essem,
" Infelix infelicem: utinam non genuisset.
" Nunc verò tu quidem in orci domos, sub latebris terrae,
" Abis, et me gravissimo in luctu relinquis
" Viduam in aedibus: At filius adhuc infans prorsùs,
" Quem genuimus, tuque, egoque calamitosi: neque tu huic
" Eris, Hector, emolumento; quippe occubuisti: neque tibi hic.
" Nam etsi bellum quidem effugerit lachrymosum Achivorum,
" Semper tamen ei labor et mala in posterum

Ver. 473. —— εἰνατέρες.] Αἱ τῶν ἀδελφῶν γυναῖκες.] *Schol.*

Ibid. — εἰνατέρες ἅλις.] Quâ ratione, εἰνατέρες, hîc ultimam producat; item αἰνόμορον, *ver.* 481. et γὰρ, *ver.* 489. et πάϊς, *ver.* 492 et 499. Vide suprà ad ά, 51.

Ibid. —— ἔσταν.] *Al.* ἦσαν.

Ver. 474. —— ἀπολέσθαι.] *Al.* ὀλέσθαι.

Ver. 475. —— ἐς φρένα θυμὸς ἀγέρθη.] " Pro θυμὸς hîc —— legitur etiam θυμὸν, " perinde ac si diceretur ἀγηγερμένον ἔσχε τὸν " θυμὸν ἐς φρένα." *Henric. Stephan.*

Ver. 476. Ἀμϐλήδην γοόωσα.] Versum hunc citat *Dionysius Halicarnassensis* isto modo:

Ἀμϐλῆδην γοόωσα μετὰ δμωῇσιν ἔειπεν.

Περὶ Συνθέσεως, § 15.

Ibid. Ἀμϐλῆδην.] Ἀναφέρουσα ἀθρόως τὸ πνεῦμα. *Schol.*

Ibid. —— γοόωσα.] Vide suprà ad β', 97.

Ver. 477. —— γεινόμεθ'.] *Al.* γεινάμεθ', et γινόμεθ'.

Ver. 478. — Πριάμου κατὰ δῶμα.] *Strabo, Geograph. Lib.* XIII. citat Πριάμου ἐνὶ οἴκῳ.

Ver. 479. —— Θήϐῃσιν.] *Al.* Θήϐηθεν, apud *Strabonem ibid.*

Ibid. —— ὑληέσσῃ.] Vide suprà ad φ', 449. et ad γ', 151.

Ver. 482. Νῦν δὲ σὺ μὲν ἀΐδαο.] *Barnesius* edidit Νῦν δὲ σὺ μέν ῥ' ἀΐδαο. Sed nihil opus. Vide suprà ad ά, 51.

Ver. 487. —— πόλεμόν —— πολύδακρυν.] Vide suprà ad τ', 318.

Ibid. —— φύγῃ.] *Al.* φύγοι.

Ἔσσοντ'· ἄλλοι γάρ οἱ ἀπουρίσσουσιν ἀρούρας.
Ἦμαρ δ' ὀρφανικὸν παναφήλικα παῖδα τίθησι·
Πάντα δ' ὑπεμνήμυκε, δεδάκρυνται δὲ παρειαί.
Δευόμενος δέ τ' ἄνεισι πάϊς ἐς πατρὸς ἑταίρους,
Ἄλλον μὲν χλαίνης ἐρύων, ἄλλον δὲ χιτῶνος·
Τῶν δ' ἐλεησάντων κοτύλην τις τυτθὸν ἐπέσχε,
Χείλεα μέν τ' ἐδίην', ὑπερῴην δ' οὐκ ἐδίηνε.
Τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐστυφέλιξε,
Χερσὶν πεπληγὼς, καὶ ὀνειδείοισιν ἐνίσσων,
Ἔρρ' οὕτως· οὐ σός γε πατὴρ μεταδαίνυται ἡμῖν·
Δακρυόεις δέ τ' ἄνεισι πάϊς ἐς μητέρα χήρην,
Ἀστυάναξ, ὃς πρὶν μὲν ἑοῦ ἐπὶ γούνασι πατρὸς
Μυελὸν οἶον ἔδεσκε, καὶ οἰῶν πίονα δημόν·
Αὐτὰρ ὅθ' ὕπνος ἕλοι, παύσαιτό τε νηπιαχεύων,
Εὕδεσκ' ἐν λέκτροισιν, ἐν ἀγκαλίδεσσι τιθήνης,
Εὐνῇ ἐνὶ μαλακῇ, θαλέων ἐμπλησάμενος κῆρ·

" Erunt: alii enim ei terminis-mutatis-adiment arva.
" Dies nempè pupillaris omnibus-aequalibus-destitutum puerum reddit:
" Semper verò dejecto-est-vultu, lachrymisque madidae sunt genae.
" Egens autem vadit puer ad patris sodales,
" Alium quidem chlaenâ prensans, alium verò tunicâ:
" Horum autem miserantium pocillum aliquis tantillùm admovet,
" Labraque quidem rigat, palatum verò non rigat.
" Hunc et *aliquis* utroque-parente-vivo-florens è convivio exturbat,
" Manibus verberans, et probris insectans,
" Abi in malam rem sic; non tuus utique pater convivatur nobiscum:
" Lacrymabundus autem redit puer ad matrem viduam,
" Astyanax, qui antè quidem sui super genibus patris
" Medullam tantùm comedebat, et ovium pinguem adipem:
" At quandò somnus occuparet, desiissetque pueriliter-lusitare,
" Dormiebat in lectis, in ulnis nutricis,
" Cubili in molli, deliciis repletus corde:

Ver. 489. —— ἀπουρίσσουσιν.] Cod. *Harleian.* ἀπουρήσουσιν.

Ibid. —— ἀρούρας.] Vide suprà ad ζ', 142.

Ver. 490. 498. Ἦμαρ ——— ἡμῖν.] Versus hosce novem à nonnullis repudiatos fuisse testatur *Eustathius.*

Ibid. —— παναφήλικα.] Πάντων ἡλικιωτῶν ἐστερημένον· τουτέστιν, ἐλαυνόμενον τῆς ἀπ' αὐτῶν διατριβῆς. *Schol.*

Ver. 491. —— ὑπεμνήμυκε.] Καταμέμυκε, κατεστύγνακε, κάτω βλέπει. Ὁ δὲ Ἀρίσταρχος, ἐπὶ τοῦ κατανένευκε ἐκδέχεται. Οἱ δὲ, ἀντὶ τοῦ, εἰς ἀνάμνησιν ἔρχεται τοῦ πατρός. *Schol.* Cæterùm *Barnesius* edidit ὑπεμνημόνευκε ex ὑπομνημονεύω· Sed nulla, ut videtur, satìs idoneâ auctoritate. Codex *Harleianus* habet ὑπομνήμυκε.

Ibid. —— παρειαί.] Cod. *Harleian.* παρειά.

Ver. 492—499. ——— πάϊς ἐς.] *Barnesius* utrobique legendum censet πάϊς πρὸς. Sed nihil opus.

Ver. 496. —— ἀμφιθαλὴς.] Κατὰ ἀμφοτέρους τοὺς γονεῖς θάλλων· ὅ ἐστιν ἔχων τοὺς γονεῖς ἀμφοτέρους. *Schol.*

Ver. 497.— πεπληγὼς.] Vide suprà ad β', 314.

Ibid. —— ὀνειδείοισιν.] Cod. *Harleian.* ὀνειδίοισιν. Sed, ut opinor, minùs rectè. Vide suprà ad π', 628.

Ibid. —— ἐνίσσων.] *Al.* ἐνίπτων.

Ver. 498. —— μεταδαίνυται.] Vide suprà ad γ', 260.

Ver. 501—503. —— ἔδεσκε, —— Εὕδεσκ'.] *Comedere solebat* —— *Dormire solebat.* Vide suprà ad *ver.* 394. et ad β', 221.

Ver. 502. —— ἕλοι.] *Al.* ἕλη.

Ver. 504. —— ἐνὶ μαλακῇ.] Quâ ratione, ἐνὶ,

Νῦν δ' ἂν πολλὰ πάθησι, φίλου ἀπὸ πατρὸς ἁμαρτὼν,
'Αστυάναξ, ὃν Τρῶες ἐπίκλησιν καλέουσιν·
Οἶος γάρ σφιν ἔρυσο πύλας καὶ τείχεα μακρά.
Νῦν δέ σε μὲν παρὰ νηυσὶ κορωνίσι, νόσφι τοκήων,
Αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνες κορέσωνται,
Γυμνόν· ἀτάρ τοι εἵματ' ἐνὶ μεγάροισι κέονται,
Λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν.
'Αλλ' ἤτοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ,
Οὐδέν σοί γ' ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς,
Αλλὰ πρὸς Τρώων καὶ Τρωϊάδων κλέος εἶναι.
Ὣς ἔφατο κλαίουσ'· ἐπὶ δὲ στενάχοντο γυναῖκες.

" Nunc verò multa patietur, charo patre privatus,
" Astyanax, quem Troës cognomine vocant:
" Solus enim ipsis, *ô Hector*, defendebas portas et muros altos.
" Nunc verò te quidem ad naves recurvas, procul à parentibus,
" Mobiles vermes edent, postquàm canes se satiaverint,
" Nudum: at tibi vestes in aedibus jacent,
" Tenuesque et venustae, factae manibus mulierum.
" Verùm enimverò haec omnia comburam igne ardenti,
" Nihil tibi utique usui *futura*, neque enim jacebis in ipsis;
" Sed coram Trojanis et Troadibus gloria *tibi* sunto."
Sic dixit flens: adgemuerunt autem mulieres.

ıîc, item infrà *ver.* 510. ultimam producat; et ὄφελος, *ver.* 513. vide suprà ad ά, 51.

Ibid. —— ἐμπλησάμενος.] Vide suprà ad *ver.* 312.

Ver. 506. 'Αστυάναξ, ὃν Τρῶες ἐπίκλησιν καλέουσιν· Οἶος γάρ.] Sic suprà ζ', 402.

Τόν ῥ' Ἕκτωρ καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι
'Αστυάνακτ'· οἶος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ.

Τὸν 'Αστυάνακτα ἄρα ὀρθότερον ᾤετο κεῖσθαι τῷ παιδὶ [τοῦ Ἕκτορος,] ἢ τὸν Σκαμάνδριον ———. Σκοπῶμεν δὴ διὰ τί ποτε· ἢ αὐτὸς ἡμῖν κάλλιστα ὑφηγεῖται τὸ διότι; φησὶ γὰρ, " Οἶος " γάρ σφιν ἔρυτο πόλιν καὶ τείχεα μακρά." Διὰ ταῦτα δὴ, ὡς ἔοικεν, ὀρθῶς ἔχει καλεῖν τὸν τοῦ σωτῆρος υἱὸν, 'Αστυάνακτα τούτου ὃ ἔσωζεν ὁ πατὴρ αὐτοῦ, ὥς φησιν Ὅμηρος. *Plato in Cratylo.*

Ibid. —— Τρῶες.] *Al.* πάντες.

Ver. 507. Οἶος γάρ σφιν ἔρυσο πύλας.] Apud *Platonem*, loco jam citato: Οἶος γάρ σφιν ἔρυτο πόλιν.

Ver. 509. Αἰόλαι εὐλαὶ.] Τὸ, *αἰόλον*, οὐκ οἶδ' ὅθεν τῶν Γραμματικῶν τινες ἐπὶ τοῦ Ποικίλου παρ' Ὁμήρῳ ἀκούειν ἀξιοῦσιν· ——— Οὐκ ἔστι δὲ, ἀλλὰ σημαίνει τὸν ταχύν· γενόμενον ἀπὸ τῆς 'Αέλλης, ἥτις ἀπὸ τοῦ Ἄειν καὶ Εἰλεῖν πεποίηται. ——— " Αἰόλαι οὖν εὐλαὶ," ἀπὸ τοῦ εἰλεῖσθαι ταχέως λέγονται. *Porphyr. Quæst. Homeric.* 3.

Ibid. ——— κορέσωνται.] Vide suprà ad τ', 167. Cod. *Harleian.* κορέσονται.

Ver. 511. —— τετυγμένα.] Vide suprà ad *Il.* ζ', 488.

Ver. 512. ——— κηλέῳ.] Vide suprà ad *ver.* 374.

ΤΗΣ

ΟΜΗΡΟΥ ΙΛΙΑΔΟΣ

ʽΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ Ψʹ.

ʽΥπόθεσις τῆς Ψʹ. ʽΟΜΗΡΟΥ ʽΡαψῳδίας.

ʼΑΧΙΛΛΕΥΣ τῶν νενομισμένων ἐπὶ τοῖς νεκροῖς μεταδίδωσι Πατρόκλῳ, πυρὰν νήσας, καὶ σφάξας ἐπʼ αὐτῷ δυοκαίδεκα Τρωϊκοὺς νεανίσκους, καὶ κύνας, καὶ ἵππους, καὶ ἄλλα ἱερεῖα· ἔπειτα καὶ ἀγῶνα ἐπιτάφιον ποιεῖ, ἐν ᾧ νικᾷ ἵπποις μὲν Διομήδης, δρόμῳ δὲ ʼΟδυσσεὺς, ἄλλοι δὲ ἄλλως· καὶ οὕτως ὁ ἀγὼν διαλύεται.

ʼΕπιγραφαί.

ʼΑγὼν ἐπιτάφιος.

ʼΑλλως.

Ψῖ Δαναοῖσιν ἀγῶνα διδοὺς ἐτέλεσσεν ʼΑχιλλεύς.

ʼΑλλη.

Ψῖ Πάτροκλον θάπτει καὶ ἐξετέλεσσεν ἀγῶνας.

ʽΩς οἱ μὲν στενάχοντο κατὰ πτόλιν· αὐτὰρ ʼΑχαιοὶ
ʼΕπειδὴ νῆάς τε καὶ ʽΕλλήσποντον ἵκοντο,
Οἱ μὲν ἄρʼ ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος·

Sic hi quidem ingemiscebant per urbem: at Achivi
Postquàm ad navesque et Hellespontum pervenerant,
Alii quidem dispersi-ibant suam ad navem quisque:

Ver. 2. ʼΕπειδὴ νῆάς.] Πολλοὺς ἀκεφάλους ποιεῖ [ʽΟμηρος] στίχους ——· ἀκέφαλοι δέ εἰσιν οἱ ἐπὶ τῆς ἀρχῆς τὴν χωλότητα ἔχοντες·
" ʼΕπειδὴ νῆάς τε καὶ ʽΕλλήσποντον ἵκοντο."
Athenæus, Lib. XIV. *cap.* 8.
Porrò et in *hoc eodem vocabulo* versus ἀκεφάλους plures effecit Poeta; Suprà χʹ, 379.
ʼΕπειδὴ τόνδʼ ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν.
Item *Odyss.* δʹ, 13.
ʼΕπειδὴ τοπρῶτον ἐγείνατο παῖδʼ ἐρατεινήν.
Et *Odyss.* θʹ, 452.
ʼΕπειδὴ λίπε δῶμα Καλυψοῦς ἠϋκόμοιο.
Et *Odyss.* φʹ, 25.
ʼΕπειδὴ Διὸς υἱὸν ἀφίκετο καρτερόθυμον.
Vide suprà ad ἀʹ, 342.
Ibid. — καὶ ʽΕλλήσποντον ἵκοντο.] ʽΕλλήσποντον καλεῖ τὴν πέριξ ʼΙλίου θάλασσαν.
Ver. 3. —— ἄρʼ.] *Ut par erat* ——.

Μυρμιδόνας δ' οὐκ εἴα ἀποσκίδνασθαι Ἀχιλλεὺς,
Ἀλλ' ὅγε οἷς ἑτάροισι φιλοπτολέμοισι μετηύδα·
  Μυρμιδόνες ταχύπωλοι, ἐμοὶ ἐρίηρες ἑταῖροι,
Μὴ δήπω ὑπ' ὄχεσφι λυώμεθα μώνυχας ἵππους,
Ἀλλ' αὐτοῖς ἵπποισι καὶ ἅρμασιν ἆσσον ἰόντες,
Πάτροκλον κλαίωμεν· ὃ γὰρ, γέρας ἐστὶ θανόντων.
Αὐτὰρ ἐπεί κ' ὀλοοῖο τεταρπώμεσθα γόοιο,
Ἵππους λυσάμενοι δορπήσομεν ἐνθάδε πάντες.
  Ὣς ἔφαθ'· οἱ δ' ᾤμωξαν ἀολλέες· ἦρχε δ' Ἀχιλλεύς·
Οἱ δὲ τρὶς περὶ νεκρὸν ἐΰτριχας ἤλασαν ἵππους
Μυρόμενοι, μετὰ δέ σφι Θέτις γόου ἵμερον ὦρσε.
Δεύοντο ψάμαθοι, δεύοντο δὲ τεύχεα φωτῶν
Δάκρυσι· τοῖον γὰρ πόθεον μήστωρα φόϐοιο.
Τοῖσι δὲ Πηλείδης ἀδινοῦ ἐξῆρχε γόοιο,
Χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου·
  Χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν ἀΐδαο δόμοισι·
Πάντα γὰρ ἤδη τοι τελέω, τὰ πάροιθεν ὑπέστην,
Ἕκτορα δεῦρ' ἐρύσας δώσειν κυσὶν ὠμὰ δάσασθαι·

Myrmidonas verò non sinebat dispersos-abire Achilles,
Sed is inter suos socios bellicosos dixit:
" Myrmidones pernices-equites, mei chari socii,
" Nè jam à curribus solvamus solidos-ungulis equos,
" Sed cum ipsis equis et curribus propiùs accedentes,
" Patroclum defleamus: Hoc enim, honor est mortuorum.
" At postquàm tristi satiati-fuerimus luctu,
" Equis solutis coenabimus hîc omnes."
Sic dixit: Illi autem lamentabantur frequentes; praeibat verò Achilles:
Hi verò ter circa mortuum pulchrè-jubatos egerunt equos
Lugentes, interque ipsos Thetis luctûs desiderium excitavit.
Rigabantur arenae, rigabantur et arma virorum
Lacrymis: talem enim desiderabant artificem fugandi *hostes*.
Illis autem Pelides densum-suspiriis exorsus est luctum,
Manibus homicidis impositis pectori sodalis:
" Salve mihi, ô Patrocle, etiam in orci aedibus:
" Omnia enim jam tibi perficiam, quae anteà pollicitus sum,
" Hectorem huc tractum daturum canibus, crudum ut-discerpant:

Ver. 5. —— ὅγε.] De hujusmodi syntaxeos elegantiâ, vide suprà ad γ', 409.

Ver. 7. Μή δήπω.] Cod. *Harleian.* Μὴ δή πω. *Nequaquàm quæso.* Vide suprà ad ξ', 433.

Ver. 9. — ὃ γὰρ, γέρας ἐστὶ θανόντων.] Vide suprà ad π', 674.

Ver. 10. — τεταρπώμεσθα.] *Nos ipsi satiaverimus.* Vide suprà ad χ', 33. et ad ν', 45.

Ver. 13. Οἱ δὲ τρὶς περὶ νεκρὸν.]
Ter circum accensos cincti fulgentibus armis
Decurrêre rogos: ter mœstum funeris ignem
Lustravêre in equis, ululatusque ore dedêre. *Æn.* XI, 188.

Ver. 15. Δεύοντο ψάμαθοι, δεύοντο δὲ τεύχεα φωτῶν Δάκρυσι.]
Spargitur et tellus lachrymis, sparguntur et arma. *Æn.* XI, 191.

Ver. 19. Χαῖρέ μοι, ὦ Πάτροκλε.]
———— Salve æternùm, mihi maximè Palla,
Æternumque vale. — *Æn.* XI, 97.

Δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσειν
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς.
Ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα,
Πρηνέα πὰρ λεχέεσσι Μενοιτιάδαο τανύσσας
Ἐν κονίῃσ'· οἱ δ' ἔντε' ἀφωπλίζοντο ἕκαστος
Χάλκεα, μαρμαίροντα· λύον δ' ὑψηχέας ἵππους.
Κὰδ δ' ἵζον παρὰ νηῒ ποδώκεος Αἰακίδαο
Μυρίοι· αὐτὰρ ὁ τοῖσι τάφον μενοεικέα δαῖνυ.
Πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρῳ,
Σφαζόμενοι, πολλοὶ δ' ὄϊες καὶ μηκάδες αἶγες·
Πολλοὶ δ' ἀργιόδοντες ὕες, θαλέθοντες ἀλοιφῇ,
Εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο·
Πάντῃ δ' ἀμφὶ νέκυν κοτυλήρυτον ἔῤῥεεν αἷμα.
Αὐτὰρ τόν γε ἄνακτα ποδώκεα Πηλείωνα

"Duodecim autem ante pyram cervices abscissurum
"Trojanorum claris filiis, de te interfecto iratus."
Dixit quidem, et in Hectora nobilem indigna machinabatur opera,
Pronum ad feretrum Menoetiadae extendens
In pulveribus: illi verò arma exuebant quisque
Aerea, coruscantia; solvebantque altisonos equos.
Consederunt autem juxta navem pedibus-velocis Aeacidae
Frequentissimi; at is eis epulum funebre lautum praebebat.
Multi quidem boves candidi humi-extendebantur vi ferri,
Inter jugulandum, multae etiam oves et balantes caprae:
Multi et albis-dentibus sues, florentes pinguedine,
Torrendi extendebantur per flammam Vulcani:
Undique autem circum cadaver multus fluebat sanguis.
At regem quidem pedibus-celerem Pelidem

Ver. 22. Δώδεκα δὲ.] Vide infrà ad *ver.* 175.

Ver. 24. —— ἀεικέα μήδετο ἔργα.] Τὸ ἐπὶ στόμα τε ἐκτεῖναι κατὰ κόνεως, καὶ ἐνυβρίζειν τῷ οὐκ ἀντιλαμβανομένῳ, καὶ γῆν οἷον αἰκίζεσθαι κωφὴν, καὶ τὸ τρὶς ἕλκεσθαι περὶ τὸ σῆμα τοῦ Πατρόκλου· ὡς ἐν τοῖς ἑξῆς ἱστορήσει. *Eustath.* Τῷ τε Ἀχιλλεῖ τοὺς θρασεῖς λόγους περιτίθησιν, (*Il.* ά, 225.) "Οἰνοβαρὲς, κυνὸς ὄμματ' "ἔχων, κραδίην δ' ἐλάφοιο," τὴν αὐτὴν κρίσιν ὑπειπὼν, (ά, 223.) "Πηλείδης δ' ἐξαῦτις ἀ-"ταρτηροῖς ἐπέεσσιν," &c. Καλὸν γὰρ εἰκὸς οὐδὲν εἶναι μετ' ὀργῆς καὶ αὐστηρῶς λεγόμενον. Ὁμοίως καὶ ἐπὶ τῶν πράξεων, "Ἦ ῥα, καὶ Ἕκ-"τορα δῖον ἀεικέα μήδετο ἔργα, Πρηνέα παρ' "λεχέεσσι Μενοιτιάδαο τανύσσας." *Plutarch. de audiendis Poetis.* Vide suprà ad ύ, 467. et ά, 2.

Ibid. —— μήδετο.] *Al.* μήσατο.

Ver. 25. —— πὰρ λεχέεσσι.] Παρὰ τῷ φερέτρῳ, ἤγουν τῇ κλίνῃ. *Schol.*

Ibid. — τανύσσας.] Rectè cum duplici σ. Vide suprà ad ῥ', 58.

Ver. 26. —— ἕκαστος.] Cod. *Harleian.* ἕκαστοι.

Ver. 27. —— λύον δ' ὑψηχέας ἵππους.] *Al.* λύοντο δὲ μώνυχας ἵππους. Ut suprà *ver.* 7.

Ver. 29. —— τάφον μενοεικέα δαίνυ.] Τάφον, τὸ περίδειπνον, τὸ ἐπὶ τοῖς τετελευτηκόσιν παρασκευαζόμενον. *Schol.*

Ver. 30. Πολλοὶ μὲν βόες.]

Multi boûm circa mactantur corpora morti;
Setigerosque sues, raptasque ex omnibus agris
In flammam jugulant pecudes ——.
Æn. XI, 197.

Ibid. —— ὀρέχθεον.] Ἀπετείνοντο ἀναιρούμενοι· ἢ ἐφθέγγοντο, καὶ ὥσπερ ἐπίστενον· μεμίμηται γὰρ τὸ ἰδίωμα τῆς φωνῆς, ὃ προΐενται ἀναιρούμενοι οἱ βοῦς. Οἱ δὲ, ἐκόπτοντο. *Schol.*

Ver. 33. — διὰ φλογὸς.] Vide suprà ad β', 267. et ad ί, 213.

Ver. 34. — κοτυλήρυτον.] Τοσοῦτον τῷ πλήθει, ὥστε καὶ κοτύλῃ ἀρύσασθαι. *Schol.* *Al.* κοτυλήῤῥυτον.

Εἰς Ἀγαμέμνονα δῖον ἄγον βασιλῆες Ἀχαιῶν,
Σπουδῇ παρπεπιθόντες, ἑταίρου χωόμενον κῆρ.
Οἱ δ' ὅτε δὴ κλισίην Ἀγαμέμνονος ἷξον ἰόντες,
Αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευσεν,
Ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν· εἰ πεπίθοιεν
Πηλείδην, λούσασθαι ἀπὸ βρότον αἱματόεντα.
Αὐτὰρ ὅγ' ἠρνεῖτο στερεῶς, ἐπὶ δ' ὅρκον ὄμοσσεν·
Οὐ μὰ Ζῆν', ὅστις τε θεῶν ὕπατος καὶ ἄριστος,
Οὐ θέμις ἐστὶ λοετρὰ καρήατος ἄσσον ἱκέσθαι,
Πρίν γ' ἐνὶ Πάτροκλον θέμεναι πυρὶ, σῆμά τε χεῦσαι,
Κείρασθαί τε κόμην· ἐπεὶ οὔ μ' ἔτι δεύτερον ὧδε
Ἵξετ' ἄχος κραδίην, ὄφρα ζωοῖσι μετείω.
Ἀλλ' ἤτοι μὲν νῦν στυγερῇ πειθώμεθα δαιτί·
Ἠῶθεν δ' ὄτρυνον, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
Ὕλην τ' ἀξέμεναι, παρά τε σχεῖν, ὡς ἐπιεικὲς
Νεκρὸν ἔχοντα νέεσθαι ὑπὸ ζόφον ἠερόεντα·

Ad Agamemnonem nobilem ducebant reges Achivorum,
Aegrè persuasum, de sodali iratum corde.
Illi verò cùm jam ad tentorium Agamemnonis venissent euntes,
Statim *is* praeconibus canoris imperavit,
Igne circumdare positum tripodem magnum; si quà persuadere possent
Pelidi, ut-ablueret tabum cruentum.
At ille recusabat constantèr, insupèr et juramentum juravit:
" Non per Jovem, qui deorum summus et optimus,
" Non fas est lavacra ad caput propè accedere,
" Antequàm Patroclum imposuero igni, tumulumque aggestâ-terrâ fecero,
" Totonderoque comam: haud enim mihi posthàc iterùm sic
" Invadet dolor cor, quamdiù vivis interero.
" At tamen nunc inviso pareamus epulo;
" Manè verò jube-adhortans, Rex virorum Agamemnon,
" Lignaque comportent, apponantque, uti par est
" Mortuum habentem subire tenebras obscuras:

Ver. 38. Οἱ δ' ὅτε δὴ.] Vide suprà ad ξ', 433.

Ver. 39. —— κέλευσεν.] Cod. *Harleian.* κέλευσαν. *Al.* κέλευεν.

Ver. 40. — τρίποδα μέγαν.] Quâ ratione, τρίποδα, hîc ultimam producat; item εὐρυπυλὲς, *ver.* 74. et δεξάμενος, *ver.* 89. vide suprà ad ά, 51.

Ver. 41. 46. 53. —— λούσασθαι —— Κείρασθαι —— τράπωνται.] Vide suprà ad π', 594. et φ', 560.

Ver. 45. —— χεῦσαι.] Cod. *Harleian.* χεῦαι.

Ver. 46. —— ἐπεὶ οὔ μ' ἔτι δεύτερον ὧδε Ἵξετ' ἄχος κραδίην.] Ἰστέον δὲ, ὅτι μὴ τοιοῦτον δεύτερον ἄχος ἵξεσθαι αὐτῷ ζῶντί φησιν Ἀχιλλεὺς, οἷα εἰδὼς ὅτι προτεθνήξεται τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. *Eustath.* Atque profitetur ipse Achilles (quod nec *Eustathium* fugit) suprà τ', 321. 326:

—— οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθοιμι·
Οὐδ' εἴ κεν τοῦ πατρὸς ἀποφθιμένοιο πυθοίμην· ——
Ἠὲ τὸν, ὃς Σκύρῳ μοι ἐνιτρέφεται φίλος υἱός.

Ver. 48. μὲν νῦν.] Cod. *Harleian.* νῦν μέν. Quo modo et in uno MS. scriptum repperit *Barnesius.*

Ibid. —— στυγερῇ πειθώμεθα δαιτί.]
— positæque movent fastidia mensae,
Et queror invisi quum venit hora cibi.
Ovid. de Pont. Lib. I. *Ecl.* xi. 7.

Ver. 50. Ὕλην.] Vide suprà ad γ', 151.

Ὄφρ' ἤτοι τοῦτον μὲν ἐπιφλέγῃ ἀκάματον πῦρ
Θᾶσσον ἀπ' ὀφθαλμῶν, λαοὶ δ' ἐπὶ ἔργα τράπωνται.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
Ἐσσυμένως δ' ἄρα δόρπον ἐφοπλισσαντες ἕκαστοι
Δαίνυντ'· οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Οἱ μὲν κακκείοντες ἔβαν κλισίηνδε ἕκαστος·
Πηλείδης δ' ἐπὶ θινὶ πολυφλοίσβοιο θαλάσσης
Κεῖτο βαρυστενάχων, πολέσιν μετὰ Μυρμιδόνεσσιν,
Ἐν καθαρῷ, ὅθι κύματ' ἐπ' ἠϊόνος κλύζεσκον·
Εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ,
Νήδυμος ἀμφιχυθείς· μάλα γὰρ κάμε φαίδιμα γυῖα,
Ἕκτορ' ἐπαΐσσων προτὶ Ἴλιον ἠνεμόεσσαν.
Ἦλθε δ' ἐπὶ ψυχὴ Πατροκλῆος δειλοῖο,
Πάντ' αὐτῷ, μέγεθός τε καὶ ὄμματα κάλ', εἰκυῖα,
Καὶ φωνήν· καὶ τοῖα περὶ χροῒ εἵματα ἕστο·

"Ut hunc quidem comburat indefessus ignis
"Ocyùs ab oculis, copiaeque ad munia revertantur."
Sic dixit: Illi autem ei maximè auscultârunt, atque paruerunt.
Sedulò verò coenâ paratâ singuli
Convivabantur: neque quicquam animus indigebat epuli aequalis.
Sed postquàm potûs et cibi desiderium exemerant,
Alii quidem decubituri iverunt ad tentorium quisque:
Pelides verò in littore multo-strepitu-resonantis maris
Jacebat gravitèr-gemens multos inter Myrmidonas,
In *loco* puro, ubi fluctus littus alluebant:
Quandò hunc somnus cepit, solvens curas animi,
Suavis circumfusus: valde enim lassatus-erat pulchris membris,
Hectorem persequendo ad Ilium ventosam.
Supervenit verò anima Patrocli miseri,
Omnia ipsi, magnitudineque et oculis pulchris, similis,
Et voce; et tales corpori vestes induta erat:

Ver. 52. —— ἐπιφλέγῃ.] *Al.* ἐπιφλέγει.

Ibid. —— ἀκάματον πῦρ.] Vide suprà ad ά, 398. et ad φ΄, 13.

Ver. 53. —— τράπωνται.] *Al.* τρέπωνται.

Ver. 54. —— ἄρα.] *Ut æquum erat* ——. *Ut debuerunt* ——.

Ver. 55. ἐφοπλίσσαντες.] Ita ex uno MS. edidit *Barnesius*. *Al.* ἐφοπλίσαντες. Minùs rectè; antepenultimam enim corripit: "Δόρπα τ' ἐφοπλισόμεσθα ——." suprà ί, 66.

Ver. 56. —— οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.] Vide suprà ad ά, 468.

Ver. 57. Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο.]

Postquàm exempta fames, et amor compressus edendi. *Æn.* VIII, 184.

Vide suprà ad ά, 469.

Ver. 59. Πηλείδης δ' ἐπὶ θινὶ.]

Cùm pater in ripâ, gelidique sub ætheris axe,
Æneas, tristi turbatus pectora bello
Procubuit, seramque dedit per membra quietem. *Æn.* VIII, 28.

Ver. 61. —— κλύζεσκον.] *Alluere solebant.* Vide suprà ad χ΄, 155. et ad β΄, 221. Cod. *Harleian.* κλύζεσκεν.

Ver. 62. —— ὕπνος —— λύων μελεδήματα θυμοῦ.]

Λυσιμέριμνε, κόπων ἡδεῖαν ἔχων ἀνάπαυσιν.
Orpheus, Hymn. in Somnum, ver. 5.

Somne quies rerum, ——
Pax animi, quem cura fugit ——.
Ovid. Metam. Lib. XI. *ver.* 623.

Ver. 65. Ἦλθε δ' ἐπὶ ψυχὴ.]

Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
Εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ, Ἀχιλλεῦ;
Οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος·
Θάπτε με ὀττιτάχιστα, πύλας ἀΐδαο περήσω.
Τῆλέ με εἴργουσι ψυχαὶ, εἴδωλα καμόντων,
Οὐδέ μέ πως μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν·
Ἀλλ' αὔτως ἀλάλημαι ἀν' εὐρυπυλὲς ἄϊδος δῶ.
Καί μοι δὸς τὴν χεῖρ', ὀλοφύρομαι· οὐ γὰρ ἔτ' αὖτις
Νίσσομαι ἐξ ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε.
Οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
Βουλὰς ἑζόμενοι βουλεύσομεν· ἀλλ' ἐμὲ μὲν κὴρ

Constitit autem super capite, et eum sermone allocuta est:
" Dormis, et meî oblitus es, Achille?
" Non quidem me viventem negligebas, sed mortuum *negligis:*
" Sepeli me quàm citissimè, portas orci *ut* intrem.
" Procul me arcent animae, simulachra defunctorum,
" Neque me omninò misceri trans flumen sinunt:
" Sed temerè erro circum portis-amplam orci domum.
" Et mihi da tuam manum, obtestor: non enim ampliùs posthàc
" Redibo ex orco, postquàm me ignis participem feceritis.
" Haudquaquàm etenim vivi dilectis seorsùm à sociis
" Consilia sedentes consultabimus; sed me quidem Fatum

In somnis ecce ante oculos mœstissimus Hector
Visus adesse mihi ——. *Æn.* II, 270.

Ver. 68. Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς.]
Devolat et supra caput astitit ——.
Æn. IV, 702.

Ver. 69. Εὕδεις.]
— potes hoc sub casu ducere somnos?
Æn. IV, 560.

Ibid. Εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ, Ἀχιλλεῦ;] Ita edidit *Barnesius.* Quam lectionem et probat *Henricus Stephanus. Vulgg.* sine interrogatione.

Ibid. —— ἐμεῖο.] *Al.* ἐμοῖο.

Ver. 70. —— ἀκήδεις.] *Al.* ἀκήδεες.

Ver. 71. Θάπτε με ὀττιτάχιστα, πύλας ἀΐδαο περήσω. Τῆλέ με εἴργουσι ψυχαί.]
Nec ripas datur horrendas, nec rauca fluenta
Transportare prius, quam sedibus ossa quiêrunt. *Æn.* VI, 327.
———— tu mihi terram
Injice ————————
Sedibus ut saltem placidis in morte quiescam. *Ibid.* 365. 371.

Ὅτι σχῆμα ἐλλείψεως καὶ ἐνταῦθα ἐν τῷ, "Θάπτε με ὅττι τάχιστα, πύλας ἀΐδαο περήσω." Λείπει γὰρ τὸ, ἵνα, ἢ ἕτερόν τι ὅμοιον, ὡς ἂν λέγῃ, Θάπτε με ἵνα περήσω. *Eustath. Henricus Stephanus* omninò legendum censet: "Θάπτε με ὀττιτάχιστα· πύλας ἀΐδαο περῆσαι Τῆλέ με εἴργουσι," *&c.* Sed voces, εἴργω, ἐέργω, cum istiusmodi infinitivo constructas vix usquam reperias. *Barnesius* legendum conjicit: "Θάπτε με, ὄφρα τάχιστα πύλας ἀΐδαο περήσω." Quin et, ut opinor, mutatâ interpunctione, ferri potest vulgata lectio: Θάπτε με, ὅττι τάχιστα πύλας ἀΐδαο περήσω. Eâdem scilicèt ratione ac suprà χ', 129, 130:

Βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν· ὅττι τάχιστα
Εἴδομεν, ὁπποτέρῳ κεν Ὀλύμπιος εὖχος ὀρέξῃ.

Ibid. —— περήσω.] Vide suprà ad ά, 67.

Ver. 72. —— ψυχαὶ, εἴδωλα καμόντων.]
Umbræ ibant tenues, simulacraque luce carentum.
Georg. IV, 472.

Ibid. — καμόντων.] Vide suprà ad γ', 278.

Ver. 73. Οὐδέ μέ πως.] Cod. *Harleian.* Οὐδέ μέ πω.

Ver. 75. Καί μοι δὸς τὴν χεῖρ', ὀλοφύρομαι.]
Da dextram misero —— *Æn.* VI, 370.
———— Da jungere dextram.
Ibid. 697.

Ver. 76. Νίσσομαι.] Cod. *Harleian.* Νείομαι.

Ver. 77. Οὐ μὲν γὰρ ζωοί γε.] *Æschines, Orat. in Timarch.* legit, Οὐ γὰρ ἔτι ζωοί γε.

Ibid. —— ἀπάνευθεν.] Vide suprà ad ά, 349.

Ἀμφέχανε στυγερὴ, ἥπερ λάχε γεινόμενόν περ·
Καὶ δέ σοι αὐτῷ μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
Τείχει ὕπο Τρώων εὐηγενέων ἀπολέσθαι.
Ἄλλο δέ τοι ἐρέω καὶ ἐφήσομαι, αἴκε πίθηαι,
Μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ.
Ἀλλ' ὁμοῦ ὡς ἐτράφημεν ἐν ὑμετέροισι δόμοισιν,
Εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
Ἤγαγεν ὑμέτερόνδ', ἀνδροκτασίης ὕπο λυγρῆς,
Ἤματι τῷ, ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος,
Νήπιος, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείς·
Ἔνθα με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς
Ἔτρεφέ τ' ἐνδυκέως, καὶ σὸν θεράποντ' ὀνόμηνεν·

" Absorbuit invisum, quod sortitò obvenit etiam nascenti :
" Quin et tibi ipsi fatum, diis similis Achille,
" Muro sub Trojanorum nobilium perire.
" Aliud autem tibi dicam et mandabo, si obsequi velis,
" Nè mea à tuis seorsùm condas ossa, Achille.
" Sed simul sicut nutriti fuimus in vestris aedibus,
" Quando me tum parvulum Menoetius ex Opunte
" Duxit ad vestram *domum*, homicidium propter triste,
" Die illo, quandò filium interfeci Amphidamantis,
" Imprudens, invitus, de talis iratus ;
" Quum me exceptum in aedibus eques Peleus
" Nutrivitque diligentèr, et tuum famulum nominavit :

Ver. 80—85. Καὶ δέ σοι αὐτῷ —— Εὖτέ με.] *Æschines*, loco jam citato, versus hosce aliis interjectis versibus hoc moda legit :

Καὶ δέ σοι αὐτῷ μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
Τείχει ὑπὸ Τρώων εὐηγενέων ἀπολέσθαι,
Μαρνάμενον δηΐοις Ἑλένης ἕνεκ' ἠϋκόμοιο.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.
Μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ,
Ἀλλ' ἵνα πέρ σε καὶ αὐτὸν ὁμοίη γαῖα κεκεύθῃ
Χρυσέῳ ἐν ἀμφιφορεῖ, τόν τοι πορὲ πότνια μήτηρ·
Ὡς ὁμῇ ἐτράφεμέν περ ἐν ὑμετέροισι δόμοισι,
Εὖτέ με τυτθὸν ἐόντα, *&c.*

Ibid. Καὶ δέ σοι αὐτῷ μοῖρα.]

——— te quoque fata prospectant paria———. *Æn.* I, 740.

Ver. 82. Ἄλλο δέ τοι ἐρέω καὶ ἐφήσομαι.] " Poscit nunc manum ultimam et vis et syntaxis verbi, ἐρέω, quod Maittairius *apud* " *Homerum frequens cum accusativo aut dativo solis ; neque sensu* jubendi *statuit*. Sed " hoc ipso sensu, et syntaxi non dissimili, " Patrocli umbra alloquitur Achillem, jubens scilicèt et injungens sua cum illius " ossibus, uno tumulo componere. Ἄλλο " δέ τοι ἐρέω καὶ ἐφήσομαι, *&c.* —— Quin et " ἐρέω pro *jubebo* positum illustrat ejus contrarium ἀπερῶ *vetabo* significans. Interim " nec Græcum ἐρέω, nec Latinum *jubeo* notione imperandi capio ; sed *hortandi, rogandi, volendi.*" *Chishul. Annotat.* in Inscriptionem Sigeam, *sub finem*.

Ibid. —— αἴκε.] *Al.* εἴκε.

Ver. 83. Μὴ ἐμὰ σῶν ἀπάνευθε.]

Et me consortem nati concede sepulchro. *Æn.* X, 906.

Ver. 85. —— Ὀπόεντος.] Ὀποῦς, πόλις τῆς Λοκρίδος. *Schol.*

Ver. 86. —— ὑπὸ λυγρῆς.] *Al.* ἀλεγεινῆς.

Ver. 87. — παῖδα κατέκτανον Ἀμφιδάμαντος.] Κλυσώνυμος ἦν ὁ ὑπὸ Πατρόκλου ἀναιρεθείς. *Schol.*

Ibid. —— Ἀμφιδάμαντος.] Cod. *Harleian.* Ἰφιδάμαντος.

Ver. 88. Νήπιος.] *Æschines* loco suprà citato legit Νήπιον.

Ibid. —— ἀστραγάλοισι.] *Al.* ἀστραγάλῃσι.

Ver. 89. —— ἱππότα Πηλεὺς.] Vide suprà ad ά, 175.

Ver. 90. Ἔτρεφέ τ' ἐνδυκέως.] *Æschines* loco suprà citato legit, Ἐτρέφετ' ἐνδυκέως. *Al.* Ἔτραφέ τ' ἐνδυκέως,

῝Ως δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι,
Χρύσεος ἀμφιφορεὺς, τόν τοι πόρε πότνια μήτηρ.
Τὸν δ' ἀπαμειϐόμενος προσέφη πόδας ὠκὺς 'Αχιλλεύς·
Τίπτε μοι, ἠθείη κεφαλὴ, δεῦρ' εἰλήλουθας,
Καί μοι ταῦτα ἕκαστ' ἐπιτέλλεαι; αὐτὰρ ἐγώ τοι
Πάντα μάλ' ἐκτελέω, καὶ πείσομαι, ὡς σὺ κελεύεις.
'Αλλά μοι ἆσσον στῆθι· μίνυνθά περ ἀμφιϐαλόντε
'Αλλήλους, ὀλοοῖο τεταρπώμεσθα γόοιο.
῝Ως ἄρα φωνήσας ὠρέξατο χερσὶ φίλῃσιν,
Οὐδ' ἔλαϐε· ψυχὴ δὲ κατὰ χθονὸς, ἠΰτε καπνὸς,
῎Ωχετο τετριγυῖα· ταφὼν δ' ἀνόρουσεν 'Αχιλλεὺς,
Χερσί τε συμπλατάγησεν, ἔπος τ' ὀλοφυδνὸν ἔειπεν·
῏Ω πόποι, ἦ ῥά τις ἐστὶ καὶ εἰν ἀΐδαο δόμοισι

" Sic et ossa nobis idem loculus contegat,
" Aurea amphora, quam tibi dedit veneranda mater."
Illum verò respondens allocutus est pedibus velox Achilles:
" Cur mihi, venerandum caput, huc venisti,
" Et mihi haec singula mandas? Atqui ego tibi
" Omnia diligentèr perficiam, et obsequar, ut tu jubes.
" Sed me propiùs sta: paululùm saltem complexi
" *Nos* invicem, tristi satiemur luctu."
Sic fatus, captavit protensis manibus charis,
Neque prehendit; anima enim sub terram, tanquam fumus,
Abiit stridens: Attonitus autem exurrexit Achilles,
Manibusque complosit, verbumque lugubre dixit:
" Papae! certè igitur aliqua est et in orci aedibus

Ver. 94. Τίπτε μοι.] *Al.* Τίπτε με.

Ibid. —— ἠθείη κεφαλὴ.] *Al.* ὦ θείη κεφαλή· notante *Eustathio*.

Ibid. ——— εἰλήλουθας.] Vide suprà ad φ', 81. et ad ά, 37.

Ver. 97. —— ἀμφιϐαλόντε.] Cod. *Harleian.* ἀμφιϐαλόντες. Quod et ferri potest. Vide suprà ad ά, 566. et ad ί, 487. *Al.* ἀμφιχυθέντε.

Ver. 98. —— τεταρπώμεσθα.] Vide suprà ad *ver.* 10.

Ver. 99. —— ὠρέξατο χερσὶ φίλῃσιν, Οὐδ' ἔλαϐε.]

Ter conatus ibi collo dare brachia circum;
Ter frustra comprensa manus effugit imago,
Par levibus ventis, volucrique simillima somno. *Æn.* II, 792. VI, 700.

Ver. 100. —— ψυχὴ δὲ κατὰ χθονὸς, ἠΰτε καπνὸς.]

Dixerat, et tenues fugit ceu fumus in auras. *Æn.* V, 740.

Ver. 100—103. —— ψυχὴ δὲ κατὰ χθονὸς, ἠΰτε καπνὸς, ῎Ωχετο τετριγυῖα· ——— ἦ ῥά τις ἐστὶ καὶ εἰν ἀΐδαο δόμοισι Ψυχὴ καὶ εἴδωλον.] Vituperat hæc *Plato:* Δεῖ δὴ (ὡς ἔοικεν) ἡμᾶς ἐπιστατεῖν καὶ περὶ τούτων τῶν μύθων τοῖς ἐπιχειροῦσι λέγειν· καὶ δεῖσθαι μὴ λοιδορεῖν ἁπλῶς οὕτω τὰ ἐν ᾅδου, ἀλλὰ μᾶλλον ἐπαινεῖν, ὡς οὔτ' ἀληθῆ λέγοντας οὔτ' ὠφέλιμα τοῖς μέλλουσι μαχίμοις ἔσεσθαι—. 'Εξαλείψωμεν ἄρα — πάντα τὰ τοιαῦτα, ——— "῏Ω πόποι, ἦ ῥά τις ἐστὶ "καὶ εἰν ἀΐδαο δόμοισι Ψυχὴ καὶ εἴδωλον, ἀτὰρ "φρένες οὐκ ἔνι πάμπαν" καὶ —— "Ψυχὴ δὲ "κατὰ χθονὸς, ἠΰτε καπνὸς, ῎Ωχετο τετριγυῖα." *De Republ. Lib.* III.

Ver. 101. —— τετριγυῖα.] Vide suprà ad β', 314.

Ver. 102. —— συμπλατάγησεν.] Vide suprà ad γ', 363. et ad δ', 455. *Al.* συμπατάγησεν.

Ver. 103. —— ἦ ῥά τις ἐστὶ καὶ εἰν ἀΐδαο δόμοισι Ψυχὴ καὶ εἴδωλον.]

——— tenues sine corpore vitas
—— volitare cavâ sub imagine formæ.
Æn. VI, 292.

Ψυχὴ καὶ εἴδωλον, ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν·
Παννυχίη γάρ μοι Πατροκλῆος δειλοῖο
Ψυχὴ ἐφειστήκει γοόωσά τε, μυρομένη τε,
Καί μοι ἕκαστ' ἐπέτελλεν· ἔϊκτο δὲ θέσκελον αὐτῷ.
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο·
Μυρομένοισι δὲ τοῖσι φάνη ῥοδοδάκτυλος ἠὼς
Ἀμφὶ νέκυν ἐλεεινόν. Ἀτὰρ κρείων Ἀγαμέμνων
Οὐρῆάς τ' ὄτρυνε καὶ ἀνέρας, ἀξέμεν ὕλην,
Πάντοθεν ἐκ κλισιῶν· ἐπὶ δ' ἀνὴρ ἐσθλὸς ὀρώρει
Μηριόνης, θεράπων ἀγαπήνορος Ἰδομενῆος.
Οἱ δ' ἴσαν ὑλοτόμους πελέκεας ἐν χερσὶν ἔχοντες,
Σειράς τ' εὐπλέκτους· πρὸ δ' ἄρ' οὐρῆες κίον αὐτῶν·
Πολλὰ δ' ἄναντα, κάταντα, πάραντά τε, δόχμιά τ', ἦλθον.
Ἀλλ' ὅτε δὴ κνημοὺς προσέβαν πολυπίδακος Ἴδης,

"Anima et simulachrum, sed praecordia non insunt omninò:
"Pernox enim mihi Patrocli miseri
"Anima superstitit ploransque, lugensque,
"Et mihi singula praecepit: similis autem erat mirum-in-modum ipsi."
Sic dixit: Illis verò omnibus desiderium excitavit luctûs:
Lugentibus autem illis apparuit rosea-digitis Aurora
Circa mortuum miserandum. At rex Agamemnon
Mulosque excivit et viros, qui conveherent ligna,
Undique à tentoriis; et ad hoc vir strenuus exortus est
Meriones, famulus virtutem-amantis Idomenei.
Hi verò ibant aptas-materiae-caedendae secures in manibus ferentes,
Funesque benè tortos; muli autem praeibant ipsis:
Multa verò ardua, declivia, accliviaque, transversaque, transierunt.
Sed cùm jam ad saltus venerunt irriguae-fontibus Idae,

Ver. 106. —— ἐφειστήκει.] Vide suprà ad δ', 434. et 492.

Ver. 108. —— τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.] Καὶ ἐν τοῖς πένθεσι καὶ θρήνοις ἐγγίνεταί τις ἡδονή. Ἡ μὲν γὰρ λύπη, ἐπὶ τῷ μὴ ὑπάρχειν· ἡδονὴ δὲ ἐν τῷ μεμνῆσθαι καὶ ὁρᾷν πως ἐκεῖνον, καὶ ἃ ἔπραττε, καὶ οἷος ἦν. Διὸ καὶ τοῦτο εἴρηται, "Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ἐφ' "ἵμερον ὦρσε γόοιο." *Aristot. Rhetoric. Lib.* I, *cap.* 11.

Ibid. —— ὑφ' ἵμερον.] *Al.* ἐφ' ἵμερον. Quo modo et legit *Aristoteles* loco jam citato.

Ver. 109. —— ῥοδοδάκτυλος ἠώς.] Vide suprà ad ά, 477.

Ver. 110. Ἀμφὶ νέκυν ἐλεεινόν.]

Corpus ubi exanimi positum Pallantis—.
Æn. XI, 30.

Cæterùm quâ ratione, νέκυν, hîc ultimam producat; item δὲ, *ver.* 119 et 133. et διὰ, *ver.* 122. et Ἀχνύμενος, *ver.* 137. vide suprà ad ά, 51.

Ver. 111. 127. 139. et 163. —— ὕλην.] Vide suprà ad γ', 151.

Ver. 112. — ὀρώρει.] Vide suprà ad β, 810.

Ver. 114. Οἱ δ' ἴσαν.]

Itur in antiquam sylvam, stabula alta ferarum;
Procumbunt piceæ: sonat icta securibus ilex,
Fraxineæque trabes: cuneis et fissile robur
Scinditur: advolvunt ingentes montibus ornos.
Æn. VI, 179.

Ibid. —— πελέκεας.] Enuntiabatur, ac si scriptum fuisset πελίκας, vel πελέκεις. Ut rectè hîc annotavit *Barnesius.*

Ver. 115. —— ἄρ'.] *Ut fieri solet* ——.

Ver. 116. Πολλὰ δ' ἄναντα, κάταντα, πάραντά τε.] Μεμίμηται τῇ κακοφωνίᾳ τὴν ἀνωμαλίαν· πᾶσα δὲ μίμησις ἐναργές τι ἔχει. *Demetr. Phaler.* § 226.

Ver. 117. Ἀλλ' ὅτε.] Apud *Scholiasten.* Ἄλλοτε. Malè.

Ibid. —— κνημούς.] Τὰς προβάσεις τῶν ὀρῶν. *Schol. Al.* κρημνούς. Quo modo et legit Codex *Harleianus.*

Αὐτίκ' ἄρα δρῦς ὑψικόμους ταναήκεϊ χαλκῷ
Τάμνον ἐπειγόμενοι· ταὶ δὲ μεγάλα κτυπέουσαι
Πίπτον· τὰς μὲν ἔπειτα διαπλήσσοντες Ἀχαιοὶ,
Ἔκδεον ἡμιόνων, ταὶ δὲ χθόνα ποσσὶ δατεῦντο,
Ἐλδόμεναι πεδίοιο, διὰ ῥωπήϊα πυκνά.
Πάντες δ' ὑλοτόμοι φιτροὺς φέρον· ὣς γὰρ ἀνώγει
Μηριόνης, θεράπων ἀγαπήνορος Ἰδομενῆος·
Κὰδ δ' ἄρ' ἐπ' ἀκτῆς βάλλον ἐπισχερὼ, ἔνθ' ἄρ' Ἀχιλλεὺς
Φράσσατο Πατρόκλῳ μέγα ἠρίον, ἠδὲ οἱ αὐτῷ.
Αὐτὰρ ἐπεὶ πάντη παρακάββαλον ἄσπετον ὕλην,
Εἵατ' ἄρ' αὖθι μένοντες ἀολλέες· αὐτὰρ Ἀχιλλεὺς
Αὐτίκα Μυρμιδόνεσσι φιλοπτολέμοισι κέλευσε,
Χαλκὸν ζώννυσθαι, ζεῦξαι δ' ὑπ' ὄχεσφιν ἕκαστον
Ἵππους· οἱ δ' ὤρνυντο, καὶ ἐν τεύχεσσιν ἔδυνον·
Ἀν δ' ἔβαν ἐν δίφροισι παραιβάται, ἡνίοχοί τε·
Πρόσθε μὲν ἱππῆες, μετὰ δὲ νέφος εἵπετο πεζῶν,

Protinùs quidem quercus altè-comantes longâ-acie-munito aere
Caedebant festinantes; eae verò magnum sonitum-edentes
Cadebant: Eas quidem deindè diffidentes Achivi,
Alligabant mulis, hi verò terram pedibus carpebant,
Cupientes-pervenire-ad campum, per senticeta densa.
Omnes autem lignatores stipites ferebant; sic enim jusserat
Meriones, famulus amantis-virtutem Idomenei:
Atque in littus dejecerunt ordine, ubi Achilles
Designaverat Patroclo magnum sepulchrum, atque sibi ipsi.
At postquàm undique apposuerant immensam materiem,
Considebant ibidem manentes conferti: at Achilles
Confestim Myrmidonibus bellicosis jussit
Aere cingi, jungereque sub curribus quemque
Equos; Illi verò festini-surrexerunt, et arma induerunt:
Conscenderunt autem currus propugnatores, aurigaeque;
Antè quidem curribus-vecti, ponè verò nubes sequebatur peditum,

Ver. 118. Αὐτίκ' ἄρα.] *Statim deinceps* ——.

Ver. 119. Τάμνον.] Vide suprà ad ν', 84. et ad θ', 87.

Ibid. —— μεγάλα κτυπέουσαι.] Vide suprà ad δ', 455 et 504.

Ver. 120. —— διαπλήσσοντες.] *Al.* διαπρήσσοντες.

Ver. 121. —— χθόνα ποσσὶ δατεῦντο.] Διέκοπτον τὴν γῆν βαδίζουσαι. *Schol.* MSS. apud *Barnesium.*

Ver. 122. —— διὰ ῥωπήϊα πυκνά.]
Hîc inter densas corylos ——.
Virg. Ecl. I, 14.

Ver. 125. —— ἔνθ' ἄρ'.] *Ubi scilicèt* ——.

Ver. 126. Φράσσατο.] Rectè cum duplici σ. Primam enim corripit. Vide suprà ad ό, 234. et ad ά, 140.

Ver. 127. —— παρακάββαλον.] *Al.* περικάμβαλον.

Ver. 129. —— κέλευσε.] *Al.* κέλευε.

Ver. 130. Χαλκὸν ζώννυσθαι.] *Al.* Χαλκῷ ζώννυσθαι.

Ver. 132. Ἀν δ' ἔβαν ἐν δίφροισι παραιβάται.]
—— Tum moesta phalanx Teucrique sequuntur
Tyrrhenique duces, et versis Arcades armis.
Æn. XI, 92.

Ibid. —— ἔβαν.] Vide suprà ad θ', 229.

Ibid. —— παραιβάται.] Οἱ ἐπὶ τῶν ἁρμάτων συμπολεμοῦντες. *Schol.* Vide suprà ad λ, 103.

Ver. 133. —— μετὰ δὲ νέφος εἵπετο πεζῶν.]
Insequitur nimbus peditum ——.
Æn. VII, 793.

Μυρίοι· ἐν δὲ μέσοισι φέρον Πάτροκλον ἑταῖροι.
Θριξὶ δὲ πάντα νέκυν καταείνυον, ἃς ἐπέβαλλον
Κειρόμενοι· ὄπιθεν δὲ κάρη ἔχε δῖος Ἀχιλλεύς,
Ἀχνύμενος· ἕταρον γὰρ ἀμύμονα πέμπ' ἄϊδόσδε.
Οἱ δ' ὅτε χῶρον ἵκανον, ὅθι σφίσι πέφραδ' Ἀχιλλεύς,
Κάτθεσαν· αἶψα δέ οἱ μενοεικέα νήεον ὕλην.
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς·
Στὰς ἀπάνευθε πυρῆς ξανθὴν ἀπεκείρατο χαίτην,
Τήν ῥα Σπερχειῷ ποταμῷ τρέφε τηλεθόωσαν·
Ὀχθήσας δ' ἄρα εἶπεν, ἰδὼν ἐπὶ οἴνοπα πόντον·
Σπερχεῖ', ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς,
Κεῖσέ με νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν,
Σοί τε κόμην κερέειν, ῥέξειν θ' ἱερὴν ἑκατόμβην·
Πεντήκοντα δ' ἔνορχα παρ' αὐτόθι μῆλ' ἱερεύσειν
Ἐς πηγάς, ὅθι τοι τέμενος βωμός τε θυήεις.
Ὣς ἠρᾶθ' ὁ γέρων, σὺ δέ οἱ νόον οὐκ ἐτέλεσσας.
Νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,
Πατρόκλῳ ἥρωϊ κόμην ὀπάσαιμι φέρεσθαι.
Ὣς εἰπών, ἐν χερσὶ κόμην ἑτάροιο φίλοιο

Frequentissimi: in mediis autem ferebant Patroclum socii.
Capillis verò totum mortuum tegebant, quos injiciebant
Tondentes: Ponè autem caput manibus-ferebat nobilis Achilles
Moestus; sodalem enim eximium pompâ-funebri-mittebat ad orcum.
Illi verò quandò ad locum pervenerunt, ubi ipsis indicaverat Achilles,
Deposuerunt; statimque ei affatim accumulârunt materiam.
Tum porrò aliud animo-designavit pedibus-valens nobilis Achilles:
Stans seorsùm à pyrâ flavam abscidit comam,
Quam sanè Sperchio fluvio alebat, florescentem:
Ingemiscens autem dixit conversis-oculis in nigrum pontum:
" Sperchie, frustrà tibi utique pater vovit Peleus,
" Illuc me reversum dilectam in patriam terram,
" Tibique comam abscissurum, mactaturumque sacram hecatomben:
" Quinquaginta insuper masculas ibidem oves sacrificaturum
" Ad fontes, ubi tibi ager-sacer altareque odoratum.
" Sic vovit senex, tu verò ei votum non perfecisti.
" Nunc autem quoniam haudquaquam redibo dilectam in patriam terram,
" Patroclo heroï comam dabo secum-ferendam."
Sic fatus, in manibus comam dilecti sodalis

Ver. 135. —— καταείνυον.] *Al.* καταίνυον.

Ver. 137. 284. Ἀχνύμενος· — ἀχνυμένῳ.] Vide suprà ad γ', 260.

Ver. 138. —— πέφραδ'.] Vide suprà ad β', 514. et ad ξ', 500.

Ver. 141. —— ἀπεκείρατο.] Vide suprà ad ver. 10. et ad χ', 33.

Ver. 142. Τήν ῥα.] *Quam scilicèt* ——.

Ibid. —— Σπερχειῷ] Ποταμὸς Θετταλίας. *Schol.*

Ver. 144. — ἠρήσατο.] Vide suprà ad ά, 67.

Ver. 146. Σοί τε κόμην κερέειν] Ἔθος ἦν τοῖς ἀρχαίοις, μετὰ τὸ παρακμάσαι τῆς νεότητος, τὰς κόμας ἀποκείρειν τοῖς ποταμοῖς· τούτους γὰρ ἐνόμιζον τῶν ἀνατροφῶν αἰτίους εἶναι. *Schol.*

Ibid. —— ῥέξειν θ' ἱερὴν ἑκατόμβην.] Vide suprà ad ά, 444.

Ver. 151. — ὀπάσαιμι.] Vide suprà ad ά, 140.

Θῆκεν· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.
Καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
Εἰ μὴ Ἀχιλλεὺς αἶψ' Ἀγαμέμνονι εἶπε παραστάς·
Ἀτρείδη, (σοὶ γάρ τε μάλιστά γε λαὸς Ἀχαιῶν
Πείσονται μύθοισι,) γόοιο μὲν ἔστι καὶ ἆσαι.
Νῦν δ' ἀπὸ πυρκαϊῆς σκέδασον, καὶ δεῖπνον ἄνωχθι
Ὅπλεσθαι· τάδε δ' ἀμφὶ πονησόμεθ', οἷσι μάλιστα
Κήδεός ἐστι νέκυς· παρὰ δ' οἵ τ' ἀγοὶ ἄμμι μενόντων.
Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Αὐτίκα λαὸν μὲν σκέδασεν κατὰ νῆας ἐΐσας·
Κηδεμόνες δὲ παρ' αὖθι μένον, καὶ νήεον ὕλην.
Ποίησαν δὲ πυρὴν ἑκατόμποδον ἔνθα καὶ ἔνθα·
Ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν ἀχνύμενοι κῆρ.
Πολλὰ δὲ ἴφια μῆλα, καὶ εἰλίποδας ἕλικας βοῦς

Posuit: his autem omnibus desiderium excitavit luctûs.
Et omninò lamentantibus occidisset lumen solis,
Nisi Achilles statim Agamemnoni dixisset astans:
" Atride, (tibi enim maximè certè populus Achivorum
" Parebunt dictis,) luctu quidem licet etiam *aliàs* satiari.
" Nunc autem à pyrâ dimitte, et coenam jube
" Parare: Haec verò curabimus, quibus maximè
" Cura-justorum pertinet mortui: duces verò nobiscum maneant."
Ut verò hoc audivit rex virorum Agamemnon,
Confestim populum quidem dimisit per naves aequales;
Funeratores autem ibidem manserunt, et accumulârunt ligna.
Struxerunt verò pyram centum-pedum quaquaversùs;
Et in pyrâ summâ cadaver posuerunt dolentes corde.
Multas verò pingues oves et flexipedes camuros boves

Ver. 153. —— τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.] Vide suprà ad *ver.* 108.

Ver. 154. Καί νύ κ' ὀδυρομένοισιν.] Ἐστὶν, ὡς αὐτὸς [ὁ Πραξιφάνης] φησὶ, τὸ, " Καί νύ κ' ὀδυ-" ρομένοισιν" ἔμφασίν τινα ἔχον οἰκτροῦ ὀνόματος. *Demetr. Phaler.* § 57. Vide et suprà ad ξ', 433.

Ibid. —— ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο.]

—— neque avelli possunt, nox humida donec
Invertit cœlum stellis fulgentibus aptum.
Æn. XI, 201.

Ver. 156. — σοὶ γάρ τε.] *Al.* σοὶ μέν τε.

Ver. 158—162. — σκέδασον, — σκέδασεν.] Vide suprà ad ά, 140.

Ver. 160. Κήδεός.] Φροντίδος ἄξιος, κηδεύσιμος. *Schol.*

Ibid. — οἵ τ' ἀγοὶ.] Cod. *Harleian.* οἵ ταγοί. Quo modo et legit *Eustathius.* Atqui vox ἀγὸς sæpè alibi apud *Homerum* occurrit; vox ταγὸς nusquam. Uti et notabat *Barnesius.*

Ver. 162. —— νῆας ἐΐσας.] Vide suprà ad ά, 306.

Ver. 164. Ποίησαν δὲ πυρὴν.]

Ingentem struxere pyram ——.
Æn. VI, 215.

Ibid. —— ἑκατόμποδον ἔνθα καὶ ἔνθα.] Τετράγωνον, ὥστε ἑκάστην πλευρὰν ἑκατὸν ποδῶν μέτρον ἔχειν. *Schol.* *Al.* ἑκατόμπεδον.

Ver. 165. Ἐν δὲ πυρῇ.]

Fit gemitus: tum membra toro defleta reponunt. *Æn.* VI, 220.

Ibid. — ἀχνύμενοι.] Vide suprà ad γ', 260.

Ver. 166. Πολλὰ δὲ ἴφια μῆλα.]

—— cædit quinas de more bidentes,
Totque sues, totidem nigrantes terga juvencos. *Æn.* V, 96.

Vide et suprà ad *ver.* 30.

Ibid. —— εἰλίποδας ἕλικας.] Quâ ratione, εἰλίποδας, hîc ultimam producat; item δεπαϊ, *ver.* 196. et ἐπὶ, *ver.* 202. et ὄθι, *ver.* 206. et ὑπὸ, *ver.* 215. vide supra ad ά, 51.

Πρόσθε πυρῆς ἔδερόν τε καὶ ἄμφεπον· ἐκ δ' ἄρα πάντων
Δημὸν ἑλὼν, ἐκάλυψε νέκυν μεγάθυμος Ἀχιλλεὺς
Ἐς πόδας ἐκ κεφαλῆς, περὶ δὲ δρατὰ σώματα νήει.
Ἐν δὲ τίθει μέλιτος καὶ ἀλείφατος ἀμφιφορῆας,
Πρὸς λέχεα κλίνων· πίσυρας δ' ἐριαύχενας ἵππους
Ἐσσυμένως ἐνέβαλλε πυρῇ, μεγάλα στοναχίζων.
Ἐννέα τῷ γε ἄνακτι τραπεζῆες κύνες ἦσαν·
Καὶ μὲν τῶν ἐνέβαλλε πυρῇ δύο δειροτομήσας·
Δώδεκα δὲ Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς,
Χαλκῷ δηϊόων· κακὰ δὲ φρεσὶ μήδετο ἔργα·
Ἐν δὲ πυρὸς μένος ἧκε σιδήρεον, ὄφρα νέμοιτο.
Ὤμωξέν τ' ἄρ' ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
Χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν Ἀΐδαο δόμοισι·
Πάντα γὰρ ἤδη τοι τελέω, τὰ πάροιθεν ὑπέστην.
Δώδεκα μὲν Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς,
Τοὺς ἅμα σοι πάντας πῦρ ἐσθίει· Ἕκτορα δ' οὔτι

Ante pyram excoriàrunt et curàrunt: at ex omnibus
Adipe sumptâ, obtexit cadaver magnanimus Achilles
Ad pedes à capite, circumque excoriata corpora accumulabat.
Imposuit et mellis et olei amphoras,
Ad feretrum acclinans: quatuor et arduos-cervicibus equos
Festinantèr injecit pyrae, magnos ciens-gemitus.
Novem huic regi mensarii canes erant;
Horum etiam injecit pyrae duos obtruncatos:
Duodecim et Troüm magnanimorum filios strenuos,
Aere caedens; Mala enim mente struebat opera:
Immisit et ignis vim invictam, ut depasceret.
Ejulavitque deindè, charumque nomine-ciebat sodalem:
"Salve mihi, ô Patrocle, etiam in orci domo:
"Omnia enim jam tibi perficio, quae anteà pollicitus sum.
"Duodecim quidem Trojanorum magnanimorum filios strenuos,
"Hos unà tecum omnes ignis absumit: Hectorem autem neutiquam

Ver. 168. Δημὸν ἑλὼν, ἐκάλυψε νέκυν.] Πρὸς τὸ ταχὺ τὴν πιμελὴν ἐξαφθῆναι, τοῦτο ποιεῖ Ἀχιλλεύς. *Schol.*

Ver. 170. Ἐν δὲ τίθει.]

Hic duo rite mero libans carchesia Baccho
Fundit humi, duo lacte novo, duo sanguine sacro. *Æn.* V, 77.

Ver. 171. — κλίνων.] Vide suprà ad ά, 309.

Ibid. —— πίσυρας δ' ἐριαύχενας ἵππους.]

Addit equos——. *Æn.* XI, 80.

Ver. 172. — στοναχίζων.] *Al.* στιναχίζων.

Ver. 175. Δώδεκα δὲ Τρώων.]

Vinxerat et post terga manus, quos mitteret umbris
Inferias, cæso sparsuros sanguine flammam. *Æn.* XI, 81.
—————— Sulmone creatos,
Quatuor hic juvenes, totidem quos educat Ufens,
Viventes rapit: inferias quos immolet umbris,
Captivoque rogi perfundat sanguine flammas. *Æn.* X, 517.

Quem locum inter alios citat *Macrobius* ad demonstrandum, "*totam Æneïda effigiatam* "*esse ad exemplar Iliados atque Odysseæ Ho*"*mericæ.*" Lib. V, cap. 2.

Ver. 176. —— κακὰ δὲ φρεσὶ μήδετο ἔργα.] Vide suprà ad *ver.* 24.

Ibid. —— μήδετο.] *Al.* μήσατο.

Ver. 178. ——— φίλον δ' ὀνόμηνεν ἑταῖρον' Χαῖρέ μοι.]

————————— ac talia fatur;
Salve, sancte parens; iterum salvete, recepti

Δώσω Πριαμίδην πυρὶ δαπτέμεν, ἀλλὰ κύνεσσιν.
Ὣς φάτ' ἀπειλήσας· τὸν δ' οὐ κύνες ἀμφεπένοντο·
Ἀλλὰ κύνας μὲν ἄλαλκε Διὸς θυγάτηρ Ἀφροδίτη
Ἤματα καὶ νύκτας· ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ,
Ἀμβροσίῳ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων·
Τῷ δ' ἔπι κυάνεον νέφος ἤγαγε Φοῖβος Ἀπόλλων
Οὐρανόθεν πεδίονδε· κάλυψε δὲ χῶρον ἅπαντα,
Ὅσσον ἐπεῖχε νέκυς, μὴ πρὶν μένος ἠελίοιο
Σκήλῃ ἀμφὶ περὶ χρόα ἴνεσιν, ἠδὲ μέλεσσιν.
Οὐδὲ πυρὴ Πατρόκλου ἐκαίετο τεθνειῶτος·
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεὺς,
Στὰς ἀπάνευθε πυρῆς, δοιοῖς ἠρᾶτ' ἀνέμοισι,
Βορέῃ καὶ Ζεφύρῳ, καὶ ὑπέσχετο ἱερὰ καλά·
Πολλὰ δὲ καὶ σπένδων χρυσέῳ δέπαϊ, λιτάνευεν
Ἐλθέμεν, ὄφρα τάχιστα πυρὶ φλεγέθοιατο νεκρὸν,
Ὕλη τ' ἐσσεύοιτο καήμεναι· ὠκέα δ' Ἶρις

"Dabo Priamidem igni vorandum, sed canibus."
Sic dixit minitans: Circa illum verò canes non occupabantur:
Sed canes quidem arcebat Jovis filia Venus
Dies et noctes; rosaceoque unxit oleo,
Divino, ut nè ipsum laceraret raptans:
Huic verò cyaneam nubem induxit Phoebus Apollo
A coelo usque ad terram: texitque locum totum,
Quantum obtinebat cadaver, ne priùs vis solis
Siccaret circum circà corpus nervis, atque artubus.
Neque pyra Patrocli ardebat mortui:
Ibi rursùs alia animo excogitavit pedibus-valens nobilis Achilles,
Stans seorsùm à pyrâ, duobus vota fecit Ventis,
Boreae et Zephyro, et pollicitus est sacra pulchra:
Multis etiam libans aureo poculo, supplicavit,
Ut venirent, quò citissimè igne comburerent cadaver,
Lignaque properè arderent: velox autem Iris

Nequicquam cineres, animæque umbræque paternæ. *Æn.* V, 79.

Ver. 183—188. —— *Πριαμίδην — κυάνεον.*] Vide suprà ad ά, 398.

Ver. 186. —— *ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ.*] Ὁ δὲ Ὅμηρος τὴν μὲν χρῆσιν οἶδε τῶν μύρων· ἔλαια δ' αὐτὰ καλεῖ μετ' ἐπιθέτου, "Δροσόεντι δ' ἔχρῖεν "ἐλαίῳ." Καὶ ἀλλαχοῦ δὲ [suprà ξ', 172] λέγει τι τεθυωμένον. Καὶ ἡ Ἀφροδίτη τε παρ' αὐτῷ τὸν Ἕκτορος νέκρον "ῥοδόεντι χρῖεν ἐλαίῳ "Ἀμβροσίῳ." *Athenæus, lib.* XV, *cap.* 11.

Ver. 188. — *Φοῖβος Ἀπόλλων.*] Vide suprà ad ά, 43.

Ver. 192. — *Πατρόκλου ἐκαίετο.*] Ita ex duobus MSS. et ex *Eustathio* edidit *Barnesius.* *Al.* *Πατρόκλου καίετο.* Vide suprà ad γ', 449.

Ibid. — *τεθνειῶτος.*] Vide suprà ad ν', 46. et ad ζ, 464.

Ver. 194. — *ἀπάνευθε.*] Vide suprà ad ά, 349.

Ver. 195. *Βορέῃ καὶ Ζεφύρῳ.*] Pronuntiabatur *Βόῤῥῃ.* Vide suprà ad ί, 5.

Ibid. —— *ὑπέσχετο.*] *Al.* *ὑπίσχετο.*

Ver. 196. —— *χρυσέῳ.*] Pronuntiabatur *χρυσῷ.* Vide suprà ad ΰ, 272.

Ver. 197. *Ἐλθέμεν.*] Cod. *Harleian.* *Ἐλθεῖν.*

Ibid. —— *πυρὶ.*] Cod. *Harleian.* *πυρῆ.*

Ibid. — *νεκρὸν.*] *Al.* *νεκροί.* Quæ et proba Lectio.

Ver. 198. *Ὕλη.*] Vide suprà ad γ', 151.

Ibid. — *τ' ἐσσεύοιτο.*] *Al.* *τ' ἐσσεύαιτο.* *Al.* *τε σεύαιτο.*

Ἀράων ἀΐουσα μετάγγελος ἦλθ' Ἀνέμοισιν.
Οἱ μὲν ἄρα Ζεφύροιο δυσαέος ἀθρόοι ἔνδον
Εἰλαπίνην δαίνυντο· θέουσα δὲ Ἶρις ἐπέστη
Βηλῷ ἔπι λιθέῳ· τοὶ δ' ὡς ἴδον ὀφθαλμοῖσι,
Πάντες ἀνήϊξαν, κάλεον δέ μιν εἰς ἓ ἕκαστος·
Ἡ δ' αὖθ' ἕζεσθαι μὲν ἀνήνατο, εἶπε δὲ μῦθον·
Οὐχ ἕδος· εἶμι γὰρ αὖθις ἐπ' Ὠκεανοῖο ῥέεθρα,
Αἰθιόπων ἐς γαῖαν, ὅθι ῥέζουσ' ἑκατόμβας
Ἀθανάτοις, ἵνα δὴ καὶ ἐγὼ μεταδαίσομαι ἱρῶν·
Ἀλλ' Ἀχιλεὺς Βορέην ἠδὲ Ζέφυρον κελαδεινὸν
Ἐλθεῖν ἀρᾶται, καὶ ὑπίσχεται ἱερὰ καλὰ,
Ὄφρα πυρὴν ὄρσητε καήμεναι, ᾗ ἔνι κεῖται
Πάτροκλος, τὸν πάντες ἀναστενάχουσιν Ἀχαιοί.
Ἡ μὲν ἄρ' ὡς εἰποῦσ' ἀπεβήσετο· τοὶ δ' ὀρέοντο
Ἠχῇ θεσπεσίῃ, νέφεα κλονέοντε πάροιθεν·
Αἶψα δὲ πόντον ἵκανον ἀήμεναι· ὦρτο δὲ κῦμα
Πνοιῇ ὕπο λιγυρῇ· Τροίην δ' ἐρίβωλον ἰκέσθην,
Ἐν δὲ πυρῇ πεσέτην, μέγα δ' ἴαχε θεσπιδαὲς πῦρ·
Παννύχιοι δ' ἄρα τοί γε πυρῆς ἄμυδις φλόγ' ἔβαλλον,

Vota exaudiens internuncia venit ad Ventos.
Illi quidem Zephyri gravitèr-spirantis frequentes in domo
Convivium celebrabant; currens autem Iris superstitit
Limine lapideo: Illi verò ut viderunt oculis,
Omnes properè surrexerunt, vocabantque eam ad se quisque:
Haec verò sedere quidem recusavit, dixit autem sermonem:
"Non est sedendi tempus: vado enim rursùs super Oceani fluentis,
"Aethiopum ad terram, ubi sacrificant hecatombas
"Immortalibus, ut jam et ego particeps sim sacrificiorum:
"Sed Achilles Boream et Zephyrum sonorum
"Venire orat, et pollicetur sacra pulchra,
"Ut pyram suscitetis, ut ardeat; in quâ jacet
"Patroclus, quem omnes gemunt Achivi."
Haec quidem sic locuta abiit; illi verò ire-properabant
Sonitu immenso, nubes vi-agentes prae *se*:
Confestim verò ad pontum venerunt, flando; excitatus autem est fluctus
Flatûs vi canori: Trojam verò ad glebosam pervenerunt.
Rogoque incubuerunt, magnumque sonitum edidit immane-ardens ignis:
Totâ autem nocte hi pyrae simul flammam jactabant,

Ver. 199. —— μετάγγελος.] *Al.* μετ' ἄγγελος.

Ver. 202. Βηλῷ ἔπι λιθέῳ.] *Al.* Οὐδῷ ἔπι λιθέῳ.

Ver. 203. —— κάλεον δέ.] *Al.* κάλεόν τε.

Ver. 205. Οὐχ ἕδος.] Ita suprà λ', 647. Οὐχ ἕδος ἐστι, γεραιὲ ——.

Ver. 206. — ῥέζουσ' ἑκατόμβας.] Vide suprà ad ά, 444.

Ver. 207. 277. Ἀθανάτοις, —— Ἀθάνατοι.] Vide suprà ad ά, 398.

Ibid. et *ver.* 228. —— μεταδαίσομαι —— παύσατο.] Vide suprà ad *ver.* 10. et ad γ, 141.

Ver. 212. —— ἀπεβήσετο.] *Al.* ἀπεβήσατο: Vide suprà ad β', 35. et ad έ, 109.

Ver. 214. —— ἀήμεναι.] *Al.* ἀήμενοι.

Ver. 216. Ἐν δὲ πυρῇ.] Ita ex duobus MSS. et ex *Eustathio* edidit *Barnesius*: *Al.* Ἐν δὲ πυρί.

Φυσῶντες λιγέως· ὁ δὲ πάννυχος ὠκὺς Ἀχιλλεὺς
Χρυσέου ἐκ κρητῆρος, ἔχων δέπας ἀμφικύπελλον,
Οἶνον ἀφυσσόμενος χαμάδις χέε, δεῦε δὲ γαῖαν,
Ψυχὴν κικλήσκων Πατροκλῆος δειλοῖο.
Ὡς δὲ πατὴρ οὗ παιδὸς ὀδύρεται ὀστέα καίων
Νυμφίου, ὅστε θανὼν δειλοὺς ἀκάχησε τοκῆας·
Ὣς Ἀχιλεὺς ἑτάροιο ὀδύρετο ὀστέα καίων,
Ἑρπύζων παρὰ πυρκαϊὴν, ἀδινὰ στοναχίζων.
Ἦμος δ' Ἑωσφόρος εἶσι, φόως ἐρέων ἐπὶ γαῖαν,
Ὅν τε μέτα κροκόπεπλος ὑπεὶρ ἅλα κίδναται Ἠὼς,
Τῆμος πυρκαϊὴ ἐμαραίνετο, παύσατο δὲ φλόξ.
Οἱ δ' Ἄνεμοι πάλιν αὖτις ἔβαν οἶκόνδε νέεσθαι,

Flantes stridulè: Totâ-nocte et velox Achilles
Aureo ex cratere, tenens poculum rotundum,
Vinum hauriens in humum fundebat, rigabatque terram,
Animam vocans Patrocli miseri.
Ut verò pater sui filii lamentatur ossa cremans
Desponsi, qui morte miseros dolore-affecit parentes:
Sic Achilles sodalis lamentabatur ossa cremans,
Reptans propter pyram, crebrò ingemiscens.
Quandò verò Lucifer venit, luminis nuncius super terram,
Post quem croceo-peplo-induta super mare spargitur Aurora,
Tunc pyra elanguit, cessavitque flamma.
Venti autem rursùs abierunt domum-ut-redirent,

Ver. 219. —— ἔχων.] Cod. *Harleian.* ἑλών. Atque ita in uno MS. scriptum repperit *Barnesius.*

Ibid. —— ἀμφικύπελλον.] Vide suprà ad ά, 584.

Ver. 220. Οἶνον ἀφυσσόμενος χαμάδις χέε, δεῦε δὲ γαῖαν, Ψυχὴν κικλήσκων.]

Vinaque fundebat pateris, animamque vocabat
Anchisae magni, manesque Acheronte remissos. *Æn.* V, 98.
Inferimus tepido spumantia cymbia lacte,
Sanguinis et sacri pateras; animamque sepulchro
Condimus, et magnâ supremùm voce ciemus. *Æn.* III, 66.
Libabat cineri Andromache; manesque vocabat
Hectoreum ad tumulum. —— *Ibid.* 303.

Ibid. —— ἀφυσσόμενος.] Cod. *Harleian.* ἀφυσσάμενος.

Ver. 221. —— Πατροκλῆος.] Apud *Eustathium* in commentario Πατρόκλοιο. Quod et ferri posset. Vide ad *Il.* ά, 51.

Ver. 222. Ὡς δὲ πατὴρ οὗ παιδὸς ὀδύρεται.] *Plutarchus de Consolat. ad Apoll.* locum hunc alio adjecto versu citat:

Ὡς δὲ πατὴρ οὗ παιδὸς ὀδύρεται ὀστέα καίων
Νυμφίου, ὅστε θανὼν δειλοὺς ἀκάχησε τοκῆας,
Ἄῤῥητον δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκε.

Ex ρ́, (ut videtur) 37. Quin et pulchra ejusdem super hâc re observatio: Καὶ ταῦτα μὲν οὔπω δῆλον, εἰ δικαίως ὀδύρεται ——. Τίς γὰρ οἶδεν, εἰ ὁ Θεὸς πατρικῶς προειδὼς, καὶ κηδόμενος τοῦ ἀνθρωπείου γένους, προορώμενος τὰ μέλλοντα συμβήσεσθαι, προεξάγει τινὰς ἐκ τοῦ ζῆν ἀώρους; *Id. ibid.*

Ver. 225. —— στοναχίζων.] *Al.* στεναχίζων.

Ver. 226. Ἦμος δ' Ἑωσφόρος.]

Tertia lux gelidam coelo dimoverat umbram.
Moerentes altum cinerem et confusa ruebant
Ossa focis, tepidoque onerabant aggere terrae. *Æn.* XI, 210.

Ibid. Ἑωσφόρος.] Pronuntiabatur Ὡσφόρος.

Ver. 227. —— κροκόπεπλος ὑπεὶρ ἅλα κίδναται Ἠώς.] Vide suprà ad ά, 477.

Ver. 228 et 251. —— φλόξ.] Vide suprà ad β́, 267.

Ver. 229. —— ἔβαν οἶκόνδε.] Quâ ratione, vox ἔβαν, hîc ultimam, alioqui brevem, (Vide suprà ad θ́, 229.) producat; item ἀριφραδέα, *ver.* 240. et γὰρ, *ver.* 298. et μῆτιν, *ver.* 315. Vide suprà ad ά, 51.

Θρηΐκιον κατὰ πόντον· ὁ δ' ἔστενεν, οἴδματι θύων.
Πηλείδης δ' ἀπὸ πυρκαϊῆς ἑτέρωσε λιασθεὶς,
Κλίνθη κεκμηὼς, ἐπὶ δὲ γλυκὺς ὕπνος ὄρουσεν.
Οἱ δ' ἀμφ' Ἀτρείωνα ἀολλέες ἠγερέθοντο,
Τῶν μιν ἐπερχομένων ὅμαδος καὶ δοῦπος ἔγειρεν·
Ἕζετο δ' ὀρθωθεὶς, καί σφεας πρὸς μῦθον ἔειπεν·
Ἀτρείδη τε, καὶ ἄλλοι, ἀριστῆες Παναχαιῶν,
Πρῶτον μὲν κατὰ πυρκαϊὴν σϐέσατ' αἴθοπι οἴνῳ
Πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα
Ὀστέα Πατρόκλοιο Μενοιτιάδαο λέγωμεν,
Εὖ διαγινώσκοντες· ἀριφραδέα δὲ τέτυκται·
Ἐν μέσσῃ γὰρ ἔκειτο πυρῇ, τοὶ δ' ἄλλοι ἄνευθεν
Ἐσχατιῇ καίοντ' ἐπιμὶξ ἵπποι τε καὶ ἄνδρες·
Καὶ τὰ μὲν ἐν χρυσέῃ φιάλῃ καὶ δίπλακι δημῷ
Θείομεν, εἰσόκεν αὐτὸς ἐγὼν ἄϊδι κεύθωμαι·

Thracium per pontum: hic verò gemebat, tumidis-fluctibus furens.
At Pelides à pyrâ in-aliam-partem separatus,
Procubuit fessus, dulcisque somnus *ei* citò supervenit.
Illi verò circa Atridem frequentes congregabantur,
Quorum ipsum adeuntium tumultus et strepitus excitavit:
Resedit verò erectus, et ipsos sermone allocutus est:
" Atrideque, et caeteri principes universorum Achivorum,
" Primùm quidem pyram extinguite nigro vino
" Totam, quantum occupavit ignis vis: at deindè
" Ossa Patrocli Menoetiadae legamus,
" Benè discernentes; cognitu-facilia enim sunt:
" In mediâ namque jacebat pyrâ, alii verò seorsùm
" In extremâ-orâ cremabantur promiscuè equique et viri:
" Et eâ quidem in aureâ phialâ et duplici adipe
" Ponamus, donec ipse ego inferorum domo condar:

Ibid. —— οἰκόνδε νέεσθαι.] *Al.* οἰκόνδε ἕκαστος.

Ver. 232. —— κεκμηὼς.] Cod. *Harleian.* κεκμηκώς.

Ver. 234. —— ὅμαδος καὶ δοῦπος.] Vide suprà ad β', 210. et ad δ', 455.

Ver. 235. —— σφεας.] Pronuntiabatur σφᾶς.

Ver. 236. Ἀτρείδη τε.] Cod. *Harleian.* Ἀτρεῖδαι τε.

Ver. 237. Πρῶτον μὲν κατὰ πυρκαϊὴν σϐέσατ'.] Vide infrà ad *ver.* 250.

Ibid. —— αἴθοπι οἴνῳ.] " *Conjectare me,* " *vinum quòd semina quædam Caloris in sese* " *haberet, essetque naturâ ignitius; ob eam* " *rem dictum esse ab Homero* αἴθοπα οἶνον; " *non, ut alii putarent, propter Colorem.*" Gell. Lib. XVII. cap. 8. " *Num quia Vi-* " *num semina quædam in se Caloris habet, et* " *ob eam rem* Homerus *dixit* αἴθοπα οἶνον; " *non, ut quidam putant, propter Colorem?*" Macrob. Lib. VII. cap. 12.

Ver. 240. — διαγινώσκοντες.] *Al.* διαγιγνώσκοντες. Quod perinde est. Nam γινώσκω primam producit.

Ibid. —— τέτυκται.] Vide suprà ad ν', 736. et ad ά, 37.

Ver. 243. —— ἐν χρυσέῃ φιάλῃ καὶ δίπλακι δημῷ.] Ἔστι δὲ ἡ μὲν φιάλη ὡς οἷα σορός· ὁ δὲ δίπλαξ δημὸς φυλακτικὸς τῆς τῶν ὀστέων εἰς χοῦν ἀλλαγῆς ἐξ ἄκρας ξηρότητος. *Eustath.*

Ibid. —— χρυσέῃ.] Pronuntiabatur χρυσῇ. Vide suprà ad ύ, 272.

Ver. 244. —— ἄϊδι κεύθωμαι.] *Barnesius* edidit ἀΐδῃ κεύθωμαι. Sed, ut opinor, nihil opus. Vide suprà ad ά, 51. Cæterùm alii, notante *Barnesio*, hîc legerunt ἄϊδι κλεύθωμαι. Quibuscum facit et *Scholiastes*; exponitque, Εἰς ᾅδου τὴν κέλευσιν, ὅ ἐστι τὴν ὁδὸν ποιήσομαι.

Τύμβον δ' οὐ μάλα πολλὸν ἐγὼ πονέεσθαι ἄνωγα,
Ἀλλ' ἐπιεικέα τοῖον· ἔπειτα δὲ καὶ τὸν Ἀχαιοὶ
Εὐρύν θ' ὑψηλόν τε τιθήμεναι, οἵ κεν ἐμεῖο
Δεύτεροι ἐν νήεσσι πολυκλήϊσι λίπησθε.
Ὣς ἔφαθ'· οἱ δ' ἐπίθοντο ποδώκεϊ Πηλείωνι·
Πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ,
Ὅσσον ἐπὶ φλὸξ ἦλθε, βαθεῖα δὲ κάππεσε τέφρη·
Κλαίοντες δ' ἑτάροιο ἐνηέος ὀστέα λευκὰ
Ἄλλεγον ἐς χρυσέην φιάλην, καὶ δίπλακα δημόν·
Ἐν κλισίῃσι δὲ θέντες, ἑανῷ λιτὶ κάλυψαν·
Τορνώσαντο δὲ σῆμα, θεμείλιά τε προβάλοντο
Ἀμφὶ πυρήν· εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν·
Χεύαντες δὲ τὸ σῆμα, πάλιν κίον. Αὐτὰρ Ἀχιλλεὺς
Αὐτοῦ λαὸν ἔρυκε, καὶ ἵζανεν εὐρὺν ἀγῶνα·
Νηῶν δ' ἔκφερ' ἄεθλα, λέβητάς τε, τρίποδάς τε,
Ἵππους θ', ἡμιόνους τε, βοῶν τ' ἴφθιμα κάρηνα,

" Tumulum autem non admodùm magnum ego fieri volo,
" Sed mediocrem quendam : postmodum verò et hunc Achivi
" Latumque altumque facite, qui quidem me
" Posteriores in navibus multa-transtra-habentibus relinquemini."
Sic dixit : illi verò obsecuti sunt pedibus-veloci Pelidae :
Primum quidem pyram extinxerunt nigro vino,
Quantum flamma pervaserat, profundusque corruit cinis :
Flentes verò socii mitis ossa alba
Collegerunt in auream phialam, et duplicem adipem ;
In tentoriisque posita tenui linteo texerunt :
Circulo autem designârunt tumulum, fundamentaque jecerunt
Circa pyram ; et statim fusilem terram aggesserunt :
Aggesto verò tumulo, redierunt. At Achilles
Ibidem populum detinuit, et sedere-fecit lato-ambitu spectatores :
E navibus autem extulit praemia, lebetasque, tripodasque,
Equosque, mulosque, boumque robusta capita,

Ver. 245. — *ἄνωγα.*] Vide suprà ad Θ', 322.

Ver. 250. *Πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν.*]
Postquàm collapsi cineres, et flamma quievit,
Reliquias vino et bibulam lavêre favillam :
Ossaque lecta cado texit Chorinæus aheno.
Æn. VI, 226.

Ibid. —— *αἴθοπι οἴνῳ.*] Vide suprà ad *ver.* 237.

Ver. 253. —— *χρυσέην.*] Vide suprà ad *ver.* 243.

Ibid. —— *χρυσέην φιάλην, καὶ δίπλακα δημόν.*] Vide suprà ad *ver.* 243. et infrà ad *ver.* 270.

Ver. 254. —— *ἑανῷ λιτὶ.*] Non, *Peplo subtili*; quo modo reddunt versiones plurimæ: Sed, *Tenui linteo.* Vide suprà ad σ', 352. et ad γ', 385. Malè itaque interpretatur *Scholiastes.* Ἁπαλῷ καὶ λιτῷ ἱματίῳ.

Ver. 256. ——— *εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν.*] Sic apud *Euripidem :*
Ὡς οὔτις ἀμφὶ σῶμ' ὑγρὰν θήσει κόνιν.
Phœniss. ver. 1658.
Ubi *Scholiastes* hunc locum citat.

Ver. 259. *Νηῶν δ' ἔκφερ' ἄεθλα.*]
Munera principio ante oculos, circoque locantur
In medio : sacri tripodes, viridesque coronæ,
Et palmæ, pretium victoribus ; armaque, et ostro
Perfusæ vestes, argenti aurique talenta.
Æn. V, 109.

Ver. 260. —— *βοῶν τ' ἴφθιμα κάρηνα.*] Sic apud *Virgilium :*

Ἠδὲ γυναῖκας ἐϋζώνους, πολιόν τε σίδηρον·
Ἱππεῦσιν μὲν πρῶτα ποδώκεσιν ἀγλά' ἄεθλα
Θῆκε, γυναῖκα ἄγεσθαι, ἀμύμονα, ἔργ' εἰδυῖαν,
Καὶ τρίποδ' ὠτώεντα δύω καὶ εἰκοσίμετρον,
Τῷ πρώτῳ· ἀτὰρ αὖ τῷ δευτέρῳ ἵππον ἔθηκεν
Ἑξέτε', ἀδμήτην, βρέφος ἡμίονον κυέουσαν·
Αὐτὰρ τῷ τριτάτῳ ἄπυρον κατέθηκε λέβητα,
Καλὸν, τέσσαρα μέτρα κεχανδότα, λευκὸν ἔτ' αὔτως·
Τῷ δὲ τετάρτῳ θῆκε δύο χρυσοῖο τάλαντα·
Πέμπτῳ δ' ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκε·
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
  Ἀτρείδη τε, καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ,
Ἱππῆας τάδ' ἄεθλα δεδεγμένα κεῖτ' ἐν ἀγῶνι.
Εἰ μὲν νῦν ἐπὶ ἄλλῳ ἀεθλεύοιμεν Ἀχαιοὶ,
Ἦτ' ἂν ἐγὼ τὰ πρῶτα λαβὼν κλισίηνδε φεροίμην.
Ἴστε γὰρ, ὅσσον ἐμοὶ ἀρετῇ περιβάλλετον ἵπποι·
Ἀθάνατοί τε γάρ εἰσι· Ποσειδάων δ' ἔπορ' αὐτοὺς
Πατρὶ ἐμῷ Πηλῆϊ, ὁ δ' αὖτ' ἐμοὶ ἐγγυάλιξεν.

Et foeminas elegantèr-cinctas, splendidumque ferrum:
Aurigis quidem primùm velocibus praeclara praemia
Posuit, mulierem abducendam, eximiam-formâ, operum scientem,
Et tripodem ansatum duarum et viginti-mensurarum,
Primo: secundo autem deindè equam posuit
Sexennem, indomitam, foetum mulum utero-gestantem:
At tertio igni-nunquam-admotum deposuit lebetem,
Pulchrum, quatuor mensuras capientem, album etiamnum ita:
Quarto verò posuit duo auri talenta:
Quinto autem duplicem phialam ignem-non-expertam posuit:
Surrexit verò, et verba inter Argivos fecit:
" Atrideque, et caeteri benè-ocreati Achivi,
" Aurigas haec praemia expectantia jacent in circo.
" Si quidem jam alterius gratiâ certaremus Achivi,
" Tum certè ego prima accepta ad tentorium ferrem.
" Scitis enim, quantum mei virtute superant equi:
" Nam et immortales sunt: Neptunus autem dedit ipsos
" Patri meo Peleo, is verò vicissim mihi tradidit.

Bina *boum* vobis Trojâ generatus Acestes
Dat numero *capita* ——. *Æn.* V, 61.

Ver. 263. Θῆκε, γυναῖκα ἄγεσθαι, ἀμύμονα, ἔργ' εἰδυῖαν.] *Al.* ἀμύμονα ἔργ' εἰδυῖαν.

Olli serva datur, operum haud ignara Minervæ. *Æn.* V, 284.

Ver. 264. — δύω καὶ εἰκοσίμετρον.] *Al.* δυωκαιεικοσίμετρον, et δύω καὶ εἴκοσι μέτρων.

Ver. 268. Καλὸν.] Vide suprà ad β', 43.

Ibid. — λευκὸν ἔτ' αὔτως.] Ita edidit *Barnesius.* *Vulgg.* λευκὸν ἔτ' αὔτως. *Al.* λευκὸν ἔθ' αὔτως.

Ver. 270. —— ἀμφίθετον φιάλην ἀπύρωτον.] Ἐστὶ δὲ χαλκεῖον ἐκπέταλον λεβητῶδες, ἐπιτήδεως ἔχον πρὸς ὑδάτων ψυχρῶν ὑποδοχάς. *Athenæus, Lib.* XI. *cap.* 5. Ὅμηρος μὲν ὅταν λέγῃ, " ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκε," καὶ " χρυ- " σῆν φιάλην καὶ δίπλακα δημὸν," οὐ τὸ ποτήριον λέγει, ἀλλὰ χάλκεόν τι καὶ ἐκπέταλον λεβητῶδες, ἴσως δύο ὦτα ἔχον ἐξ ἀμφοτέρων τῶν μερῶν. — Ἀρίσταρχος δὲ [ἀμφίθετον ἀκούει] τὴν δυναμένην ἐξ ἀμφοτέρων τῶν μερῶν τίθεσθαι κατὰ τὴν πυθμένα καὶ κατὰ τὸ στόμα. *Id. Lib.* XI. *cap.* 14. Quo posteriori modo exponit *Scholiastes.* Vide et suprà ad ά, 584.

Ver. 272. Ἀτρείδη τε.] *Al.* Ἀτρεῖδαί τε.

Ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω, καὶ μώνυχες ἵπποι·
Τοίου γὰρ σθένος ἐσθλὸν ἀπώλεσαν ἡνιόχοιο
Ἠπίου, ὅς σφῶϊν μάλα πολλάκις ὑγρὸν ἔλαιον
Χαιτάων κατέχευε, λοέσσας ὕδατι λευκῷ.
Τὸν τώ γ' ἑσταότες πενθείετον, οὔδεϊ δέ σφιν
Χαῖται ἐρηρέδαται, τὼ δ' ἕστατον ἀχνυμένω κῆρ·
Ἄλλοι δὲ στέλλεσθε κατὰ στρατὸν, ὅστις Ἀχαιῶν
Ἵπποισίν τε πέποιθε καὶ ἅρμασι κολλητοῖσιν.
Ὣς φάτο Πηλείδης· ταχέες δ' ἱππῆες ἔγερθεν·
Ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Εὔμηλος,
Ἀδμήτου φίλος υἱὸς, ὃς ἱπποσύνῃ ἐκέκαστο·
Τῷ δ' ἔπι Τυδείδης ὦρτο κρατερὸς Διομήδης,
Ἵππους δὲ Τρωοὺς ὕπαγε ζυγὸν, οὕς ποτ' ἀπηύρα
Αἰνείαν, ἀτὰρ αὐτὸν ὑπεξεσάωσεν Ἀπόλλων·
Τῷ δ' ἄρ' ἔπ' Ἀτρείδης ὦρτο ξανθὸς Μενέλαος,
Διογενὴς, ὑπὸ δὲ ζυγὸν ἤγαγεν ὠκέας ἵππους,

" Sed certè quidem ego quiescam, et solidi-ungulis equi :
" Talis enim vim eximiam amiserunt aurigae
" Benigni, qui ipsis admodùm saepè humidum oleum
" Jubis superfundebat, quum-lavisset aquâ limpidâ.
" Hunc hi stantes lugent, soloque ipsis
" Jubae profusae sunt, ipsique stant dolentes corde :
" *Vos* verò caeteri accingimini per exercitum, quicunque Achivorum
" Equisque fidit et curribus benè-compactis."
Sic dixit Pelides ; celeres autem aurigae surrexerunt :
Surrexit multò primus quidem rex virorum Eumelus,
Admeti dilectus filius, qui aurigandi-peritiâ ornatus erat :
Post hunc autem Tydides surrexit fortis Diomedes,
Equosque Troïos duxit sub jugum, quos quondam abstulit
Aeneae ; at ipsum è mediâ morte eripuit Apollo :
Post hunc autem Atrides surrexit flavus Menelaus,
Nobilissimus, subque jugum duxit veloces equos,

Ver. 280. —— *σθένος.*] *Al.* *κλέος.*

Ver. 281. — *ὑγρὸν ἔλαιον.*] Ἠπορήθη πότε καὶ διὰ τί, πολλῶν ὑγρῶν ὄντων, τὰ μὲν ἄλλα τοῖς ἰδίοις ἐπιθέτοις ὁ ποιητὴς εἴωθε κοσμεῖν τὸ γάλα τε λευκὸν, καὶ τὸ μέλι χλωρὸν, καὶ τὸν οἶνον ἐρυθρὸν καλῶν· τὸ δὲ ἔλαιον ὑπὸ κοινοῦ τοῦ πᾶσι συμβεβηκότος μόνον ἐπιεικῶς ὑγρὸν προσαγορεύει. Εἰς τοῦτο ἐλέχθη, ὅτι καὶ γλυκύτατόν ἐστι τὸ δι' ὅλου γλυκύ· καὶ λευκότατον τὸ δι' ὅλου λευκόν· (δι' ὅλου δὲ τοιοῦτό ἐστιν, ᾧ μηδὲν ἐμμέμικται τῆς ἐναντίας φύσεως·) Οὕτω δὲ καὶ τὸ ὑγρὸν μάλιστα ῥητέον, οὗ μηδὲν μέρος ξηρόν ἐστι. Τοῦτο δὲ τῷ ἐλαίῳ συμβέβηκε. *Plutarch. Symposiac. Lib.* VI. *Probl.* 9.

Ver. 283. ——— *ἑσταότες.*] Cod. *Harleian.* *ἑσταῶτε.* Sed et rectè se habet Vulgata lectio. Vide suprà ad *ά*, 566. et ad *ί*, 778.

Ibid. —— *πενθείετον.*] Cod. *Harleian.* *πενθήετον.* Atque ita in uno MS. scriptum repperit *Barnesius.*

Ver. 284—286. —— *ἐρηρέδαται — πέποιθε.*] Vide suprà ad *ν'*, 96 et 736. et ad *ά*, 37. Cod. *Harleian.* *ἐρηράδαται.*

Ver. 286. —— *πέποιθε.*] Vide suprà ad *β'*, 314.

Ver. 287. — *ἔγερθεν.*] Ita edidit *Barnesius* ex uno MS. Quocum facit et Codex *Harleianus.* *Al.* *ἄγερθεν.*

Ver. 288. 289. 290. et 293. *Ὦρτο* ——— *ἐκέκαστο·* —— *ὦρτο.*] Vide suprà ad *φ'*, 352. et ad *δ'*, 492.

Ver. 291. — *οὕς ποτ' ἀπηύρα Αἰνείαν.*] Suprà, *ί*, 323.

Αἴθην τὴν Ἀγαμεμνονέην, τὸν ἑόν τε Πόδαργον·
Τὴν Ἀγαμέμνονι δῶκ' Ἀγχισιάδης Ἐχέπωλος
Δῶρ', ἵνα μή οἱ ἕποιθ' ὑπὸ Ἴλιον ἠνεμόεσσαν,
Ἀλλ' αὐτοῦ τέρποιτο μένων· μέγα γάρ οἱ ἔδωκε
Ζεὺς ἄφενος, ναῖεν δ' ὅγ' ἐν εὐρυχόρῳ Σικυῶνι·
Τὴν ὅγ' ὑπὸ ζυγὸν ἦγε μέγα δρόμου ἰσχανόωσαν.
Ἀντίλοχος δὲ, τέταρτος ἐΰτριχας ὡπλίσαθ' ἵππους,
Νέστορος ἀγλαὸς υἱὸς ὑπερθύμοιο ἄνακτος
Τοῦ Νηληϊάδαο· Πυληγενέες δέ οἱ ἵπποι
Ὠκύποδες φέρον ἅρμα· πατὴρ δέ οἱ ἄγχι παραστὰς
Μυθεῖτ' εἰς ἀγαθὰ φρονέων νοέοντι καὶ αὐτῷ·
Ἀντίλοχ', ἦτοι μέν σε νέον περ ἐόντ' ἐφίλησαν
Ζεύς τε, Ποσειδάων τε, καὶ ἱπποσύνας ἐδίδαξαν
Παντοίας· τῷ κέν σε διδασκέμεν οὔτι μάλα χρεώ.
Οἶσθα γὰρ εὖ περὶ τέρμαθ' ἑλισσέμεν· ἀλλά τοι ἵπποι
Βάρδιστοι θείειν, τῷ τ' οἴω λοίγι' ἔσεσθαι·
Τῶν δ' ἵπποι μὲν ἔασιν ἀφάρτεροι, οὐδὲ μὲν αὐτοὶ
Πλείονα ἴσασιν σέθεν αὐτοῦ μητίσασθαι.

Aethen Agamemnoniam, suumque Podargum:
Illam Agamemnoni dedit Anchisiades Echepolus
Dona, ut nè ipsum sequeretur ad Ilium ventosam,
Sed ibidem deliciis-frueretur manens; magnas enim ei dederat
Jupiter opes; habitabat autem hic in spatiosâ Sicyone:
Hanc iste sub jugum duxit admodùm cursûs cupidam.
Antilochus autem quartus pulchris-comantes-jubis instruxit equos,
Nestoris praeclarus filius magnanimi regis
Neleïdae; Pylo autem nati ei equi
Pedibus veloces agebant currum: Pater verò ipsi propè astans
Dixit in bonum monens intelligentem etiam per se:
" Antiloche, certè quidem te juvenem licèt dilexerunt
" Jupiterque, Neptunusque, et aurigandi-artes docuerunt
" Omnigenas: ideò te docere nequaquam multùm opus est.
" Nôsti enim rectè circa metas *equos* flectere; sed tibi equi
" Tardissimi cursu, ideoque puto damnosa eventura:
" Horum autem equi quidem sunt perniciores, nec tamen ipsi
" Plura sciunt te ipso solertèr-machinari.

Ver. 297. *Δῶρ', ἵνα μή οἱ ἕποιθ'.*] *Αὐτίκα γοῦν ὕποπτός ἐστιν ὁ Ἀγαμέμνων, ὡς διὰ δωροδοκίαν ἀφεὶς τῆς στρατίας τὸν πλούσιον ἐκεῖνον, καὶ τὴν Αἴθην χαρισάμενον αὐτῷ, " Δῶρ', ἵνα " μή οἱ ἕποιθ' ὑπὸ Ἴλιον ἠνεμόεσσαν. Ἀλλ' αὐ" τοῦ τέρποιτο μένων· μέγα γάρ οἱ ἔδωκε Ζεὺς " ἄφενος." Ὀρθῶς δέ γε ἐποίησεν (ὡς Ἀριστοτέλης φησὶν) ἵππον ἀγαθὴν ἀνθρώπου τοιούτου προτιμήσας. Οὐδὲ γὰρ κυνὸς ἀντάξιος, οὐδ' ὄνου, μὰ Δία, δειλὸς ἀνὴρ καὶ ἄναλκις, ὑπὸ πλούτου καὶ μαλακίας διεῤῥυηκώς. Plutarch. de audiendis Poetis.*

Ver. 301. —— *ὡπλίσαθ'.*] Vide suprà ad *ver.* 55. et ad *ά*, 140.

Ver. 303. — *Πυληγενέες.*] *Al.* *Πυλοιγενέες.*

Ver. 306. — *ἐφίλησαν.*] Vide suprà ad *ύ*, 304. et ad *ά*, 338.

Ver. 308. —— *τῷ κέν σε.*] Cod. *Harleian.* *τῷ καί σε.*

Ibid. — *οὔτι μάλα χρεώ.*] Pronuntiabatur *οὔτι μάλα χρῶ.* *Al.* *οὔτι μάλα χρειών.*

Ver. 310. —— *τῷ τ' οἴω.*] Cod. *Harleian.* *τῷ κ' οἴω.*

Ver. 312. —— *μητίσασθαι.*] *Barnesius* cum

Ἀλλ' ἄγε δὴ σὺ, φίλος, μῆτιν ἐμβάλλεο θυμῷ
Παντοίην, ἵνα μή σε παρεκπροφύγῃσιν ἄεθλα.
Μήτι τοι δρυτόμος μέγ' ἀμείνων, ἠὲ βίηφι·
Μήτι δ' αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντῳ
Νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισι·
Μήτι δ' ἡνίοχος περιγίνεται ἡνιόχοιο.
Ἀλλ' ὃς μέν θ' ἵπποισι καὶ ἅρμασιν οἷσι πεποιθὼς,
Ἀφραδέως ἐπὶ πολλὸν ἑλίσσεται ἔνθα καὶ ἔνθα,
Ἵπποι δὲ πλανόωνται ἀνὰ δρόμον, οὐδὲ κατίσχει·
Ὃς δέ κε κέρδεα εἰδῇ, ἐλαύνων ἥσσονας ἵππους,
Αἰεὶ τέρμ' ὁρόων, στρέφει ἐγγύθεν, οὐδέ ἑ λήθει,
Ὅππως τὸ πρῶτον τανύσῃ βοέοισιν ἱμᾶσιν·
Ἀλλ' ἔχει ἀσφαλέως, καὶ τὸν προὔχοντα δοκεύει.
Σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδὲς, οὐδέ σε λήσει·
Ἕστηκε ξύλον αὖον, ὅσον τ' ὄργυι', ὑπὲρ αἴης,
Ἢ δρυὸς, ἢ πεύκης, τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ·
Λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκὼ,

" Sed agedum tu, dilecte, consilium reconde animo
" Omnigenum, nè quo te casu fugiant praemia.
" Arte tibi faber-lignarius longè praestantior, quàm viribus:
" Arte verò et gubernator in nigro ponto
" Navem celerem dirigit jactatam ventis;
" Arte et auriga superat aurigam.
" Sed qui equis et curribus suis fretus *est*,
" Imprudentèr latè flectit huc et illuc;
" Equique vagantur per stadium, neque *eos* continet:
" Qui verò peritus fuerit, agens deteriores equos,
" Semper metam spectans, flectit propè, neque eum latet,
" Quo pacto primùm adducat bubulis loris:
" Sed continet perpetuò, et praecedentem observat.
" Metam autem tibi indicabo admodùm cognitu-facilem, neque te latebit:
" Stat lignum aridum, quantum ulna, supra terram,
" Vel quercûs, vel laricis, quod quidem non putrescit imbre:
" Lapides verò ejus ex-utrâque parte positi sunt duo albi,

---

duplici *σ* scribendum contendit, *μητίσσασθαι*. Sed, ut opinor, nihil opus. Fit enim non ex *μητίζω*, cujusmodi Verba *Aoristos* et *Futura* corripiunt; sed ex *μητίω*, cujus formæ verba *Aoristos* et *Futura* producunt. Vide suprà ad *σ'*, 37. et ad *ί*, 426 et 508.

Ver. 313. —— *ἄγε δὴ.*] *Age quæso.*

Ver. 315. Μήτι τοι δρυτόμος μέγ' ἀμείνων, ἠὲ βίηφι.] Γράψαντός τε Μουσαίου, " Ὡς αἰεὶ " τέχνη μέγ' ἀμείνων ἰσχύος ἐστιν," Ὅμηρος λέγει, " Μήτι τοι δρυτόμος περιγίνεται, ἠὲ βίηφι." *Clemens Alexandrinus, Strom. Lib.* 6. Ubi notandum in transcursu pro *μέγ' ἀμείνων*, legisse hîc *Clementem*, *περιγίνεται·* ex versu (ut videtur) 318. " Non viribus aut velo- " citatibus aut celeritate corporum res mag- " næ geruntur, sed consilio ——." *Cicero de Senectute.*

Ver. 318. — *περιγίνεται.*] *Al.* *περιγίγνεται.* Quod idem. Nam *γίνομαι* primam producit.

Ver. 319. ———— *πεποιθὼς.*] *Al.* *πέποιθεν.* Vide suprà ad *β'*, 314.

Ver. 324. — *τὸ πρῶτον.*] *Al.* *τὸν πρῶτον.*

Ibid. —— *τανύσῃ.*] Vide suprà ad *ρ'*, 58.

Ibid. — *βοέοισιν ἱμᾶσιν.*] Ἡνίαις. *Schol.*

Ver. 327. Ἕστηκε.] Vide suprà ad *δ'*, 434.

Ibid. — *ὄργυι'.*] Ἡ τῶν δύο χειρῶν εἰς πλάτος ἔκτασις. *Schol. Al.* *ὄργυι'.*

Ver. 329. — *ἐρηρέδαται.*] Vide suprà ad *ν'*, 736. et ad *ά*, 37.

Ἐν ξυνοχῇσιν ὁδοῦ· λεῖος δ' ἱππόδρομος ἀμφίς·
Ἤ τευ σῆμα βροτοῖο πάλαι κατατεθνειῶτος,
Ἢ τό γε νύσσα τέτυκτο ἐπὶ προτέρων ἀνθρώπων,
Καὶ νῦν τέρματ' ἔθηκε ποδάρκης δῖος Ἀχιλλεύς·
Τῷ σὺ μάλ' ἐγχρίμψας, ἐλάαν σχεδὸν ἅρμα καὶ ἵππους·
Αὐτὸς δὲ κλινθῆναι ἐϋπλέκτῳ ἐνὶ δίφρῳ,
Ἦκ' ἐπ' ἀριστερὰ τοῖϊν· ἀτὰρ τὸν δεξιὸν ἵππον
Κένσαι ὁμοκλήσας, εἶξαί τέ οἱ ἡνία χερσίν.
Ἐν νύσσῃ δέ τοι ἵππος ἀριστερὸς ἐγχριμφθήτω,
Ὡς ἄν τοι πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι
Κύκλου ποιητοῖο· λίθου δ' ἀλέασθαι ἐπαυρεῖν,
Μήπως ἵππους τε τρώσῃς, κατά θ' ἅρματα ἄξῃς·
Χάρμα δὲ τοῖς ἄλλοισιν, ἐλεγχείη δέ σοι αὐτῷ
Ἔσσεται· ἀλλὰ, φίλος, φρονέων πεφυλαγμένος εἶναι·
Εἰ γάρ κ' ἐν νύσσῃ γε παρεξελάσῃσθα διώκων,

"In angustiis viae; planum autem curriculum equorum hinc indè:
"Sed alicujus monumentum hominis jam pridem defuncti,
"Sive hoc meta fuit tempore priscorum hominum,
"Et nunc pro termino esse voluit pedibus-valens nobilis Achilles:
"Huic tu proximè admotos agito juxtà currum et equos:
"Sed et ipse inclinator elegantèr-concinnatâ in sellâ,
"Paululùm ad sinistram eorum; at dextrum equum
"Stimula minaci clamore-increpitans, concedeque ei habenas manibus,
"Ad metam autem tibi equus sinister admoveatur,
"Ita ut tibi modiolus utique summum videatur strinxisse
"Rotae affabrè-factae: in lapidem verò vites impingere,
"Ne fortè equosque vulneres, currusque confringas;
"Gaudium nempè aliis, opprobriumque tibi ipsi
"Erit: Sed, dilecte, si sapis, cautus esto:
"Si enim ad metam praetervectus fueris urgens,

Ver. 330. Ἐν ξυνοχῇσιν ὁδοῦ.] Ἐν ταῖς ξυμβολαῖς, καθ' ὃ μάλιστα ἐστένωται ἡ ὁδός. *Schol.*

Ver. 331. —— κατατεθνειῶτος.] Vide suprà ad ν', 46. *Al.* κατατεθνηῶτος.

Ver. 332. Ἢ τό γε νύσσα τέτυκτο.] Ἐν δὲ τῷ, "Ἢ τό γε νύσσα τέτυκτο" καὶ ἑξῆς, φασὶν οἱ παλαιοὶ ὅτι Ἀρίσταρχος γράφει, "Ἢ "τό γε σκῖρος ἔην· νῦν αὖ θέτο τέρματ' Ἀχιλ-"λεὺς," ἑνὸς τούτου στίχου τεθέντος ὑπ' ἐκείνου, ἀντὶ τῶν ἀνωτέρω γραφέντων δύο. *Eustath.*

Ver. 333. ——— τέρματ' ἔθηκε.] *Al.* τέρμα τέθηκε aut τέθεικε. Quod et hoc quidem in loco ferri posset. Εἰ γάρ τις γράψει ἐν χρόνῳ παρακειμένῳ αὐτὸ, ἵνα ᾖ τέθεικε τέρμα, ἔχοι ἂν καὶ τοῦτο λόγον, καὶ οὐκ ἐξουθενοῖτο. *Eustath.*

Ver. 334. —— ἐγχρίμψας.] Cod. *Harleian.* ἐγχρίψας.

Ver. 335. Αὐτὸς δὲ κλινθῆναι ἐϋπλέκτῳ ἐνὶ δίφρῳ.] *Plato in Ione* legit, "Κλινθῆναι δὲ "καὶ αὐτὸς ἐϋξέστῳ ἐνὶ δίφρῳ." Cæterùm *Xenophon* locum hunc citat hoc modo:

Αὐτὸν δὲ κλινθῆναι ἐϋξέστου ἐπὶ δίφρου,
Ἦκ' ἐπ' ἀριστερὰ τοῖϊν· ἀτὰρ τὸν δεξιὸν ἵππον
Κένσαι ὁμοκλήσαντ', εἶξαί τέ οἱ ἡνία χερσί.

Συμπόσιον.

Ibid. ——— ἐϋπλέκτῳ ἐνὶ δίφρῳ.] Sic apud *Hesiodum*:

——— ἐϋπλεκέων δ' ἐπὶ δίφρων
Ἡνίοχοι βεβαῶτες ———.

Ἀσπὶς Ἡρακλ. 306.

Ver. 339. Ὡς ἄν τοι.] *Plato* loco suprà citato legit, Ὡς μή τοι.

Ibid. —— πλήμνη.] Apud *Scholiasten*, notante *Barnesio*, πλήμνῃ.

Ibid. —— πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι Κύκλου.] Ἐπὶ τῷ καμπτῆρί σοι ὁ ἀριστερὸς ἵππος οὕτως ἐμπελασάτω ἀκριβῶς, ὥστε τὴν ἔξωθεν περιφέρειαν τοῦ τροχοῦ δόξαι ψαύειν τῆς χοινικίδος. *Schol.*

Οὐκ ἔσθ', ὅς κέ σ' ἕλῃσι μετάλμενος, οὐδὲ παρέλθῃ·
Οὐδ' εἴ κεν μετόπισθεν Ἀρείονα δῖον ἐλαύνοι,
Ἀδρήστου ταχὺν ἵππον, ὃς ἐκ θεόφιν γένος ἦεν,
Ἢ τοὺς Λαομέδοντος, οἳ ἐνθάδε τέτραφεν ἐσθλοί.
 Ὣς εἰπὼν Νέστωρ Νηλήϊος ἂψ ἐνὶ χώρῃ
Ἕζετ', ἐπεὶ ᾧ παιδὶ ἑκάστου πείρατ' ἔειπε.
Μηριόνης δ' ἄρα πέμπτος ἐΰτριχας ὡπλίσαθ' ἵππους.
Ἂν δ' ἔβαν ἐς δίφρους, ἐν δὲ κλήρους ἐβάλοντο·
Πάλλ' Ἀχιλεὺς, ἐκ δὲ κλῆρος θόρε Νεστορίδαο
Ἀντιλόχου· μετὰ τόνδ' ἔλαχε κρείων Εὔμηλος·
Τῷ δ' ἄρ' ἐπ' Ἀτρείδης δουρικλειτὸς Μενέλαος·
Τῷ δ' ἔπι Μηριόνης λάχ' ἐλαυνέμεν· ὕστατος αὖτε
Τυδείδης, ὄχ' ἄριστος ἐὼν, λάχ' ἐλαυνέμεν ἵππους.
Στὰν δὲ μεταστοιχεί· σήμηνε δὲ τέρματ' Ἀχιλλεὺς,
Τηλόθεν ἐν λείῳ πεδίῳ· παρὰ δὲ σκοπὸν εἷσεν
Ἀντίθεον Φοίνικα, ὀπάονα πατρὸς ἑοῖο,
Ὡς μεμνέῳτο δρόμου, καὶ ἀληθείην ἀποείποι.

" Non erit, qui te assequatur perniciter insecutus, neque praetereat:
" Nè quidem si à tergo Arionem divinum ageret,
" Adrasti velocem equum, qui ex deo genere erat,
" Aut illos Laomedontis, qui hîc nutriti sunt eximii.'
Sic locutus Nestor Neleïus iterùm in loco
Resedit, postquàm suo filio uniuscujusque-rei summam dixerat.
Meriones autem quintus pulchris comantes-jubis instruxit equos.
Ascenderunt verò in sellas, sortesque injecerunt *galeae:*
Concutiebat Achilles, et sors exiliit Nestoridae
Antilochi: post hunc sortitus est rex Eumelus:
Post illum autem Atrides inclytus-hastâ Menelaus:
Post eum verò Meriones sortitus est agere: at postremus
Tydides, longè fortissimus, sortitus est agere equos.
Steterunt autem ordine: monstravit verò metas Achilles,
Procul in plano campo; et juxta speculatorem collocavit
Deo-parem Phoenicem, armigerum patris sui,
Ut memori-animo-contemplaretur cursum, et veritatem referret.

Ver. 345. —— παρέλθῃ.] Cod. *Harleian.* παρέλθοι.

Ver. 346. —— Ἀρείονα δῖον ἐλαύνοι.]
—— μέγαν ἵππον Ἀρείονα κυανοχαίτην.
Hesiod. Ἀσπὶς Ἡρακλ. 120.
Cæterùm alii, notante *Eustathio*, scribunt Ἀρίονα.

Ver. 348. —— τέτραφεν.] *Al.* ἔτραφεν.

Ver. 351. —— ὡπλίσαθ'.] Vide suprà ad *ver.* 55; et ad ά, 140.

Ver. 355. —— δουρικλειτὸς.] Ita edidit *Barnesius.* *Al.* δουρικλυτός· minùs rectè. Vide suprà ad ί, 55.

Ver. 357. —— λάχ' ἐλαυνέμεν.] *Al.* τάχ' ἐλαυνέμεν. Quam lectionem et probat *Barnesius;* sed minùs rectè.

Ver. 358. Στὰν δὲ μεταστοιχεί.]
Hæc ubi dicta; locum capiunt——.
Æn. V, 315.

Ver. 361. Ὡς μεμνέῳτο δρόμου, καὶ ἀληθείην ἀποείποι.] *Barnesius* ex conjecturâ edidit, Ὡς μεμνέῳτο δρόμοιο, ἀλήθειάν τ' ἀποείποι. Rationibus, ut opinor, haud satis idoneis.

Ibid. —— μεμνέῳτο.] Cod. *Harleian.* μεμνόῳτο. *Al.* μεμνῷτο, μεμνεῖτο, et μεμνῇτο.

Οἱ δ' ἅμα πάντες ἐφ' ἵπποισιν μάστιγας ἄειραν,
Πέπληγόν θ' ἱμᾶσιν, ὁμόκλησάν τ' ἐπέεσσιν
Ἐσσυμένως· οἱ δ' ὦκα διέπρησσον πεδίοιο,
Νόσφι νεῶν, ταχέως· ὑπὸ δὲ στέρνοισι κονίη
Ἵστατ' ἀειρομένη, ὥστε νέφος, ἠὲ θύελλα·
Χαῖται δ' ἐῤῥώοντο μετὰ πνοιῇς ἀνέμοιο·
Ἅρματα δ' ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρῃ,
Ἄλλοτε δ' ἀΐξασκε μετήορα· τοὶ δ' ἐλατῆρες
Ἕστασαν ἐν δίφροισι· πάτασσε δὲ θυμὸς ἑκάστου
Νίκης ἱεμένων· κέκλοντο δὲ οἷσιν ἕκαστος
Ἵπποις, οἱ δ' ἐπέτοντο κονίοντες πεδίοιο.
Ἀλλ' ὅτε δὴ πύματον τέλεον δρόμον ὠκέες ἵπποι
Ἂψ ἐφ' ἁλὸς πολιῆς, τότε δὴ ἀρετή γε ἑκάστου

Illi verò simul omnes super equos scuticas sustulerunt,
Percusseruntque loris, exhortatique sunt verbis,
Magno-ardore: ii autem ocyùs percurrebant campum,
Procul à navibus, celeritèr: Sub pectoribus verò pulvis
Surgebat excitatus, tanquam nubes, vel procella:
Jubae autem agitabantur flatibus venti:
Currus verò interdùm quidem terrae appropinquabant almae,
Interdùm autem subsultabant sublimes; at aurigae
Stabant in sellis: palpitabat autem animus cujusque
Victoriae cupidorum; et hortabatur suos quisque
Equos: ii verò volabant pulverem-excitantes per campum.
Sed quum jam extremum peragerent cursum veloces equi
Retrò mare versùs canum, tum demùm virtus utique cujusque

Ver. 362. —— ἅμα.] Cod. *Harleian.* ἄρα.

Ibid. —— ἐφ' ἵπποισιν μάστιγας ἄειραν, Πέπληγόν θ'.] Cod. *Harleian.* ἐφ' ἵπποιϊν.

—— pronique in verbera pendent.
Æn. V, 147.

Vide et infrà ad *ver.* 368.

Ver. 363. Πέπληγον.] Vide suprà ad γ', 31.

Ver. 364. —— διέπρησσον.] Vide suprà ad ν', 192.

Ver. 365. —— ὑπὸ δὲ στέρνοισι κονίη.]

Hîc subitam nigro glomerari pulvere nubem
Prospiciunt Teucri —. *Æn.* IX, 33.

Ver. 366. —— ὥστε νέφος.] Quâ ratione, ὥστε, hîc ultimam producat; item τε, *ver.* 395. et χειμέριον, *ver.* 420; vide suprà ad ά, 51. *Barnesius* legendum conjicit ὡσεὶ νέφος. Sed nihil opus.

Ver. 368. Ἅρματα δ' ἄλλοτε μὲν.]

Nonne vides? cùm praecipiti certamine campum
Corripuere, ruuntque effusi carcere currus;
Cùm spes arrectae juvenum, exultantiaque haurit
Corda pavor pulsans: illi instant verbere torto;
Et proni dant lora; volat vi fervidus axis:
Jamque humiles, jamque elati sublime videntur
Aëra per vacuum ferri; atque assurgere in auras.
Nec mora nec requies. At fulvæ nimbus arenæ
Tollitur: ——
Tantus amor laudum, tantæ est victoria curæ. *Virg. Georg.* III, 103.

Quem locum inter eos recenset *Macrobius*, in quibus "*Virgilius Homerici carminis majes*-"*tatem non æquet.*" Lib. V. cap. 13.

Ver. 369. — μετήορα.] Vide suprà ad β', 818.

Ver. 370. Ἕστασαν.] Vide suprà ad μ', 55.

Ibid. —— πάτασσε δὲ θυμὸς ἑκάστου Νίκης ἱεμένων.]

—— exultantiaque haurit
Corda pavor pulsans, laudumque arrecta cupido. *Æn.* V, 137.

Ver. 374. Ἂψ ἐφ' ἁλὸς.] *Al.* Ἂψ ἀφ' ἁλός. Atque ita legit Codex *Harleianus.*

Φαίνετ', ἄφαρ δ' ἵπποισι τάθη δρόμος· ὦκα δ' ἔπειτα
Αἱ Φηρητιάδαο ποδώκεες ἔκφερον ἵπποι·
Τὰς δὲ μετεξέφερον Διομήδεος ἄρσενες ἵπποι
Τρώϊοι· οὐδέ τι πολλὸν ἄνευθ' ἔσαν, ἀλλὰ μάλ' ἐγγύς·
Αἰεὶ γὰρ δίφρου ἐπιβησομένοισιν ἐΐκτην.
Πνοιῇ δ' Εὐμήλοιο μετάφρενον, εὐρέε τ' ὤμω,
Θέρμετ'· ἐπ' αὐτῷ γὰρ κεφαλὰς καταθέντε πετέσθην.
Καί νύ κεν ἢ παρέλασσ', ἢ ἀμφήριστον ἔθηκεν,
Εἰ μὴ Τυδέος υἷϊ κοτέσσατο Φοῖβος Ἀπόλλων,
Ὅς ῥά οἱ ἐκ χειρῶν ἔβαλεν μάστιγα φαεινήν.
Τοῖο δ' ἀπ' ὀφθαλμῶν κύτο δάκρυα χωομένοιο,
Οὕνεκα τὰς μὲν ὅρα ἔτι καὶ πολὺ μᾶλλον ἰούσας,
Οἱ δέ οἱ ἐβλάφθησαν, ἄνευ κέντροιο θέοντες.
Οὐδ' ἄρ' Ἀθηναίην ἐλεφηράμενος λάθ' Ἀπόλλων
Τυδείδην, μάλα δ' ὦκα μετέσσυτο ποιμένα λαῶν·
Δῶκε δέ οἱ μάστιγα, μένος δ' ἵπποισιν ἐνῆκεν.
Ἡ δὲ μετ' Ἀδμήτου υἱὸν κοτέουσ' ἐβεβήκει,

Apparuit, statimque equis intendebatur cursus: celeritèr autem deindè
Pheretiadae pedibus-veloces ante-caeteros-efferebant *currum* equae:
Post eas autem ante-alios-efferebant Diomedis masculi equi
Troïi; neque ita multùm aberant, sed admodùm propè:
Semper enim currum ascensuris similes-erant.
Flatu verò Eumeli dorsum, latique humeri,
Calefiebant: super ipsum enim capitibus repositis volabant.
Et certè vel praevertisset, vel dubiam *victoriam* fecisset,
Nisi Tydei filio iratus fuisset Phoebus Apollo,
Qui ei è manibus excussit scuticam splendidam.
Ejus verò ex oculis effusae-sunt lacrymae indignantis,
Quòd illas quidem videret jam etiam multò celeriùs euntes,
Sui verò divinitùs-affligerentur, sine stimulo currentes.
Nec sanè Minervam fraude-laedens latuit Apollo
Tydidem, valdè autem celeritèr assecuta est pastorem populorum;
Et reddidit ei scuticam, vimque equis immisit.
Ipsa verò ad Admeti filium indignata accessit,

Ver. 377. —— μετεξέφερον.] *Al.* μετ' ἐξέφερον.

Ver. 380. Πνοιῇ δ' Εὐμήλοιο μετάφρενον, —— Θέρμετ'.]

—— Humescunt spumis flatuque sequentum. *Virg. Georgic.* III, 111.

Macrobius et hunc locum inter eos citat, in quibus *Virgilius Homerici carminis majestatem non æquet.* " *In curuli certamine* (inquit) *Homerus alterum currum paululùm antecedentem, et alterum pænè conjunctum sequendo, quâ luce signavit?*" Lib. V, cap. 13.

Ver. 382. Καί νύ κεν ἢ παρέλασσ', ἢ ἀμφήριστον.] Vide infrà ad *ver.* 526.

Ibid. — παρέλασσ', ἢ ἀμφήριστον.] *Al.* παρέλασσ', οὐδ' ἀμφήριστον. Ut infrà *ver.* 527.

Ibid. — ἀμφήριστον.] Τὸν ἀμφοτέρωθεν ἐξισούμενον, ἢ ἀμφισβητήσιμον. *Schol.*

Ver. 384. Ὅς ῥά.] *Qui scilicèt* ——.

Ver. 385. Τοῖο δ' ἀπ' ὀφθαλμῶν χύτο δάκρυα χωομένοιο.]

Tum verò exarsit juveni dolor ossibus ingens;
Nec lacrymis caruêre genæ ——.
Æn. V, 172.

Ibid. —— κύτο.] *Al.* χύτο.

Ver. 387. Οἱ δέ οἱ.] *Al.* Οἱ δὲ οἵ, et Οἱ δ' ἑοί.

Ibid. — θέοντες.] *Al.* θέουσαι. Sed minùs rectè; propter præcedentem ἄρσενες ἵπποι, *ver.* 377. Utì notavit *Barnesius.*

Ver. 391. — ἐβεβήκει.] Vide suprà ad φ', 552. ad π', 751. et ad ά, 37.

Ἵππειον δέ οἱ ἦξε θεὰ ζυγόν· αἱ δέ οἱ ἵπποι
Ἀμφὶς ὁδοῦ δραμέτην, ῥυμὸς δ' ἐπὶ γαῖαν ἐλύσθη.
Αὐτὸς δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη,
Ἀγκῶνάς τε περιδρύφθη, στόμα τε, ῥῖνάς τε,
Θρυλλίχθη δὲ μέτωπον ἐπ' ὀφρύσι· τὼ δέ οἱ ὄσσε
Δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
Τυδείδης δὲ παρατρέψας ἔχε μώνυχας ἵππους,
Πολλὸν τῶν ἄλλων ἐξάλμενος· ἐν γὰρ Ἀθήνη
Ἵπποις ἧκε μένος, καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκε.
Τῷ δ' ἄρ' ἔπ' Ἀτρείδης εἶχε ξανθὸς Μενέλαος.
Ἀντίλοχος δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο·
  Ἔμβητον, καὶ σφῶϊ τιταίνετον ὅττιτάχιστα.
Ἤτοι μὲν κείνοισιν ἐριζέμεν οὔτι κελεύω
Τυδείδεω ἵπποισι δαΐφρονος, οἷσιν Ἀθήνη
Νῦν ὤρεξε τάχος, καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκεν·
Ἵππους δ' Ἀτρείδαο κιχάνετε, μηδὲ λίπησθον,
Καρπαλίμως, μὴ σφῶϊν ἐλεγχείην καταχεύη
Αἴθη, θῆλυς ἐοῦσα· τίη λείπεσθε, φέριστοι;
Ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·

Equinumque ei fregit dea jugum: ei adeò equae
Utrinque extra-viam currebant, temoque in terram devolutus est.
Ipse verò è sellâ juxta rotam provolutus est,
Cubitosque circumcirca-laceratus-est, osque, naresque,
Collisaque est frons ad supercilia: ei autem oculi
Lachrymis impleti-sunt, liquidaque ei haesit vox.
Tydides verò praevertens dirigebat solidos-ungulis equos,
Longè prae aliis emicans: Minerva enim
Equis immisit vim, et ei gloriam imposuit.
Post illum autem Atrides agebat *equos* flavus Menelaus.
Antilochus verò equos adhortabatur patris sui:
" Incumbite, et vos intendite quàm-celerrimè.
" Cum-illis quidem contendere haud jubeo
" Tydidae equis bellicosi, quibus Minerva
" Nunc praebuit celeritatem, et ipsi gloriam imposuit:
" Sed equos Atridae assequimini, neque relinquimini,
" Rapidè, ne vobis dedecus offundat
" Aethe, foemina cùm sit: Cur deficitis, praestantissimi?
" Sic enim denuncio, et certè perfectum erit:

Ver. 393. ——— ῥυμός.] Τὸ διῆκον ἀπὸ τοῦ ἅρματος ἕως τοῦ ζυγοῦ ξύλον. *Schol.*

Ver. 397. —— θαλερὴ δέ οἱ ἔσχετο φωνή.] Vide suprà ad ε', 696.

Ver. 398. Τυδείδης δὲ παρατρέψας.]

Radit iter laevum interior, subitusque priorem
Præterit ———————. *Æn.* V, 170.

Ver. 404. Ἤτοι μὲν κείνοισιν ἐριζέμεν οὔτι κελεύω.]

Non jam prima peto Mnestheus, neque vincere certo.
Quanquam ô! sed superent, quibus hoc, Neptune, dedisti.
Extremos pudeat rediisse: hoc vincite —
Et prohibete nefas —. *Æn.* V, 194.

Ver. 405. Τυδείδεω.] Pronuntiabatur Τυδείδω.

Ver. 408. —— καταχεύῃ.] *Harleian.* καταθείη.

Οὐ σφῶϊν κομιδὴ παρὰ Νέστορι ποιμένι λαῶν
Ἔσσεται, αὐτίκα δ' ὔμμε κατακτενεῖ ὀξέϊ χαλκῷ,
Αἴκ' ἀποκηδήσαντε φερώμεθα χεῖρον ἄεθλον·
Ἀλλ' ἐφομαρτεῖτον, καὶ σπεύδετον ὀττιτάχιστα·
Ταῦτα δ' ἐγὼν αὐτὸς τεχνήσομαι, ἠδὲ νοήσω,
Στεινωπῷ ἐν ὁδῷ παραδύμεναι· οὐδέ με λήσει.
Ὣς ἔφαθ'· οἱ δὲ, ἄνακτος ὑποδδείσαντες ὁμοκλὴν,
Μᾶλλον ἐπιδραμέτην ὀλίγον χρόνον· αἶψα δ' ἔπειτα
Στεῖνος ὁδοῦ κοίλης ἴδεν Ἀντίλοχος μενεχάρμης.
Ῥωχμὸς ἔην γαίης, ᾗ χειμέριον ἀλὲν ὕδωρ
Ἐξέῤῥηξεν ὁδοῖο, βάθυνε δὲ χῶρον ἅπαντα·
Τῇ ῥ' εἶχεν Μενέλαος, ἁματροχιὰς ἀλεείνων.
Ἀντίλοχος δὲ παρατρέψας ἔχε μώνυχας ἵππους
Ἐκτὸς ὁδοῦ, ὀλίγον δὲ παρακλίνας ἐδίωκεν·
Ἀτρείδης δ' ἔδδεισε, καὶ Ἀντιλόχῳ ἐγεγώνει·

"Non *ampliùs* vobis curatio-benigna apud Nestorem pastorem populorum
"Erit, statim autem vos interficiet acuto aere,
"Si remissi referamus vilius praemium:
"Sed insequimini, et festinate quàm citissimè:
"Haec autem ego ipse machinabor, atque dispiciam,
"Angustâ in viâ astu-praeterire: neque me fallet."
Sic dixit: Illi verò, domini veriti minas,
Acriùs concurrunt exiguo tempore; statimque deindè
Angustiam viae cavae vidit Antilochus bellicosus.
Scissura erat terrae, quâ hyemalis collecta aqua
Ruperat viae *partem*, profundumque-fecerat locum totum:
Hâc dirigebat Menelaus, rotarum-concursum vitans.
Antilochus autem deflectens impellebat solidos-ungulis equos
Extra viam, parumperque avertens insequebatur:
Atrides verò extimuit, et Antilocho inclamavit:

Ver. 411. —— κομιδὴ.] *Al.* βιοτή.

Ver. 417. —— οἱ δὲ, ἄνακτος ὑποδδείσαντες ὁμοκλὴν, Μᾶλλον ἐπιδραμέτην.]

———— Olli certamine summo
Procumbunt ——. . . *Æn.* V, 197.

Ver. 422. Τῇ ῥ' εἶχεν Μενέλαος.]

———— Sed cæca Menœtes
Saxa timens, proram pelagi detorquet ad undas:
Quò diversus abis? iterùm, Pete saxa, Menœte,
Cum clamore Gyas revocabat; et ecce Clòanthum
Respicit instantem tergo, et propiora tenentem. *Æn.* V, 164.

Ibid. Τῇ ῥ'.] *Eâ utique* ———— *Eâ, inquam* ——.

Ibid. —— ἁματροχιὰς.] Τὰς τῶν τροχῶν συγκρούσεις τὰς ἀπὸ τῶν ἄλλων ἁρμάτων. *Schol.* Τὸν — Καλλίμαχον ἔλαθεν ἡ διαφορὰ τῆς ἁρματροχίας, ἣν ἔχει πρὸς τὴν χωρὶς τοῦ ρ λεγομένην ἁματροχίαν· ἔστι δὲ ἁματροχία, τὸ ἅμα τρέχειν καὶ μὴ ἀπολείπεσθαι, οἷον ὁμοδρομία τις οὖσα· τροχοὺς γὰρ τοὺς δρόμους ἔλεγον· ἁρματροχία δὲ, τῶν τροχῶν τὸ ἴχνος. Ἄμφω δὲ παρ' Ὁμήρῳ κεῖται, δυνάμεις αὐτῶν τοῦ Ποιητοῦ ἐξηγησαμένου. Ὅτι γὰρ τὸ ἅμα τρέχειν δηλοῖ ἁματροχία, παρίστησιν, ἐπὶ τοῦ Μενελάου λέγων· "Τῇ "ῥ' εἶχεν Μενέλαος, ἁματροχίας ἀλεείνων·" ὑπελείπετο γὰρ, διὰ τὸν ῥωχμὸν τῆς γῆς, τὴν συνέμπτωσιν τοῦ δρόμου φυλασσόμενος· —— Ἁρματροχία δὲ, ὅτι τὸ ἀπὸ τῶν τροχῶν ἴχνος δηλοῖ, αὐτὸς πάλιν παρίστησι, λέγων, "οὐδ' "ἄρα πολλὴ Γίγνετ' ἐπισσώτρων ἁρματροχίη "κατόπισθεν, Ἐν λεπτῇ κονίῃ·" διὰ γὰρ τὸ λεπτὸν καὶ ὀλίγον τῆς κόνεως, μὴ πολὺ γίγνεσθαι τὸ τῶν ἐπισσώτρων ἴχνος φησίν. *Porphyr. Quæst. Homeric.* 4.

Ver. 423. Ἀντίλοχος δὲ παρατρέψας.] Vide suprà ad *ver.* 398.

Ver. 424. —— παρακλίνας.] Vide suprà ad ά, 309 et 338.

Ἀντίλοχ', ἀφραδέως ἱππάζεαι· ἀλλ' ἄνεχ' ἵππους·
Στεινωπὸς γὰρ ὁδὸς, τάχα δ' εὐρυτέρη παρελάσσεις·
Μήπως ἀμφοτέρους δηλήσεαι, ἅρματι κύρσας.
Ὣς ἔφατ'· Ἀντίλοχος δ' ἔτι καὶ πολὺ μᾶλλον ἔλαυνε,
Κέντρῳ ἐπισπέρχων, ὡς οὐκ ἀΐοντι ἐοικώς.
Ὅσσα δὲ δίσκου οὖρα κατωμαδίοιο πέλονται,
Ὅντ' αἰζηὸς ἀφῆκεν ἀνὴρ, πειρώμενος ἥβης,
Τόσσον ἐπιδραμέτην· αἱ δ' ἠρώησαν ὀπίσσω
Ἀτρείδεω· αὐτὸς γὰρ ἑκὼν μεθέηκεν ἐλαύνειν,
Μήπως συγκύρσειαν ὁδῷ ἔνι μώνυχες ἵπποι,
Δίφρους τ' ἀνστρέψειαν ἐϋπλεκέας, κατὰ δ' αὐτοὶ
Ἐν κονίῃσι πέσοιεν, ἐπειγόμενοι περὶ νίκης.
Τὸν καὶ νεικείων προσέφη ξανθὸς Μενέλαος·
Ἀντίλοχ', οὔτις σεῖο βροτῶν ὀλοώτερος ἄλλος·
Ἔῤῥ', ἐπεὶ οὔ σ' ἔτυμόν γε φάμεν πεπνῦσθαι Ἀχαιοί·
Ἀλλ' οὐ μὰν οὐδ' ὧς ἄτερ ὅρκου οἴσῃ ἄεθλον.
Ὣς εἰπὼν, ἵπποισιν ἐκέκλετο, φώνησέν τε·
Μή μοι ἐρύκεσθον, μηδ' ἕστατον ἀχνυμένω κῆρ·
Φθήσονται τούτοισι πόδες καὶ γοῦνα καμόντα,

" Antiloche, temerè equos-agis; sed contine equos:
" Angusta enim via; mox verò latiore praeterages:
" Nè forte utrosque lædas, currui *curru* impacto."
Sic dixit: Antilochus autem adhuc etiam multò magis agebat,
Stimulo adurgens, tanquam non audienti similis.
Quantus verò disci jactus ab-humero-vibrati est,
Quem juvenis emittit vir, periculum-faciens juvenilis-vigoris;
Tantum cursu-emicârunt: illae verò cesserunt retrò
Atridae: ipse enim sponte remisit agitare,
Nè-fortè colliderentur in viâ solidi-ungulis equi,
Currusque everterent elegantèr-compactos, ipsi autem
In pulveres deciderent, festino-cursu-contendentes de victoriâ.
Hunc et objurgans allocutus est flavus Menelaus:
" Antiloche, nemo te mortalium perniciosior alius:
" Vale, neque enim te verè omninò dicebamus sapere Achivi:
" Sed certè nè sic quidem sine juramento auferes praemium."
Sic locutus, equos exhortatus est, dixitque:
" Nè mihi inhibemini, neve stetis dolentes corde:
" Antè istis pedes et genua lassabuntur,

Ver. 427. ——— *παρελάσσεις.*] *Al.* *παρελάσσης.*

Ver. 430. ——— *ἀΐοντι.*] Vide suprà ad *ό*, 252.

Ver. 431. ——— *κατωμαδίοιο.*] *Ὃν ἀφιᾶσι κατὰ τῶν ὤμων τρέχοντες. Schol.*

Ver. 432. *Ὅντ'.*] *Quem scilicèt* ——.

Ibid. —— *πειρώμενος ἥβης.*] Vide suprà ad *ό*, 359. et ad *ν'*, 168.

Ver. 434. *Ἀτρείδεω.*] Vide suprà ad *ver.* 405.

Ver. 437. *Ἐν κονίῃσι πέσοιεν.*] Vide suprà ad *ν'*, 508.

Ver. 443. —— *ἀχνυμένω.*] Vide suprà ad *γ'*, 260.

Ver. 444. *Φθήσονται.*] Apud *Scholiasten*, notante *Barnesio*, *φθίσονται.* Cujus vocis de prosodiâ, vide suprà ad *β'*, 833.

Ἢ ὑμῖν· ἄμφω γὰρ ἀτέμβονται νεότητος.
  Ὣς ἔφαθ'· οἱ δὲ, ἄνακτος ὑποδδείσαντες ὁμοκλὴν,
Μᾶλλον ἐπιδραμέτην, τάχα δέ σφισιν ἄγχι γένοντο.
  Ἀργεῖοι δ' ἐν ἀγῶνι καθήμενοι εἰσορόωντο
Ἵππους, τοὶ δὲ πέτοντο κονίοντες πεδίοιο.
Πρῶτος δ' Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἐφράσαθ' ἵππους·
Ἧστο γὰρ ἐκτὸς ἀγῶνος ὑπέρτατος ἐν περιωπῇ·
Τοῖο δ' ἄνευθεν ἐόντος, ὁμοκλητῆρος ἀκούσας,
Ἔγνω· φράσσατο δ' ἵππον ἀριπρεπέα προὔχοντα,
Ὃς τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν, ἐν δὲ μετώπῳ
Λευκὸν σῆμ' ἐτέτυκτο περίτροχον, ἠΰτε μήνη·
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
  Ὦ φίλοι, Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες,
Οἶος ἐγὼν ἵππους αὐγάζομαι, ἦε καὶ ὑμεῖς;
Ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι,
Ἄλλος δ' ἡνίοχος ἰνδάλλεται· αἱ δέ που αὐτοῦ
Ἔβλαβεν ἐν πεδίῳ, αἳ κεῖσέ γε φέρτεραι ἦσαν·
Ἤτοι γὰρ τὰς πρῶτα ἴδον περὶ τέρμα βαλούσας,

" Quàm vobis: ambo enim privati-sunt juventute."
Sic dixit: illi verò, regis veriti hortatum,
Acriùs cucurrerunt, et statim ipsis proximi facti sunt.
Argivi verò in circo sedentes spectabant
Equos, illi autem volabant pulverem-excitantes per-campum.
Primus verò Idomeneus, Cretum dux, visos-agnovit equos:
Sedebat enim extra circum sublimis in speculâ:
Illum autem, procul licèt-esset, *equos*-increpantem ut-audiit,
Agnovit: et vidit equum notabilem praeeuntem,
Qui quidem caetero toto *corpore* spadix erat, at in fronte
Alba macula erat rotunda, tanquam luna:
Surrexit autem, et sermonem inter Argivos dixit:
" O amici, Argivorum ductores, atque principes,
" Solusne ego equos noscito, an et vos?
" Alii mihi videntur priores esse equi,
" Alius et auriga videtur: Illae verò alicubi fortè
" Laesae-sunt in campo, quae eoúsque utique praestantiores erant:
" Profectò enim illas primùm vidi metam circumflexisse,

Ver. 446. —— οἱ δὲ, ἄνακτος ὑποδδείσαντες ὁμοκλὴν, Μᾶλλον ἐπιδραμέτην.] Vide suprà ad *ver.* 417.

Ver. 449. —— τοὶ δὲ.] *Al.* οἱ δέ.

Ver. 450—453. —— ἐφράσαθ' —— φράσσατο.] Vide suprà ad *ver.* 126.

Ver. 451—455. Ἧστο —— ἐτέτυκτο.] Vide suprà ad φ', 352. et ad δ', 492.

Ibid. —— περιωπῇ.] Τόπος ὑψηλὸς, ἀφ' οὗ ἐστι περιβλέψαι καὶ ἰδεῖν πάντα. *Schol.*

Ver. 453. —— φράσσατο δ' ἵππον ἀριπρεπέα προὔχοντα.]

—— quem Thracius albis
Portat equus bicolor maculis, vestigia primi
Alba pedis, frontemque ostentans arduus albam. *Æn.* V, 565.

Ver. 454. —— φοίνιξ.] Vide suprà ad β', 267.

Ver. 455. —— σῆμ' ἐτέτυκτο.] Cod. *Harleian.* σῆμα τέτυκτο.

Ver. 460. —— ἡνίοχος ἰνδάλλεται.] Quâ ratione, ἡνίοχος, hîc ultimam producat; item ἀμείβεσθον, *ver.* 492. et ἄρα, *ver.* 510. et Σθένελος, *ver.* 511. vide suprà ad ά, 51. *Al.* ἡνίοχός μ' ἰνδάλλεται.

Νῦν δ' οὔπω δύναμαι ἰδέειν· πάντη δέ μοι ὄσσε
Τρωϊκὸν ἀμπεδίον παπταίνετον εἰσορόωντι·
Ἠὲ τὸν ἡνίοχον φύγον ἡνία, οὐδὲ δυνάσθη
Εὖ σχεθέειν περὶ τέρμα, καὶ οὐκ ἐτύχησεν ἑλίξας·
Ἔνθα μιν ἐκπεσέειν ὀΐω, σύν θ' ἅρματα ἆξαι·
Αἱ δ' ἐξηρώησαν, ἐπεὶ μένος ἔλλαβε θυμόν.
Ἀλλὰ ἴδεσθε καὶ ὔμμες ἀνασταδόν· οὐ γὰρ ἔγωγε
Εὖ διαγινώσκω· δοκέει δέ μοι ἔμμεναι ἀνὴρ
Αἰτωλὸς γενεὴν, μετὰ δ' Ἀργείοισιν ἀνάσσει
Τυδέος ἱπποδάμου υἱὸς, κρατερὸς Διομήδης.
Τὸν δ' αἰσχρῶς ἐνένισπεν Ὀϊλῆος ταχὺς Αἴας·
Ἰδομενεῦ, τί πάρος λαβρεύεαι; αἱ δέ τ' ἄνευθεν
Ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται·
Οὔτε νεώτατός ἐσσι μετ' Ἀργείοισι τοσοῦτον,
Οὔτε τοι ὀξύτατον κεφαλῆς ἐκδέρκεται ὄσσε·
Ἀλλ' αἰεὶ μύθοις λαβρεύεαι· οὐδέ τί σε χρὴ
Λαβραγόρην ἔμεναι· πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι.
Ἵπποι δ' αὖτε ἔασι παροίτεροι, αἳ τὸ πάρος περ,

" Nunc verò nequaquàm possum videre; undique autem mihi oculi
" Troïcum per campum lustrant prospectanti:
" Aut aurigam fugerunt habenae, neque potuit
" Benè continere circa metam, et non feliciter flexit:
" Illic eum excidisse reor, currusque confregisse;
" Ipsaeque extra-viam-cucurrerunt, postquàm furor occupavit animum.
" Sed intuemini et vos surgentes; non enim ego sanè
" Cernens-dignosco: videtur autem mihi esse vir
" Aetolus genere, interque Argivos imperat
" Tydei equûm-domitoris filius, fortis Diomedes."
Hunc autem probrosis-verbis objurgavit Oïlei *filius* velox Ajax:
" Idomeneu, cur continuò garris? Illae verò procul
" Equae pedes-in-altum-attollentes amplum per campum currunt:
" Neque minimus-natu es inter Argivos tantùm,
" Neque tibi acutissimè ex capite prospiciunt oculi:
" Sed semper verbis garris: Nec tamen omninò te decet
" Loquacem esse: adsunt enim et praestantiores alii.
" Equae verò sunt priores, quae et anteà,

Ver. 463. Νῦν δ' οὔπω.] *Al.* Νῦν δ' οὔπη. Quo modo legit et Codex *Harleianus.*

Ver. 465. —— φύγον.] *Al.* φύγεν.

Ver. 466. —— ἑλίξας.] Συστρέψας περὶ τὴν κάμψιν τοὺς ἵππους. *Schol.*

Ver. 467. —— σύν θ' ἅρματα ἆξαι.] Cod. *Harleian.* κατά θ' ἅρματα ἆξαι. Ut suprà *ver.* 341.

Ver. 470. —— διαγινώσκω.] Vide suprà ad *ver.* 240.

Ver. 472. —— ἱπποδάμου.] Vide suprà ad β', 25.

Ver. 473. —— ἐνένισπεν.] *Barnesius* in uno MS. scriptum repperit ἐνένιπτεν· Quæ et proba Lectio. Vide suprà ad ό, 546.

Ver. 474. — τί πάρος λαβρεύεαι.] Λοιδοροῦσιν οὐδὲν ἐφαπτόμενοι τῶν σωματικῶν, ἀλλὰ τοῖς ἁμαρτήμασι τοὺς ψόγους ἐπιφέροντες, —— "Ἰδομενεῦ, τί πάρος λαβρεύεο; οὐδέ τι σὲ χρὴ Λαβραγόρην ἔμεναι." *Plutarch. de audiendis Poëtis.* Vide suprà ad β', 246.

Ibid. —— λαβρεύεαι.] Apud *Plutarchum,* loco jam citato, λαβρεύεο.

Ver. 475. —— δίενται.] *Al.* δίονται.

Ver. 479. —— Λαβραγόρην.] Προπετῆ ἐν τοῖς λόγοις. *Schol.*

Εὐμήλου, ἐν δ' αὐτὸς ἔχων εὔληρα βέβηκε.
Τὸν δὲ χολωσάμενος Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
Αἶαν, νείκει ἄριστε, κακοφραδὲς, ἄλλα τε πάντα
Δεύεαι Ἀργείων, ὅτι τοι νόος ἐστὶν ἀπηνής·
Δεῦρό νυν ἢ τρίποδος περιδώμεθον, ἠὲ λέβητος·
Ἵστορα δ' Ἀτρείδην Ἀγαμέμνονα θείομεν ἄμφω,
Ὁππότεραι πρόσθ' ἵπποι· ἵνα γνοίης ἀποτίνων.
Ὣς ἔφατ'· ὤρνυτο δ' αὐτίκ' Ὀϊλῆος ταχὺς Αἴας,
Χωόμενος, χαλεποῖσιν ἀμείψασθαι ἐπέεσσι·
Καί νύ κε δὴ προτέρω ἔτ' ἔρις γένετ' ἀμφοτέροισιν,
Εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο, καὶ φάτο μῦθον·
Μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθον ἐπέεσσιν,
Αἶαν, Ἰδομενεῦ τε, κακοῖς· ἐπεὶ οὐδὲ ἔοικε·
Καὶ δ' ἄλλῳ νεμεσᾶτον, ὅ τις τοιαῦτά γε ῥέζοι·
Ἀλλ' ὑμεῖς ἐν ἀγῶνι καθήμενοι εἰσοράασθε
Ἵππους· οἱ δὲ τάχ' αὐτοὶ ἐπειγόμενοι περὶ νίκης
Ἐνθάδ' ἐλεύσονται· τότε δὲ γνώσεσθε ἕκαστος

" Eumeli, ipseque tenens lora vehitur."
Hunc autem iratus Cretum dux contra allocutus est:
" Ajax, rixâ optime, maledice, inque caeteris omnibus
" Inferior es Argivis, tibi quippè mens est insolens:
" Agè vel tripode-deposito certemus, vel lebete;
" Arbitrum autem Atridem Agamemnonem faciamus ambo,
" Utrae anteriores equae: ut sentias persolvens."
Sic dixit: Surrexit verò protinùs Oïlei *filius* velox Ajax,
Iratus, asperis ut exciperet *eum* verbis:
Et omninò jam ulteriùs adhuc contentio progressa-esset utrisque,
Si non Achilles ipse surrexisset, et dixisset:
" Ne ampliùs nunc asperis altercemini verbis,
" Ajax, Idomeneuque, malis; neque enim par est:
" Quin et alii succenseretis, quicunque talia faceret:
" Sed vos in circo sedentes spectate
" Equos; ii autem citò ipsi festino-cursu-contendentes de victoriâ
" Huc venient: tum verò cognoscentis singuli

Ibid. — ἀμείνονες.] Cod. *Harleian.* ἀμύμονες.

Ver. 481. —— βέβηκε.] Vide suprà ad ν', 736. et ad ά, 37.

Ver. 483. — νείκει ἄριστε.] Cod. *Harleian.* νείκε ἄριστε. *Al.* νεῖκος ἄριστε.

Ver. 485. Δεῦρό νῦν ἢ τρίποδος περιδώμεθον.] Ita *Odyss.* ψ', 73.

— αὐτὰρ ἐγὼν ἐμέθεν περιδώσομαι αὐτῆς.

Et apud *Aristophanem*:

—— ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι.
Equites, ver. 788.

Ubi *Scholiastes* locum hunc hoc modo citat:

Δεῦρό γε νῦν τρίποδος περιδώμεθα.

Quin et Cod. *Harleian.* à *Tho. Bentleio*, itemque Cod. *Oxon.* à *Barnesio* collatus, hîc legunt περιδώμεθα. Vide suprà ad κ', 105.

Ver. 487. —— γνοίης.] *Al.* γνώῃς.

Ibid. — ἀποτίνων.] Vide suprà ad β', 43. et ad γ', 279.

Ver. 488. — ὤρνυτο.] Vide suprà ad γ', 260

Ver. 492. ——— ἀμείβεσθον ἐπέεσσιν.] Cod. *Harleian.* ἀμείβεσθε ἐπέεσσι. Quæ quidem Syntaxis satìs rectè se haberet, quia omne *Duale* est necessariò *Plurale*; (Vide suprà ad ά, 566.) Prosodia autem nullâ, ut opinor, ratione ferri posset.

Ver. 493. Αἶαν, Ἰδομενεῦ τε.] Edidit *Barnesius* Αἶάν τ', Ἰδομενεῦ τε. Sed nihil opus: Quâ enim ratione, vox, Αἶαν, ultimam hîc, etiam extra cæsuram, producat; vide suprà ad ά, 51.

Ver. 494. —— ῥέζοι.] *Al.* ῥέξει.

Ἵππους Ἀργείων, οἳ δεύτεροι, οἵ τε πάροιθεν.
Ὣς φάτο· Τυδείδης δὲ μάλα σχεδὸν ἦλθε διώκων,
Μάστι δ' αἰὲν ἔλαυνε κατωμαδόν· οἱ δέ οἱ ἵπποι
Ὑψόσ' ἀειρέσθην ῥίμφα πρήσσοντε κέλευθον·
Αἰεὶ δ' ἡνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον·
Ἅρματα δὲ χρυσῷ πεπυκασμένα κασσιτέρῳ τε,
Ἵπποις ὠκυπόδεσσιν ἐπέτρεχον· οὐδέ τε πολλὴ
Γίνετ' ἐπισσώτρων ἁρματροχιὴ κατόπισθεν
Ἐν λεπτῇ κονίῃ· τὼ δὲ σπεύδοντε πετέσθην.
Στῆ δὲ μέσῳ ἐν ἀγῶνι, πολὺς δ' ἀνεκήκιεν ἱδρὼς
Ἵππων, ἔκ τε λόφων καὶ ἀπὸ στέρνοιο χαμᾶζε.
Αὐτὸς δ' ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος,
Κλῖνε δ' ἄρα μάστιγα ποτὶ ζυγόν· οὐδὲ μάτησεν
Ἴφθιμος Σθένελος, ἀλλ' ἐσσυμένως λάβ' ἄεθλον·
Δῶκε δ' ἄγειν ἑτάροισιν ὑπερθύμοισι γυναῖκα,
Καὶ τρίποδ' ὠτώεντα φέρειν· ὁ δ' ἔλυεν ὑφ' ἵππους.

"Equos Argivorum, qui secundi, quique priores."
Sic dixit: Tydides autem valdè propè venit urgens,
Scuticâ verò assiduè feriebat super humeros; ei autem equi
In altum tollebantur citò conficientes viam:
Assiduè verò aurigam pulveris guttae percutiebant:
Currus autem auro accuratè-elaborati stannoque,
Ponè equos veloces currebant; neque profunda
Fiebat canthorum orbita retrò
In tenui pulvere; hi nempè festinantes volabant.
Stetit autem medio in circo, multusque exiliebat sudor
Equorum, èque cervicibus et à pectore in-terram.
Ipse verò è sellâ in terram desiliit collucente,
Acclinavitque scuticam ad jugum: neque segnis erat
Fortis Sthenelus, sed properè accepit praemium;
Deditque abducendam sociis magnanimis mulierem,
Et tripodem ansatum asportandum: ipse verò solvit equos.

Ver. 500. Μάστι δ' αἰὲν.] Ita edidit *Barnesius*, *Vulgg.* Μάστιγι δ' αἰὲν. Quod, ut opinor, ferri non potest; nam Μάστιγι, ut ipse notavit *Barnesius*, *mediam* semper producit. Τὸ δὲ, Μάστιγι, Μάστι τινὲς γράφουσι, ἐκτείνοντες τὴν λήγουσαν· ὁμοίως τῷ, "Μῆτι τοι "δρυτόμος μέγ' ἀμείνων." [suprà, *ver.* 315.] Καί ἐστιν, ὥσπερ μῆτις, μήτιος, μήτιϊ, καὶ κατὰ κρᾶσιν, μήτι· οὕτω καὶ μάστις, μάστιος, μάστιϊ, μάστι. *Eustath.* Firmatur porrò hæc lectio *Odyss.* ό, 182.

Ἦ καὶ ἐφ' ἵπποιϊν μάστιν βάλεν ——.

Ver. 501. — πρήσσοντε.] Vide suprà ad ν', 192.

Ver. 504. —— οὐδέ τε πολλὴ.] Cod. *Harleian.* οὐδέ τι πὸλλή. Quo modo et in uno MS. scriptum repperit *Barnesius*. *Porphyrius* autem, *Quæst. Homeric.* 4. legit: οὐδ' ἄρα πολλή.

Ibid. — οὐδέ τε πολλὴ Γίνετ' ἐπισσώτρων ἁρματροχιή.] Vide suprà ad *ver.* 422.

Ver. 507. —— πολὺς δ' ἀνεκήκιεν ἱδρώς.]

—— sudor fluit undique rivis.
Æn. V, 200.

Ver. 510. Κλῖνε.] Vide suprà ad ά, 309.

Ibid. —— ἄρα.] *Ut fieri solet* ——.

Ver. 512. Δῶκε δ' ἄγειν.]

—————— quem Thracius olim
Anchisæ genitori in magno munere Cisseus
Ferre sui *dederat* monimentum et pignus amoris.
Æn. V, 536.

Ver. 513. Καὶ τρίποδ' ὠτώεντα.] Ὃν [τρίποδα] εἰκὸς ὑπὸ Διομήδους ἀνατεθῆναι ὕστερον

Τῷ δ' ἄρ' ἐπ' Ἀντίλοχος Νηλήϊος ἤλασεν ἵππους,
Κέρδεσιν, οὔτι τάχει γε, παραφθάμενος Μενέλαον·
Ἀλλὰ καὶ ὥς Μενέλαος ἔχ' ἐγγύθεν ὠκέας ἵππους·
Ὅσσον δὲ τροχοῦ ἵππος ἀφίσταται, ὅς ῥά τ' ἄνακτα
Ἕλκησιν πεδίοιο τιταινόμενος σὺν ὄχεσφιν,
Τοῦ μέν τε ψαύουσιν ἐπισσώτρου τρίχες ἄκραι
Οὐραῖαι, ὁ δέ τ' ἄγχι μάλα τρέχει, οὐδέ τι πολλὴ
Χώρη μεσσηγὺς, πολέος πεδίοιο θέοντος·
Τόσσον δὴ Μενέλαος ἀμύμονος Ἀντιλόχοιο
Λείπετ'· ἀτὰρ τὰ πρῶτα καὶ ἐς δίσκουρα λέλειπτο,
Ἀλλά μιν αἶψα κίχανεν· ὀφέλλετο γὰρ μένος ἠΰ
Ἵππου τῆς Ἀγαμεμνονέης καλλίτριχος Αἴθης·
Εἰ δέ κ' ἔτι προτέρω γένετο δρόμος ἀμφοτέροισι,
Τῷ κέν μιν παρέλασσ', οὐδ' ἀμφήριστον ἔθηκεν.
Αὐτὰρ Μηριόνης, θεράπων ἐῢς Ἰδομενῆος,
Λείπετ' ἀγακλῆος Μενελάου δουρὸς ἐρωήν.
Βάρδιστοι μὲν γάρ οἱ ἔσαν καλλίτριχες ἵπποι,

Post eum autem Antilochus Neleïus agebat equos,
Dolis, haud quidem celeritate, praeveniens Menelaum;
Sed et sic Menelaus agebat propè veloces equos:
Quantum verò à rotâ equus distat, qui quidem dominum
Trahit per campum nisu-contento cum curribus;
Hujus quidem attingunt canthum pili extremi
Caudae, is autem propè admodùm currit, neque prorsùs magnum
Spatium in medio, per amplum campum currente:
Tantum jam Menelaus eximio Antilocho
Posterior erat: quanquam priùs etiam ad disci-jactum relictus erat:
Sed ipsum statim assecutus est; augebatur enim vis valida
Equae Agamemnoniae jubis-pulchrae Aethes:
Quòd si adhuc ulteriùs fuisset cursus ambobus,
Eo certè eum praeteriisset, neque dubiam *victoriam* reliquisset.
Sed Meriones, famulus strenuus Idomenei,
Posterior-erat inclyto Menelao hastae jactu.
Tardissimi enim ei erant pulchri-jubis equi,

ὕστερον ἐν Δελφοῖς, ὡς δῆλον ἐξ ἐπιγράμματος τοῦδε·

Χάλκεός εἰμι τρίπους, Πυθοῖ δ' ἀνάκειμαι ἄγαλμα,
Καί μ' ἐπὶ Πατρόκλῳ θῆκε πόδας ὠκὺς Ἀχιλλεύς·
Τυδείδης δ' ἀνέθηκε βοὴν ἀγαθὸς Διομήδης,
Νικήσας ἵπποισι παρὰ πλατὺν Ἑλλήσποντον.
Eustath.

Ibid. — *ἔλυεν ὑφ'.*] Vide suprà ad *ν'*, 103. et ad *ό*, 24. *Al.* *ἔλυσεν ὑφ'*, et *ἐλύσαθ' ὑφ'*.

Ver. 514. ——— *ἄρ'.*] Non hîc vacat istud *ἄρ'*, sed vim habet in connectendâ sententiâ cum eo quod praecessit, *ver.* 433.

Ver. 515. — *παραφθάμενος.*] Vide suprà ad *β'*, 43.

Ver. 517. —— *ὅς ῥά τ'.*] *Qui scilicèt* ——.

Ver. 520. —— *οὐδέ τι πολλὴ.*] *Al.* *οὐδέ τε πολλή.* Ut suprà *ver.* 504.

Ver. 523. ——— *δίσκουρα.*] *Al.* *δίσκ' οὖρα.* Vide suprà ad *ver.* 431.

Ibid. —— *λέλειπτο.*] Vide suprà ad *φ'*, 352. et ad *δ'*, 492.

Ver. 526. *Εἰ δέ κ' ἔτι προτέρω γένετο δρόμος.*]

—— spatia et si plura supersint,
Transeat elapsus prior, ambiguumve relinquat.
Æn. V, 325.

Ver. 527. *Τῷ κέν μιν.*] *Al.* *Τῷ καί μιν.*

Ver. 529. — *δουρὸς ἐρωήν.*] Ita suprà *ό*, 358:
—— *ὅσον τ' ἐπὶ δουρὸς ἐρωή.*

Ver. 530. —— *γάρ οἱ.*] Quâ ratione, *γὰρ*,

Ἥκιστος δ' ἦν αὐτὸς ἐλαυνέμεν ἅρμ' ἐν ἀγῶνι.
Υἱὸς δ' Ἀδμήτοιο πανύστατος ἤλυθεν ἄλλων,
Ἕλκων ἅρματα καλὰ, ἐλαύνων πρόσσοθεν ἵππους.
Τὸν δὲ ἰδὼν ᾤκτειρε ποδάρκης δῖος Ἀχιλλεύς·
Στὰς δ' ἄρ' ἐν Ἀργείοις ἔπεα πτερόεντ' ἀγόρευε·
Λοῖσθος ἀνὴρ ὥριστος ἐλαύνει μώνυχας ἵππους·
Ἀλλ' ἄγε δή οἱ δῶμεν ἀέθλιον, ὡς ἐπιεικὲς,
Δεύτερ'· αὐτὰρ τὰ πρῶτα φερέσθω Τυδέος υἱός.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεον, ὡς ἐκέλευε·
Καί νύ κέν οἱ πόρεν ἵππον, (ἐπήνησαν γὰρ Ἀχαιοί·)
Εἰ μὴ ἄρ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱὸς,
Πηλείδην Ἀχιλῆα δίκῃ ἠμείψατ' ἀναστάς·
Ὦ Ἀχιλεῦ, μάλα τοι κεχολώσομαι, αἴκε τελέσσῃς
Τοῦτο ἔπος· μέλλεις γὰρ ἀφαιρήσεσθαι ἄεθλον,
Τὰ φρονέων, ὅτι οἱ βλάβεν ἅρματα καὶ ταχέ' ἵππω,
Αὐτός τ' ἐσθλὸς ἐών· ἀλλ' ὤφελεν ἀθανάτοισιν
Εὔχεσθαι, τό κεν οὔτι πανύστατος ἦλθε διώκων·
Εἰ δέ μιν οἰκτείρεις, καί τοι φίλον ἔπλετο θυμῷ,

Minimè-peritus erat et ipse agendi currum in certamine.
Filius verò Admeti omnium ultimus venit,
Trahens currus pulchros, agens antè equos.
Hunc autem ut vidit miseratus est pedibus-valens nobilis Achilles:
Stans autem inter Argivos verba alata dixit:
" Ultimus vir praestantissimus agit solidos-ungulis equos:
" Sed agedum ei demus praemia, ut par est,
" Secunda: at prima ferat Tydei filius."
Sic dixit: Illi autem omnes comprobârunt, sicut jubebat:
Et ei sanè dedisset equam, (comprobârunt enim Achivi);
Si non Antilochus, magnanimi Nestoris filius,
Pelidae Achilli jure respondisset surgens:
" O Achille, valdè tibi irascar, si perfeceris
" Hoc verbum; ablaturus enim es *mihi* praemium,
" His motus, quòd ei divinitùs laesi sunt currus et veloces equae,
" Ipseque peritus licèt esset: sed debuit immortalibus
" Vota facere, tum nequaquàm ultimus omnium venisset *equos* urgens:
" Si verò ejus misereris, et tibi gratum est animo,

hìc producatur; item ultima vocis, *ἀμειβόμενος*, *ver.* 557. et *τίς*, *ver.* 575. et *Χωόμενος*, *ver.* 603. vide suprà ad *ά*, 51.

Ver. 532. —— *ἤλυθεν.*] Vide suprà ad *έ*, 454. et ad *ά*, 37.

Ver. 533. — *καλὰ.*] Vide suprà ad *β'*, 43.

Ibid. —— *πρόσσοθεν*] *Al.* *πρόσσωθ'.*

Ver. 536. — *ὥριστος.*] *Al.* *ὥριστος* et *ὁ ἄριστος.*

Ver. 537. — *ἄγε δή.*] Vide suprà ad *ver.* 313.

Ver. 540. *Καί νύ κέν οἱ.*] Codices plurimi habent *Καί νύ κέ οἱ.*

Ver. 541. —— *ἄρ'.*] *Ut par erat* ——. Vide suprà ad *ver.* 514.

Ver. 543. —— *μάλα τοι κεχολώσομαι, αἴκε τελέσσῃς Τοῦτο ἔπος.*]

Hic totum caveae consessum ingentis, et ora
Prima patrum magnis Salius clamoribus implet;
Ereptumque dolo reddi sibi poscit honorem. *Æn.* V, 340.

Ver. 546. *Αὐτός τ' ἐσθλὸς ἐών.*] Cod. *Harleian.* *Αὐτὸς ἐσθλὸς ἐών.* Quod et ferri potest. Vide suprà ad *ά*, 51.

Ibid. — *ἀθανάτοισιν.*] Vide suprà ad *ά*, 398.

Ver. 548. — *φίλον.*] Cod. *Harleian.* *φίλος.*

Ἔστι τοι ἐν κλισίῃ χρυσὸς πολὺς, ἔστι δὲ χαλκὸς,
Καὶ πρόβατ', εἰσὶ δέ τοι δμωαὶ, καὶ μώνυχες ἵπποι·
Τῶν οἱ ἔπειτ' ἀνελὼν δόμεναι καὶ μεῖζον ἄεθλον,
Ἠὲ καὶ αὐτίκα νῦν, ἵνα σ' αἰνήσωσιν Ἀχαιοί.
Τὴν δ' ἐγὼ οὐ δώσω· περὶ δ' αὐτῆς πειρηθήτω
Ἀνδρῶν, ὅς κ' ἐθέλῃσιν ἐμοὶ χείρεσσι μάχεσθαι.
  Ὣς φάτο· μείδησεν δὲ ποδάρκης δῖος Ἀχιλλεὺς,
Χαίρων Ἀντιλόχῳ, ὅτι οἱ φίλος ἦεν ἑταῖρος·
Καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
  Ἀντίλοχ', εἰ μὲν δή με κελεύεις οἴκοθεν ἄλλο
Εὐμήλῳ ἐπιδοῦναι, ἐγὼ δέ κε καὶ τὸ τελέσσω·
Δώσω οἱ θώρηκα, τὸν Ἀστεροπαῖον ἀπηύρων,
Χάλκεον, ᾧ πέρι χεῦμα φαεινοῦ κασσιτέροιο
Ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιος ἔσται.
  Ἦ ῥα, καὶ Αὐτομέδοντι φίλῳ ἐκέλευσεν ἑταίρῳ
Οἰσέμεναι κλισίηθεν· ὁ δ' ᾤχετο, καί οἱ ἔνεικεν·
Εὐμήλῳ δ' ἐν χερσὶ τίθει· ὁ δ' ἐδέξατο χαίρων.
  Τοῖσι δὲ καὶ Μενέλαος ἀνίστατο, θυμὸν ἀχεύων,

" Est tibi in tentorio aurum multum, est et aes,
" Et pecora, sunt et tibi ancillae, et solidi-ungulis equi:
" Ex his ipsi posteà sumptum date vel majus praemium,
" Sive etiam jam nunc, ut te collaudent Achivi.
" Hanc verò ego non dabo: de ipsâ autem periculum-faciat
" Virorum, quicunque velit mecum manibus pugnare."
Sic dixit: subrisit autem pedibus-valens nobilis Achilles,
Gratulans Antilocho, quòd sibi dilectus erat sodalis:
Et eum respondens verbis alatis allocutus est:
" Antiloche, si quidem jam me jubes è domo aliud
" Eumelo dare, ego verò et hoc perficiam:
" Dabo ei thoracem, quem Asteropaeo abstuli,
" Aereum, quem circum ora fulgidi stanni
" Funditur: multo autem *pretio* ei aestimandus erit."
Dixit, et Automedonta dilectum jussit sodalem
Ferre è tentorio: Is verò abiit, et ad eum attulit:
Eumelo autem in manibus posuit; at is accepit gaudens.
Inter hos autem et Menelaus surrexit, animo dolens,

Ver. 550. —— *μώνυχες ἵπποι.*] Vide suprà ad τ', 424.

Ver. 554. —— *ὅς κ' ἐθέλῃσιν.*] *Al.* *ὅς κε θέλῃσιν.*

Ver. 555. —— *μείδησεν δὲ ποδάρκης δῖος Ἀχιλλεὺς.*]
—— Risit pater optimus olli;
Et clypeum efferri jussit. — *Æn.* V, 358.

Ver. 558. —— *εἰ μὲν δή.*] *Siquidem reverà* ——.

Ver. 559. —— *ἐγὼ δέ κε καὶ τὸ.*] *Al.* *ἐγὼ δὴ καὶ τὸ.*

Ver. 560. *Δώσω οἱ θώρηκα, τὸν Ἀστεροπαῖον ἀπηύρων.*]
Levibus huic hamis consertam, auroque trilicem
Loricam, quam Demoleo detraxerat ipse
Victor apud rapidum Simoënta sub Ilio alto,
Donat habere viro, decus et tutamen in armis. *Æn.* V, 259.

Ibid. —— *τὸν Ἀστεροπαῖον ἀπηύρων.*] Suprà φ', 183.

Ibid. —— *ἀπηύρων.*] *Al.* *ἀπηῦρον.*

Ver. 561. —— *πέρι χεῦμα.*] *Al.* *περιχεῦμα.*

Ver. 562. *Ἀμφιδεδίνηται.*] Vide suprà ad ψ', 736. et ad ά, 37.

Ἀντιλόχῳ ἄμοτον κεχολωμένος· ἐν δ' ἄρα κῆρυξ
Χερσὶ σκῆπτρον ἔθηκε, σιωπῆσαί τ' ἐκέλευσεν
Ἀργείους· ὁ δ' ἔπειτα μετηύδα ἰσόθεος φώς·
Ἀντίλοχε, πρόσθεν πεπνυμένε, ποῖον ἔρεξας;
Ἤσχυνας μὲν ἐμὴν ἀρετὴν, βλάψας δέ μοι ἵππους,
Τοὺς σοὺς πρόσθε βαλὼν, οἵ τοι πολὺ χείρονες ἦσαν.
Ἀλλ' ἄγετ', Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες,
Ἐς μέσον ἀμφοτέροισι δικάσσατε, μηδ' ἐπ' ἀρωγῇ·
Μήποτέ τις εἴπησιν Ἀχαιῶν χαλκοχιτώνων,
Ἀντίλοχον ψεύδεσσι βιησάμενος Μενέλαος
Οἴχεται ἵππον ἄγων, ὅτι οἱ πολὺ χείρονες ἦσαν
Ἵπποι, αὐτὸς δὲ κρείσσων ἀρετῇ τε, βίῃ τε.
Εἰ δ' ἄγ' ἐγὼν αὐτὸς δικάσω, καί μ' οὔτινα φημὶ
Ἄλλον ἐπιπλήξειν Δαναῶν· ἰθεῖα γὰρ ἔσται·
Ἀντίλοχ', αἰ δ' ἄγε δεῦρο, διοτρεφὲς, ἣ θέμις ἐστὶ,
Στὰς ἵππων προπάροιθε καὶ ἅρματος, αὐτὰρ ἱμάσθλην
Χερσὶν ἔχων ῥαδινὴν, ᾗπερ τὸ πρόσθεν ἔλαυνες
Ἵππων ἁψάμενος, γαιήοχον Ἐννοσίγαιον
Ὄμνυθι, μὴ μὲν ἑκὼν τὸ ἐμὸν δόλῳ ἅρμα πεδῆσαι.

Antilocho immensùm iratus: praeco verò
In manibus sceptrum posuit, silereque jussit
Argivos: At is deindè inter *eos* dixit par-deo vir:
" Antiloche, antehàc prudens, quale fecisti?
" Dedecorâsti quidem meam virtutem, laesisti autem mihi equos,
" Tuis antè actis, qui multò inferiores erant.
" Sed agite, Argivorum ductores, et principes,
" In medium utriusque dijudicate; neque in gratiam:
" Ne quandò quis dicat Achivorum aere-loricatorum,
" Antilocho mendaciis oppresso Menelaus
" Abiit equam ducens; nam ei longè deteriores erant
" Equi, ipse verò melior armisque, viribusque.
" Eja verò age ego ipse dijudicabo, et me nullum puto
" Alium increpaturum Danaorum: rectum enim erit *judicium:*
" Antiloche, age huc ades, Jovis-alumne, ut fas est,
" Stans ante equos et currum, et flagellum
" Manibus tenens argutum, quo anteà agitabas,
" Equos tangens, terram-cingentem Neptunum
" Jurato, te non volentem quidem meum dolo currum impedivisse."

Ver. 567. —— ἄρα.] *Ut solitus erat* ——.
Ver. 568. Χερσὶ.] *Al.* Χειρί.
Ibid. Χερσὶ σκῆπτρον ἔθηκε.] Παρὰ τοῖς ἀρχαίοις οἱ δημηγοροῦντες σκῆπτρα ἐκράτουν. *Schol.*
Ibid. —— ἐκέλευσεν.] *Al.* ἐκέλευεν.
Ver. 574—579. —— δικάσσατε, — δικάσω.] Vide suprà ad ά, 140.
Ibid. —— μηδ' ἐπ' ἀρωγῇ.] Μηδ' ἑτέρῳ ἡμῶν βοηθεῖτε. *Schol.*
Ibid. —— δικάσσατε.] *Al.* δικάζετε.
Ver. 579. Εἰ δ' ἄγ'.] Vide suprà ad ί, 167.
Ver. 581. — αἰ δ' ἄγε.] *Al.* εἰ δ' ἄγε. Ut ver. 579.
Ibid. —— ᾗ] *Al.* ἥ.
Ver. 583. —— ἔχων.] *Al.* ἔχε.
Ver. 585. —— Ὄμνυθι.] Vide suprà ad γ', 260.

Τὸν δ' αὖτ' Ἀντίλοχος πεπνυμένος ἀντίον ηὔδα·
Ἄνσχεο νῦν· πολλὸν γάρ ἔγωγε νεώτερός εἰμι
Σεῖο, ἄναξ Μενέλαε, σὺ δὲ πρότερος καὶ ἀρείων.
Οἶσθ', οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσι·
Κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις·
Τῷ τοι ἐπιτλήτω κραδίη· ἵππον δέ τοι αὐτὸς
Δώσω, τὴν ἀρόμην· εἰ καί νύ κεν οἴκοθεν ἄλλο
Μεῖζον ἀπαιτήσειας, ἄφαρ κέ τοι αὐτίκα δοῦναι
Βουλοίμην, ἢ σοί γε, διοτρεφὲς, ἤματα πάντα
Ἐκ θυμοῦ πεσέειν, καὶ δαίμοσιν εἶναι ἀλιτρός.
Ἦ ῥα, καὶ ἵππον ἄγων μεγαθύμου Νέστορος υἱὸς
Ἐν χείρεσσι τίθει Μενελάου· τοῖο δὲ θυμὸς
Ἰάνθη, ὡσεί τε περὶ σταχύεσσιν ἐέρση
Ληΐου ἀλδήσκοντος, ὅτε φρίσσουσιν ἄρουραι·
Ὣς ἄρα σοι, Μενέλαε, μετὰ φρεσὶ θυμὸς ἰάνθη·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἀντίλοχε, νῦν μέν τοι ἐγὼν ὑποείξομαι αὐτὸς,
Χωόμενος· ἐπεὶ οὔτι παρήορος, οὐδ' ἀεσίφρων,
Ἦσθα πάρος· νῦν αὖτε νόον νίκησε νεοίη.

Eum verò Antilochus prudens contrà allocutus est:
" Perfer nunc: multò enim ego junior sum
" Te, rex Menelaë, tu autem natu-major et praestantior.
" Nôsti, qualia juvenis errata sint:
" Velocior etenim mens, tenue autem consilium:
" Ideò tibi toleret cor: equam verò tibi ipse
" Dabo, quam accepi: Sed et si è meis aliud
" Majus postulaveris, promptè omninò jam-statim dare
" Mallem, quàm tibi utique, Jovis-alumne, in dies omnes *me*
" Animo ejectum esse, et in deos fieri sceleratum."
Dixit sanè, et equam ducens magnanimi Nestoris filius
In manus tradidit Menelai: illius autem animus
Laetitiâ-perfusus est, velut circa spicas ros *funditur*
Segetis crescentis, quandò horrescunt arva:
Sic et tibi, Menelaë, in praecordiis animus laetitiâ-perfusus est:
Et ipsum edita-voce verbis alatis allocutus est:
" Antiloche, nunc quidem tibi ego cedam ipse,
" Iratus; quoniam non mente-vagus, neque levis,
" Eras anteà: nunc verò mentem vicit juventus.

Ver. 586. —— ἀντίον ηὔδα.] Vide suprà ad γ', 203.

Ver. 587. —— πολλὸν γάρ ἔγωγε.] *Al.* πολὺ μὲν γάρ ἔγωγε.

Ver. 590. Κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις.]—φρονεῖν γὰρ οἱ ταχεῖς οὐκ ἀσφαλεῖς. *Sophocl. Oedip. Tyran.* 625.

Ver. 593. — ἀπαιτήσειας.] Cod. *Harleian.* ἐπ' αἰτήσειας. *Al.* ἐπαιτήσειας.

Ver. 594. —— διοτρεφὲς.] *Al.* διαμπερές.

Ver. 599. — ἄρουραι.] Vide suprà ad ζ', 142.

Ver. 600. —— ἄρα.] *Ut dictum est* —— *ver.* 597.

Ver. 602. Ἀντίλοχε, νῦν.] Edidit *Barnesius* ex conjecturâ Ἀντίλοχ', ἢ νῦν. Sed, ut opinor, nihil opus. Vide suprà ad ά, 51.

Ver. 603. — οὔτι παρήορος.] Οὐ κεχαλασμένος τὸν λογισμὸν, παράφρων. *Schol.*

Βέλτερον αὖτ' ἀλέασθαι ἀμείνονας ἠπεροπεύειν·
Οὐ γάρ κέν με τάχ' ἄλλος ἀνὴρ παρέπεισεν Ἀχαιῶν.
Ἀλλὰ σὺ γὰρ δὴ πόλλ' ἔπαθες, καὶ πόλλ' ἐμόγησας,
Σός τε πατὴρ ἀγαθὸς, καὶ ἀδελφεὸς, εἵνεκ' ἐμεῖο·
Τῷ τοι λισσομένῳ ἐπιπείσομαι, ἠδὲ καὶ ἵππον
Δώσω, ἐμήν περ ἐοῦσαν· ἵνα γνώωσι καὶ οἵδε,
Ὡς ἐμὸς οὔποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.
  Ἦ ῥα, καὶ Ἀντιλόχοιο Νοήμονι δῶκεν ἑταίρῳ
Ἵππον ἄγειν· ὁ δ' ἔπειτα λέβηθ' ἕλε παμφανόωντα.
Μηριόνης δ' ἀνάειρε δύο χρυσοῖο τάλαντα
Τέτρατος, ὡς ἔλασεν· πέμπτον δ' ὑπελείπετ' ἄεθλον,
Ἀμφίθετος φιάλη, τὴν Νέστορι δῶκεν Ἀχιλλεὺς,
Ἀργείων ἀν' ἀγῶνα φέρων, καὶ ἔειπε παραστάς·
  Τῆ νῦν, καί σοι τοῦτο, γέρον, κειμήλιον ἔστω,
Πατρόκλοιο τάφου μνῆμ' ἔμμεναι· οὐ γὰρ ἔτ' αὐτὸν
Ὄψει ἐν Ἀργείοισι· δίδωμι δέ τοι τόδ' ἄεθλον

"Satius autem *fuerit* cavere praestantiores decipere:
"Non enim omninò me citò alius quisquam flexisset Achivorum.
"Verùm tu jam multa passus es, et multa fecisti,
"Tuusque pater bonus, et frater, mei causâ:
"Ideò tibi supplicanti obsequar: sed et equam
"Dabo, mea licèt sit; ut sentiant et hi,
"Quòd meus nunquam animus superbus et immitis."
Dixit utique, et Antilochi Noëmoni dedit socio
Equam abducendam: ipse verò deinde lebetem accepit collucentem.
Meriones autem sustulit duo auri talenta
Quartus, quo-ordine egerat *currum*: Quintum verò relictum erat praemium,
Duplex phiala, quam Nestori dedit Achilles,
Argivorum per consessum ferens; et dixit astans:
"Accipe nunc; et tibi hoc, senex, munus recondatur,
"Patrocli sepulturae monimentum ut sit; non enim ampliùs illum
"Videbis inter Argivos: Do autem tibi hoc praemium

Ver. 605. Βέλτερον.] Cod. *Harleian.* Δεύτερον. Quo modo et in duobus MSS. scriptum repperit *Barnesius.* Atque ita etiam legit *Eustathius.*

Ver. 607. ——— δή.] Vide suprà ad ξ', 433. et 504.

Ver. 613. —— ὁ δ' ἔπειτα λέβηθ' ἕλε.]

Tertia dona facit geminos ex ære lebetas.
Æn. V, 266.

Ver. 614. Μηριόνης δ' ἀνάειρε δύο χρυσοῖο τάλαντα.]

——et argenti magnum dat ferre talentum. *Æn.* V, 248.

Ver. 615. — πέμπτον δ' ὑπελείπετ' ἄεθλον.]

— sed lætum amplexus Acesten
Muneribus cumulat magnis, ac talia fatur;
Sume, pater, nam te voluit rex magnus Olympi
Talibus auspiciis exortem ducere honorem.
Ipsius Anchisæ longævi hoc munus habebis,
Cratera impressum signis —. *Æn.* V, 531.

Ver. 616. Ἀμφίθετος φιάλη.] Vide suprà ad *ver.* 270.

Ver. 618. Τῆ νῦν.] Vide suprà ad ξ', 219.

Ver. 620. —— δίδωμι δέ τοι τόδ' ἄεθλον Αὔτως· οὐ γὰρ, &c.] Πρῶτον γὰρ ἀεὶ πυγμὴ παρ' αὐτῷ, δεύτερον πάλη, καὶ τελευταῖον ὁ δρόμος τῶν γυμνικῶν ἀεὶ τέτακται· ——— Ὅτι μὲν αἱ Πατρόκλου ταφαὶ ταύτην ἔχουσι τῶν ἀγωνισμάτων τὴν τάξιν, ἅπασιν, ὡς ἔπος εἰπεῖν, ἔναυλόν ἐστι· Διατηρῶν δὲ τὴν τάξιν, ὁμαλῶς ὁ ποιητὴς,

Αὔτως· οὐ γὰρ πύξ γε μαχήσεαι, οὐδὲ παλαίσεις,
Οὐδέ τ' ἀκοντιστὺν ἐνδύσεαι, οὐδὲ πόδεσσι
Θεύσεαι· ἤδη γὰρ χαλεπὸν κατὰ γῆρας ἐπείγει.
Ὣς εἰπὼν, ἐν χερσὶ τίθει· ὁ δ' ἐδέξατο χαίρων,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες.
Οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα, φίλος, πόδες, οὐδέ τε χεῖρες
Ὤμων ἀμφοτέρωθεν ἐπαΐσσονται ἐλαφραί.
Εἴθ' ὣς ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη,
Ὡς ὁπότε κρείοντ' Ἀμαρυγκέα θάπτον Ἐπειοὶ
Βουπρασίῳ, παῖδες δ' ἔθεσαν βασιλῆος ἄεθλα·
Ἔνθ' οὔτις μοι ὁμοῖος ἀνὴρ γένετ', οὔτ' ἄρ' Ἐπειῶν,
Οὔτ' αὐτῶν Πυλίων, οὔτ' Αἰτωλῶν μεγαθύμων.
Πὺξ μὲν ἐνίκησα Κλυτομήδεα, Ἤνοπος υἱόν·
Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον, ὅς μοι ἀνέστη·

" Gratis: Neque enim caestibus omninò pugnabis, neque luctaberis,
" Neque jaculorum-certamen inibis, neque pedibus
" Curres: jam enim gravis senectus urget."
Sic fatus, in manibus posuit: Ille verò accepit gaudens,
Et ipsum editâ voce verbis alatis allocutus est:
" Certè jam haec quidem omnia, fili, rectè dixisti.
" Non enim ampliùs firma membra, amice, pedes, neque manus
" Ab humeris utrinque celeri impetu moventur agiles.
" Utinam sic pubescerem, roburque mihi firmum esset,
" Ut quandò regem Amaryncea sepelierunt Epeï
" In Buprasio, filiique posuerunt regis praemia:
" Illic nullus mihi similis vir erat, neque Epeorum,
" Neque ipsorum Pyliorum, neque Aetolorum magnanimorum.
" Caestu quidem vici Clytomedea, Enopis filium:
" Ancaeum verò luctâ Pleuronium, qui in me surrexit

τὸν μὲν Ἀχιλλέα λέγοντα τῷ Νέστορι πεποίηκε, "—— δίδωμι δέ σοι τόδ' ἄεθλον Αὔτως· οὐ γὰρ " πύξ γε μαχήσεαι, οὐδὲ παλαίσεις, Οὐδέ τ' ἀκον- " τιστὺν ἐνδύσεαι, οὐδὲ πόδεσσι Θεύσεαι." Τὸν δὲ πρεσβύτην ἐν τῷ ἀποκρίνεσθαι παραδολεσχοῦντα γεροντικῶς ὅτι, " Πὺξ μὲν ἐνίκησα Κλυτομήδεα " Οἴνοπος υἱὸν, Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον, — " Ἴφικλον δὲ πόδεσσι παρέδραμον." *Plutarch. Symposiac. Lib.* II. *Probl.* 5. Τρία γὰρ ἀθλήματα παρὰ τοῖς ἀρχαίοις ταῦτα [δρόμος τε καὶ πυγμὴ καὶ πάλη] ἦν Ἕλλησιν, ὡς Ὅμηρος ἐπὶ τῇ Πατρόκλου δηλοῖ ταφῇ. *Dionys. Halicarn. Antiq. Rom. Lib.* VII. *sub fine.*

Ver. 621. —— πύξ γε μαχήσεαι.] *Al.* πὺξ μεμαχήσεαι.

Ver. 622. —— ἐνδύσεαι.] Codices plurimi ἐσδύσεαι.

Ver. 623. —— γῆρας ἐπείγει.] Cod. *Harleian.* γῆρας ἔπεισιν. Ut suprà ά, 29. Atque ita in uno MS. scriptum repperit *Barnesius*. *Al.* γῆρας ἱκάνει.

Ver. 625. —— ἔπεα πτερόεντα προσηύδα.] *Al.* ἔπεα πτερόεντ' ἀγόρευε.

Ver. 626. —— κατὰ μοῖραν.] Vide suprà ad π', 367.

Ibid. — ἔειπες.] *Al.* ἔειπας. Quod idem.

Ver. 627. —— οὐδέ τε χεῖρες.] Cod. *Harleian.* οὐδέ τι χεῖρες. *Al.* οὐδ' ἔτι χεῖρες.

Ver. 628. — ἐπαΐσσονται.] *Al.* ἀπαΐσσονται.

Ver. 629. Εἴθ' ὣς ἡβώοιμι.] Vide suprà ad ά, 249 et 260.

O mihi præteritos referat si Jupiter annos!
Qualis eram, cùm primam aciem Præneste sub ipsâ
Stravi, scutorumque incendi victor acervos:
Et regem hâc Herilum dextrâ sub Tartara misi. *Æn.* VIII, 560.

Ver. 634. Πὺξ μὲν ἐνίκησα.] Vide suprà ad *ver.* 620.

Ibid. —— Ἤνοπος.] *Al.* Οἴνοπος. Quo modo et legit *Plutarchus*, loco suprà citato.

Ἴφικλον δὲ πόδεσσι παρέδραμον, ἐσθλὸν ἐόντα·
Δουρὶ δ' ὑπειρέβαλον Φυλῆά τε, καὶ Πολύδωρον.
Οἴοισίν μ' ἵπποισι παρήλασαν Ἀκτορίωνε,
Πλήθει πρόσθε βαλόντες, ἀγασσάμενοι περὶ νίκης,
Οὕνεκα δὴ τὰ μέγιστα παρ' αὐτόφι λείπετ' ἄεθλα.
Οἱ δ' ἄρ' ἔσαν δίδυμοι· ὁ μὲν ἔμπεδον ἡνιόχευεν,
Ἔμπεδον ἡνιόχευ', ὁ δ' ἄρα μάστιγι κέλευεν·
Ὥς ποτ' ἔον, νῦν αὖτε νεώτεροι ἀντιοώντων
Ἔργων τοιούτων· ἐμὲ δὲ χρὴ γήραϊ λυγρῷ
Πείθεσθαι, τότε δ' αὖτε μετέπρεπον ἡρώεσσιν.
Ἀλλ' ἴθι, καὶ σὸν ἑταῖρον ἀέθλοισι κτερέϊζε.
Τοῦτο δ' ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,
Ὥς μευ ἀεὶ μέμνησαι ἐνῆεος· οὐδέ σε λήθω,
Τιμῆς ἧστέ μ' ἔοικε τετιμῆσθαι μετ' Ἀχαιοῖς.
Σοὶ δὲ θεοὶ τῶνδ' ἀντὶ χάριν μενοεικέα δοῖεν.
Ὣς φάτο· Πηλείδης δὲ πολὺν καθ' ὅμιλον Ἀχαιῶν

"Iphiclum autem pedibus praetercurri, praestantem licèt:
"Hastâ verò mittendâ superavi Phyleumque, et Polydorum.
"Solis me equis praeteregerunt Actoridae duo,
"Numero superantes, invidentes *mihi* victoriam,
"Quòd nempè maxima illi *certamini* relicta erant praemia.
"Hi verò erant sanè gemini: alter quidem constanter equos-regebat,
"Constanter equos-regebat, alter verò scuticâ incitabat:
"Sic olim eram, nunc vicissim juniores obeant
"Opera hujusmodi: me autem oportet senectae tristi
"Parere; tum verò excellebam inter heroas.
"Sed abi, et tuo sodali certaminibus justa facito.
"Hoc autem ego lubens accipio, gaudetque mihi cor,
"Quod ita mei semper memor es benevoli: neque te lateo,
"Quo honore me par est honorari inter Achivos.
"Tibi autem dii pro his gratiam largam referant."
Sic dixit: Pelides verò ingentem per cœtum Achivorum

Ver. 637. — Φυλῆά.] Vide suprà ad ά, 265.

Ver. 639. Πλήθει πρόσθε βαλόντες.] Ἤτοι τῶν χειρῶν, ἢ τῶν ἁρμάτων· ἢ τῶν συναιρουμένων αὐτοῖς θεατῶν, τῷ πλήθει ἐμὲ νικήσαντες. Διφυεῖς γὰρ καὶ ἀνατέσσαρας χεῖρας ἔχοντες ἱστοροῦνται. *Schol.*

Ver. 640. —— αὐτόφι.] *Al.* αὐτόθι.

Ver. 641. — ὁ μὲν ἔμπεδον ἡνιόχευεν, Ἔμπεδον ἡνιόχευ'.] De hujusmodi ἐπαναφορᾷ, vide suprà ad χ', 127.

Ille, velut pelagi rupes immota, resistit;
Ut pelagi rupes ——. *Æn.* VII, 586.

Quod autem hîc ex *Ovidii, Epist. Sapph. ver.* 39. affert *Barnesius:*

"Si nisi quæ Facie poterit te digna videri,
"Nulla futura tua est, nulla futura tua
"est;

Id verò prorsùs ab hâc re alienum est. Hoc enim ait *Ovidius:* "*Si nulla tua futura est,* "*nisi quæ Facie te digna videri poterit; nul-* "*la* omninò *tua est futura.*" Quod planè aliud est ac quod dicit *Homerus.*

Ver. 642. — ὁ δ' ἄρα μάστιγι.] Quâ ratione, ἄρα, hîc ultimam producat; item τε, *ver.* 673. et ἔτι, *ver.* 690. et δὲ, *ver.* 715. vide suprà ad ά, 51.

Ver. 649. —— ἧστέ.] Cod. *Harleian.* ἧς τέ.

Ver. 650. Σοὶ δὲ θεοὶ τῶνδ' ἀντὶ χάριν μενοεικέα δοῖεν.]

Dî tibi (si qua pios respectant numina, siquid
Usquam justitiæ est, et mens sibi conscia recti)
Præmia digna ferant ——. *Æn.* I, 607.

Ὤχετ', ἐπεὶ πάντ' αἶνον ἐπέκλυε Νηλείδαο.
Αὐτὰρ ὁ πυγμαχίης ἀλεγεινῆς θῆκεν ἄεθλα·
Ἡμίονον ταλαεργὸν ἄγων κατέδησ' ἐν ἀγῶνι
Ἑξέτε', ἀδμήτην, ἥτ' ἀλγίστη δαμάσασθαι·
Τῷ δ' ἄρα νικηθέντι τίθει δέπας ἀμφικύπελλον·
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ἀτρεΐδαί τε, καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ,
Ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥπερ ἀρίστω,
Πὺξ μάλ' ἀνασχομένω πεπληγέμεν· ᾧ δέ κ' Ἀπόλλων
Δώῃ καμμονίην, γνώωσι δὲ πάντες Ἀχαιοὶ,
Ἡμίονον ταλαεργὸν ἄγων κλισίηνδε νέεσθω·
Αὐτὰρ ὁ νικηθεὶς δέπας οἴσεται ἀμφικύπελλον.
Ὣς ἔφατ'· ὤρνυτο δ' αὐτίκ' ἀνὴρ ἠΰς τε μέγας τε,
Εἰδὼς πυγμαχίης, υἱὸς Πανοπῆος Ἐπειός·
Ἅψατο δ' ἡμιόνου ταλαεργοῦ, φώνησέν τε·
Ἆσσον ἴτω, ὅστις δέπας οἴσεται ἀμφικύπελλον,

Abiit, postquàm omnem laudationem audîerat Nelidae.
Atque ille pugnae-caestu decernentium durae posuit praemia:
Mulam laborum-patientem ducens ligavit in circo
Sexennem, indomitam, quae difficillima domitu;
At victo posuit poculum rotundum:
Surrexit autem, et verba inter Argivos fecit:
" Atridaeque, et caeteri benè-ocreati Achivi,
" Viros duos de his jubemus, qui praestantissimi,
" Pugnis altè elatis ferire: Cui verò Apollo
" Dederit victoriam, agnoverintque omnes Achivi,
" Mulam laborum-patientem ducens ad tentorium eat:
" At victus poculum auferet rotundum."
Sic dixit: surrexit autem statim vir fortisque magnusque,
Peritus caestus-pugnae, filius Panopei Epëus:
Manu autem prehendit mulam laborum-patientem, dixitque:
" Propè veniat, quicunque poculum auferet rotundum,

Ver. 653. Αὐτὰρ ὁ πυγμαχίης.]
Nunc, si cui virtus animusque in pectore præsens,
Adsit, et evinctis attollat brachia palmis.
Sic ait, et geminum pugnæ proponit honorem:
Victori velatum auro vittisque juvencum;
Ensem, atque insignem galeam, solatia victo. *Æn.* V, 363.

Ibid. — ἄεθλα.] *Al.* ἄεθλον.

Ver. 655. —— ἀδμήτην.] *Al.* ἀδμῆτιν.

Ver. 656. 663. 667. et 669. —— ἀμφικύπελλον.] Vide suprà ad ά, 584.

Ver. 658. Ἀτρεΐδαί τε.] *Henricus Stephanus* et *Eustathius* hîc legunt Ἀτρείδη τε. Quibuscum faciunt Cod. *Cantab.* à *Barnesio*, itemque Cod. *Harleian.* à *Tho. Bentleio* collatus.

Ver. 659. Ἄνδρε δύω περὶ τῶνδε.] Vide suprà ad *ver.* 653.

Ibid. —— κελεύομεν.] *Al.* κελεύομαι.

Ver. 660. — πεπληγέμεν.] Vide suprà ad β', 314. et ad γ', 31.

Ver. 661. καμμονίην.] Τὴν ἐκ καταμονῆς νίκην.] *Schol.*

Ver. 664. Ὣς ἔφατ'· ὤρνυτο δ' αὐτίκ'.]
Nec mora; continuò vastis cum viribus effert
Ora Dares, magnoque virûm se murmure tollit. *Æn.* V, 368.

Ibid. — ὤρνυτο.] Vide suprà ad γ', 260.

Ver. 666. Ἅψατο.] Cod. *Harleian.* Ἥψατο.

Ibid. Ἅψατο δ' ἡμιόνου ταλαεργοῦ, φώνησεν τε.]
Tum lævâ taurum cornu tenet, atque ita fatur. *Æn.* V, 382.

Ἡμίονον δ' οὔ φημί τιν' ἀξέμεν ἄλλον Ἀχαιῶν,
Πυγμῇ νικήσαντ'· ἐπεὶ εὔχομαι εἶναι ἄριστος.
Ἦ οὐχ ἅλις, ὅττι μάχης ἐπιδεύομαι; οὐδ' ἄρα πως ἦν
Ἐν πάντεσσ' ἔργοισι δαήμονα φῶτα γένεσθαι.
Ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται,
Ἀντικρὺ χρόα τε ῥήξω, σύν τ' ὀστέ' ἀράξω·
Κηδεμόνες δέ οἱ ἐνθάδ' ἀολλέες αὖθι μενόντων,
Οἵ κέ μιν ἐξοίσουσιν, ἐμῆς ὑπὸ χερσὶ δαμέντα.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
Εὐρύαλος δέ οἱ οἶος ἀνίστατο, ἰσόθεος φὼς,
Μηκιστέως υἱὸς, Ταλαϊονίδαο ἄνακτος,
Ὅς ποτε Θήβας ἦλθε δεδουπότος Οἰδιπόδαο
Ἐς τάφον· ἔνθα δὲ πάντας ἐνίκα Καδμείωνας.
Τὸν μὲν Τυδείδης δουρικλυτὸς ἀμφεπονεῖτο,
Θαρσύνων ἔπεσιν, μέγα δ' αὐτῷ βούλετο νίκην.

" Mulam autem non puto aliquem abducturum alium Achivorum,
" Me caestibus victo: profiteor enim *me* esse praestantissimum.
" An non satìs, quòd in praelio inferior sum? neque enim ullo modo licèt
" In omnibus operibus peritum virum evadere.
" Sic enim denuncio, quod et perfectum erit,
" Penitùs corpusque disrumpam, ossaque confringam:
" Curatores autem ei hìc frequentes ibidem maneant,
" Qui ipsum efferent, mearum vi manuum domitum."
Sic dixit: Illi verò omnes obmutuerunt silentio.
Euryalus autem eum contra solus surrexit, deo-par vir,
Mecistei filius, Talaïonidae regis,
Qui quondam Thebas profectus est defuncti tunc Oedipi
Ad ludos-funebres: et ibi omnes vicit Cadmeos.
Hunc quidem Tydides hasta-inçlytus curabat,
Confirmans verbis, multùm enim ei cupiebat victoriam.

Ver. 670. Ἦ οὐχ ἅλις.] Pronuntiabatur ἦυχ ἅλις. Vide suprà ad ό, 18.

Ibid. Ἦ οὐχ ἅλις, ὅττι μάχης ἐπιδεύομαι.] Ἔνιοι τοὺς αὑτῶν ἐπαίνους μὴ παντελῶς λαμπροὺς μηδὲ ἀκράτους προσφέροντες, ἀλλά τινας ἐλλείψεις ἢ ἀποτεύξεις ἢ ἁμαρτίας ἐλαφρὰς ἐμβάλλοντες, ἀφαιροῦσι τὸ ἐπαχθὲς αὐτῶν καὶ νεμεσητόν· ὥσπερ ὁ Ἐπειὸς, οὐ μέτρια περὶ τῆς πυκτικῆς εἰπὼν, καὶ θρασυνόμενος, ὡς ἀντικρὺ χρόα τε ῥήξει, " Ἦ οὐχ ἅλις (φησὶν) ὅττι μάχης ἐπι-" δεύομαι." *Plutarch. de sui Laude.*

Ibid. ——— οὐδ' ἄρα πως ἦν Ἐν πάντεσσ' ἔργοισι δαήμονα.]

Ἀλλ' οὐ γὰρ ὡὐτὸς πάντ' ἐπίστασθαι βροτῶν
Πέφυκεν ——. *Euripid. Rhes. ver.* 106.

Ver. 672. ——— τὸ δὲ καὶ.] *Al.* τόδε καί. Sed, ut opinor, minùs rectè.

Ver. 676. Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.]

Dixerat Æneas: olli obstupuere silentes,
Conversique oculos inter se atque ora tenebant. *Æn.* XI, 120.

Ver. 677. Εὐρύαλος δέ οἱ οἶος.]

Solus qui Paridem solitus contendere contra;
Idemque ad tumulum, quo maximus occubat Hector,
Victorem Buten immani corpore, qui se
Bebryciâ veniens Amyci de gente ferebat,
Perculit, et fulvâ moribundum extendit arenâ. *Æn.* V, 370.

Ver. 678. Μηκιστέως.] Pronuntiabatur Μηκιστῶς.

Ver. 679. —— Θήβας ἦλθε.] Cod. *Harleian.* Θήβας δ' ἦλθε.

Ibid. ——— δεδουπότος.] Ἐν πολέμῳ τεθνηκότος. *Schol.* Vide et suprà ad β', 314.

Ver. 680. —— ἐνίκα.] Vide suprà ad β', 221. et ad ν', 84.

Ver. 682. Θαρσύνων.] Vide suprà ad ν', 823.

Ζῶμα δέ οἱ πρῶτον παρακάββαλεν, αὐτὰρ ἔπειτα
Δῶκεν ἱμάντας ἐϋτμήτους βοὸς ἀγραύλοιο.
Τὼ δὲ, ζωσαμένω βήτην ἐς μέσσον ἀγῶνα·
Ἄντα δ' ἀνασχομένω χερσὶ στιβαρῇσιν ἅμ' ἄμφω,
Σύν ῥ' ἔπεσον, σὺν δέ σφι βαρεῖαι χεῖρες ἔμιχθεν·
Δεινὸς δὲ χρόμαδος γενύων γένετ', ἔῤῥεε δ' ἱδρὼς
Πάντοθεν ἐκ μελέων· ἐπὶ δ' ὤρνυτο θεῖος Ἐπειὸς,
Κόψε δὲ παπτήναντα παρήϊον, οὐδ' ἄρ' ἔτι δὴν
Εἱστήκειν· αὐτοῦ γὰρ ὑπήριπε φαίδιμα γυῖα.
Ὡς δ' ὅθ' ὑπὸ φρικὸς Βορέω ἀναπάλλεται ἰχθὺς
Θῖν' ἔπι φυκιόεντι, μέλαν δέ ἑ κῦμα κάλυψεν·
Ὣς πληγεὶς ἀνέπαλτ'· αὐτὰρ μεγάθυμος Ἐπειὸς

Cingulum autem ei primùm projecit, et deindè
Dedit lora scitè-secta bovis agrestis.
Hi autem, cùm se accinxissent, prodierunt in medium circum;
Ex adverso verò elevatis manibus robustis simul ambo,
Continuò congressi sunt, ipsisque graves manus consertae sunt:
Vehemens autem crepitus maxillarum ortus est, fluebatque sudor
Undique ex membris: Irruit verò nobilis Epëus,
Percussitque circumspectantem ad genam, neque jam *is* diutiùs
Stetit: ejus enim succiderunt pulchra membra.
Ut verò cùm sub primo-impetu Boreae exiliit piscis
Littus versùs algosum, nigerque continuò ipsum fluctus operit:
Sic percussus exiliit: At magnanimus Epëus

Ver. 683. Ζῶμα δέ οἱ.] Πρῶτον ἔθος ἦν τοῖς παλαιοῖς περιζώματα φέρειν περὶ τὰ αἰδοῖα, καὶ οὕτως ἀγωνίζεσθαι· κατὰ δὲ τὴν λ, καὶ δευτέραν Ὀλυμπιάδα Ὀρσίππου τοῦ Λακεδαιμονίου λυθὲν ἀγωνιζομένου τὸ περίζωμα, αἴτιον αὐτῷ ἥττης ἐγένετο· ἐξ οὗ νόμος ἐτέθη γυμνοὺς τρέχειν. *Schol.* Vide infrà ad *ver.* 710.

Ibid. —— αὐτὰρ ἔπειτα Δῶκεν ἱμάντας.]

Tum satus Anchisâ cæstus pater extulit æquos,
Et paribus palmas amborum innexuit armis. *Æn.* V, 424.

Ver. 684. — ἐϋτμήτους.] *Al.* ἐϋδμήτους.

Ver. 685. Τὼ δὲ, ζωσαμένω.] Notandus hîc maximè proprius Vocis *Mediæ* Usus. *Hi autem, quum se ipsi accinxissent, &c.* Vide suprà ad γ', 141.

Ver. 686. Ἄντα δ' ἀνασχομένω χερσὶ στιβαρῇσιν.]

Constitit in digitos extemplò arrectus uterque,
Brachiaque ad superas interritus extulit auras. *Æn.* V, 426.

Ver. 688. Δεινὸς δὲ χρόμαδος γενύων γένετ'.]

— duro crepitant sub vulnere malæ. *Ibid.* 436.

Ibid. —— χρόμαδος.] Χρόμαδος δὲ κατὰ ὀνοματοποιΐαν, ὁ ἐν ταῖς γενύσι ψόφος καὶ οἷον τρισμὸς, ὃς μάλιστα ἐν ταῖς πληγαῖς γίνεται. *Eustath.* Similitèr et *Etymolog. Magn.* à *Barnesio* citatum: Τὸν ἐν ταῖς γενυσιν ὑπὸ τῶν πληγῶν γινόμενον ψόφον, ὀνοματοποιήσας χρόμαδον εἶπεν ὁ Ποιητής. Vide suprà ad δ', 455.

Ibid. —— ἔῤῥεε δ' ἱδρὼς Πάντοθεν ἐκ μελέων.] Vide suprà ad *ver.* 507.

Ver. 689—701. —— ὤρνυτο — Δεικνύμενος.] Vide suprà ad γ', 260.

Ibid. — θεῖος Ἐπειὸς.] *Al.* δῖος Ἐπειός.

Ver. 690. Κόψε δὲ παπτήναντα παρήϊον.]

—— erratque aures et tempora circum
Crebra manus; duro crepitant sub vulnere malæ. *Æn.* V, 435.

Ver. 691. Εἱστήκειν.] *Al.* Ἑστήκει.

Ibid. — αὐτοῦ γὰρ ὑπήριπε φαίδιμα γυῖα.]

Ipse gravis graviterque ad terram pondere vasto
Concidit ————————. *Æn.* V, 447.

Ver. 692. —— φρικὸς.] Φρὶξ, ἡ ἐπιπόλαιος τοῦ κύματος κίνησις. *Schol.* Vide suprà ad φ', 126.

Ver. 693. —— ἐπὶ φυκιόεντι.] *Al.* ἐν φυκιόεντι.

Ibid. — φυκιόεντι.] Φυκία ἔχοντι· φῦκος δέ ἐστιν, ἤτοι ἡ ἄχνη τῆς θαλάσσης, ἢ πόα παραθαλασσία οὕτω καλουμένη. *Schol.*

Ibid. — μέλαν δέ ἑ.] *Al.* μέλαν τε ἑ.

Ver. 694. —— πληγεὶς.] Vide suprà ad γ', 31.

Χερσὶ λαβὼν ὤρθωσε· φίλοι δ' ἀμφέσταν ἑταῖροι,
Οἵ μιν ἄγον δι' ἀγῶνος ἐφελκομένοισι πόδεσσιν,
Αἷμα παχὺ πτύοντα, κάρη βάλλονθ' ἑτέρωσε·
Κὰδ δ' ἀλλοφρονέοντα μετὰ σφίσιν εἷσαν ἄγοντες·
Αὐτοὶ δ' οἰχόμενοι κόμισαν δέπας ἀμφικύπελλον.
  Πηλείδης δ' αἶψ' ἄλλα κατὰ τρίτα θῆκεν ἄεθλα,
Δεικνύμενος Δαναοῖσι, παλαισμοσύνης ἀλεγεινῆς,
Τῷ μὲν νικήσαντι, μέγαν τρίποδ' ἐμπυριβήτην,
Τὸν δὲ δυωδεκάβοιον ἐνὶ σφίσι τῖον Ἀχαιοί·
Ἀνδρὶ δὲ νικηθέντι γυναῖκ' ἐς μέσσον ἔθηκε·
Πολλὰ δ' ἐπίστατο ἔργα· τίον δέ ἑ τεσσαράβοιον·
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
  Ὄρνυσθ', οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε.
Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα μέγας Τελαμώνιος Αἴας,
Ἂν δ' Ὀδυσεὺς πολύμητις ἀνίστατο, κέρδεα εἰδώς·

Manibus prehensum erexit; dilecti autem circumsteterunt socii,
Qui ipsum duxerunt per circum pedibus labantibus,
Cruorem crassum expuentem, caput jactantem in-alteram-partem;
Mente autem alienatum inter se collocârunt ducentes:
Ipsique euntes acceperunt poculum rotundum.
Pelides verò statim alia tertia deposuit praemia,
Ostentans Danais, luctae durae,
Victori quidem, magnum tripodem igni-aptum,
Eum autem duodecim boûm-pretio inter se aestimabant Achivi:
Viro autem victo mulierem in medio posuit:
Multorum autem perita-erat operum; aestimabantque ipsam quatuor boûm-pretio:
Surrexit autem, et verba inter Argivos fecit:
"Surgite, qui et hujus certaminis periculum facietis."
Sic dixit: Surrexit verò ingens Telamonius Ajax;
Surrexit et Ulysses abundans-consiliis, dolis instructus:

Ibid. — *ἀνέπαλτ'.*] Vide suprà ad θ', 85.

Ibid. ——— *αὐτὰρ μεγάθυμος Ἐπειὸς Χερσὶ λαβὼν ὤρθωσε.*]

—— primusque accurrit Acestes,
Æquævumque ab humo miserans attollit amicum. *Æn.* V, 451.

Ver. 695. — *φίλοι δ' ἀμφίσταν ἑταῖροι, Οἵ μιν.*]

Ast illum fidi æquales, genua ægra trahentem,
Jactantemque utroque caput, crassumque cruorem
Ore rejectantem, mixtosque in sanguine dentes,
Ducunt ad naves; galeamque ensemque vocati
Accipiunt ———————. *Æn.* V, 468.

Quo de loco *Macrobius:* "Sed et tota (inquit) Daretis fatigatio habitu depingitur: "*Ast illum fidi, &c.* Sociorum quoque ejus trepidationem breviter ostendit: *Galeamque ensemque vocati Accipiunt;* quasi "non sponte accepturi munus, quod erat "damnum verecundiæ." *Saturnal. Lib.* IV. *cap.* 1.

Ibid. — *ἀμφίσταν ἑταῖροι.*] Vide suprà ad ά, 535.

Ver. 699. —— *κόμισαν.*] Vide suprà ad ά, 140.

Ver. 702. ——— *τρίποδ' ἐμπυριβήτην.*] *Al.* *τρίποδα πυριβήτην.* Quod et ferri potest. Vide suprà ad ά, 51.

Ver. 703. — *τῖον.*] De hujus vocis primâ hîc *productâ,* infrà autem *ver.* 705. *correptâ;* vide suprà ad γ', 103. et ad ό, 24.

Ver. 704. —— *ἔθηκε.*] Cod. *Harleian.* *ἔθηκαν.*

Ver. 707. —— *πειρήσεσθε.*] Cod. plurimi *πειρήσεσθον.*

Ζωσαμένω δ' ἄρα τώ γε βάτην ἐς μέσσον ἀγῶνα,
Ἀγκὰς δ' ἀλλήλων λαβέτην χερσὶ στιβαρῇσιν·
Ὡς δ' ὅτ' ἀμείβοντες, τούς τε κλυτὸς ἤραρε τέκτων,
Δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων·
Τετρίγει δ' ἄρα νῶτα, θρασειάων ἀπὸ χειρῶν
Ἑλκόμενα στερεῶς, κατὰ δὲ νότιος ῥέεν ἱδρώς·
Πυκναὶ δὲ σμώδιγγες ἀνὰ πλευράς τε καὶ ὤμους
Αἵματι φοινικόεσσαι ἀνέδραμον· οἱ δὲ μάλ' αἰεὶ
Νίκης ἱέσθην, τρίποδος πέρι ποιητοῖο·
Οὔτ' Ὀδυσεὺς δύνατο σφῆλαι, οὔδει τε πελάσσαι,
Οὔτ' Αἴας δύνατο, κρατερὴ δ' ἔχεν ἲς Ὀδυσῆος.
Ἀλλ' ὅτε δή ῥ' ἀνίαζον ἐϋκνήμιδες Ἀχαιοὶ,
Δὴ τότε μιν προσέειπε μέγας Τελαμώνιος Αἴας·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Ἤ μ' ἀνάειρ', ἢ ἐγώ σε· τὰ δ' αὖ Διῒ πάντα μελήσει.

Accincti autem hi prodierunt in medium circum,
Complexuque se invicem corripuerunt manibus robustis:
Ut cùm tigna-culminis, *mutuò sibi inseruntur*, quae inclytus aptat faber,
Domûs altae, impetus ventorum vitans:
Stridebant autem dorsa, validis à manibus
Attracta fortitèr, humidusque defluebat sudor;
Densæque vibices per lateraque et humeros
Sanguine rubentes extiterunt: Illi autem admodùm usque
Victoriam cupiebant, tripodem ob affabrè-factum:
Neque Ulysses poterat supplantare, soloque affligere,
Neque Ajax poterat; valida enim prohibebat vis Ulyssis.
Sed cum jam taedio-afficerentur benè-ocreati Achivi,
Tunc ipsum allocutus est ingens Telamonius Ajax:
" Nobilissime Laërtiade, solertiâ-pollens Ulysse,
" Aut me tolle, aut ego te; hæc verò Jovi omnia curae-erunt."

Ver. 710. Ζωσαμένω.] Vide suprà ad *ver.* 685.

Ibid. Ζωσαμένω δ' ἄρα τώ γε βάτην.] Ὁ δὲ πρῶτος ἐπιχειρήσας ἀποδυθῆναι τὸ σῶμα, καὶ γυμνὸς ὀλυμπιάσι δραμὼν ἐπὶ τῆς πεντεκαιδεκάτης ὀλυμπιάδος, Ἄκανθος ὁ Λακεδαιμόνιος ἦν. Τὰ δὲ πρὸ τούτων δι' αἰσχύνης εἶχον ἅπαντες Ἕλληνες, ὅλα γυμνὰ φαίνειν ἐν ταῖς ἀγωνίαις τὰ σώματα· ὡς Ὅμηρος τεκμηριοῖ μαρτύρων ἀξιοπιστότερός [fortè ἀξιοπιστότατός] τε καὶ ἀρχαιότατος ὢν, ζωννυμένους τοὺς ἥρωας ποιῶν. Τὴν γοῦν Αἴαντος καὶ Ὀδυσσέως πάλην ἐπὶ τῇ Πατρόκλου ταφῇ γινομένην ἀφηγούμενός, φησιν· " Τὼ δὲ ζωσαμένω βήτην ἐς μέσσον ἀγῶνα." *Dionys. Halicarn. Antiq. Rom. Lib.* VII. *sub fine.* Ubi obitèr notandum, legisse hîc *Dionysium*, Τὼ δὲ ζωσαμένω βήτην; Ex versu (ut videtur) 685.

Ibid. —— ἄρα.] *Ut facere solebant* ——.

Ver. 711. Ἀγκὰς.] Vide suprà ad ξ', 346.

Ver. 712. —— ἀμείβοντες.] Δόκοι μεγάλαι, ἀλλήλαις προσπίπτουσαι, ὥστε βαστάζειν τὴν ὀροφήν· αἵτινες καὶ συστάται καλοῦνται. *Schol.*

Ibid. —— κλυτὸς ἤραρε τέκτων.] *Al.* σοφὸς ἤραρε τέκτων.

Ibid. —— ἤραρε.] Non à præterito medio ἤραρα, tunc enim non constitisset Temporum ratio; sed ab aoristo ἤραρον. Vide suprà ad ό, 454; ad β', 810. et ad ά, 37.

Ver. 714. Τετρίγει.] Vide suprà ad β', 314. ad δ', 492. et ad φ', 352.

Ibid. —— ἄρα.] *Ut fit* ——.

Ver. 716. —— σμώδιγγες.] Vide suprà ad β', 267.

Ver. 717. —— φοινικόεσσαι.] Pronuntiabatur φοινικοῦσσαι· Secundam enim necessariò producit. Vide suprà ad ύ, 272.

Ver. 719. —— πελάσσαι.] Vide suprà ad ν, 1. et ad ά, 140.

Ver. 721. —— ἀνίαζον.] Vide suprà ad φ', 270.

Ibid. —— ἐϋκνήμιδες Ἀχαιοὶ.] *Al.* ἐϋκνήμιδας Ἀχαιούς. Quo modo legit et Codex *Harleianus.*

Ὣς εἰπὼν, ἀνάειρε· δόλου δ᾽ οὐ λήθετ᾽ Ὀδυσσεύς·
Κόψ᾽ ὄπιθεν κώληπα τυχὼν, ὑπέλυσε δὲ γυῖα·
Κὰδ δ᾽ ἔβαλ᾽ ἐξοπίσω· ἐπὶ δὲ στήθεσσιν Ὀδυσσεὺς
Κάππε·· λαοὶ δ᾽ αὖ θηεῦντό τε, θάμβησάν τε.
Δεύτερ. . ῦτ᾽ ἀνάειρε πολύτλας δῖος Ὀδυσσεὺς,
Κίνησεν δ᾽ ἄρα τυτθὸν ἀπὸ χθονὸς, οὐδέ τ᾽ ἄειρε·
Ἐν δὲ γόνυ γνάμψεν· ἐπὶ δὲ χθονὶ κάππεσον ἄμφω
Πλησίοι ἀλλήλοισι, μιάνθησαν δὲ κονίη.
Καί νύ κε τὸ τρίτον αὖτις ἀναΐξαντ᾽ ἐπάλαιον,
Εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο, καὶ κατέρυκε·
Μηκέτ᾽ ἐρείδεσθον, μηδὲ τρίβεσθε κακοῖσι·
Νίκη δ᾽ ἀμφοτέροισιν, ἀέθλια δ᾽ ἶσ᾽ ἀνελόντες
Ἔρχεσθ᾽, ὄφρα καὶ ἄλλοι ἀεθλεύωσιν Ἀχαιοί.
Ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ᾽ ἐπίθοντο·
Καί ῥ᾽ ἀπομορξαμένω κονίην, δύσαντο χιτῶνας.
Πηλείδης δ᾽ αἶψ᾽ ἄλλα τίθει ταχυτῆτος ἄεθλα,
Ἀργύρεον κρητῆρα τετυγμένον· ἓξ δ᾽ ἄρα μέτρα
Χάνδανεν, αὐτὰρ κάλλει ἐνίκα πᾶσαν ἐπ᾽ αἶαν

Sic fatus, sustulit: Doli autem non oblitus est Ulysses:
Percussit ponè poplitis-flexum assecutus, solvitque membra;
Dejecit autem supinum: in pectora verò Ulysses
Decidit: populi autem admirabundi-spectabant, stupebantque.
Secundus vicissim tollebat laboriosus nobilis Ulysses,
Movit autem paululùm à terrâ, neque levavit:
Genu verò implicuit: Et in terram ceciderunt ambo
Propè invicem, foedabanturque pulvere.
Et certè jam tertiò rursùs surgentes luctati fuissent,
Nisi Achilles ipse surrexisset, et cohibuisset:
" Ne ampliùs luctâ-obnitimini, neque conterimini malis:
" Victoria enim utrisque; praemiis autem aequalibus ablatis
" Abite, ut et alii certent Achivi."
Sic dixit: illi autem ei maximè quidem auscultârunt, atque obsecuti sunt:
Et absterso pulvere, induerunt vestes.
Pelides verò statim alia posuit velocitatis praemia,
Argenteum cratera elaboratè factum; sex autem mensuras
Capiebat, et pulchritudine excellebat omnem per terram

Ver. 725. 729 et 756. — *ἀνάειρε·— ἐνίκα.*] Vide suprà ad ν΄, 84.

Ver. 726. —— *κώληπα.*] Κώληπα δὲ λέγει, τὴν ἀγκύλην κατὰ τοὺς Παλαιοὺς, τὴν περὶ τὰς ἰγνύας. *Eustath.*

Ver. 732. 739. —— *κονίη.* —— *κονίην.*] Vide suprà ad π΄, 762. et ad ό, 24.

Ver. 733. —— *ἀναΐξαντ᾽ ἐπάλαιον.*] Cod. *Harleian.* ἀναΐξαντε πάλαιον.

Ver. 734. Εἰ μὴ Ἀχιλλεύς.]

Tum pater Aeneas procedere longiùs iras,
Et sævire animis Entellum haud passus acerbis;
Sed finem imposuit pugnæ ——.
Æn. V, 461.

Ver. 735. — *ἐρείδεσθον.*] *Al.* ἐρίζεσθον.

Ver. 738. — *ἄρα.*] *Ut par erat* ——.

Ver. 739. —— *ἀπομορξαμένω κονίην, δύσαντο χιτῶνας.*] *Quum pulverem sibi ipsi abstersissent, vestes sibi induerunt.* Vide suprà ad *ver.* 685. et ad γ΄, 141.

Ver. 740. Πηλείδης δ᾽ αἶψ᾽ ἄλλα τίθει ταχυτῆτος ἄεθλα.]

Hîc qui fortè velint rapido contendere cursu,
Invitat pretiis animos, et præmia ponit.
Æn. V, 291.

Πολλὸν, ἐπεὶ Σιδόνες πολυδαίδαλοι εὖ ἤσκησαν,
Φοίνικες δ' ἄγον ἄνδρες ἐπ' ἠεροειδέα πόντον,
Στῆσαν δ' ἐν λιμένεσσι, Θόαντι δὲ δῶρον ἔδωκαν·
Υἷος δὲ Πριάμοιο Λυκάονος ὦνον ἔδωκε
Πατρόκλῳ ἥρωϊ Ἰησονίδης Εὔνηος.
Καὶ τὸν Ἀχιλλεὺς θῆκεν ἀέθλιον οὗ ἑτάροιο,
Ὅστις ἐλαφρότατος ποσσὶ κραιπνοῖσι πέλοιτο.
Δευτέρῳ αὖ βοῦν θῆκε μέγαν καὶ πίονα δημῷ·
Ἡμιτάλαντον δὲ χρυσοῦ λοισθῆϊ ἔθηκε.
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
  Ὄρνυσθ', οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε·
Ὣς ἔφατ'· ὤρνυτο δ' αὐτίκ' Ὀϊλῆος ταχὺς Αἴας,
Ἂν δ' Ὀδυσεὺς πολύμητις, ἔπειτα δὲ Νέστορος υἱὸς
Ἀντίλοχος, ὁ γὰρ αὖτε νέους ποσὶ πάντας ἐνίκα·
Στὰν δὲ μεταστοιχεί· σήμηνε δὲ τέρματ' Ἀχιλλεύς·
Τοῖσι δ' ἀπὸ νύσσης τέτατο δρόμος· ὦκα δ' ἔπειτα

Multùm, Sidones enim ingeniosi scitè elaborârant,
Phoenices autem vexerant viri super nigrum pontum,
Collocârantque in portubus, Thoantique dono dederant:
Pro filio autem Priami Lycaone pretium dedit
Patroclo heroï Iasonides Euneus.
Et hunc Achilles posuit praemium, de quo certaret in *honorem* sui socii,
Quicunque levissimus pedibus velocibus esset.
Secundo autem bovem posuit magnum et pinguem adipe:
Semitalentum verò auri ultimo posuit.
Surrexit autem, et verba inter Argivos fecit:
" Surgite, qui et hujus certaminis periculum facietis."
Sic dixit: Surrexit autem statim Oïlei *filius* velox Ajax;
Surrexit et Ulysses abundans consiliis; deindè autem Nestoris filius
Antilochus, hic enim juvenes pedibus omnes vincebat:
Steterunt autem ordine; ostendit verò metas Achilles:
Illis autem à carceribus extendebatur cursus: tum verò celeritèr

---

Ver. 743. ——— Σιδόνες πολυδαίδαλοι.] Οἱ Φοίνικες· Σιδὼν γὰρ πόλις Φοινίκης. *Schol.* Σιδόνιοι δὲ πολύτεχνοί τινες παραδίδονται καὶ καλλίτεχνοι, καθάπερ καὶ ὁ ποιητὴς δηλοῖ· πρὸς δὲ, καὶ φιλόσοφοι, περί τε ἀστρονομίαν καὶ ἀριθμητικὴν, ἀπὸ τῆς λογιστικῆς ἀρξάμενοι καὶ τῆς νυκτιπλοίας.] *Strabo, Geograph. Lib.* XVI.

Ver. 745. —— Θόαντι.] Τῷ τῆς Λήμνου βασιλεῖ. *Schol.*

Ver. 746. Υἷος.] Ita ex duobus MSS. et ex *Etymolog. Magn.* edidit *Barnesius. Al.* Υἱός.

Ver. 748. Καὶ τὸν Ἀχιλλεὺς θῆκεν ἀέθλιον ———, Ὅστις ἐλαφρότατος ποσσὶ.] Vide suprà ad *ver.* 740.

Ver. 750. Δευτέρῳ αὖ.] Nonnulli hîc legunt Δευτέρῳ δ' αὖ. Quæ si vera sit lectio, pronuntiandum erit Δεύτρῳ δ' αὖ. Vide suprà ad β', 811.

Ver. 754 et 759. —— ὤρνυτο.] Vide suprà ad γ', 260.

Ver. 756. Ἀντίλοχος· ὁ.] Quâ ratione, Ἀντίλοχος, hîc ultimam producat; item ἀπὸ, *ver.* 758. et τε, *ver.* 777. et φθάμενος, *ver.* 779. et μέλεος, *ver.* 795. vide suprà ad ά, 51.

Ver. 757. Στὰν δὲ μεταστοιχεί· σήμηνε δὲ τέρματ' Ἀχιλλεύς.]

Hæc ubi dicta; locum capiunt, signoque repentè
Corripiunt spatia audito, limenque relinquunt
Effusi nimbo similes ——. *Æn.* V, 315.

Ver. 758. —— τέτατο.] Vide suprà ad φ', 352. et ad δ', 492.

Ἔκφερ' Ὀϊλιάδης· ἐπὶ δ' ὤρνυτο δῖος Ὀδυσσεὺς
Ἄγχι μάλ', ὥς ὅτε τίς τε γυναικὸς εὐζώνοιο
Στήθεός ἐστι κανὼν, ὅντ' εὖ μάλα χερσὶ τανύσσῃ,
Πηνίον ἐξέλκουσα παρὲκ μίτον, ἀγχόθι δ' ἴσχει
Στήθεος· ὣς Ὀδυσεὺς θέεν ἐγγύθεν· αὐτὰρ ὄπισθεν
Ἴχνια τύπτε πόδεσσι, πάρος κόνιν ἀμφιχυθῆναι.
Κὰδ δ' ἄρα οἱ κεφαλῆς χέ' ἀϋτμένα δῖος Ὀδυσσεὺς,
Αἰεὶ ῥίμφα θέων· ἴαχον δ' ἐπὶ πάντες Ἀχαιοὶ
Νίκης ἱεμένῳ, μάλα δὲ σπεύδοντι κέλευον.
Ἀλλ' ὅτε δὴ πύματον τέλεον δρόμον, αὐτίκ' Ὀδυσσεὺς
Εὔχετ' Ἀθηναίῃ γλαυκώπιδι ὃν κατὰ θυμόν·
Κλῦθι, θεὰ, ἀγαθή μοι ἐπίρροθος ἐλθὲ ποδοῖϊν.

Emicuit Oïliades: concito autem cursu sequebatur nobilis Ulysses
Propè admodùm, ut quum aliquis mulieris elegantèr-cinctae
Prope pectus est radius, quem scitè admodùm manibus projicit *huc illuc*,
Stamen extrahens ad licium, propeque tenet
Pectus: sic Ulysses currebat propè; atque à tergo
Vestigia premebat pedibus, antequàm pulvis spargeretur circùm.
In ejus autem caput fundebat halitum nobilis Ulysses
Usque citò currens: Acclamabant verò omnes Achivi
Victoriae cupido, magnoque adnitentem studio hortabantur.
Sed quum jam extremum peragerent cursum, confestim Ulysses
Precatus est Minervam oculis-caesiam suo in animo:
" Exaudi, Dea, propitia mihi auxiliatrix veni pedibus."

Ibid. —— ὦκα δ' ἔπειτα Ἔκφερ' Ὀϊλιάδης.]
Primus abit, longeque ante omnia corpora Nisus
Emicat, et ventis et fulminis ocior alis.
Æn. V, 318.

Ver. 759. —— ἐπὶ δ' ὤρνυτο δῖος Ὀδυσσεὺς.]
Proximus huic ——————
Insequitur Salius ———. *Æn.* V, 320.

Ver. 761. —— κανὼν.] Ὁ κάλαμος περὶ ὃν εἰλεῖται ὁ μίτος ὁ ἱστουργικός. *Schol.*

Ibid. —— χερσὶ.] *Al.* χειρί.

Ibid. ——— τανύσσῃ.] *Al.* τανύσει. Minùs rectè: Media enim semper corripitur. Vide suprà ad ϱ', 58.

Ver. 762. Πηνίον.] Εἴλημα κρόκης. *Schol.*

Ver. 763. —— ὣς Ὀδυσεὺς θέεν ἐγγύθεν· αὐτὰρ ὄπισθεν Ἴχνια τύπτε.]
—— calcemque terit jam calce Diores.
Æn. V, 324.

Quem locum inter eos recenset *Macrobius* in quibus " *Virgilius Homerici carminis majestatem non æquet.* Est autem (inquit) hujus versus [Ἴχνια τύπτε πόδεσσι, πάρος κόνιν ἀμφιχυθῆναι] hic sensus: Si per solum pulvereum fortè curratur; ubi pes fuerit de terrâ à currente sublatus, vestigium sine dubio signatum videtur, et tamen celeriùs cogitatione pulvis, qui ictu pedis fuerat excussus, vestigio superfunditur. Ait ergo divinus Poëta, ita proximum fuisse qui sequebatur, ut occuparet antecedentis vestigium, antequam pulvis ei superfunderetur." *Saturnal. Lib.* V. *cap.* 13. Notandum etiam cursûs celeritatem aptissimè depingere hosce tres versus [763, 764, 765.] pedibus dactylicis totos incedentes. Vide suprà ad γ', 23 et 363.

Ver. 765. Κὰδ δ' ἄρα οἱ κεφαλῆς χέ' ἀϋτμένα.] Vide suprà ad *ver.* 380.

Ibid. —— ἄρα.] *Ut fieri solet* ——.

Ver. 767. —— ἱεμένῳ.] *Al.* ἱεμένων, et ἱέμενοι.

Ver. 768. Ἀλλ' ὅτε δὴ πύματον τέλεον δρόμον.
Jamque ferè spatio extremo, fessique sub ipsum
Finem adventabant: —— *Æn.* V, 327.

Ibid. —— αὐτίκ' Ὀδυσσεὺς Εὔχετ'.]
Ni palmas ponto tendens utrasque Cloanthus
Fudissetque preces, Divosque in vota vocâsset. *Æn.* V, 233.

Ver. 770. Κλῦθι, θεὰ.]
Tu, Dea, tu præsens nostro succurre labori.
Æn. IX, 404.

Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη·
Γυῖα δ' ἔθηκεν ἐλαφρὰ, πόδας, καὶ χεῖρας ὕπερθεν.
Ἀλλ' ὅτε δὴ τάχ' ἔμελλον ἐπαΐξεσθαι ἄεθλον,
Ἔνθ' Αἴας μὲν ὄλισθε θέων· βλάψεν γὰρ Ἀθήνη,
Τῇ ῥα βοῶν κέχυτ' ὄνθος ἀποκταμένων ἐριμύκων,
Οὓς ἐπὶ Πατρόκλῳ πέφνεν πόδας ὠκὺς Ἀχιλλεύς·
Ἐν δ' ὄνθου βοέου πλῆτο στόμα τε, ῥῖνάς τε.
Κρητῆρ' αὖτ' ἀνάειρε πολύτλας δῖος Ὀδυσσεὺς,
Ὡς ἦλθε φθάμενος· ὁ δὲ βοῦν ἕλε φαίδιμος Αἴας·
Στῆ δὲ κέρας μετὰ χερσὶν ἔχων βοὸς ἀγραύλοιο,
Ὄνθον ἀποπτύων, μετὰ δ' Ἀργείοισιν ἔειπεν·
Ὢ πόποι, ἦ μ' ἔβλαψε θεὰ πόδας, ἣ τοπάρος περ,
Μήτηρ ὣς, Ὀδυσῆϊ παρίσταται, ἠδ' ἐπαρήγει.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν.
Ἀντίλοχος δ' ἄρα δὴ λοισθήϊον ἔκφερ' ἄεθλον,
Μειδιόων, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Εἰδόσιν ὔμμ' ἐρέω πᾶσιν, φίλοι, ὡς ἔτι καὶ νῦν

Sic dixit precans: illum autem exaudivit Pallas Minerva;
Membraque reddidit levia, pedes, et manus supernè.
Sed quum jamjam involaturi erant in praemium,
Tunc Ajax quidem lapsus est in cursu; laesit enim Minerva,
Ubi boûm fusum erat stercus interfectorum gravitèr-mugientium,
Quos super Patroclum mactârat pedibus velox Achilles:
Stercore autem bubulo impletus est osque, naresque.
Cratera verò sustulit laboriosus nobilis Ulysses,
Ut venit praecurrens; at bovem accepit illustris Ajax:
Stetit autem cornu manibus tenens bovis agrestis,
Stercus expuens, interque Argivos dixit:
" Proh malum, certè mihi laesit Dea pedes, quae et olim,
" Mater tanquam, Ulyssi astat, atque auxilio-est."
Sic dixit: Illi autem omnes super ipso suavitèr riserunt.
Antilochus verò extremum quidem abstulit praemium,
Subridens, et verba inter Argivos fecit:
" Scientibus vobis dicam omnibus, amici, quod adhuc etiam nunc

---

Ver. 771. Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε.] Vide suprà ad π', 527.

Ver. 773. Ἀλλ' ὅτε δὴ τάχ' ἔμελλον.]

Jamque ferè spatio extremo, fessique sub ipsum
Finem adventabant: levi cum sanguine Nisus
Labitur infelix; cæsis ut fortè juvencis
Fusus humum viridesque super madefecerat herbas:
Hic juvenis, jam victor ovans, vestigia presso
Haud tenuit titubata solo: sed pronus in ipso
Concidit immundoque fimo sacroque cruore. *Æn.* V, 327.

Ver. 775. Τῇ ῥά.] *Ubi scilicèt* ——.

Ver. 777. —— ῥῖνάς τε.] Cod. *Harleian.* ῥῖνές τε.

Ver. 779. — φθάμενος.] Vide suprà ad β', 43.

Ver. 780. Στῆ δὲ κέρας μετὰ χερσὶν ἔχων.] Vide suprà ad *ver.* 666.

Ver. 781. Ὄνθον ἀποπτύων.]

Et simul his dictis faciem ostentabat, et udo
Turpia membra fimo —. *Æn.* V, 357.

Ibid. —— Ὄνθον.] *Al.* ὄνθου.

Ver. 785. —— ἄρα.] *Ut necesse erat* ——. Vide suprà ad *ver.* 778. 779.

Ἀθάνατοι τιμῶσι παλαιοτέρους ἀνθρώπους·
Αἴας μὲν γὰρ ἐμεῖ' ὀλίγον προγενέστερός ἐστιν·
Οὗτος δὲ προτέρης γενεῆς, προτέρων τ' ἀνθρώπων,
Ὠμογέροντα δέ μιν φάσ' ἔμμεναι· ἀργαλέον δὲ
Ποσσὶν ἐριδδήσασθαι Ἀχαιοῖς, εἰ μὴ Ἀχιλλεῖ.
  Ὣς φάτο· κύδηνεν δὲ ποδώκεα Πηλείωνα.
Τὸν δ' Ἀχιλεὺς μύθοισιν ἀμειβόμενος προσέειπεν·
  Ἀντίλοχ', οὐ μέν τοι μέλεος εἰρήσεται αἶνος,
Ἀλλά τοι ἡμιτάλαντον ἐγὼ χρυσοῦ ἐπιθήσω.
  Ὣς εἰπὼν, ἐν χερσὶ τίθει· ὁ δ' ἐδέξατο χαίρων.
Αὐτὰρ Πηλείδης κατὰ μὲν δολιχόσκιον ἔγχος
Θῆκ' ἐς ἀγῶνα φέρων, κατὰ δ' ἀσπίδα, καὶ τρυφάλειαν,
Τεύχεα Σαρπήδοντος, ἅ μιν Πάτροκλος ἀπηύρα·
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
  Ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥπερ ἀρίστω,
Τεύχεα ἑσσαμένω, ταμεσίχροα χαλκὸν ἑλόντε,
Ἀλλήλων προπάροιθεν ὁμίλου πειρηθῆναι·
Ὁππότερός κε φθῆσιν ὀρεξάμενος χρόα καλὸν,

" Immortales honorant aetate-provectiores homines :
" Ajax enim me paulò natu-grandior est :
" Iste verò prioris seculi, priorumque hominum,
" Crudae autem senectae ipsum dicunt esse : difficile verò
" Pedibus *cum eo* contendere Achivis, excepto Achille.'
Sic dixit : laudeque extulit pedibus-velocem Pelidem.
Eum verò Achilles verbis respondens allocutus est :
" Antiloche, non quidem tibi inanis dicta erit laus,
" Sed tibi semitalentum ego auri addam."
Sic fatus, in manibus posuit : is autem accepit gaudens.
At Pelides quidem praelongam hastam
Deposuit in circo ferens, deposuit et clypeum et galeam,
Arma Sarpedonis, quae ei Patroclus abstulerat :
Surrexit autem et verba inter Argivos fecit :
" Viros duos de his jubemus, qui fortissimi,
" Armis indutis, acuto aere sumpto,
" Alterum-alterius ante consessum facere-periculum :
" Uter autem prior percusserit corpus pulchrum,

Ver. 788. Ἀθανάτοι.] Vide suprà ad ά, 398.

Ver. 791. Ὠμογέροντα.] Οὕτω λέγουσιν, ἤτοι τοὺς ἔτι συνιστῶτας καὶ μήπω πάνυ γέροντας, ἀλλὰ πλησίον τοῦ γήρως· ἢ τοὺς πρὸ ὥρας καὶ παρ' ἡλικίαν γεγηρακότας. *Schol.*

Ver. 794. Τὸν δ'.] Vide suprà ad ά, 57. et ad θ', 160. Malè *Barnesius* Τόνδ'.

Ver. 795. — μέλεος εἰρήσεται.] Vide suprà ad π', 336. Porrò *Barnesius* hîc edidit μέλεός κ' εἰρήσεται· insertâ particulâ κε, quam omninò addendam contendit. Sed minùs rectè.

Ver. 800. Τεύχεα Σαρπήδοντος, ἅ μιν Πάτροκλος ἀπηύρα.] Suprà π', 663.

Ver. 802. — κελεύομεν.] *Al.* κελεύομαι.

Ver. 803. Τεύχεα ἑσσαμένω.] Vide suprà ad *ver.* 685.

Ver. 805. Ὁππότερός κε φθῆσιν ὀρέξαμενος.] Ἐνταῦθα δὲ κατὰ τοὺς Παλαιοὺς Ἀριστοφάνης ὁ γραμματικὸς —— μεταγράφει τὸν τρόπον τοῦτον οὕτω· "Ὁππότερός κεν πρῶτος ἐπιγράψας χρόα καλὸν, Φθήῃ ἐπευξάμενος διά τ' ἔντεα καὶ φόνον ἀνδρός." *Eustath.* Satìs inficetè.

Ibid. et *ver.* 808. —— καλὸν.] Vide suprà ad β', 43.

Ψαύσῃ δ' ἐνδίνων, διά τ' ἔντεα, καὶ μέλαν αἷμα,
Τῷ μὲν ἐγὼ δώσω τόδε φάσγανον ἀργυρόηλον,
Καλὸν, Θρηΐκιον, τὸ μὲν Ἀστεροπαῖον ἀπηύρων·
Τεύχεα δ' ἀμφότεροι ξυνήϊα ταῦτα φερέσθων·
Καί σφιν δαῖτ' ἀγαθὴν παραθήσομαι ἐν κλισίῃσιν.
  Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα μέγας Τελαμώνιος Αἴας,
Ἀν δ' ἄρα Τυδείδης ὦρτο κρατερὸς Διομήδης.
Οἱ δ' ἐπεὶ οὖν ἑκάτερθεν ὁμίλου θωρήχθησαν,
Ἐς μέσον ἀμφοτέρω συνίτην μεμαῶτε μάχεσθαι,
Δεινὸν δερκομένω· θάμβος δ' ἔχε πάντας Ἀχαιούς·
Ἀλλ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Τρὶς μὲν ἐπήϊξαν, τρὶς δὲ σχεδὸν ὡρμήθησαν·
Ἔνθ' Αἴας μὲν ἔπειτα κατ' ἀσπίδα πάντοσε ἴσην
Νύξ', οὐδὲ χρό' ἵκανεν· ἔρυτο γὰρ ἔνδοθι θώρηξ.
Τυδείδης δ' ἄρ' ἔπειτα ὑπὲρ σάκεος μεγάλοιο,
Αἰὲν ἐπ' αὐχένι κῦρε φαεινοῦ δουρὸς ἀκωκῇ.
Καὶ τότε δή ῥ' Αἴαντι περιδδείσαντες Ἀχαιοὶ,
Παυσαμένους ἐκέλευσαν ἀέθλια ἶσ' ἀνελέσθαι.

" Attigeritque intus membra, perque arma et nigrum sanguinem,
" Huic quidem ego dabo hunc ensem argenteis-clavis-distinctum,
" Pulchrum, Threïcium, quem quidem Asteropaeo abstuli;
" Arma autem utrique communia haec ferant:
" Et eis convivium lautum apponam in tentoriis."
Sic dixit: Surrexit autem deindè ingens Telamonius Ajax,
Surrexit et Tydides fortis Diomedes.
Illi verò postquàm hinc indè seorsùm à turbâ armati erant,
In medium utrique congrediebantur prompti pugnare,
Horrendo obtutu; stupor autem tenebat omnes Achivos:
Sed quùm jam propè erant alter in alterum vadentes,
Ter quidem irruerunt, terque cominùs impetum-fecerunt:
Tum verò Ajax quidem per clypeum undique aequale
Percussit, neque ad corpus pervenit; tutabatur enim intùs thorax.
At Tydides deindè suprà scutum magnum,
Usque cervicem assequi conabatur fulgidae hastae cuspide.
Et tum quidem Ajaci metuentes Achivi,
Fine imposito jusserunt praemia paria referre.

Ver. 806. —— ἐνδίνων.] Τῶν ἐντὸς ὅπλων μελῶν. *Schol.*

Ver. 807. Τῷ μὲν ἐγὼ δώσω.] Vide suprà ad *ver.* 560.

Ver. 808. —— ἀπηύρων.] *Al.* ἀπηῦρον.

Ver. 812. —— ἄρα.] *Deinceps* ——.

Ver. 813. —— ἑκάτερθεν.] Vide suprà ad ά, 349.

Ver. 814. Ἐς μέσον ἀμφοτέρω.] Ita edidit *Barnesius* ex uno MS. *Al.* Ἐς μέσον ἀμφοτέρων.

Ibid. —— μεμαῶτε.] Vide suprà ad ν', 46. et ad ζ', 464.

Ver. 815. —— δερκομένω.] Cod. *Harleian.* δερκόμενοι. Quod et ferri posset. Vide suprà ad ά, 566.

Ver. 816. Ἀλλ' ὅτε δὴ.] Vide suprà ad ξ', 433 et 504.

Ver. 819. —— ἔρυτο.] Vide suprà ad ν', 555.

Ver. 820. —— ἄρ'.] *Ut æquum erat* ——.

Ver. 821. —— ἀκωκῇ.] *Al.* ἀκωκή.

Ver. 823. Παυσαμένους.] Vide suprà ad γ', 141.

Αὐτὰρ Τυδείδῃ δῶκεν μέγα φάσγανον ἥρως,
Σὺν κολεῷ τε φέρων, καὶ ἐϋτμήτῳ τελαμῶνι.
Αὐτὰρ Πηλείδης θῆκεν σόλον αὐτοχόωνον,
Ὃν πρὶν μὲν ῥίπτασκε μέγα σθένος Ἠετίωνος·
Ἀλλ' ἤτοι τὸν ἔπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς,
Τὸν δ' ἄγετ' ἐν νήεσσι σὺν ἄλλοισι κτεάτεσσι.
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ὄρνυσθ', οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε·
Εἴ οἱ καὶ μάλα πολλὸν ἀπόπροθι πίονες ἀγροὶ,
Ἕξει μιν καὶ πέντε περιπλομένους ἐνιαυτοὺς
Χρεώμενος· οὐ μὲν γάρ οἱ ἀτεμβόμενός γε σιδήρου
Ποιμὴν, οὐδ' ἀροτὴρ, εἶσ' ἐς πόλιν, ἀλλὰ παρέξει.
Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα μενεπτόλεμος Πολυποίτης,
Ἂν δὲ Λεοντῆος κρατερὸν μένος ἀντιθέοιο,
Ἂν δ' Αἴας Τελαμωνιάδης, καὶ δῖος Ἐπειός·
Ἑξείης δ' ἵσταντο· σόλον δ' ἕλε δῖος Ἐπειὸς,
Ἧκε δὲ δινήσας· γέλασαν δ' ἐπὶ πάντες Ἀχαιοί.

At Tydidae dedit magnum ensem heros,
Cum vaginâque proferens, et scitè-secto balteo.
Caeterùm Pelides posuit orbem à fornace-rudem,
Quem priùs quidem mittebat ingens robur Eëtionis:
Verùm enimverò illum interfecerat pedibus-valens nobilis Achilles,
Huncque advexerat in navibus cum aliis possessionibus.
Surrexit autem et verba inter Argivos fecit:
" Surgite, qui et hujus certaminis periculum-facietis:
" Si ei etiam perquàm longinqui pingues agri,
" Habebit ipsum etiam quinque volventes in annos
" Utens: non enim illi omninò indigens ferro
" Pastor, vel arator, ibit in urbem, sed praebebit."
Sic dixit: Surrexit autem deindè bellator stabilis Polypoetes,
Surrexit et Leontei validum robur deo-paris,
Surrexit et Ajax Telamonius, et nobilis Epëus:
Ordine autem steterunt: Orbem verò prehendit nobilis Epëus,
Misitque rotatum: riserunt autem omnes Achivi.

Ver. 825. — ἐϋτμήτῳ τελαμῶνι.] *Al.* ἐϋδμήτῳ τελαμῶνι. Vide suprà ad ή, 304.

Ver. 826. ——— σόλον.] Δίσκον· διαφέρει δὲ σόλος καὶ δίσκος, ὅτι ὁ μὲν δίσκος πλατύς ἐστι καὶ κοιλότερος, ὁ δὲ σόλος στρογγύλος καὶ σφαιροειδής. *Schol.*

Ibid. ——— αὐτοχόωνον.] Ἐκ χεομένης ὕλης εἰκῆ κεχωνευμένον· αὐτοχώνευτον, οἷον μὴ ἔχοντα κατασκευὴν τερπνὴν, οὔτ' εὖν τεχνικὴν, ἀλλ' ἐκ μόνης χωνείας ἀναληφθέντα. *Schol.*

Ver. 827. —— ῥίπτασκε.] *Projicere solitus erat.* Vide suprà ad β', 221. et ad ν', 84.

Ver. 828. ——— ποδάρκης δῖος Ἀχιλλεὺς.] Vide suprà ad ά, 58.

Ver. 829. Τὸν δ' ἄγετ' ἐν.] Cod. *Harleian.* Τὸν δ' ἄγαγ' ἐν.

Ver. 834. Χρεώμενος.] Pronuntiabatur χρώμενος· uti notavit *Barnesius.* Vide suprà ad *ver.* 308.

Ver. 836. 837. 838. Ὣς ἔφατ'· *&c.*] Codex *Harleianus,* versus hosce hoc modo legit:

Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα μενεπτόλεμος Πολυποίτης,
Ἂν δ' Αἴας Τελαμωνιάδης, καὶ δῖος Ἐπειὸς,
Ἂν δὲ Λεοντῆος κρατερὸν μένος ἀντιθέοιο.

Ver. 836 et 859. ——— ὦρτο.] Vide suprà ad φ', 352. et ad β', 810.

Ver. 839. Ἑξείης δ' ἵσταντο.] Vide suprà ad *ver.* 358.

Ver. 840. ——— γέλασαν.] Vide suprà ad ά, 67.

Δεύτερος αὖτ' ἀφέηκε Λεοντεὺς, ὄζος Ἄρηος·
Τὸ τρίτον αὖτ' ἔῤῥιψε μέγας Τελαμώνιος Αἴας
Χειρὸς ἀπὸ στιβαρῆς, καὶ ὑπέρβαλε σήματα πάντα·
Ἀλλ' ὅτε δὴ σόλον εἷλε μενεπτόλεμος Πολυποίτης,
Ὅσσον τίς τ' ἔῤῥιψε καλαύροπα βουκόλος ἀνὴρ,
Ἡ δέ θ' ἑλισσομένη πέτεται διὰ βοῦς ἀγελαίας·
Τόσσον παντὸς ἀγῶνος ὑπέρβαλε· τοὶ δ' ἐβόησαν.
Ἀνστάντες δ' ἕταροι Πολυποίταο κρατεροῖο
Νῆας ἐπὶ γλαφυρὰς ἔφερον βασιλῆος ἄεθλον.
Αὐτὰρ ὁ τοξευτῆσι τίθει ἰόεντα σίδηρον,
Κὰδ δ' ἐτίθει δέκα μὲν πελέκεας, δέκα δ' ἡμιπέλεκκα·
Ἱστὸν δ' ἔστησεν νηὸς κυανοπρώροιο
Τηλοῦ ἐπὶ ψαμάθου· ἐκ δὲ τρήρωνα πέλειαν
Λεπτῇ μηρίνθῳ δῆσεν ποδὸς, ἧς ἄρ' ἀνώγει
Τοξεύειν· ὃς μέν κε βάλῃ τρήρωνα πέλειαν,
Πάντας ἀειράμενος πελέκεας, κλισίηνδε φερέσθω·
Ὃς δέ κε μηρίνθοιο τύχῃ, ὄρνιθος ἁμαρτὼν,

Secundus verò emisit Leonteus, ramus Martis:
Tertiò verò projecit ingens Telamonius Ajax
Manu è robustâ, et jecit ultra signa omnia:
Sed quum jam orbem prehendit bellator-stabilis Polypoetes,
Quantum quis projicit pedum bubulcus,
Id autem rotatum volat per boves armentales;
Tantum per totum spatium jactu-superavit: illi verò exclamârunt.
Surgentes autem socii Polypoetae fortis
Naves ad cavas retulerunt regis praemium.
At ille sagittariis posuit spiculis-conficiendis-aptum ferrum,
Deposuit quidem decem bipennes, decemque securiculas:
Malum autem erexit navis prorâ-caeruleae
Procul in arenâ; indeque pavidam columbam,
Tenui funiculo ligavit pede, in quam jussit
Sagittari: Qui quidem percusserit pavidam columbam,
Omnes sublatas bipennes ad tentorium ferat:
Qui verò funiculum attigerit, ab ave aberrans,

Ver. 843. —— *σήματα πάντα.*] *Al.* *σήματα πάντων.* Ut *Odyss.* Θ', 192.

Ver. 845. —— *καλαύροπα.*] Τὴν βουκολικὴν ῥάβδον· ἔστι δὲ ξύλον κατὰ τὸ ἕτερον μέρος ῥοπὴν ἔχον, ὅ ἐστι βάρος. *Schol.* Cod. *Harleian.* *καλάβροπα.*

Ver. 850. Αὐτὰρ ὁ τοξευτῇσι.]
Protinus Æneas celeri certare sagittâ
Invitat, qui fortè velint, et præmia ponit.
Æn. V, 485.

Ibid. —— *ἰόεντα σίδηρον.*] Ἤτοι ἰὸν γεννῶντα, ἢ μέλανα· ἄμεινον δὲ τὸν πρὸς ἰῶν κατασκευὴν ἐπιτήδειον, ὅ ἐστι βελῶν. *Schol.*

Ver. 852. Ἱστὸν δ' ἔστησεν.]
Ingentique manu malum de nave Seresti
Erigit; et volucrem trajecto in fune columbam,
Quò tendant ferrum, malo suspendit ab alto.
Æn. V, 487.

Ver. 853. —— *ψαμάθου.*] Ita edidit *Barnesius.* *Al.* *ψαμάθοιο.* Cod. *Harleian.* *ψαμάθοις.* Quæ fortè et vera lectio.

Ibid. —— ἐκ δὲ.] *Barnesius* edidit ἐκ δή. Sed malè.

Ver. 854. —— ἧς.] Cod. *Harleian.* ἣν.

Ver. 856. 858. —— *ἀειράμενος* —— *οἴσεται.*] Vide suprà ad ν', 168.

Ver. 856. —— *πελέκεας.*] Ἀξίνας διστόμους *Schol.*

Ibid. —— *κλισίηνδε.*] *Al.* *οἶκόνδε.*

("Ησσων γὰρ δὴ κεῖνος,) ὅδ' οἴσεται ἡμιπέλεκκα.
Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα βίη Τεύκροιο ἄνακτος,
Ἂν δ' ἄρα Μηριόνης, θεράπων ἐῢς Ἰδομενῆος·
Κλήρους δ' ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες.
Τεῦκρος δὲ πρῶτος κλήρῳ λάχεν· αὐτίκα δ' ἰὸν
Ἧκεν ἐπικρατέως, οὐδ' ἠπείλησεν ἄνακτι
Ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην.
Ὄρνιθος μὲν ἄμαρτε, μέγηρε γάρ οἱ τόγ' Ἀπόλλων,
Αὐτὰρ ὁ μήρινθον βάλε πὰρ πόδα, τῇ δέδετ' ὄρνις·
Ἀντικρὺ δ' ἀπὸ μήρινθον τάμε πικρὸς ὀϊστός.
Ἡ μὲν ἔπειτ' ἤϊξε πρὸς οὐρανὸν, ἡ δὲ παρείθη
Μήρινθος προτὶ γαῖαν· ἀτὰρ κελάδησαν Ἀχαιοί.
Σπερχόμενος δ' ἄρα Μηριόνης ἐξείρυσε χειρὸς

(Inferior etenim is) ille ferat securiculas.
Sic dixit: Surrexit autem deindè vis Teucri regis;
Surrexit et Meriones, famulus strenuus Idomenei:
Sortes autem in galeâ aereâ concussêre sumptas.
Teucer verò primus sorte sortitus est: statim autem sagittam
Misit vi-validâ, neque vovit regi
Agnorum primigeniorum sacrificaturum *se* inclytam hecatomben.
Ab ave quidem aberravit, invidit enim ei hoc Apollo;
Sed is funiculum percussit ad pedem, quo ligata erat avis:
Prorsùs autem funiculum abscidit amara sagitta.
Illa quidem deindè evolans fugit ad coelum, at demissus est
Funiculus terram versus; et magnum-plausum-dederunt Achivi.
Festinans autem Meriones extraxit manu *Teucri*

Ver. 858. — ἡμιπέλεκκα.] Ἡμιπέλεκκον, τὸ ἥμισυ τοῦ πελέκεως· τὸ ἐκ τοῦ ἑνὸς μόνου μέρους ἔχον ἀκμὴν, ὃ καὶ διστράλιον καλοῦσιν. *Schol.*

Ver. 859. — βίη Τεύκροιο.] Sic suprà *ver.* 837. Λεοντῆος κρατερὸν μένος. Vide suprà ad ν', 758.

Ver. 861. Κλήρους δ' ἐν κυνέῃ χαλκήρεϊ —— —— Τεῦκρος δὲ πρῶτος κλήρῳ λάχεν.]

Convenere viri, dejectamque ærea sortem
Accepit galea: et primus clamore secundo
Hyrtacidæ ante omnes exit locus Hippocoontis. *Æn.* V, 490.

Ver. 864 et 873. —— ῥέξειν κλειτὴν ἑκατόμβην.] Vide suprà ad ά, 444.

Ver. 865. Ὄρνιθος μὲν ἄμαρτε.]

Ast ipsam miserandus avem contingere ferro
Non valuit; nodos et vincula lintea rupit,
Queis innexa pedem malo pendebat ab alto.
Illa Notos atque atra volans in nubila fugit. *Æn.* V, 509.

Ibid. — τόγ' Ἀπόλλων.] *Al.* τότ' Ἀπόλλων.

Ver. 867. Ἀντικρὺ δ' ἀπὸ.] Sic infrà *ver.* 876. Ἀντικρὺ δὲ διῆλθε. Vide suprà ad ά, 51.

Ver. 870. Σπερχόμενος δ' ἄρα Μηριόνης.]

Tum rapidus jamdudum arcu contenta parato
Tela tenens, fratrem Eurytion in vota vocavit. *Æn.* V, 513.

Ibid. Σπερχόμενος δ' ἄρα ——— ὡς ἴθυνεν.] Ἡ Μασσαλιωτικὴ ἔκδοσις, κατὰ τοὺς παλαιοὺς, δυσὶ τόξοις χρωμένους ἐνταῦθα τοὺς ἠγωνισμένους ποιεῖ, μεταγράφουσα οὕτως, "Σπερχόμενος δ' "ἄρα Μηριόνης, ἐπέθη κατ' ὀϊστὸν Τόξῳ· ἐν γὰρ "χερσὶν ἔχεν πάλαι, ὡς ἴθυνεν." Ἀντίμαχος δὲ οὕτω γράφει, "Σπερχόμενος δ' ἄρα Μηριόνης "ἐξείρυσε Τεύκρου Τόξον· χερσὶ δ' ὀϊστὸν ἔχεν "πάλαι, ὡς ἴθυνεν." Συντρέχων μὲν αὐτὸς τῷ Ὁμήρῳ, σαφέστερον δὲ μεταγράψας· ἑνὶ γὰρ τόξῳ ἠγωνίσαντο οἱ τοξόται, ὡς καὶ οἱ δισκευταὶ σόλῳ ἑνί· διὸ τοξεύσαντος Τεύκρου, ἁρπάζει τόξον ὁ Μηριόνης, κατὰ σπουδὴν, ὡς ἂν μὴ φύγῃ τὸ πτηνόν. *Eustath.*

Ibid. —— ἄρα.] *Ut oportebat* ——.

Ibid. ——— ἐξείρυσε χειρὸς.] Δηλονότι, τοῦ Τεύκρου· τῷ γὰρ αὐτῷ τόξῳ ἐχρῶντο. *Schol.*

Τόξον· ἀτὰρ δὴ οἰστὸν ἔχεν πάλαι, ὡς ἴθυνεν.
Αὐτίκα δ' ἠπείλησεν ἑκηϐόλῳ Ἀπόλλωνι
Ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμϐην·
Ὕψι δ' ὑπαὶ νεφέων εἶδε τρήρωνα πέλειαν,
Τήν ῥ' ὅγε δινεύουσαν ὑπὸ πτέρυγος βάλε μέσσην·
Ἀντικρὺ δὲ διῆλθε βέλος· τὸ μὲν ἂψ ἐπὶ γαίῃ
Πρόσθεν Μηριόναο πάγη ποδός· αὐτὰρ ἡ ὄρνις
Ἱστῷ ἐφεζομένη νηὸς κυανοπρώροιο,
Αὐχέν' ἀπεκρέμασεν, σὺν δὲ πτερὰ πυκνὰ λίασθεν.
Ὠκὺς δ' ἐκ μελέων θυμὸς πτάτο, τῆλε δ' ἀπ' αὐτοῦ
Κάππεσε· λαοὶ δ' αὖ θηεῦντό τε, θάμϐησάν τε.
Ἂν δ' ἄρα Μηριόνης πελέκεας δέκα πάντας ἄειρε,
Τεῦκρος δ' ἡμιπέλεκκα φέρεν κοίλας ἐπὶ νῆας.
  Αὐτὰρ Πηλείδης κατὰ μὲν δολιχόσκιον ἔγχος,
Κὰδ δὲ λέϐητ' ἄπυρον βοὸς ἄξιον ἀνθεμόεντα
Θῆκ' ἐς ἀγῶνα φέρων· καί ῥ' ἤμονες ἄνδρες ἀνέσταν·
Ἂν μὲν ἄρ' Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων,

Arcum; et jam sagittam tenebat dudum, ut direxerat.
Statim autem vovit longè-jaculanti Apollini
Agnorum primigeniorum sacrificaturum *se* inclytam hecatomben:
Altè verò sub nubibus speculatus est pavidam columbam,
Hanc is in-gyrum-se-flectentem sub alâ percussit mediam:
Penitùs autem transiit telum: id quidem rursùs in terram
Antè Merionis fixum est pedem: At avis
Malo insidens navis prorâ-caeruleae,
Collum suspendit, simul et alae densae distensae sunt.
Velox autem ex membris anima avolavit, longeque ab illo *malo*
Decidit: populi verò admirabundi-spectabant, stupebantque.
Meriones autem bipennes decem omnes sustulit;
Teucer verò securiculas portavit cavas ad naves.
At Pelides deposuit quidem praelongam hastam,
Deposuit et lebetem igni-nunquam-admotum bovis-pretio-aestimandum floribus-varium
In circo ferens: Et continuò jaculatores viri surrexerunt:
Surrexit quidem Atrides latè-dominans Agamemnon,

Ver. 871. —— *ἴθυνεν.*] *Al.* *ἰθύνῃ.*

Ver. 872. —— *ἑκηϐόλῳ Ἀπόλλωνι.*] Vide suprà ad *ά*, 75.

Ver. 874. *Ὕψι δ' ὑπαὶ νεφέων.*]
Jam vacuo lætam cœlo speculatus, et alis
Plaudentem, nigra figit sub nube columbam.
Decidit exanimis, vitamque reliquit in astris
Aëriis, fixamque refert delapsa sagittam.
Æn. V, 515.

Ibid. —— *ὑπαὶ.*] *Al.* *ὑπό.*

Ibid. —— *εἶδε.*] *Al.* *ἴδετο.*

Ver. 875. —— *μέσσην.*] *Al.* *μέσσης.*

Ver. 877. — *πάγη.*] Vide suprà ad *δ'*, 185.

Ver. 879. —— *ἀπεκρέμασεν.*] Vide suprà ad *ά*, 67.

Ibid. —— *πτερὰ πυκνὰ λίασθεν.*] *Συνεκρότησε τὰ πτερά.* *Schol.*

Ver. 882. —— *ἄρα.*] *Ut æquum erat* ——.

Ibid. —— *πελέκεας.*] Vide suprà ad *ver.* 114 et 856.

Ibid. —— *δέκα πάντας.*] Vide suprà ad *τ'*, 247.

Ver. 885. —— *ἀνθεμόεντα.*] *Ἤτοι, οὐκ εἰς πῦρ χρήσιμον, ἀλλ' ἀναθηματικόν· ἢ ἀνθεμώδη.* *Schol.*

Ver. 886. —— *ἤμονες.*] *Ἀκοντισταί.* *Schol.*

Ver. 887. —— *εὐρυκρείων.*] Vide suprà ad *ά*, 102.

Ἂν δ' ἄρα Μηριόνης, θεράπων ἐῢς Ἰδομενῆος.
Τοῖσι δὲ καὶ μετέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
Ἀτρείδη, ἴδμεν γὰρ, ὅσον προβέβηκας ἁπάντων,
Ἠδ' ὅσσον δυνάμει τε καὶ ἥμασιν ἔπλευ ἄριστος·
Ἀλλὰ σὺ μὲν τόδ' ἄεθλον ἔχων κοίλας ἐπὶ νῆας
Ἔρχευ, ἀτὰρ δόρυ Μηριόνῃ ἥρωϊ πόρωμεν,
Εἰ σύ γε σῷ θυμῷ ἐθέλοις· κέλομαι γὰρ ἔγωγε.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
Δῶκε δὲ Μηριόνῃ δόρυ χάλκεον· αὐτὰρ ὅγ' ἥρως
Ταλθυβίῳ κήρυκι δίδου περικαλλὲς ἄεθλον.

Surrexit et Meriones, famulus strenuus Idomenei.
Inter eos autem ipse dixit pedibus-valens nobilis Achilles:
" Atride, scimus enim, quantùm antecellis omnibus,
" Et quantùm viribusque et jaculationibus es praestantissimus:
" Quare tu quidem hoc praemium habens cavas ad naves
" Vade, at hastam Merioni heroï demus,
" Si tu utique tuo animo velis: hortor enim ego sanè."
Sic dixit: Neque non obsecutus est rex virorum Agamemnon.
Dedit autem Merioni hastam aeream: sed ille heros
Talthybio praeconi dedit perpulchrum praemium.

Ver. 890. —— ἴδμεν γάρ.] Refertur istud γὰρ ad id quod elegantèr reticetur: " *Nihil* " *opus ut tu certamen ineas, scimus ENIM,*" &c.

Ibid. —— προβέβηκας.] *Antecellis;* non *antecelluisti.* Vide suprà ad ν', 736. et ad ά, 37

Ver. 894. —— ἐθέλοις.] Cod. *Harleian.* ἐθέλεις. *Al.* ἐθέλῃς.

ΤΗΣ

ΟΜΗΡΟΥ ΙΛΙΑΔΟΣ

ῬΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ Ω΄.

Ὑπόθεσις τῆς Ω΄. ὉΜΗΡΟΥ Ῥαψῳδίας.

Ζεὺς κηδόμενος Ἕκτορος, Θέτιν πρὸς Ἀχιλλέα πέμπει, ὅπως ἀποδῷ τοῦ ἥρωος τὸ σῶμα· Ἶριν δὲ πρὸς Πρίαμον, ὅπως λύτρα κομίσας Ἀχιλλεῖ, τὸν νεκρὸν τοῦ παιδὸς ἀπολάβοι. Ὁ δὲ, προπεμφθεὶς ὑπὸ Ἑρμοῦ, κοιμίσαντος τοὺς Ἑλληνικοὺς φύλακας, παραγίνεται πρὸς τὸν Ἀχιλλέα, καὶ ἱκετεύσας αὐτὸν ἀπολαμβάνει τὸν υἱόν· καὶ ἀνακομίσας εἰς τὴν πόλιν, θάπτει, καὶ ἐπ' αὐτῷ δεῖπνον ἄγει.

Ἐπιγραφαί.

Ἕκτορος λύτρα.

Ἄλλως.

Ὦ, Πρίαμος νέκυν υἷα λαβὼν, γέρα δῶκεν Ἀχιλλεῖ.

Ἄλλη.

Ὦ, νέκυν Ἕκτορα πατρὶ λύτρων πόρεν εἵνεκ' Ἀχιλλεύς.

Λυτο δ' ἀγὼν, λαοὶ δὲ θοὰς ἐπὶ νῆας ἕκαστοι
Ἐσκίδναντ' ἰέναι· τοὶ μὲν δόρποιο μέδοντο
Ὕπνου τε γλυκεροῦ ταρπήμεναι· αὐτὰρ Ἀχιλλεὺς
Κλαῖε, φίλου ἑτάρου μεμνημένος, οὐδέ μιν ὕπνος
Ἥρει πανδαμάτωρ, ἀλλ' ἐστρέφετ' ἔνθα καὶ ἔνθα,
Πατρόκλου ποθέων ἀδροτῆτά τε καὶ μένος ἠΰ·

Solutus autem est spectatorum-consessus, populique celeres ad naves quisque
Dispergebantur ituri: Illi quidem coenae curam-gerebant,
Seque somno dulci ut-satiarent: At Achilles
Flebat, chari sodalis memor, neque illum somnus
Capiebat cuncta-domans, sed volvebatur huc et illuc,
Patrocli desiderans vigoremque et animos magnos:

Ver. 1. Λῦτο δ' ἀγών.] Rectè hìc *Barnesius:* "Λῦτο, inquit, pro ἐλύετο *Atticè;* —— nam "λύτο, pro ἐλέλυτο, *primam* corripit." Vide suprà ad φ', 114.

Ibid. ἀγών.] Νῦν τὸ ἄθροισμα τῶν θεατῶν. *Schol.*

Ver. 4. Κλαῖε.] Vide suprà ad ν', 84.

Ver. 6. — ἀδροτῆτά.] *Al.* ἀνδρότητα. Vide suprà ad π', 857.

Ἠδ' ὁπόσα τολύπευσε σὺν αὐτῷ, καὶ πάθεν ἄλγεα,
Ἀνδρῶν τε πτολέμους, ἀλεγεινά τε κύματα πείρων·
Τῶν μιμνησκόμενος, θαλερὸν κατὰ δάκρυον εἶβεν,
Ἄλλοτ' ἐπὶ πλευρὰς κατακείμενος, ἄλλοτε δ' αὖτε
Ὕπτιος, ἄλλοτε δὲ πρηνής· τότε δ' ὀρθὸς ἀναστὰς
Δινεύεσκ' ἀλύων, παρὰ θῖν' ἁλός· οὐδέ μιν ἠὼς
Φαινομένη λήθεσκεν ὑπεὶρ ἅλα τ' ἠϊόνας τε·
Ἀλλ' ὅγ', ἐπεὶ ζεύξειεν ὑφ' ἅρμασιν ὠκέας ἵππους,
Ἕκτορα δ' ἕλκεσθαι δησάσκετο δίφρου ὄπισθεν·
Τρὶς δ' ἐρύσας περὶ σῆμα Μενοιτιάδαο θανόντος,
Αὖτις ἐνὶ κλισίῃ παυέσκετο· τόνδε δ' ἔασκεν
Ἐν κόνι ἐκτανύσας προπρηνέα· τοῖο δ' Ἀπόλλων
Πᾶσαν ἀεικείην ἄπεχε χροΐ, φῶτ' ἐλεαίρων
Καὶ τεθνειότα περ· περὶ δ' Αἰγίδι πάντα κάλυπτε
Χρυσείῃ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων.

Et quot peregerat cum ipso, et passus fuerat labores,
Virorumque proelia, periculososque fluctus emensus:
Haec recordans, uberes lachrymas defundebat,
Interdùm in latera jacens, interdùm verò
Supinus, interdùm autem pronus; et mox rectus exurgens
Oberrabat moesto-animo, praeter littus maris: neque ipsum aurora
Apparens latebat super marique littoribusque:
Sed is, postquam junxerat sub curribus veloces equos,
Hectorem trahendum ligabat post currum;
Ter autem cùm raptârat circa sepulchrum Menoetiadae mortui,
Rursùs in tentorio quiescebat, illumque relinquebat
In pulvere extensum pronum: At ejus Apollo
Omnem turpitudinem arcebat à corpore, virum miserans
Etiam mortuum: Aegide autem totum contegebat
Aureâ, ut nè ipsum laceraret raptans.

Ver. 7. —— ὁπόσα τολύπευσε.] Edidit *Barnesius*, ὁπόσ' ἐκτολύπευσε. Sed nihil opus. Vide suprà ad ά, 51.

Ibid. —— καὶ πάθεν ἄλγεα.] Pronuntiabatur ἄλγη.

Ver. 8. Ἀνδρῶν τε πτολέμους, ἀλεγεινά τε κύματα πείρων.] Τὸ δὲ, πείρων, τοῖς κύμασι προσνεμητέον· τοῖς δέ γε πολέμοις ἐπιλογιστέον οἰκείαν τινὰ ἑτέραν μετοχήν. Συνήθη δὲ τῇ ποιήσει καὶ τὰ τοιαῦτα· ὁποῖον, σὺν πολλοῖς ἄλλοις, καὶ τὸ, Σῖτον καὶ οἶνον ἔδοντες. *Eustath.* Porrò et πειρῶν hîc legi notat idem *Eustathius:* Πάμφιλος δέ, φασι, περισπᾷ τὸ πειρῶν, παράγων εἰς ὁμοιότητα τὸ, περόωσι, καὶ τὸ, Περάα μέγα λαῖτμα· ἀφ' ὧν φησιν εἶναι καὶ τὸ πειρῶν. Atqui iterùm occurrit idem hîc versus, *Odyss.* θ', 183. ν', 91 et 264. quibus omnibus in locis scriptum est πείρων, nec variant Codices.

Ibid. —— πτολέμους, ἀλεγεινά τε.] Cod. *Harleian.* πολέμους, ἀλγεινά τε.

Ver. 10. Ἄλλοτ' ἐπὶ πλευρὰς κατακείμενος.] Vituperat hunc locum *Plato:* Πάλιν δὴ Ὁμήρου τε δεησόμεθα καὶ τῶν ἄλλων ποιητῶν, μὴ ποιεῖν Ἀχιλλέα, θεᾶς παῖδα, "Ἄλλοτ' ἐπὶ πλευρὰς "κατακείμενον, ἄλλοτε δ' αὖτε Ὕπτιον, ἄλλοτε "δὲ πρηνῆ· τότε δ' ὀρθὸν ἀναστάντα, Πλωΐζοντ', "ἀλύοντ' ἐπὶ θῖν' ἁλὸς ἀτρυγέτοιο." *De Republ. Lib.* III. Ubi in transcursu notandæ variæ lectiones.

Ver. 12. 13. Δινεύεσκ' —— λήθεσκεν.] Vide suprà ad β', 221. et ad ν', 84.

Ver. 15. Ἕκτορα δ' ἕλκεσθαι.] *Barnesius* edidit Ἕκτοράδ' ἕλκεσθαι, et τὸ "δὲ" παρέλκειν contendit: Sed, ut opinor, minùs rectè. Vide suprà ad ί, 439. et ad μ', 12.

Ver. 16. Τρὶς δ' ἐρύσας.]

Ter circum Iliacos raptaverat Hectora muros. *Æn.* I, 487.

Vide suprà ad χ', 398.

Ver. 18. — ἐκτανύσας.] Vide suprà ad ῥ', 58.

Ver. 20. —— τεθνειότα.] Vide suprà ad ν', 16. et ad ά, 265.

Ὣς ὁ μὲν Ἕκτορα δῖον ἀεικίζεν μενεαίνων·
Τὸν δ' ἐλεαίρεσκον μάκαρες θεοὶ εἰσορόωντες,
Κλέψαι δ' ὠτρύνεσκον ἐΰσκοπον Ἀργειφόντην.
Ἔνθ' ἄλλοις μὲν πᾶσιν ἑήνδανεν, οὐδέ ποθ' Ἥρῃ,
Οὐδὲ Ποσειδάων', οὐδὲ Γλαυκώπιδι κούρῃ·
Ἀλλ' ἔχον, ὥς σφιν πρῶτον ἀπήχθετο Ἴλιος ἱρὴ,
Καὶ Πρίαμος καὶ λαὸς, Ἀλεξάνδρου ἕνεκ' ἄτης·
Ὃς νείκεσσε θεὰς, ὅτε οἱ μέσσαυλον ἵκοντο,
Τὴν δ' ᾔνησ', ἥ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν.
Ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο δυωδεκάτη γένετ' ἠὼς,
Καὶ τότ' ἄρ' ἀθανάτοισι μετηύδα Φοῖβος Ἀπόλλων·
Σχέτλιοί ἐστὲ, θεοὶ, δηλήμονες· οὐ νύ ποθ' ὑμῖν
Ἕκτωρ μηρί' ἔκηε βοῶν αἰγῶν τε τελείων;
Τὸν νῦν οὐκ ἔτλητε, νέκυν περ ἐόντα, σαῶσαι,
Ἧ τ' ἀλόχῳ ἰδέειν, καὶ μητέρι, καὶ τέκεϊ ᾧ,

Sic ille quidem Hectorem nobilem indignè-tractabat iratus:
Eum autem miserabantur beati dii inspicientes,
Furtoque surripere hortabantur speculatorem Argicidam.
Caeteris quidem omnibus placuit, nequaquam tamen Junoni,
Neque Neptuno, neque oculis-caesiae virgini:
Sed perstabant, sicut ipsis primùm invisa-reddita est Ilios sacra,
Et Priamus et populus, Alexandri propter injuriam;
Qui contumeliosè-damnavit deas, quandò ejus ad tugurium venerunt;
Eamque sententiâ-comprobavit, quae ei praebuit libidinem damnosam.
Sed quandò jam exindè duodecima orta erat aurora,
Tum quidem inter immortales dixit Phoebus Apollo:
" Crudeles estis, dii, noxii: nonne quondam vobis
" Hector femora adolevit boum caprarumque lectarum?
" Eum nunc non sustinuistis, vel mortuum, eripere,
" Suaeque uxori videndum, et matri, et filio suo,

Ver. 26. —— Ποσειδάων', οὐδὲ.] Cod. *Harleian.* Ποσειδάωνι οὐδέ. Quod eodem modo pronuntiandum.

Ibid. —— Γλαυκώπιδι.] Vide suprà ad ά, 206.

Ver. 27. Ἀλλ' ἔχον, ὥς σφιν πρῶτον ἀπήχθετο.]

—— Manet altâ mente repostum
Judicium Paridis, spretæque injuria formæ. *Æn.* I, 30.

Ver. 28. —— Ἀλεξάνδρου ἕνεκ' ἄτης· Ὃς νείκεσσε θεὰς.] Καὶ ὅρα ὅπως τὴν τοῦ Τρωϊκοῦ πολέμου αἰτιωτάτην πρᾶξιν τῷ τέλει τῆς Ἰλιάδος ἐταμιεύσατο· ἐπὶ τοσοῦτον ἀναρτήσας τὸν ἀκροατήν. Τινὲς δὲ ἀθετοῦσι καὶ τοῦτον τὸν τόπον· εἰ γὰρ ᾔδει, φασὶ, τὴν περὶ τοῦ κάλλους κρίσιν ὁ ποιητὴς, πολλαχοῦ ἂν ἐμνήσθη αὐτῆς. Καὶ μέν ἐστι πρὸς τοῦτο εἰπεῖν, ὅτι πολλῶν καὶ ἄλλων ἅπαξ ὁ ποιητὴς ἐμνήσθη, ἅπερ οὐκ ἠθέτηνται. *Eustath.* *Macrobius* ex eorum numero, qui locum hunc repudiârunt, videtur fuisse: " Nullam," inquit, " commemorationem de " Judicio Paridis *Homerus* admittit." *Lib.* V. *cap.* 16. Quâ de re acriùs à *Scaligero* reprehenditur, *Poetic. Lib.* V. *cap.* 3. sub fine.

Ver. 30. Τὴν δ' ᾔνησ', ἥ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν.] Τινὲς γράφουσιν οὕτως· Τὴν δ' ᾔνεσεν, ἥ οἱ κεχαρισμένα δῶρ' ὀνόμηνε. *Eustath.*

Ver. 32. Καὶ τότ' ἄρ'.] *Et tunc utique* —.

Ibid. — ἀθανάτοισι.] Vide suprà ad ά, 398.

Ibid. —— Φοῖβος Ἀπόλλων.] Vide suprà ad ά, 43.

Ver. 33. —— δηλήμονες.] *Al.* ζηλήμονες· uti *Odyss.* έ, 118.

Ibid. —— ὑμῖν.] Cod. *Harleian.* ὔμμιν· Quo modo et in MS. *Cantab.* scriptum repperit *Barnesius.*

Ver. 36. —— τέκεϊ ᾧ.] Quâ ratione, τέ-

Καὶ πατέρι Πριάμῳ, λαοῖσί τε· τοί κέ μιν ὦκα
Ἐν πυρὶ κήαιεν, καὶ ἐπὶ κτέρεα κτερίσειαν·
Ἀλλ' ὀλοῷ Ἀχιλῆϊ, θεοὶ, βούλεσθ' ἐπαρήγειν,
Ὧ οὔτ' ἂρ φρένες εἰσὶν ἐναίσιμοι, οὔτε νόημα
Γναμπτὸν ἐνὶ στήθεσσι· λέων δ' ὣς, ἄγρια οἶδεν,
Ὅστ' ἐπεὶ ἂρ μεγάλῃ τε βίῃ καὶ ἀγήνορι θυμῷ
Εἴξας, εἶσ' ἐπὶ μῆλα βροτῶν, ἵνα δαῖτα λάβῃσιν·
Ὣς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδὼς
Γίνεται, ἥ τ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησι.
Μέλλει γάρ πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι,
Ἠὲ κασίγνητον ὁμογάστριον, ἠὲ καὶ υἱόν·
Ἀλλ' ἦτοι κλαύσας καὶ ὀδυρόμενος μεθέηκε·
Τλητὸν γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν.
Αὐτὰρ ὅγ' Ἕκτορα δῖον, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
Ἵππων ἐξάπτων, περὶ σῆμ' ἑτάροιο φίλοιο
Ἕλκει· οὐ μήν οἱ τό γε κάλλιον, οὐδέ τ' ἄμεινον,

" Et patri Priamo, populisque; qui eum celeritèr
" Igne comburerent, et justa persolverent:
" Sed pernicioso Achilli, dii, vultis favere,
" Cui neque mens est aequa, neque animus
" Flexibilis in pectoribus: sed leo tanquam, agrestia sapit,
" Qui magnisque viribus et superbo animo
" Obsecutus, vadit ad pecudes hominum, ut dapes accipiat:
" Sic Achilles misericordiam quidem perdidit, neque ei pudor
" Est, qui viros valdè laedit, atque juvat.
" Aliquis enim utique etiam chariorem alium perdidit,
" Sive fratrem uterinum, seu et filium;
" Et tamen postquàm deflevit, statim luctum remittit:
" Patientem enim Fata animum indiderunt hominibus.
" Sed hic Hectora nobilem, postquàm *eum* charâ vitâ privavit,
" A curru religans, circum sepulchrum sodalis dilecti
" Trahit: haud tamen ei hoc honestum, neque utile,

κεῖ, hîc ultimam producat; item *κασίγνητον*, *ver.* 47. et *τεὸν*, *ver.* 56. et *πυκινὸν*, *ver.* 75. vide suprà ad ά, 51.

Ver. 38. —— *κτερίσειαν.*] Vide suprà ad ά, 140.

Ver. 39. — *ὀλοῷ Ἀχιλῆϊ.*] Vid. sup. ad ά, 2.

Ver. 40. —— *ἂρ.*] *Ut nôstis* ———. *Ut videtis* ———.

Ver. 42. *Ὅστ'.*] *Qui scilicèt* ———.

Ibid. —— *βίῃ καὶ ἀγήνορι θυμῷ Εἴξας.*]

—— irarumque omnes effundit habenas.
Æn. XII, 499.

Vide suprà ad ί, 594.

Ver. 44. — *οὐδέ οἱ αἰδὼς Γίνεται, ἥ τ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησι.*] Sic *Hesiodus:*

Αἰδὼς, ἥτ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησι.
Ἔργ. καὶ Ἡμερ. I, 316.

Et *Euripides:*

Αἰδώς τε· δισσαὶ δ' εἰσίν· ἡ μὲν οὐ κακὴ,
Ἡδ' ἄχθος οἴκων. ———
Hippolyt. Cor. 385.

Ὁμήρου τε εἰπόντος, " Αἰδὼς, ἥτ' ἄνδρα μέγα " σίνεται ἠδ' ὀνίνησι." Εὐριπίδης ἐν Ἐρεχθεῖ γράφει·

" Αἰδοῦς καὶ αὐτὸς δυσκρίτως ἔχω πέρι·
" Καὶ δεῖ γὰρ αὐτῆς, κἄστιν οὐ κακὸν μέγα."
Clem. Alexand. Strom. Lib. vi.

Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ προΐκτῃ.
Odyss. ρ́, 347.

Ver. 46. *Μέλλει γάρ που.*] *Al.* *Μέλλει μέ που.*

Ver. 51. *Ἵππων ἐξάπτων.*] *Al.* *Ἅρματος ἐξάπτων.*

Μὴ, ἀγαθῷ περ ἐόντι, νεμεσσηθῶμέν οἱ ἡμεῖς·
Κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.
Τὸν δὲ χολωσαμένη προσέφη λευκώλενος Ἥρη·
Εἴη κεν καὶ τοῦτο τεὸν ἔπος, Ἀργυρότοξε,
Εἰ δὴ ὁμὴν Ἀχιλῆϊ καὶ Ἕκτορι θήσετε τιμήν.
Ἕκτωρ μὲν θνητός τε, γυναῖκά τε θήσατο μαζόν·
Αὐτὰρ Ἀχιλλεύς ἐστι θεᾶς γόνος, ἣν ἐγὼ αὐτὴ
Θρέψα τε, καὶ ἀτίτηλα, καὶ ἀνδρὶ πόρον παράκοιτιν
Πηλεῖ, ὃς περὶ κῆρι φίλος γένετ' ἀθανάτοισι·
Πάντες δ' ἀντιάασθε, θεοὶ, γάμου· ἐν δὲ σὺ τοῖσι
Δαίνυ', ἔχων φόρμιγγα, κακῶν ἕταρ', αἰὲν ἄπιστε.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἥρη, μὴ δὴ πάμπαν ἀποσκύδμαινε θεοῖσιν.
Οὐ μὲν γὰρ τιμή γε μί' ἔσσεται· ἀλλὰ καὶ Ἕκτωρ
Φίλτατος ἔσκε θεοῖσι βροτῶν, οἳ ἐν Ἰλίῳ εἰσίν·
Ὣς γὰρ ἐμοίγ'· ἐπεὶ οὔτι φίλων ἡμάρτανε δώρων
Οὐ γάρ μοι ποτὲ βωμὸς ἐδεύετο δαιτὸς ἐίσης,

"Ne, forti licèt, succenseamus ei nos:
"Insensilem enim jam terram contumeliâ-afficit furens."
Hunc autem irata allocuta est ulnas-candida Juno:
"Sit sanè et hoc tuum verbum, Argenteo-arcu-insignis,
"Si quidem parem Achilli et Hectori constituetis honorem.
"Hector quidem mortalisque, mulierisque suxit mammam:
"At Achilles est deae proles, quam ego ipsa
"Nutrivique, et educavi, et viro dedi uxorem
"Peleo, qui ex animo charus fuit immortalibus:
"Omnes autem interfuistis, dii, nuptiis, interque tu hos
"Epulabaris, tenens citharam, ô malorum sodalis, semper perfide."
Illam verò respondens allocutus est nubes-cogens Jupiter:
"Juno, ne jam omninò irascaris diis.
"Haud etenim honor idem erit: sed et Hector
"Charissimus erat diis hominum, qui in Ilio sunt;
"Sic enim mihi quidem: quià nunquam jucunda praetermittebat munera.
"Non enim mihi unquam ara caruit convivio aequali,

Ver. 54. Κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει.] Ἀντὶ τοῦ, ἀναίσθητον σῶμα ὑβρίζει. *Schol.* Οὔτε τοῖς ἄλλοις, ὅσοι μὴ αἰσθάνονται, ὀργίζονται· οὔτε τοῖς τεθνεῶσιν ἔτι, ὡς πεπονθόσι τε τὸ ἔσχατον, καὶ οὐκ ἀλγήσουσιν οὐδ' αἰσθησομένοις οὗ οἱ ὀργιζόμενοι ἐφίενται. Διὸ εὖ περὶ τοῦ Ἕκτορος ὁ ποιητὴς, παῦσαι βουλόμενος τὸν Ἀχιλλέα τῆς ὀργῆς τεθνεῶτος, "Κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει "μενεαίνων." *Aristot. Rhetoric. Lib.* II, *cap.* 3.

Ver. 55. — λευκώλενος Ἥρη.] Vide suprà ad ά, 572. et ad ό, 92.

Ver. 60. — ἀτίτηλα.] Cod. *Harleian.* ἀτίταλα.

Ver. 61. Πηλεῖ.] *Al.* Πηλέϊ, et Πηλῆ.

Ver. 61. 91 et 107. —— ἀθανάτοισι.] Vide suprà ad ά, 398.

Ver. 63. Δαίνυ'.] *Barnesius* in uno MS. scriptum repperit, Δαίνυσ'.

Ver. 64. —— νεφεληγερέτα Ζεύς.] Vide suprà ad ά, 175.

Ver. 67. 68. 69. Φίλτατος ἔσκε —— ἡμάρτανε δώρων· —— ἐδεύετο δαιτὸς.] *Charissimus esse solebat* —— *dona prætermittere solebat* —— *convivio carere solebat* ——. Vide suprà ad β', 221. et ad ν', 84.

Ver. 69. — δαιτὸς ἐίσης.] Καὶ τῶν κρεῶν δὲ μοῖραι ἐνέμοντο· ὅθεν ἐίσας φησὶ τὰς δαῖτας, ἀπὸ τῆς ἰσότητος. —— Ἐπείσθη δὲ Ζηνόδοτος, δαῖτα ἐίσην, τὴν ἀγαθὴν λέγεσθαι. *Athenæus, Lib.* I, *cap.* 10. Vide suprà ad ά, 468.

Λοιβῆς τε, κνίσσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.
Ἀλλ' ἤτοι κλέψαι μὲν ἐάσομεν, (οὐδέ πη ἐστὶ
Λάθρη Ἀχιλλῆος) θρασὺν Ἕκτορα· ἦ γάρ οἱ αἰεὶ
Μήτηρ παρμέμβλωκεν ὁμῶς νύκτας τε καὶ ἦμαρ·
Ἀλλ' εἴτις καλέσειε θεῶν Θέτιν ἆσσον ἐμεῖο,
Ὄφρα τί οἱ εἴπω πυκινὸν ἔπος, ὥς κεν Ἀχιλλεὺς
Δώρων ἐκ Πριάμοιο λάχῃ, ἀπό θ' Ἕκτορα λύσῃ.
Ὣς ἔφατ'· ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα.
Μεσσηγὺς δὲ Σάμου τε, καὶ Ἴμβρου παιπαλοέσσης,
Ἔνθορε μείλανι πόντῳ, ἐπεστονάχησε δὲ λίμνη.
Ἡ δὲ, μολυβδαίνῃ ἰκέλη, ἐς βυσσὸν ὄρουσεν,
Ἥτε κατ' ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα,

" Libamineque, nidoreque: hunc enim sortiti sumus honorem nos.
" Sed tamen furto quidem surripere omittamus (neque ullo modo licet
" Clam Achille) audacem Hectora: certè enim ei assiduè
" Mater adest simul noctesque et dies:
" Sed siquis vocet Deorum Thetin ad me,
" Ut quoddam ei dicam prudens verbum, ut Achilles
" Dona à Priamo accipiat, atque Hectora redemptum-reddat."
Sic dixit: Surrexit autem Iris cursu-procellas-aequans nunciatura.
Inter itaque Samumque, et Imbrum asperam,
Insiliit nigro ponto, ingemuitque palus.
Ipsa autem glandulae-plumbeae similis, in imum delapsa est,
Quae agrestis bovis cornu imposita,

Ver. 71. —— ἐάσομεν.] Vide suprà ad δ′, 42.

Ver. 73. —— παρμέμβλωκεν.] Vide suprà ad ν′, 736. et ad ά, 37.

Ver. 74. Ἀλλ' εἴτις καλέσειε.] Τὸ " Ἀλλ' " εἴτις καλέσειε Θέτιν," —— ταὐτόν ἐστι τῷ, Ἀλλ' ἄγε τις καλεσάτω. Κατ' ἔλλειψιν δὲ δοκεῖ καὶ αὐτὸ ἐσχηματίσθαι, ὡς τοῦ ὅλου τοιούτου ὄντος. Ἀλλ' εἴτις καλέσειε τὴν Θέτιν, θέλοιμι ἂν τοῦτο, ἢ βουλοίμην, ἢ τοιόνδε τι. *Eustath.* De hujusmodi Aposiopesi, vide suprà ad κ′, 111. item ad ά, 135 et 340. *Barnesius*, hoc in loco, pro εἴτις legi posse conjicit, Ἶρις. Sed hoc longè minùs esset venustum.

Ver. 76. —— ἀπό θ' Ἕκτορα λύσῃ.] Vide suprà ad ά, 20.

Ver. 77. —— ἀελλόπος ἀγγελέουσα.]

—— at illa leves cœli demissa per auras. *Æn.* XI, 595.

Ver. 78. Μεσσηγὺς.] Vide suprà ad ί, 769.

Ver. 79. Ἔνθορε μείλανι πόντῳ.] Τῷ καὶ ἔτι νῦν καλουμένῳ Μέλανι Πόντῳ. *Schol.* Μέλας δὲ πόντος ὁ ὕστερον Καρδιανὸς κόλπος ἀπὸ Καρδίας πόλεως. *Eustath.* Equidem crediderim potiùs Epitheton hoc [μείλανι] apud Poëtam omni Mari commune, ut ἠεροειδέϊ, οἴνοπι, &c.

Ibid. —— ἐπεστονάχησε.] *Al.* ἐπεστενάχησε. Quo modo et legit Codex *Harleianus*. Cæterùm in uno MS. scriptum repperit *Barnesius*, ἐπεστονάχισε. Quod ferri non potest. Vide suprà ad ά, 140.

Ver. 80. 81. 82. Ἡ δὲ, μολυβδαίνῃ ἰκέλη, &c.] *Plato* in *Ione* versus hosce legit, aut memoritèr citat, hoc modo:

Ἡ δὲ, μολυβδαίνῃ ἰκέλη, ἐς βυσσὸν ἵκανεν,
Ἥτε κατ' ἀγραύλοιο βοὸς κέρας ἐμμεμαυῖα,
Ἔρχεται ὠμηστῇσι μετ' ἰχθύσι πῆμα φέρουσα,

Τὸ δὲ ὑπὸ τοῦ ποιητοῦ λεγόμενον, " Ἡ δὲ, μολυβδαίνῃ ἰκέλη, ἐς βυσσὸν ὄρουσεν, Ἥ τε," &c. παρακούοντες ἔνιοι, βοείαις θριξὶν οἴονται πρὸς τὰς ὁρμιὰς χρῆσθαι τοὺς παλαιούς· κέρας γὰρ τὴν τρίχα λέγεσθαι, καὶ τὸ κείρασθαι διὰ τοῦτο, καὶ κουράν· καὶ τὸν παρ' Ἀρχιλόχῳ κηροπλάστην, φιλόκοσμον εἶναι περὶ κόμην, καὶ καλλωπιστήν. Ἔστι δὲ οὐκ ἀληθές· ἱππείαις γὰρ θριξὶ χρῶνται. *Plutarch. de Solertiâ Animalium.*

Ibid. —— μολυβδαίνῃ.] Μολυβδαίνῃ, ὁρμιᾷ· μόλυβδος δὲ ἐπίκειται τῷ ἀγκίστρῳ εἰς τὸ καθέλκειν αὐτὸ τῷ βάρει κάτω. *Schol.*

Ver. 81. —— βοὸς κέρας.] Οἱ μὲν κυρίως οἱ δὲ τὴν τρίχα· ἄμεινον δὲ νοεῖν κεράτιόν τι

Ἔρχεται ὠμηστῇσιν ἐπ' ἰχθύσι κῆρα φέρουσα·
Εὗρε δ' ἐνὶ σπῆϊ γλαφυρῷ Θέτιν, ἀμφὶ δέ τ' ἄλλαι
Εἵαθ' ὁμηγερέες ἅλιαι θεαί· ἡ δ' ἐνὶ μέσσης
Κλαῖε μόρον οὗ παιδὸς ἀμύμονος, ὅς οἱ ἔμελλε
Φθίσεσθ' ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρης.
Ἀγχοῦ δ' ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις·
  Ὄρσο, Θέτι, καλέει Ζεὺς ἄφθιτα μήδεα εἰδώς.
Τὴν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
  Τίπτε με κεῖνος ἄνωγε μέγας θεός; αἰδέομαι δὲ
Μίσγεσθ' ἀθανάτοισιν, ἔχω δ' ἄχε' ἄκριτα θυμῷ.
Εἶμι μέν· οὐδ' ἅλιον ἔπος ἔσσεται, ὅ,ττι κεν εἴποι.
  Ὣς ἄρα φωνήσασα, κάλυμμ' ἕλε δῖα θεάων
Κυάνεον, τοῦ δ' οὔτι μελάντερον ἔπλετο ἔσθος.
Βῆ δ' ἰέναι, πρόσθεν δὲ ποδήνεμος ὠκέα Ἶρις
Ἡγεῖτ'· ἀμφὶ δ' ἄρα σφι λιάζετο κῦμα θαλάσσης.
Ἀκτὴν δ' εἰσαναβᾶσαι, ἐς οὐρανὸν ἀϊχθήτην·
Εὗρον δ' εὐρύοπα Κρονίδην, περὶ δ' ἄλλοι ἅπαντες

Descendit cruda-vorantibus piscibus mortem ferens:
Invenit autem in specu cavâ Thetin, circùm autem et aliae
Sedebant frequentes marinae deae: ipsa verò in mediis
Flebat fatum sui filii eximii, qui ei erat
Periturus in Trojâ glebosâ, longè à patriâ.
Propè autem stans allocuta est pedibus velox Iris:
" Surge, Theti, vocat Jupiter aeternis consiliis pollens."
Huic autem respondit deindè dea Thetis pedes-argentea:
" Curnam me ille jubet *venire* magnus Deus? Vereor autem
" Misceri immortalibus; habeo enim dolores innumeros animo.
" Ibo tamen; neque irritum verbum erit, quodcunque dixerit."
Sic fata, velum accepit augustissima dearum
Atrum, eoque nullum nigrius erat vestimentum.
Perrexit autem ire, pedibusque ventosa velox Iris
Praeibat; et circum ipsas diducebatur unda maris.
Littus verò ut conscenderant, in coelum se-proripuerunt:
Invenerunt autem latè-sonantem Saturnium, circumque caeteri omnes

---

προκεῖσθαι τῷ ἀγκίστρῳ, ἵνα μὴ οἱ ἰχθύες ἀποβιβρώσκωσι τὴν ὁρμιάν. *Schol.* Vide ad *ver.* 80.

Ver. 84. —— ὁμηγερέες ἅλιαι.] Quâ ratione, ὁμηγερέες, hîc ultimam producat; item μόρον et ὅς, *ver.* 85. et ἅλιον, *ver.* 92. vide suprà ad ά, 51.

Ibid. —— μέσσῃς.] *Al.* μέσσαις.

Ver. 85. Κλαῖε.] Vide suprà ad ν', 84.

Ver. 86—88. Φθίσεσθ' —— ἄφθιτα.] Vide suprà ad ν', 339.

Ver. 88. Ὄρσο, Θέτι.] Edidit *Barnesius*, Ὄρσο, Θέτις. Sed nihil opus. Vide suprà ad ά, 51.

Ver. 91. —— ἄκριτα.] Vide suprà ad ά, 309 et 314.

Ver. 92. —— εἴποι.] *Al.* εἴπῃ.

Ver. 94. Κυάνεον.] Vide suprà ad ά, 398.

Ver. 96. —— ἀμφὶ δ' ἄρα σφι λιάζετο κῦμα θαλάσσης.]

—— Simul alta jubet discedere latè
Flumina, quà juvenis gressus inferret; at illum
Curvata in montis faciem circumstetit unda,
Accepitque sinu vasto ——.
Georg. IV, 359.

Ver. 98. —— εὐρύοπα Κρονίδην.] Malè hîc *Barnesius*: " Pro εὐρύοπην Κρονίδην, (inquit,) " *Vocativus* pro *Accusativo.*" Quòd planè est absurdum; et nè de *nominativo* quidem ullâ ratione ferri potest. Vide suprà ad ά,

Εἵαθ' ὁμηγερέες μάκαρες θεοὶ αἰὲν ἐόντες·
Ἡ δ' ἄρα πὰρ Διῒ πατρὶ καθέζετο, εἶξε δ' Ἀθήνη.
Ἥρη δὲ χρύσεον καλὸν δέπας ἐν χερὶ θῆκε,
Καί ῥ' εὔφρην' ἐπέεσσι· Θέτις δ' ὤρεξε πιοῦσα.
Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
"Ἤλυθες Οὔλυμπόνδε, θεὰ Θέτι, κηδομένη περ,
Πένθος ἄλαστον ἔχουσα μετὰ φρεσίν· οἶδα καὶ αὐτός·
Ἀλλὰ καὶ ὣς ἐρέω, τοῦ σ' εἵνεκα δεῦρο κάλεσσα·
Ἐννῆμαρ δὴ νεῖκος ἐν ἀθανάτοισιν ὄρωρεν
Ἕκτορος ἀμφὶ νέκυϊ, καὶ Ἀχιλλῆϊ πτολιπόρθῳ·
Κλέψαι δ' ὠτρύνεσκον ἐΰσκοπον Ἀργειφόντην·
Αὐτὰρ ἐγὼ τόδε κῦδος Ἀχιλλῆϊ προτιάπτω,
Αἰδῶ καὶ φιλότητα τεὴν μετόπισθε φυλάσσων.
Αἶψα μάλ' ἐς στρατὸν ἐλθὲ, καὶ υἱέϊ σῷ ἐπίτειλον·
Σκύζεσθαί οἱ εἰπὲ θεοὺς, ἐμὲ δ' ἔξοχα πάντων
Ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν
Ἕκτορ' ἔχει παρὰ νηυσὶ κορωνίσιν, οὐδ' ἀπέλυσεν·
Αἴκεν πως ἐμέ τε δείσῃ, ἀπὸ θ' Ἕκτορα λύσῃ.

Sedebant frequentes beati dii immortales:
Ipsa autem Jovi patri assedit, cessitque Minerva.
Juno verò aureum pulchrum poculum in manu posuit;
Et consolabatur verbis: Thetis autem reddidit, postquàm bibisset.
Inter hos verò sermonem orsus est pater hominumque deûmque:
" Venisti ad-Olympum, dea Theti, moesta licèt,
" Luctum non-obliviscendum habens in praecordiis; novi et ipse:
" Sed et sic dicam, cujus te gratiâ huc vocavi:
" Novem-dies jam contentio inter immortales orta-est
" Hectoris de cadavere, et Achille urbium-vastatore:
" Furto autem surripere hortabantur speculatorem Argicîdam;
" At ego hanc gloriam Achilli tribuo,
" Reverentiam in te et amicitiam in posterum servans.
" Ocyùs ad castra descende, et filio tuo praecipe:
" Irasci ei dic Deos, meque supra omnes
" Immortales indignatum esse, quòd animo furenti
" Hectorem detinet apud naves recurvas, neque redemptum-reddidit:
" Si quo pacto meque vereatur, Hectoremque redemptum-reddat.

---

175 et 498. item ad π', 185. Εὐρύοπα, hoc in loco, est ab Εὐρύοψ.

Ver. 101. —— χρύσεον.] Pronuntiabatur χρύσουν. Prima enim necessariò producitur. Vide suprà ad ύ, 272. et ad ν', 523.

Ver. 103. —— πατὴρ ἀνδρῶν τε θεῶν τε.] Vide suprà ad ό, 12.

Ver. 107. —— ὄρωρεν.] Vide suprà ad β', 810. et ad ά, 37.

Ver. 108. —— ἀμφὶ νέκυϊ.] Vide suprà ad π', 321 et 526.

Ibid. —— Ἀχιλλῆϊ πτολιπόρθῳ.] Vide suprà ad β', 278.

Ver. 110. —— προτιάπτω.] *Al.* προϊάπτω.

Ver. 114 et 135. Ἀθανάτων.] Vide suprà ad ά, 398.

Ver. 115. 116. 118. —— ἀπέλυσεν· —— λύσῃ. —— Λύσασθαι.] Vide suprà ad ά, 20.

Ver. 116. —— τε δείσῃ.] Quâ ratione, τε, hîc producatur; item Ἀχιλλῆϊ, *ver.* 119 et 147. et τίς, *ver.* 149. et γάρ, *ver.* 153. vide suprà ad ά, 51.

Αὐτὰρ ἐγὼ Πριάμῳ μεγαλήτορι Ἶριν ἐφήσω,
Λύσασθαι φίλον υἱὸν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
Δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνη.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ Θέτις ἀργυρόπεζα·
Βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα.
Ἶξεν δ' ἐς κλισίην οὗ υἱέος, ἐν δ' ἄρα τόν γε
Εὗρ' ἀδινὰ στενάχοντα· φίλοι δ' ἀμφ' αὐτὸν ἑταῖροι
Ἐσσυμένως ἐπένοντο, καὶ ἐντύνοντ' ἄριστον·
Τοῖσι δ' ὄϊς λάσιος μέγας ἐν κλισίῃ ἱέρευτο.
Ἡ δὲ μάλ' ἄγχ' αὐτοῖο καθέζετο πότνια μήτηρ,
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τέκνον ἐμὸν, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων,
Σὴν ἔδεαι κραδίην, μεμνημένος οὐδέ τι σίτου,

" Caeterùm ego ad Priamum magnanimum Irin mittam,
" Ut-redimat dilectum filium, profectus ad naves Achivorum,
" Donaque Achilli ferat, quae animum placent."
Sic dixit: Neque non-obsecuta est dea Thetis pedes-argentea:
Descendit verò ab Olympi verticibus impetu-facto.
Pervenit autem ad tentorium sui filii, intusque illum
Invenit crebros effundentem gemitus; dilecti autem circum ipsum socii
Properè curabant, et apparabant prandium:
Illis verò ovis villosa magna in tentorio mactata erat.
Admodùm autem propè ipsum consedit veneranda mater,
Manuque ipsum demulsit, verbaque fecit, dixitque:
" Fili mi, quoúsque lugens et moerens,
" Tuum edes cor, memor neque cibi omninò,

Ver. 121. Βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα.] Vide suprà ad χ′, 187.

Ver. 122.— ἄρα.] Non hîc supervacaneum est istud "ἄρα." Sententiam enim connectit cum eo quod præcessit, *ver.* 3., &c.

Ver. 124. —— ἐντύνοντ' ἄριστον.] Ita necessariò legendum: *Al.* ἐντύνοντο ἄριστον. Quod nullo modo ferri potest; nam ἄριστον, *prandium*, primam producit:

Ὥρα ὅμως κ' εἰς οἶκον· ἀνάριστος Διοκλειδάς.
Theocrit. Idyll. XV, 146.

Καὶ πρὸς τούτοις ἀριστώσῃ τὸν Πειραιᾶ προσέμαξεν. *Aristoph. Equit.* 812.

Εἰς σὲ βλέψαι, καὶ τὸν ταμίαν ὁπότ' ἄριστον παραθήσει. *Id. Vesp.* 611.

Ἐπὶ τοῖσδε τοὺς πρέσβεις ἐπ' ἄριστον καλῶ.
Id. Avib. 1601.

Ἄριστον προτίθεντο καὶ ἄσθ' ἥδιστα μάσασθαι.
Id. Pace, 1280.

Δρᾷ ταῦθ' ἵν' ἀριστᾶτε ———.
Id. Ἐκκλησίαζ. 468.

Cæterùm de duorum priorum *Aristophanis* versuum rhythmo, vide suprà ad ζ′, 146. Porrò idem error irrepsit, *Odyss.* π′, 2.

Ἐντύνοντο ἄριστον ἅμ' ἠοῖ ———

qui tamen versus rectè scriptus occurrit apud *Athenæum, Lib.* I. *cap.* 9.

Ἐντύνοντ' ἄριστον ἅμ' ἠοῖ ———.

Malè igitur *Phil. Labbé*; "Ἀριστὸν, *prandium*," (inquit) melius primam breviat, "quamvis ἀνάριστος, *impransus*, secundam "extendat apud plerosque." *Prosodia, p.* 124. Vide suprà ad κ′, 299.

Ibid. —— ἄριστον.] Ἄριστον δὲ λέγει νῦν τὸ πρωϊνὸν ὃ ἡμεῖς λέγομεν ἀκράτισμα· ὥσπερ αὖ πάλιν τὸ παρ' ἡμῖν ἄριστον ὁ Ποιητὴς φησὶ δεῖπνον ———· τὸ δὲ δεῖπνον, δόρπον. *Schol.* Vide *Athenæum, lib.* I. *cap.* 9, 10. Item *Plutarchum, Symposiac. lib.* VIII. *Probl.* 6.

Ver. 127. Χειρί τέ μιν κατέρεξεν.]

——— dextrâque prehensum,
Continuit, roseoque hæc insuper addidit ore. *Æn.* II, 592.

Ver. 128.— τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων, Σὴν ἔδεαι κραδίην.] Ita suprà ζ′, 202.

Ὃν θυμὸν κατέδων ———.

Nec te tantus edat tacitam dolor ———.
Æn. XII, 801.

Ver. 129. —— οὐδέ τι σίτου.] *Al.* οὔτι τι σίτου. Quo modo legit et Codex *Harleianus.*

Οὔτ' εὐνῆς; ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι
Μίσγεσθ'· οὐ γάρ μοι δηρὸν βέῃ, ἀλλά τοι ἤδη
Ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή.
Ἀλλ' ἐμέθεν ξύνες ὦκα, Διὸς δέ τοι ἄγγελός εἰμι·
Σκύζεσθαί σοι φησὶ θεούς, ἓε δ' ἔξοχα πάντων
Ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν
Ἕκτορ' ἔχεις παρὰ νηυσὶ κορωνίσιν, οὐδ' ἀπέλυσας.
Ἀλλ' ἄγε δὴ λῦσον, νεκροῖο δὲ δέξαι ἄποινα.
  Τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Τῇδ' εἴη, ὃς ἄποινα φέροι, καὶ νεκρὸν ἄγοιτο,
Εἰ δὴ πρόφρονι θυμῷ Ὀλύμπιος αὐτὸς ἀνώγει.
  Ὣς οἵγ' ἐν νηῶν ἀγύρει μήτηρ τε καὶ υἱὸς
Πολλὰ πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον.
Ἶριν δ' ὄτρυνε Κρονίδης εἰς Ἴλιον ἱρήν·
  Βάσκ' ἴθι, Ἶρι ταχεῖα, λιποῦσ' ἕδος Οὐλύμποιο,
Ἄγγειλον Πριάμῳ μεγαλήτορι, Ἴλιον εἴσω,
Λύσασθαι φίλον υἱόν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν·
Δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ,

"Neque cubilis? Bonum verò mulieri in amore
"Misceri: Non enim mihi diù vives, sed tibi jam
"Propè adest mors et fatum violentum.
"Sed mihi ausculta ocyùs; Jovis enim tibi nuncia sum:
"Irasci tibi ait deos, seque supra omnes
"Immortales indignatum esse, quòd animo furenti
"Hectorem detines apud naves recurvas, neque redimi-passus-es.
"Sed agedum redemptum-redde, mortuique accipe pretia."
Hanc verò respondens allocutus est pedibus-velox Achilles:
"Huc adsit, qui pretium ferat, et cadaver asportet,
"Si quidem serio animo Olympius ipse jubet."
Sic hi quidem in navium coetu materque et filius
Multa inter se verba alata dicebant.
Irin autem impulit Saturnius ad Ilium sacram:
"Vade age, Iri velox, relictâ sede Olympi,
"Nuntia Priamo magnanimo, ad Ilium,
"Ut-redimat charum filium, profectus ad naves Achivorum;
"Donaque Achilli ferat, quae animum placent,

Ver. 130. — ἀγαθὸν δὲ.] Πάλιν αἴσχιστα δοκεῖ τὸν υἱὸν ἡ Θέτις ἐφ' ἡδονὰς παρακαλεῖν, καὶ ἀναμιμνήσκειν ἀφροδισίων· ἀλλὰ κἀνταῦθα δεῖ παραθεωρεῖν τὴν τοῦ Ἀχιλλέως ἐγκράτειαν, ὅτι τῆς Βρισηΐδος ἐρῶν, ἡκούσης πρὸς αὐτὸν, εἰδὼς τὴν τοῦ βίου τελευτὴν ἐγγὺς οὖσαν, οὐ σπεύδει τῶν ἡδονῶν πρὸς ἀπόλαυσιν· οὐδ' (ὥσπερ οἱ πολλοὶ) πενθεῖ τὸν φίλον ἀπραξίᾳ καὶ παραλείψει τῶν καθηκόντων, ἀλλὰ τῶν μὲν ἡδονῶν διὰ τὴν λύπην ἀπέχεται, ταῖς δὲ πράξεσι καὶ ταῖς στρατηγίαις ἐνεργός ἐστι. *Plutarch. de audiendis Poëtis.* Cæterùm locum hunc à Veterum nonnullis repudiatum testatur *Eustathius.*

Ver. 132. — παρέστηκεν.] Vide suprà ad δ', 434.

Ver. 138. Τὴν δ'.] Vide suprà ad ά, 57. et ad θ', 160.

Ver. 139. Τῇδ' εἴη, ὃς ἄποινα φέροι.] Ἐνταῦθα ἔστω, ἐνθάδε ἡκέτω ὁ κομίζων τὰ λύτρα. *Schol.*

Ibid. —— ἄγοιτο.] *Al.* ἄροιτο.

Ver. 140. Εἰ δὴ.] *Si reverà, ut dixisti* —.

Ver. 144. Βάσκ' ἴθι, Ἶρι ταχεῖα.]

Labere Nympha polo, finesque invise Latinos. *Æn.* XI, 588.

Vide et suprà ad ό, 158.

Οἶον, μηδέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.
Κῆρυξ τίς οἱ ἕποιτο γεραίτερος, ὅς κ' ἰθύνοι
Ἡμιόνους καὶ ἅμαξαν ἐΰτροχον, ἠδὲ καὶ αὖτις
Νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
Μηδέ τί οἱ θάνατος μελέτω φρεσὶ, μηδέ τι τάρβος·
Τοῖον γάρ οἱ πομπὸν ὀπάσσομεν Ἀργειφόντην,
Ὅς ἄξει, εἵως κεν ἄγων Ἀχιλῆϊ πελάσσῃ.
Αὐτὰρ ἐπὴν ἀγάγῃσιν ἔσω κλισίην Ἀχιλῆος,
Οὔτ' αὐτὸς κτενέει, ἀπό τ' ἄλλους πάντας ἐρύξει·
Οὔτε γάρ ἐστ' ἄφρων, οὔτ' ἄσκοπος, οὔτ' ἀλιτήμων·
Ἀλλὰ μάλ' ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός.
Ὣς ἔφατ'· ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα·
Ἶξεν δ' ἐς Πριάμοιο· κίχεν δ' ἐνοπήν τε γόον τε.
Παῖδες μὲν πατέρ' ἀμφὶ καθήμενοι ἔνδοθεν αὐλῆς,
Δάκρυσιν εἵματ' ἔφυρον· ὁ δ' ἐν μέσσοισι γεραιὸς
Ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος, ἀμφὶ δὲ πολλὴ

" Solus, neque quis alius unà Trojanorum eat vir.
" Praeco aliquis eum comitetur senior, qui dirigat
" Mulas et rhedam volubilem, atque retrò
" Mortuum asportet ad urbem, quem interfecit nobilis Achilles.
" Neque omninò ei mors obversetur animo, neque omninò terror:
" Talem enim ei ducem-viae dabimus Argicîdam,
" Qui ducet, usquedum ducendo prope Achillem constituerit.
" At postquàm duxerit intra tentorium Achillis,
" Neque ipse interficiet, aliosque omnes prohibebit:
" Neque enim est imprudens, neque temerarius, neque officii-negligens;
" Sed perquàm humanè supplici parcet viro."
Sic dixit: Surrexit autem Iris cursu-procellas-aequans nuntiatura:
Pervenit autem in Priami *domum;* invenit verò clamoremque luctumque.
Filii quidem patrem circumsedentes in aulâ,
Lachrymis vestimenta perfundebant: ipse verò in mediis senex
Obvoluta chlaenâ tectus; circúmque multus

Ver. 149. Κήρυξ.] Edidit *Barnesius* Κῆρυξ. Verum, ut opinor, minùs rectè. Vide suprà ad β', 267.

Ibid. —— ἰθύνοι.] Cod. *Harleian.* ἰθύνει. *Al.* ἰθύνῃ.

Ver. 150. 179. et 189. —— ἅμαξαν.] Vide infrà ad *ver.* 711 et 782.

Ver. 153. —— ὀπάσσομεν.] Rectè cum duplici σ. Vide suprà ad ά, 140.

Ver. 154. Ὅς ἄξει.] Edidit *Barnesius* ex conjecturâ Ὅς σφ' ἄξει· Minùs rectè: præsertim cùm hoc ad Priamum solum referri videatur. Cæterùm quâ ratione ferri possit Vulgata Lectio, vide suprà ad ά, 51.

Ver. 157. Οὔτε γὰρ ἔστ' ἄφρων, οὔτ' ἄσκοπος, οὔτ' ἀλιτήμων.] Ἐνταῦθα δὲ κατὰ τοὺς παλαιοὺς διέλαβεν ὁ Ποιητὴς διαταχίων, ὅθεν ἔρχονται εἰς τὸ ἀδικεῖν ἄνθρωποι· ἢ γὰρ δι' ἀσυνεσίαν, ὃ δηλοῦται διὰ τοῦ "ἄφρων" ἢ ἀκόντως, ὃ δηλοῖ Ὅμηρος διὰ τοῦ "ἄσκοπος," ὃ σημαίνει τὸν μὴ τοῦ συμφέροντος προνοούμενον ——· ἢ ἑκουσίως, ὃ διὰ τοῦ "ἀλιτήμων" ἐδήλωσεν· ἀλιτήμων γὰρ ὁ ἑκουσίως ἁμαρτάνων. *Eustath.*

Ver. 158 et 187. —— ἱκέτεω πεφιδήσεται.] Pronuntiabatur ἱκέτω.

Ver. 161. Παῖδες μὲν πατέρ' ἀμφὶ.]

Hîc matres, miseræque nurus, hîc cara sororum
Pectora mœrentum, puerique parentibus orbi. *Æn.* XI, 215.

Ibid. αὐλῆς.] Τοῦ περιτετειχισμένου καὶ ὑπαίθρου τόπου. *Etymolog. Magn.* à *Barnesio* citatum.

Ver. 163. Ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος.] Οὕτως φησὶν αὐτὸν κεκαλύφθαι τῇ χλαινίδι ἐντετυπωμένοις ἱματίοις ὅλον τὸ σῶμα, ὥστε μόνον τὸν τῶν μελῶν τύπον φαίνεσθαι. *Schol.*

Κόπρος ἔην κεφαλῇ τε καὶ αὐχένι τοῖο γέροντος,
Τήν ῥα κυλινδόμενος καταμήσατο χερσὶν ἑῇσι.
Θυγατέρες δ' ἀνὰ δώματ', ἰδὲ νυοὶ, ὠδύροντο,
Τῶν μιμνησκόμεναι, οἳ δὴ πολέες τε καὶ ἐσθλοὶ
Χερσὶν ὑπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες.
Στῆ δὲ παρὰ Πρίαμον Διὸς ἄγγελος, ἠδὲ προσηύδα,
Τυτθὸν φθεγξαμένη, (τὸν δὲ τρόμος ἔλλαβε γυῖα·)
Θάρσει, Δαρδανίδη Πρίαμε, φρεσὶ, μηδέ τι τάρβει·
Οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τόδ' ἱκάνω,
Ἀλλ' ἀγαθὰ φρονέουσα· Διὸς δέ τοι ἄγγελός εἰμι,
Ὅς σευ, ἄνευθεν ἐὼν, μέγα κήδεται, ἠδ' ἐλεαίρει·
Λύσασθαί σ' ἐκέλευσεν Ὀλύμπιος Ἕκτορα δῖον,
Δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ,
Οἶον, μηδέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.
Κῆρυξ τίς τοι ἕποιτο γεραίτερος, ὅς κ' ἰθύνοι
Ἡμιόνους καὶ ἅμαξαν ἐΰτροχον, ἠδὲ καὶ αὖτις
Νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.

Fimus *affusus* erat capitique et cervici senis,
Quem quidem volutatus affatim injecerat manibus suis.
Filiae verò per aedes, et nurus, lamentabantur,
Illorum recordantes, qui jam multique et strenui
Manibus sub Argivorum jacebant, vitâ privati.
Stetit autem juxta Priamum Jovis nuncia, atque allocuta est,
Summissâ voce, (illum autem tremor occupabat artus):
" Confide, Dardanide Priame, animo, neque omninò formida:
" Non enim tibi ego malum vaticinatura huc venio,
" Sed benevolo animo; Jovis autem tibi nuncia sum,
" Qui tuî, procul licèt sit, magnam curam habet, et miseretur:
" Redimere te jubet Olympius Hectora nobilem,
" Donaque Achilli ferre, quae animum placent,
" Solum, neque quis alius unà Trojanorum eat vir.
" Praeco aliquis te comitetur senior, qui regat
" Mulas et rhedam volubilem, atque retrò
" Mortuum asportet ad urbem, quem interfecit nobilis Achilles.

Ver. 164. Κόπρος.] Κοινῶς μὲν, τὰ κόπρια· νῦν δὲ, ἡ κόνις. *Schol.*

Ver. 165. Τήν ῥα.] *Quam utique* ———. *Quam scilicèt* ———.

Ibid. — καταμήσατο.] *Al.* κατεμήσατο. Malè: Fit enim ex ἀμάω. Utì notavit *Barnesius.*

Ver. 166. Θυγατέρες.] Vide suprà ad ά, 398.

Ibid. —— ἰδὲ νυοὶ.] Quâ ratione, ἰδὲ, hîc ultimam producat; item Ἀχιλλῆϊ, *ver.* 176. et τις, *ver.* 178. vide suprà ad ά, 51.

Ibid. —— ὠδύροντο.] *Al.* ὠδύραντο. Sed minùs rectè. Vide suprà ad ν', 84.

Ver. 171. —— μηδέ τι τάρβει.]
—— timor omnis abesto. *Æn.* XI, 14.

Ver. 172. Οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τόδ' ἱκάνω.] Τουτέστιν, οὐ κακὸν κληδονιζομένη. *Porphyr. Quæst. Homeric.* 16. Vide suprà ad ά, 105.

Ver. 173. —— Διὸς δέ τοι ἄγγελός εἰμι, Ὅς σευ, ἄνευθεν ἐὼν, —— ἐλεαίρει.]
Imperio Jovis huc venio, qui ———
—— cœlo tandem miseratus ab alto est.
Æn. V, 726.

Ver. 175 et 195. Λύσασθαί.] Vide suprà ad ά, 20.

Ver. 178. Κῆρυξ.] Vide suprà ad *ver.* 149.

Ibid. —— ἰθύνοι.] *Al.* ἰθύνῃ. Ut suprà *ver.* 149.

Μηδέ τί τοι θάνατος μελέτω φρεσὶ, μηδέ τι τάρβος·
Τοῖος γάρ τοι πομπὸς ἅμ' ἕψεται Ἀργειφόντης,
Ὅς σ' ἄξει, εἵως κεν ἄγων Ἀχιλῆϊ πελάσσῃ.
Αὐτὰρ ἐπὴν ἀγάγῃσιν ἔσω κλισίην Ἀχιλῆος,
Οὔτ' αὐτὸς κτενέει, ἀπό τ' ἄλλους πάντας ἐρύξει·
Οὔτε γάρ ἐστ' ἄφρων, οὔτ' ἄσκοπος, οὔτ' ἀλιτήμων·
Ἀλλὰ μάλ' ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός.
Ἡ μὲν ἄρ' ὡς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ἶρις.
Αὐτὰρ ὅγ' υἷας ἄμαξαν ἐΰτροχον ἡμιονείην
Ὁπλίσαι ἠνώγει, πείρινθα δὲ δῆσαι ἐπ' αὐτῆς·
Αὐτὸς δ' ἐς θάλαμον κατεβήσετο κηώεντα,
Κέδρινον, ὑψόροφον, ὃς γλήνεα πολλὰ κεχάνδει,
Ἐς δ' ἄλοχον Ἑκάβην ἐκαλέσσατο, φώνησέν τε·
Δαιμονίη, Διόθεν μοι Ὀλύμπιος ἄγγελος ἦλθε,
Λύσασθαι φίλον υἱὸν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
Δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, τί τοι φρεσὶν εἴδεται εἶναι;
Αἰνῶς γάρ μ' αὐτόν γε μένος καὶ θυμὸς ἀνώγει,

" Neque omninò tibi mors obversetur animo, neque omninò terror:
" Talis enim te dux-viae comitabitur Argicida,
" Qui te ducet, usquedùm ducendo prope Achillem constituerit.
" At postquàm duxerit intra tentorium Achillis,
" Neque ipse interficiet, aliosque omnes prohibebit:
" Neque enim est imprudens, neque temerarius, neque officii-negligens;
" Sed perquàm humanè supplici parcet viro."
Illa quidem sic locuta abiit pedibus velox Iris.
Sed is filios rhedam volubilem mulinam
Apparare jussit, arcamque ligare super ipsâ:
Ipse autem in thalamum descendit odoratum,
Cedrinum, tecto-excelso, qui pretiosa multa continebat,
Introque uxorem Hecubam vocavit, dixitque:
" Infelix, à Jove mihi Olympia nuncia venit,
" Ut-redimerem dilectum filium, profectus ad naves Achivorum,
" Donaque Achilli ferrem, quae animum placent.
" Sed age mihi hoc dic, quid tibi in praecordiis videtur esse?
" Valdè enim me ipsum quidem animus et mens jubet,

Ver. 183. —— πελάσσῃ.] Sic suprà *ver.* 154. Vide suprà ad ν', 1.

Ver. 190. Ὁπλίσαι ἠνώγει.] Vide suprà ad ά, 140.

Ibid. —— πείρινθα.] Τὸ ἐπικείμενον τῇ ἀμάξῃ πλινθίον, ἐφ' οὗ φέρουσι τὰ φορτία. *Schol.* Πείρινθα δὲ τὸ πλινθίον τὸ ἄνω τῆς ἀμάξης, ὅπου τὰ φορτία ἐπιτίθενται· ὃ καὶ ὑπερτερίη λέγεται, διὰ τὸ ὑπερκεῖσθαι τοῦ ἄξονος. *Eustath.*

Ibid. —— ἐπ' αὐτῆς.] *Al.* ἀπ' αὐτῆς.

Ver. 191. —— κατεβήσετο.] *Al.* κατεβήσατο. Vide suprà ad β', 35. et ad ἐ, 109.

Ver. 192. —— ὑψόροφον, ὃς.] Quâ ratione, ὑψόροφον, hîc ultimam producat; item ἄλοχον, *ver.* 193. et Ἀχιλλῆϊ, *ver.* 196. et ἐνὶ, *ver.* 219. et ἅλιον, *ver.* 224. vide suprà ad ά, 51.

Ibid. —— γλήνεα.] Τὰ μὴ ῥερυπωμένα ἱμάτια, ἀλλὰ στιλπνὰ, διὰ καθαρότητα. *Porphyr. Quæst. Homeric.* 9.

Ibid. — κεχάνδει.] Cod. *Harleian.* κεχάνδη.

Ver. 194. Δαιμονίη.] Habet hæc vox apud *Homerum* semper aliquam *Increpationis* significationem, sed non semper acerbam. *Camerarius.*

Ver. 197. —— τί τοι φρεσὶν εἴδεται εἶναι;]
Nate Dea, quæ nunc animo sententia surgit? *Æn.* I. 586.

Κεῖσ' ἰέναι, ἐπὶ νῆας ἔσω στρατὸν εὐρὺν Ἀχαιῶν.
Ὣς φάτο· κώκυσεν δὲ γυνὴ, καὶ ἀμείβετο μύθῳ·
Ὤ μοι, πῆ δή τοι φρένες οἴχονθ', ᾗς τὸ πάρος περ
Ἔκλε' ἐπ' ἀνθρώπους ξείνους, ἠδ' οἷσιν ἀνάσσεις;
Πῶς ἐθέλεις ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
Ἀνδρὸς ἐς ὀφθαλμοὺς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
Υἱέας ἐξενάριξε; σιδήρειον νύ τοι ἦτορ·
Εἰ γάρ σ' αἱρήσει καὶ ἐσόψεται ὀφθαλμοῖσιν
Ὠμηστὴς καὶ ἄπιστος ἀνὴρ ὅδε, οὔ σ' ἐλεήσει,
Οὐδέ τί σ' αἰδέσεται· νῦν δὲ κλαίωμεν ἄνευθεν
Ἥμενοι ἐν μεγάρῳ· τῷ δ' ὥς ποθι Μοῖρα κραταιὴ
Γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκον αὐτὴ,
Ἀργίποδας κύνας ἆσαι, ἑῶν ἀπάνευθε τοκήων,
Ἀνδρὶ παρὰ κρατερῷ, τοῦ ἐγὼ μέσον ἧπαρ ἔχοιμι
Ἐσθέμεναι προσφῦσα· τότ' ἄντιτα ἔργα γένοιτο
Παιδὸς ἐμοῦ· ἐπεὶ οὔ ἑ κακιζόμενόν γε κατέκτα,
Ἀλλὰ πρὸ Τρώων καὶ Τρωϊάδων βαθυκόλπων
Ἑσταότ', οὔτε φόβου μεμνημένον, οὔτ' ἀλεωρῆς.
Τὴν δ' αὖτε προσέειπε γέρων Πρίαμος θεοειδής·

"Illuc ire, ad naves in castra lata Achivorum."
Sic dixit: Ejulavit autem uxor, et respondit verbis:
"Hei mihi, quò jam tibi prudentia abiit, quà antehàc quidem
"Celebris-eras per homines exteros, atque quibus imperas?
"Quo pacto vis ad naves Achivorum ire solus,
"Viri in conspectum, qui tibi multosque et fortes
"Filios interfecit? ferreum certè tibi cor:
"Si enim te capiet et inspiciet oculis
"Crudelis et infidus vir iste, non tuî miserebitur,
"Neque omninò te reverebitur: nunc verò defleamus seorsùm
"Sedentes in aedibus: huic autem sic olim fatum violentum
"Nascenti nevit lino, quandò eum peperi ipsa,
"Pedibus-celeres canes ut satiaret, seorsùm à parentibus,
"Virum apud violentum; cujus ego medium hepar utinam tenerem
"Comedendum adhaerens: tunc repensa quae fecit essent
"Filio meo: haud enim ipsum ignavè se-gerentem occîdit,
"Sed pro Trojanis et Troadibus profundos-sinus-habentibus
"Stantem, neque fugae memorem, neque declinationis."
Eam verò rursùs allocutus est senex Priamus diis-similis:

Ver. 200. —— *κώκυσεν.*] Vide suprà ad σ', 37. *Al.* *κώλυσεν.*

Ver. 201. *Ὤ μοι, πῆ δή τοι φρένες οἴχονθ'.*] Infelix! quæ tanta animum dementia cepit? *Æn.* V, 465.

Ver. 202. Ἔκλε'.] *Al.* Ἔκλευ.

Ver. 207. —— *ὅδε.*] *Al.* *ὅγε.*

Ver. 211. —— *ἀπάνευθε.*] Vide suprà ad ά, 349.

Ver. 213. —— *τότ' ἄντιτα ἔργα γένοιτο.*] Vide suprà ad ξ', 484. et ad χ', 19.

Ver. 214. —— *ἐπεὶ οὔ ἑ κακιζόμενόν.*] *Αἱ κοιναὶ, ἤγουν αἱ πλείους ἐκδόσεις γράφουσιν, "ἐπεὶ "οὔτι κακιζόμενον."* *Eustath.* Vide suprà ad ν', 344. et ό, 11.

Ver. 217. —— θεοειδής.] *Ἀποβλέποιεν πρός τε τὸ φύσει δίκαιον καὶ καλὸν καὶ σῶφρον, καὶ πάντα τὰ τοιαῦτα, καὶ πρὸς ἐκεῖνο αὖ ὃ ἐν τοῖς ἀνθρώποις ἐμποιοῖεν, ξυμμιγνύντες τε καὶ κεραννύντες ἐκ τῶν ἐπιτηδευμάτων, τὸ "Ἀνδρείκε-*

Μή μ' ἐθέλοντ' ἰέναι κατερύκανε, μηδέ μοι αὐτὴ
Ὄρνις ἐνὶ μεγάροισι κακὸς πέλευ· οὐδέ με πείσεις.
Εἰ μὲν γάρ τις μ' ἄλλος ἐπιχθονίων ἐκέλευεν,
Ἢ οἳ μάντεές εἰσι, θυοσκόοι, ἢ ἱερῆες,
Ψεῦδός κεν φαῖμεν, καὶ νοσφιζοίμεθα μᾶλλον·
Νῦν δ', (αὐτὸς γὰρ ἄκουσα θεοῦ, καὶ ἐσέδρακον ἄντην,)
Εἶμι, καὶ οὐχ ἅλιον ἔπος ἔσσεται· εἰ δέ μοι αἶσα
Τεθνάμεναι παρὰ νηυσὶν Ἀχαιῶν χαλκοχιτώνων,
Βούλομαι· αὐτίκα γάρ με κατακτείνειεν Ἀχιλλεὺς,
Ἀγκὰς ἑλόντ' ἐμὸν υἱὸν, ἐπὴν γόου ἐξ ἔρον εἵην.
Ἦ, καὶ φωριαμῶν ἐπιθήματα κάλ' ἀνέωγεν·
Ἔνθεν δώδεκα μὲν περικαλλέας ἔξελε πέπλους,
Δώδεκα δ' ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,
Τόσσα δὲ φάρεα καλὰ, τόσους δ' ἐπὶ τοῖσι χιτῶνας.

" Ne me volentem ire retine, neque mihi ipsa
" Avis in aedibus mala sis: neque enim mihi persuadebis.
" Nam si alius quidem me aliquis terrestrium jussisset,
" Seu qui vates sunt, aruspices, vel sacerdotes,
" Mendacium certe crederemus, et aversaremur magis:
" Nunc verò, (ipse enim audivi deum, et aspexi coràm,)
" Ibo, et non irritus sermo erit: si verò mihi fatum
" Mori apud naves Achivorum aere-loricatorum,
" Volo: Statim enim me interfecerit Achilles,
" Ulnis complexum meum filium, postquàm luctûs desiderium exemero."
Dixit; et arcarum opercula pulchra aperuit:
Indè duodecim quidem perpulchros exemit peplos,
Duodecimque simplices chlaenas, totidemque tapetas,
Totidemque pallia pulchra, totidem ad haec tunicas.

" λον" ἀπ' ἐκείνου τεκμαιρόμενοι, ὃ δὴ καὶ Ὅμηρος ἐκάλεσεν, ἐν τοῖς ἀνθρώποις ἐγγιγνόμενον, " Θεοειδές" τε, καὶ " Θεοείκελον." *Plato de Republ. Lib.* VI.

Ver. 218. Μή μ' ἐθέλοντ' ἰέναι κατερύκανε.]
Ne, quæso, ne me lacrymis, neve omine tanto
Prosequere, in duri certamina Martis euntem. *Æn.* XII, 72.
———— absiste morari;
Quò Deus, et quò dura vocat fortuna, sequamur. *Ibid.* 676.

Ver. 219. —— κακὸς.] Cod. *Harleian.* κακή.

Ver. 220. Εἰ μὲν γάρ.] Refertur istud γάρ, non ad id quod proximè præcessit, sed ad id quod elegantiùs reticetur: *Neque me temeritatis incuses;* Vel, *Neque me istiusmodi iter rationibus inidoneis suscepisse credideris; Si ENIM, &c.* Vide suprà ad έ, 22.

Ver. 221. Ἢ οἳ.] *Al.* Οἷοι.

Ibid. — μάντιες.] Cod. *Harleian.* μάντιες.

Ibid. —— θυοσκόοι.] Οἱ τὰς θυσίας ἐπιτελοῦντες, καὶ δι' αὐτῶν μαντευόμενοι· ἢ οἱ λιβανομάντεις. *Schol. Al.* θυοσκόποι.

Ver. 223. Νῦν δ', (αὐτὸς γὰρ ἄκουσα θεοῦ, καὶ ἐσέδρακον ἄντην.)]
Nunc etiam interpres Divûm, Jove missus ab ipso
(Testor utrumque caput) celeres mandata per auras
Detulit; ipse Deum manifesto in lumine vidi
Intrantem muros, vocemque his auribus hausi. *Æn.* IV, 356.

Ibid. ——— ἐσέδρακον.] Vide suprà ad β', 314.

Ver. 224. —— ἅλιον ἔπος ἔσσεται.] *Al.* ἁλίη ὁδὸς ἔσσεται· Utì *Odyss.* β', 318. Quam lectionem et præfert *Barnesius.* Verùm, ut opinor, minùs rectè.

Ver. 227. Ἀγκὰς.] Vide suprà ad ξ', 346.

Ver. 228. 231. 267. —— κάλ', —— καλὰ, —— Καλὴν.] Vide suprà ad β', 43.

Ver. 230. Δώδεκα δ' ἁπλοΐδας χλαίνας.] *Heraclides Ponticus* legit Δώδεκα διπλοΐδας χλαίνας.

Χρυσοῦ δὲ στήσας ἔφερεν δέκα πάντα τάλαντα·
Ἐκ δὲ δύ' αἴθωνας τρίποδας, πίσυρας δὲ λέβητας,
Ἐκ δὲ δέπας περικαλλὲς, ὅ οἱ Θρῆκες πόρον ἄνδρες
Ἐξεσίην ἐλθόντι, μέγα κτέρας· οὐδέ νυ τοῦ περ
Φείσατ' ἐνὶ μεγάροις ὁ γέρων· περὶ δ' ἤθελε θυμῷ
Λύσασθαι φίλον υἱόν· ὁ δὲ Τρῶας μὲν ἅπαντας
Αἰθούσης ἀπέεργεν, ἔπεσσ' αἰσχροῖσιν ἐνίσσων·
  Ἔῤῥετε, λωβητῆρες, ἐλεγχέες· οὔ νυ καὶ ὑμῖν
Οἴκοι ἔνεστι γόος, ὅτι μ' ἤλθετε κηδήσοντες;
Ἦ οὔνεσθ', ὅτι μοι Κρονίδης Ζεὺς ἄλγε' ἔδωκε,
Παῖδ' ὀλέσαι τὸν ἄριστον; ἀτὰρ γνώσεσθε καὶ ὔμμες·
Ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖσιν δὴ ἔσεσθε,
Κείνου τεθνειῶτος, ἐναιρέμεν· αὐτὰρ ἔγωγε,
Πρὶν ἀλαπαζομένην τε πόλιν, κεραϊζομένην τε,
Ὀφθαλμοῖσιν ἰδεῖν, βαίην δόμον Ἄϊδος εἴσω.
  Ἦ, καὶ σκηπανίῳ δίεπ' ἀνέρας· οἱ δ' ἴσαν ἔξω,
Σπερχομένοιο γέροντος· ὁ δ' υἱάσιν οἷσιν ὁμόκλα

Auri etiam appensa extulit decem omnia talenta:
Extulit et duos splendidos tripodas, quatuorque lebetas,
Extulit et poculum perpulchrum, quod ei Thraces dederant viri
In legationem profecto, magnum donum: Nec tamen ei
Pepercit in aedibus senex; summè enim cupiebat animo
Redimere dilectum filium: Hic autem Trojanos quidem omnes
A porticu arcebat, verbis contumeliosis increpans:
" Abite, perditi, probris-digni: non utique et vobis
" Domi inest luctus, quòd me venistis tristitiâ affecturi?
" An parvi-penditis, quòd mihi Saturnius Jupiter dolores dedit,
" Filium ut perderem fortissimum? Sed sentietis et ipsi:
" Faciliores enim multò Achivis jam eritis,
" Illo mortuo, occisu: at ego certè,
" Antequàm direptamque urbem, vastatamque,
" Oculis videro, descendero in domum orci."
Dixit, et scipione persequens-abigebat viros; illi autem exibant,
Urgente sene: Is verò filios suos increpabat

Ver. 232. Χρυσοῦ δὲ στήσας.] Τὸ δὲ στήσας, ἀντὶ τοῦ σταθμήσας, ὡς πρὸς ἀκρίβειαν, ἵνα μὴ καὶ ψεύσηται τὸν σταθμὸν, τυχὸν ἐρωτηθείς. *Eustath.* Vide suprà ad ν', 745.

Ibid. — δέκα πάντα τάλαντα.] *Talenta non pauciora quàm decem.* Vide suprà ad σ', 373. et 470. et ad τ', 247.

Ver. 235. Ἐξεσίην ἐλθόντι.] Κατὰ δημοσίας ἔξοδον πρεσβείας. *Schol. Al.* Ἐξεσίην δ' ἐλθόντι.

Ver. 236. Φείσατ' ἐνὶ μεγάροις.] Quâ ratione, ἐνὶ, hîc ultimam producat; item Πρὶν, ver. 245. vide suprà ad ά, 51.

Ver. 237. Λύσασθαι.] Vide suprà ad ά, 20.

Ver. 238. —— ἀπέεργεν.] Vide suprà ad ν', 84. et ad ά, 37. *Al.* ἀνέεργεν.

Ibid. —— ἐνίσσων.] *Al.* ἐνίπτων. Quæ et proba lectio. Vide suprà ad ό, 546. *Al.* ἐνίσπων.

Ver. 239. Ἔῤῥετε, λωβητῆρες, ἐλεγχέες.] Δεῖ δὲ μήτε —— αὐτῇ (ὀργῇ) διδόναι τόπον —— δυστυχοῦντας· ἀφαιρεῖ γὰρ τὸν ἔλεον, ὅταν δυσκολαίνωσι, καὶ μάχωνται τοῖς συναχθομένοις· ὡς ὁ Πρίαμος, " Ἔῤῥετε λωβητῆρες, ἐλεγχέες· οὔ νυ " καὶ ὑμῖν Ἐστὶ γόος, ὅτι μ' ἤλθετε κηδήσοντες." *Plutarch.* περὶ ἀοργησίας.

Ver. 241. Ἦ οὔνεσθ'.] Ἦ ἐφηδεσθέ μοι, καὶ ἐπὶ ταῖς συμφοραῖς εὐφραίνεσθε; ἀπὸ τοῦ ὄνασθαι· ἢ, ἐκφαυλίζετε καὶ μικρὸν ἡγεῖσθε; *Schol. Al.* Ἦ τ' οὔνεσθ'.

Ver. 244. —— τεθνειῶτος.] Vidè suprà ad ν', 46. et ad ζ', 464.

Νεικείων, Ἕλενόν τε, Πάριν τ', Ἀγάθωνά τε δῖον,
Πάμμονά τ', Ἀντίφονόν τε, βοὴν ἀγαθόν τε Πολίτην,
Δηΐφοβόν τε, καὶ Ἱππόθοον, καὶ Δῖον ἀγαυόν.
Ἐννέα τοῖς ὁ γεραιὸς ὁμοκλήσας ἐκέλευε·
Σπεύσατέ μοι, κακὰ τέκνα, κατηφόνες· αἴθ' ἅμα πάντες
Ἕκτορος ὠφέλετ' ἀντὶ θοῇς ἐπὶ νηυσὶ πεφάσθαι.
Ὤ μοι ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίῃ ἐν εὐρείῃ, τῶν δ' οὔτινα φημὶ λελεῖφθαι·
Μήστορά τ' ἀντίθεον, καὶ Τρωΐλον ἱππιοχάρμην,
Ἕκτορά θ', ὃς θεὸς ἔσκε μετ' ἀνδράσιν, οὐδὲ ἐῴκει
Ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι, ἀλλὰ θεοῖο·
Τοὺς μὲν ἀπώλεσ' Ἄρης, τὰ δ' ἐλέγχεα πάντα λέλειπται,
Ψεῦσταί τ', ὀρχησταί τε, χοροιτυπίῃσιν ἄριστοι,

Objurgans, Helenumque, Parinque, Agathonaque nobilem,
Pammonaque, Antiphonumque, pugnâque strenuum Politen,
Deïphobumque, et Hippothoum, et nobilem Dium.
Novem his senex increpans mandabat:
" Festinate mihi, ignavi filii, probrosi; utinam simul omnes
" Pro Hectore veloces ad naves interfecti fuissetis.
" Hei mihi infelicissimo; genui enim filios fortissimos
" Trojâ in latâ, quorum nullum dico reliquum esse:
" Mestoraque divinum, et Troïlum ex-curru-pugnacem,
" Hectoraque, qui deus erat inter viros, neque videbatur
" Viri utique mortalis filius esse, sed dei:
" Hos quidem perdidit Mars, haec verò probra mera supersunt,
" Mendaces, saltatoresque, choreis praestantissimi,

Ver. 250. —βοὴν ἀγαθόν.] Vide suprà ad β', 408.

Ver. 251. Δηΐφοβόν τε.] Ἀλεξάνδρου τοξευθέντος ὑπὸ Φιλοκτήτου, Πρίαμος τὸν Ἑλένης γάμον ἔπαθλον ἔθηκε τῷ ἀριστεύσαντι κατὰ τὴν μάχην· Δηΐφοβος δὲ γενναῖος [*Al.* γεναίως] ἀγωνισάμενος ἔγημεν αὐτήν· ἡ ἱστορία παρὰ Λυκόφρονι. *Schol.* Vide ad *Odyss.* δ', 276. et θ', 517.

Ibid. —— Δῖον ἀγαυόν.] Ita ex *Eustathio* edidit *Barnesius*. *Al.* δῖον Ἀγαυόν.

Ver. 254. —— ἀντὶ θοῇς ἐπὶ νηυσὶ πεφάσθαι.] Vide suprà ad ξ', 471.

Ver. 255. Ὤ μοι ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας.] Ita *Hecuba* apud *Euripidem*:

Κἀνταῦθ' ἀριστεύοντ' ἐγεινάμην τέκνα —
Κἀκεῖνά τ' εἶδον δορὶ πεσόνθ' Ἑλληνικῷ.
Euripid. Troad. ver. 475. 479.

Ver. 258. —— ἔσκε.] *Esse solebat.* Vide suprà ad *ver.* 67.

Ibid. —— οὐδὲ ἐῴκει Ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι.] Τῶν περὶ τὰ ἤθη φευκτῶν τρία ἐστὶν εἴδη, κακία, ἀκρασία, θηριότης. Τὰ δ' ἐναντία, τοῖς μὲν δυσὶ, δῆλα· τὸ μὲν γὰρ ἀρετὴν, τὸ δ' ἐγκράτειαν καλοῦμεν· πρὸς δὲ τὴν θηριότητα, μάλιστ' ἂν ἁρμόττοι λέγειν τὴν ὑπὲρ ἡμᾶς ἀρετὴν ἡρωϊκήν τινα καὶ θείαν, ὥσπερ Ὅμηρος περὶ Ἕκτορος πεποίηκε λέγοντα τὸν Πρίαμον ὅτι σφόδρα ἦν ἀγαθὸς, " —— οὐδὲ ἐῴκει Ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι, ἀλλὰ θεοῖο." *Aristot. Ethic. Lib.* VII. *cap.* 1.

Ver. 260. —— τὰ δ' ἐλέγχεα πάντα λέλειπται.]

At non in Venerem segnes nocturnaque bella,
Aut ubi curva choros indixit tibia Bacchi,
Expectare dapes, et plenæ pocula mensæ.
Hic amor, hoc studium ———.
Æn. XI, 736.

Ibid. —— λέλειπται.] Si λέλειπτο dixisset, jam non constitisset Temporum ratio. Vide suprà ad ά, 37.

Ver. 261. Ψεῦσταί.] *Dion. Chrysostomus, Orat.* 32. legit Μῖμοι.

Ibid. — ὀρχησταί τε, χοροιτυπίῃσιν ἄριστοι.]

Vobis picta croco et fulgenti murice vestis;
Desidiæ cordi: juvat indulgere choreis;
Et tunicæ manicas, et habent redimicula mitræ.
Æn. IX, 614.

Ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.
Οὐκ ἂν δή μοι ἅμαξαν ἐφοπλίσσαιτε τάχιστα,
Ταῦτά τε πάντ' ἐπιθεῖτε, ἵνα πρήσσωμεν ὁδοῖο;
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πατρὸς ὑποδδείσαντες ὁμοκλὴν,
Ἐκ μὲν ἅμαξαν ἄειραν ἐΰτροχον ἡμιονείην,
Καλὴν, πρωτοπαγῆ· πείρινθα δὲ δῆσαν ἐπ' αὐτῆς,
Κὰδ δ' ἀπὸ πασσαλόφιν ζυγὸν ᾕρεον ἡμιόνειον,
Πύξινον, ὀμφαλόεν τ', εὖ οἰήκεσσιν ἀρηρός.
Ἐκ δ' ἔφερον ζυγόδεσμον ἅμα ζυγῷ ἐννεάπηχυ·
Καὶ τὸ μὲν εὖ κατέθηκαν ἐϋξέστῳ ἐπὶ ῥυμῷ,
Πέζῃ ἔπι πρώτῃ, ἐπὶ δὲ κρίκον ἕστορι βάλλον·
Τρὶς δ' ἑκάτερθεν ἔδησαν ἐπ' ὀμφαλόν· αὐτὰρ ἔπειτα

"Agnorum atque hoedorum publici raptores.
"Non tandem mihi rhedam apparaveritis celerrimè,
"Haecque omnia imposueritis, ut perficiamus iter?"
Sic dixit: hi verò patris veriti increpationem,
Rhedam quidem extulerunt volubilem mulinam,
Pulchram, recens compactam; arcamque ligârunt super ipsâ,
Atque à paxillo jugum detraxerunt mulinum,
Buxeum, et umbilico-ornatum, scitè annulis aptatum.
Extulerunt et lorum jugale unà cum jugo novem-cubitorum;
Et hoc quidem benè accommodârunt elegantèr-polito temoni,
Parte in extremâ, annulumque clavo-temonis superposuerunt:
Ter verò utrinque ligârunt ad umbilicum; et deindè

——— choreis aptior et jocis,
Ludoque dictus; non sat idoneus
Pugnæ ———.

Horat. Carm. Lib. II. *Od.* xix. *ver.* 25.

Ibid. ——— χοροιτυπίῃσιν.] Cod. *Harleian.* χοροιτυπίεσσιν.

Ver. 262. ——— ἐπιδήμιοι ἁρπακτῆρες.] Τὰ τῶν πολιτῶν ἁρπάζοντες. *Schol.* Πρίαμος δὲ παρὰ τῷ Ποιητῇ καὶ ὀνειδίζει τοῖς υἱοῖς ἀναλίσκουσι τὰ μὴ νενομισμένα, "Ἀρνῶν ἠδ' ἐρίφων "ἐπιδήμιοι ἁρπακτῆρες." *Athenæus, lib.* I. *cap.* 8.

Ver. 263 et 266. ——— ἅμαξαν.] Vide infrà ad *ver.* 711 et 782. *Al.* ἄμαξαν.

Ibid. — ἐφοπλίσσαιτε.] Ita edidit *Barnesius. Al.* ἐφοπλίσαιτε, et ἐφοπλίσητε. Quæ ferri non possunt. Vide suprà ad *ver.* 190. et ad ψ', 55.

Ver. 264. ——— ἐπιθεῖτε.] *Al.* ἐπιθῆτε.

Ibid. — πρήσσωμεν.] Vide suprà ad ν', 192.

Ver. 265. ——— ἄρα.] *Ut par, ut æquum erat* ———. *Ut debuerunt* ———.

Ver. 267. ——— πρωτοπαγῆ.] Cod. *Oxon.* à *Barnesio*, itemque Cod. *Harleian.* à *Tho. Bentleio* collatus habet πρωτοπαγία. Quod eodem modo pronuntiandum.

Ibid. ——— πείρινθα.] Vide suprà ad *ver.* 190.

Ver. 268. ——— πασσαλόφιν.] Vide suprà ad γ', 588.

Ver. 269. ——— ὀμφαλόεν τ', εὖ.] Ita edidit *Barnesius* propter sequentem ἀρηρός. Quocum facit *Henricus Stephanus. Vulgg.* ὀμφαλόεντ' εὖ. *Eustathius* itemque Codex *Harleianus* legit ὀμφαλόεν εὖ. Quæ fortè et verior lectio. Vide suprà ad ά, 51. Porrò vocem ὀμφαλόεν *Scholiastes* exponit κεκοσμημένον. *Eustathius* autem, Ὀμφαλόεν δὲ, inquit, τὸ ἢ κύκλους τινὰς κοίλους ἔχον ὀμφαλοειδεῖς, ἢ γλύμμα τι κοῖλον περὶ τὸ μέσον τοῦ ζυγοῦ, ὅπου οἱ ἱμάντες περιτίθενται ———. Οἱ δὲ ἀκριβέστεροι ὀμφαλόεν φασὶ τὸ ὑπεροχάς τινας ἔχον ἐν μέσῳ, αἷς οἱ ἱμάντες περιειλοῦνται· ἢ τὸ ἔχον μέσον ὀμφαλὸν, ᾧ προσδεῖται ἱμᾶσιν ὁ ῥυμός.

Ibid. ——— εὖ οἰήκεσσιν ἀρηρός.] Οἴηκες δὲ νῦν, ἢ κρίκοι τινὲς συνέχοντες τὸν ζυγὸν, ἢ δι' ὧν ἀνείρονται αἱ τοὺς ἡμιόνους οἰακίζουσαι ἡνίαι. *Eustath.*

Ver. 270. — ἐννεάπηχυ.] *Al.* ἐννεάπηχυν.

Ver. 272. ——— ἐπὶ δὲ κρίκον ἕστορι βάλλον.] Ἀντὶ τοῦ, τῷ δὲ ὀκκάβῳ τὸν ἕστορα ἔβαλον. *Schol.*

Ibid. — ἕστορι.] Τῷ ἀνειμένῳ πασσάλῳ κατὰ τοῦ ῥυμοῦ τοῦ ζυγοῦ. Τινὲς δὲ γράφουσιν ἕκτορι, οἷον ἐχέτορι. *Schol.*

Ver. 273. ——— ἐπ' ὀμφαλόν.] Ἐπὶ τὸ μέσον τοῦ ζυγοῦ. *Schol.*

Ἑξείης κατέδησαν, ὑπὸ γλωχῖνα δ' ἔγναμψαν·
Ἐκ θαλάμου δὲ φέροντες ἐΰξέστου ἐπ' ἀπήνης,
Νήεον Ἑκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα.
Ζεῦξαν δ' ἡμιόνους κρατερώνυχας, ἐντεσιεργοὺς,
Τούς ῥά ποτε Πριάμῳ Μυσοὶ δόσαν ἀγλαὰ δῶρα.
Ἵππους δὲ Πριάμῳ ὕπαγον ζυγὸν, οὓς ὁ γεραιὸς
Αὐτὸς ἔχων ἀτίταλλεν ἐΰξέστῳ ἐπὶ φάτνῃ·
Τὼ μὲν ζευγνύσθην ἐν δώμασιν ὑψηλοῖσι
Κῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες
Ἀγχίμολον δέ σφ' ἦλθ' Ἑκάβη τετιηότι θυμῷ,
Οἶνον ἔχουσ' ἐν χειρὶ μελίφρονα δεξιτερῆφι,
Χρυσέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε κιοίτην·
Στῆ δ' ἵππων προπάροιθεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τῆ, σπεῖσον Διΐ πατρὶ, καὶ εὔχεο οἴκαδ' ἱκέσθαι

Simplici-serie alligârunt, subque angulo flexum-innexuerunt:
Ex thalamo autem ferentes elegantèr-politam in rhedam,
Accumulârunt Hectorei capitis infinita pretia.
Junxerunt verò mulos ungulis-validos, jugales,
Quos olim Priamo Mysi dederant splendida dona.
Equos autem Priamo duxerunt sub jugum, quos senex
Ipse curans alebat politum ad praesepe:
Hos quidem jungebant in aedibus altis
Praeco et Priamus, prudentia mentibus consilia tenentes.
Propè autem ipsos accessit Hecuba moesto animo,
Vinum tenens in manu suave dextrâ,
Aureo in poculo, ut libatione-factâ abirent:
Stetit verò ante equos, verbaque fecit, dixitque:
" Accipe, liba Jovi patri, et supplica, domum ut pervenias

Ver. 274. — γλωχῖνα.] Τὴν γωνίαν· λέγει δὲ τὸ τέλος τοῦ ἱμάντος. *Schol.*

Ibid. —— ἔγναμψαν.] *Al.* ἔκαμψαν. Quo modo et legit Codex *Harleianus.*

Ver. 275. 280. —— ἐΰξέστου —— ἐΰξέστῳ.] *Al.* ἐΰξέστης —— ἐΰξέστῃ.

Ver. 277. —— ἐντεσιεργοὺς.] Τοὺς ὑποζυγίους, μὴ ψιλῶς νωτοφόρους, ἀλλὰ τήν τε ἄμαξαν, καὶ τὴν πείρινθον ἕλκοντες, ἅπερ καὶ ἔντεα φησί. *Schol.* Καὶ ἄλλως ἐντεσιεργοὺς λέγει τοὺς ἑτοίμους εἰς ἔργον. *Eustath. Al.* ἐντεσιουργούς.

Ver. 278. —— Τούς ῥά.] *Quos scilicèt* ——.

Ver. 281. 282. Τὼ μὲν ζευγνύσθην ἐν δώμασιν ὑψηλοῖσι Κῆρυξ καὶ Πρίαμος.] Versionem vulgarem hoc in loco retinui, ut *Priamus* et Præco equos jungere dicantur. Verùm cùm hoc à *Priami* filiis (suprà *ver.* 279.) jam factum dicitur, neque *Priamum* officio hoc fungi verisimile est, neque binos tantùm equos fuisse satìs constat; cúmque istâ ratione ζευγνύτην, aut ζευξάτην, ut suprà *ver.* 277. potiùs quàm ζευγνύσθην, dicendum erat; Ego istud, Τὼ, non ad equos, sed ad sequentem Κῆρυξ καὶ Πρίαμος referri crediderim. Quo pacto cum isto, Τὼ μὲν ζευγνύσθην —— Κῆρυξ καὶ Πριάμος, longè aptiùs congruet quod sequitur, Ἀγχίμολον δέ σφ' ἦλθ' Ἑκάβη, &c. Porrò fortasse hîc legendum sit Τὼ μὲν ζωννύσθην, &c.

Ver. 282. Κῆρυξ.] Vide suprà ad *ver.* 149.

Ver. 283. — τετιηότι.] Vide suprà ad ν', 46.

Ver. 284. — δεξιτερῆφι.] Vide suprà ad ν', 588.

Ver. 285. — δέπαϊ, ὄφρα.] Nullâ ex analogiâ produci potest istud ι. Pronuntiabatur fortè *depaïvvophra.* Vide suprà ad τ', 35. et ad ά, 342.

Ibid. — ὄφρα λείψαντε.] Quâ ratione, ὄφρα, hîc ultimam producat; item πίσυνος, *ver.* 295 et 313. et δὲ, *ver.* 343. et σε, *ver.* 370. vide suprà ad ά, 51.

Ver. 286. —— ἔκ τ' ὀνόμαζε.]

—— nomine clamat. *Æn.* IV, 674.

Ver. 287. Τῆ, σπεῖσον Διΐ πατρὶ.] Vide suprà ad ξ', 219.

Ἂψ ἐκ δυσμενέων ἀνδρῶν· ἐπεὶ ἄρ σέ γε θυμὸς
Ὀτρύνει ἐπὶ νῆας, ἐμεῖο μὲν οὐκ ἐθελούσης.
Ἀλλ' εὔχευ σύγ' ἔπειτα κελαινεφέϊ Κρονίωνι
Ἰδαίῳ, ὅστε Τροίην κατὰ πᾶσαν ὁρᾶται·
Αἴτει δ' οἰωνὸν ταχὺν ἄγγελον, ὅστε οἱ αὐτῷ
Φίλτατος οἰωνῶν, καὶ εὖ κράτος ἐστὶ μέγιστον,
Δεξιόν· ὄφρα μιν αὐτὸς, ἐν ὀφθαλμοῖσι νοήσας,
Τῷ πίσυνος ἐπὶ νῆας ἴῃς Δαναῶν ταχυπώλων.
Εἰ δέ τοι οὐ δώσει ἑὸν ἄγγελον εὐρύοπα Ζεὺς,
Οὐκ ἂν ἔγωγέ σ' ἔπειτα ἐποτρύνουσα κελοίμην
Νῆας ἐπ' Ἀργείων ἰέναι, μάλα περ μεμαῶτα.
Τὴν δ' ἀπαμειβόμενος προσέφη Πρίαμος θεοειδής·
Ὦ γύναι, οὐ μέν τοι τόδ' ἐφιεμένῃ ἀπιθήσω·
Ἐσθλὸν γὰρ Διῒ χεῖρας ἀνασχέμεν, αἴκ' ἐλεήσῃ.
Ἦ ῥα, καὶ ἀμφίπολον ταμίην ὤτρυν' ὁ γεραιὸς
Χερσὶν ὕδωρ ἐπιχεῦαι ἀκήρατον· ἡ δὲ παρέστη,
Χέρνιβον ἀμφίπολος, πρόχοόν θ' ἅμα, χερσὶν ἔχουσα.

" Redux ex hostibus: siquidem te animus
" Impellit ad naves, me quidem non volente.
" Sed supplica tu jam atras-nubes-cogenti Saturnio
" Idaeo, qui Trojam omnem despicit:
" Pete autem alitem velocem nuncium, qui ipsi
" Gratissimus alitum, et cujus robur est maximum,
" Dextrum: ut cum ipse oculis conspicatus,
" Eo fretus ad naves eas Danaorum pernicium-equitum.
" Quòd si tibi non dabit suum nuncium latè-sonans Jupiter,
" Non ego omninò te tum impellens hortarer
" Naves ad Argivorum ire, admodùm licèt cupidum."
Illam verò respondens allocutus est Priamus deo-similis:
" O uxor, haud sanè tibi hoc praecipienti negabo:
" Bonum enim Jovi manus elevare, si fortè misereatur."
Dixit quidem, et ancillam dispensatricem jussit senex
Manibus aquam infundere puram: astitit verò,
Pelvim ancilla, gutturniumque simul, manibus tenens.

Ver. 288. —— ἐπεὶ ἄρ σέ γε.] *Al.* ἐπειή σέ γε. Verùm non hîc supervacaneum est istud ἄρ, sed vim habet in connectendâ sententiâ cum eo quod præcessit, *ver.* 198. 224.

Ver. 289 — 297 — 302. Ὀτρύνει —— ἐποτρύνουσα —— ὤτρυν'.] Vide suprà ad ν', 44.

Ver. 290. —— εὔχευ.] Ita ex *Eustathio* edidit *Barnesius*. *Al.* εὔχου.

Ver. 293. —— καὶ εὖ κράτος ἐστὶ μέγιστον.] Cod. *Harleian.* καὶ οἱ κράτος ἐστὶ μέγιστον Quo modo et in uno MS. repperit *Barnesius*. *Al.* καί οἱ κράτος ἐστὶ μάλιστα.

—— rerum cui summa potestas.
Æn. X, 100.

Ver. 296. Εἰ δέ τοι οὐ δώσει.] *Al.* Εἰ δέ τι οὐ δώσει.

Ibid. —— εὐρύοπα Ζεὺς.] Sic infrà *ver.* 314. μητιέτα Ζεύς. Vide suprà ad ά, 175.

Ver. 298. — μεμαῶτα.] Vide suprà ad ν', 46. et ad ζ', 464.

Ver. 299. — θεοειδής.] Vide suprà ad *ver.* 217.

Ver. 301. —— Διῒ χεῖρας ἀνασχέμεν.] Vide suprà ad τ', 254.

Ver. 304. Χέρνιβον.] Νῦν τὸ ἀγγεῖον τὸ ὑποδεχόμενον τὸ ταῖς χερσὶν ἐπιβαλλόμενον ὕδωρ· ὃ καὶ λέβητά φησι. *Schol.*

Ibid. —— πρόχοόν.] Τὸν παρ' ἡμῖν καλούμενον ξέστην. *Schol.*

Νιψάμενος δὲ, κύπελλον ἐδέξατο ἧς ἀλόχοιο·
Εὔχετ' ἔπειτα στὰς μέσῳ ἕρκεϊ, λεῖβε δὲ οἶνον,
Οὐρανὸν εἰσανιδών· καὶ φωνήσας ἔπος ηὔδα·
Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε, μέγιστε,
Δός μ' ἐς Ἀχιλλῆος φίλον ἐλθεῖν, ἠδ' ἐλεεινόν·
Πέμψον δ' οἰωνὸν ταχὺν ἄγγελον, ὅστε σοι αὐτῷ
Φίλτατος οἰωνῶν, καὶ εὖ κράτος ἐστὶ μέγιστον,
Δεξιόν· ὄφρα μιν αὐτὸς, ἐν ὀφθαλμοῖσι νοήσας,
Τῷ πίσυνος ἐπὶ νῆας ἴω Δαναῶν ταχυπώλων.
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε μητίετα Ζεύς·
Αὐτίκα δ' αἰετὸν ἧκε, τελειότατον πετεηνῶν,
Μόρφνον, θηρητῆρ', ὃν καὶ Περκνὸν καλέουσιν.

At postquàm se laverat, poculum accepit suae uxoris:
Precabatur deindè stans medio in septo; libavitque vinum,
Coelum suspiciens: et editâ voce dixit:
" Jupiter pater, qui indè ab Idâ imperas, gloriosissime, maxime,
" Da me ad Achillis *tentorium* gratum venire, atque miserandum:
" Mitte autem alitem velocem nuncium, qui tibi ipsi
" Gratissimus alitum, et cujus robur est maximum,
" Dextrum: ut eum ipse oculis conspicatus,
" Eo fretus ad naves eam Danaorum pernicium-equitum."
Sic dixit precans: Eum verò exaudiit providus Jupiter;
Statimque aquilam misit certissimum-augurium-facientem ex volucribus,
Morphnon, venatricem, quam et Percnon vocant.

Ver. 305. Νιψάμενος.] *Quum se ipse lavâsset.* Vide suprà ad ψ', 685. et ad γ', 141.

Ibid. — κύπελλον ἐδέξατο — Εὔχετ' ἔπειτα.]

Tum pater Anchises magnum cratera coronâ
Induit, implevitque mero: Divosque vocavit,
Stans celsâ in puppi ———.
Æn. III, 525.

Ver. 306. —— ἕρκεϊ.] Νῦν περιβολαίῳ, περιφράγματι. *Schol.*

Ver. 307. Οὐρανὸν εἰσανιδών.]

Tum breviter supera aspectans convexa precatur. *Æn.* X, 251.

Ubi notandum vocem, *convexus*, apud Romanos non, ut in linguis recentioribus fit, *concavo* oppositam esse; sed (ut opinor) idem ferè sonâsse quod *concavus:* nisi fortè in Sphærâ, Hemisphærii *Superioris* potiùs, quàm *Inferioris*, facies *Interior*, *convexa* dicta sit. Sic iterùm apud *Virgilium:*

——— tædet cœli *convexa* tueri.
Æn. IV, 451.
——————— sese halitus atris
Faucibus effundens supera ad *convexa* ferebat. *Æn.* VI, 240.
— supera ut *convexa* revisant. *Ibid.* 750.

Quod autem Recentiores *convexum*, id Romani *gibbum* dicebant.

Ver. 308. Ζεῦ πάτερ.] Vide suprà ad ό, 372.

Ver. 310. Πέμψον δ' οἰωνὸν.]

Da deinde auxilium, pater, atque hæc omina firma. *Æn.* II, 691.
Da, pater, augurium, atque animis illabere nostris. *Æn.* III, 89.

Ver. 311. — καὶ εὖ κράτος.] Vide suprà ad *ver.* 293.

Ver. 314. Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε.] Vide suprà ad π', 527.

Ver. 315. —— πετεηνῶν.] Cod. *Harleian.* πετεεινῶν.

Ver. 316. Μόρφνον.] Occurrit hæc vox apud *Hesiodum* accentu diverso:

——————— αὐτὰρ ὄπισθε
Μορφνοῖο φλεγύαο καλυπτόμενοι πτερύγεσσιν.
Ἀσπὶς Ἡρακλ. *ver.* 133.

De Ave ita *Aristoteles:* Ἕτερον δὲ γένος ἀετοῦ ἐστιν, ὃ πλάγγος καλεῖται ——— οἰκεῖ δὲ βήσσας καὶ ἄγκη καὶ λίμνας· ἐπικαλεῖται δὲ νηττοφόνος καὶ μορφνός· οὗ καὶ Ὅμηρος μέμνηται ἐν τῇ Πριάμου ἐξόδῳ. *Aristot. de Histor. Animal. lib.* IX, *cap.* 32.

Ὅσση δ' ὑψορόφοιο θύρη θαλάμοιο τέτυκται
Ἀνέρος ἀφνειοῖο ἐϋκληῒς, ἀραρυῖα·
Τόσσ' ἄρα τοῦ ἑκάτερθεν ἔσαν πτερά· εἴσατο δέ σφιν
Δεξιὸς ἀΐξας ὑπὲρ ἄστεος· οἱ δὲ ἰδόντες
Γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη.
Σπερχόμενος δ' ὁ γέρων ξεστοῦ ἐπεβήσετο δίφρου·
Ἐκ δ' ἔλασε προθύροιο καὶ αἰθούσης ἐριδούπου.
Πρόσθε μὲν ἡμίονοι ἕλκον τετράκυκλον ἀπήνην,
Τὰς Ἰδαῖος ἔλαυνε δαΐφρων· αὐτὰρ ὄπισθεν
Ἵπποι, τοὺς ὁ γέρων ἐφέπων μάστιγι κέλευε
Καρπαλίμως κατὰ ἄστυ· φίλοι δ' ἅμα πάντες ἕποντο,
Πόλλ' ὀλοφυρόμενοι, ὡσεὶ θάνατόνδε κιόντα.
Οἱ δ' ἐπεὶ οὖν πόλιος κατέβαν, πεδίον δ' ἀφίκοντο,
Οἱ μὲν ἄρ' ἄψοῤῥοι ποτὶ Ἴλιον ἀπονέοντο,
Παῖδες καὶ γαμβροί· τὼ δ' οὐ λάθον εὐρύοπα Ζῆν',
Ἐς πεδίον προφανέντε· ἰδὼν δ' ἐλέησε γέροντα,
Αἶψα δ' ἄρ' Ἑρμείαν, υἱὸν φίλον, ἀντίον ηὔδα·

Quanta autem excelsi janua thalami est
Viri opulenti obserata affabrè-aptata;
Tantae hujus utrinque erant alae: Visa autem est ipsis
Dextera ruens supra urbem: Illi verò conspicati
Gavisi sunt, et omnibus in praecordiis animus laetitiâ-perfusus-est.
Festinans autem senex politum conscendit currum:
Egitque è vestibulo et porticu resonanti.
Antè quidem muli trahebant quatuor-rotarum rhedam,
Quas Idaeus agebat prudens; sed ponè
Equi, quos senex urgens flagello hortabatur
Celeritèr per urbem: Amici autem simul omnes sequebantur,
Multùm lugentes, tanquam ad mortem proficiscentem.
Postquàm verò ex urbe descenderant, ad campumque pervenerant,
Hi quidem retrò ad Ilium redierunt,
Filii et generi: illi autem non latuerunt latè-sonantem Jovem,
In campum progressi: Conspicatus verò misertus est senis,
Et confestim Mercurium, filium dilectum, coram allocutus est:

Ver. 317 et 354. — *τέτυκται.*] Vide suprà ad *ν'*, 736. et ad *ά*, 37.

Ver. 318. — *ἐϋκληῒς, ἀραρυῖα.*] Εὖ *ταῖς κλεισὶν ἡρμοσμένη, ἀσφαλής. Δύναται καὶ ὑφ' ἕν, ἵν' ᾖ εὔκλειστος. Schol.*

Ver. 319. Τόσσ' *ἄρα.*] *Tantæ utique* —— *Tantæ, inquam* ——. Non enim supervacuum est istud *ἄρα.*

Ver. 322. ——— *ἐπεβήσετο.*] *Al. ἐπιβήσατο.* Vide suprà ad *β'*, 35. et ad *ί*, 109.

Ver. 325. 326. ——— *ἔλαυνε* —— *κέλευε.*] Vide suprà ad *ν'*, 84.

Ver. 327. Καρπαλίμως *κατὰ ἄστυ.*] *Irenæus, Lib.* I, *cap.* 1. *sub fine*, legit Καρπαλίμως *ἀνὰ ἄστυ.*

Ibid. —— *φίλοι δ' ἅμα πάντες ἕποντο,* Πόλλ' *ὀλοφυρόμενοι.*]

——— Perculsâ mente dederunt
Dardanidæ lacrymas —. *Æn.* IX, 292.

Ver. 328. Πόλλ' *ὀλοφυρόμενοι.*] *Irenæus* loco suprà citato legit Οἶκτρ' *ὀλοφυρόμενοι.*

Ibid. —— *ὡσεὶ θάνατόνδε κιόντα.*] *Al. ὡς εἰς θάνατόν γε κιόντα.*

Ver. 330. —— *ἄρ'.*] *Ut fieri solet* ——.

Ibid. —— *ποτὶ.*] *Al. προτί.*

Ibid. —— *ἀπονέοντο.*] Vide suprà ad *ά*, 398.

Ver. 331. —— *εὐρύοπα* Ζῆν'.] Vide suprà ad *ver.* 98.

Ver. 333. Αἶψα *δ' ἄρ'.*] *Statimque deinceps* ——. *Statimque proindè* ——.

Ibid. —— Αἶψα *δ' ἄρ'* Ἑρμείαν — Βάσκ' *ἴθι.*]
Tunc sic Mercurium alloquitur, ac talia mandat;
Vade, age, nate ——. *Æn.* IV, 222.

Ἑρμεία, σοὶ γάρ τε μάλιστά γε φίλτατόν ἐστιν
Ἀνδρὶ ἑταιρίσσαι, καί τ' ἔκλυες, ᾧ κ' ἐθέλησθα,
Βάσκ' ἴθι, καὶ Πρίαμον κοίλας ἐπὶ νῆας Ἀχαιῶν
Ὣς ἄγαγ', ὡς μήτ' ἄρ τις ἴδῃ, μήτ' ἄρ τε νοήσῃ
Τῶν ἄλλων Δαναῶν, πρὶν Πηλείωνάδ' ἱκέσθαι.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε διάκτορος Ἀργειφόντης·
Αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
Ἀμβρόσια, χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν,
Ἠδ' ἐπ' ἀπείρονα γαῖαν, ἅμα πνοιῇς ἀνέμοιο·
Εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,
Ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει·
Τὴν μετὰ χερσὶν ἔχων πέτετο κρατὺς Ἀργειφόντης.
Αἶψα δ' ἄρα Τροίην τε καὶ Ἑλλήσποντον ἵκανε·
Βῆ δ' ἰέναι, κούρῳ αἰσυητῆρι ἐοικὼς,
Πρῶτον ὑπηνήτῃ, τοῦπερ χαριεστάτη ἥβη.

"Mercuri, tibi enim prae aliis gratissimum est
"Homini te-comitem-adjungere, et exaudis, quemcunque volueris;
"Vade age, et Priamum cavas ad naves Achivorum
"Sic ducito, ut neque aliquis videat, neque animadvertat
"Aliorum Danaorum, antequàm ad Pelidem pervenerit."
Sic dixit: Neque non-obsecutus est internuncius Argicîda:
Statim deindè sub pedibus ligavit pulchra talaria,
Ambrosia, aurea, quae ipsum ferebant et supra mare,
Et supra immensam terram, paritèr cum flatibus venti:
Cepit et virgam, quâ virorum oculos demulcet,
Quorum vult, alios verò et dormientes excitat:
Hanc manibus tenens volabat potens Argicîda.
Confestim autem Trojamque et Hellespontum pervenit;
Perrexit verò ire juveni-regio similis,
Primùm pubescenti, cujus venustissima juventa.

Ver. 335. Ἀνδρὶ ἑταιρίσσαι.] *Al.* Ἀνδράσ' ἑταιρίσσαι.

Ver. 336. Βάσκ' ἴθι.] Vide suprà ad ό, 158.

Ver. 339. Ὣς ἔφατ'· οὐδ' ἀπίθησε.]

Dixerat: Ille patris magni parere parabat
Imperio; et primùm pedibus talaria nectit
Aurea; quæ sublimem alis, sive æquora supra,
Seu terram, rapido paritèr cum flamine portant.
Tum virgam capit; hâc animas ille evocat Orco
Pallentes, alias sub tristia Tartara mittit:
Dat somnos adimitque, et lumina morte resignat. *Æn.* IV, 238.

Ver. 340. — ἐδήσατο.] Vide suprà ad *ver.* 305. et ad ψ', 685 et 739.

Ver. 344. —— ἐθέλει.] *Al.* ἐθέλῃ.

Ibid. —— τοὺς δ' αὖτε.] Cod. *Harleian.* τοὺς δ' αὖ.

Ibid. —— ὑπνώοντας.] Cod. *Harleian.* ὑπνόωντας.

Ver. 346. Αἶψα δ' ἄρα Τροίην.] Cod. *Harleian.* Αἶψα δ' ἄρ' ἐς Τροίην.

Ver. 347. —— αἰσυητῆρι.] Βασιλικῷ νέῳ· οἱ δὲ ἀντὶ τοῦ ἐντίμῳ, τηροῦντι τὰ αἴσια, ὅ ἐστι τὰ δίκαια. *Schol.* *Barnesius* in tribus MSS. scriptum repperit αἰσυμνητῆρι. Καὶ τὸ παλαιὸν ἐν τοῖς ἀρχαίοις Ἕλλησιν ἐγίγνοντό τινες μόναρχοι ———— οὓς ἐκάλουν Αἰσυμνήτας. *Aristot. de Republ. lib.* IV. *cap.* 10.

Ver. 348. Πρῶτον ὑπηνήτῃ, τοῦπερ χαριεστάτη ἥβη.] Ἀρχομένῳ γενειάζειν· ὑπῆναι δὲ καλοῦνται αἱ τρίχες αἱ περὶ τὰ χείλη, ὁ μύσταξ ἄρτι φυόμενος· οἱ δὲ κοινῶς εἶπον τὸ γένειον. *Schol.* Οὐ σὺ μέν τοι Ὁμήρου ἐπαινέτης εἶ, ὃς ἔφη χαριεσ-

Οἱ δ' ἐπεὶ οὖν μέγα σῆμα πάρεξ Ἴλοιο ἔλασσαν,
Στῆσαν ἄρ' ἡμιόνους τε καὶ ἵππους, ὄφρα πίοιεν
Ἐν ποταμῷ· δὴ γὰρ καὶ ἐπὶ κνέφας ἤλυθε γαῖαν·
Τὸν δ' ἐξ ἀγχιμόλοιο ἰδὼν ἐφράσσατο κῆρυξ
Ἑρμείαν, ποτὶ δὲ Πρίαμον φάτο, φώνησέν τε·
Φράζεο, Δαρδανίδη· φραδέος νόου ἔργα τέτυκται·
Ἄνδρ' ὁρόω, τάχα δ' ἄμμε διαῤῥαίσεσθαι ὀΐω·
Ἀλλ' ἄγε δὴ φεύγωμεν ἐφ' ἵππων· ἤ μιν ἔπειτα
Γούνων ἁψάμενοι λιτανεύσομεν, αἴκ' ἐλεήσῃ.
Ὣς φάτο· σὺν δὲ γέροντι νόος χύτο, δείδιε δ' αἰνῶς·
Ὀρθαὶ δὲ τρίχες ἔσταν ἐνὶ γναμπτοῖσι μέλεσσι·
Στῆ δὲ ταφών· αὐτὸς δ' Ἐριούνιος ἐγγύθεν ἐλθὼν,

Illi verò postquàm praeter magnum sepulchrum Ili egerant,
Inhibuerunt mulasque et equos, ut biberent
In fluvio; jam enim et crepusculum venerat super terram:
At ex propinquo conspicatus animadvertit praeco
Mercurium, et Priamum allocutus est, dixitque:
" Considera, Dardanide, prudentis animi res est:
" Virum video, citò autem nos perditurum existimo:
" Sed agedum fugiamus in equis; vel ipsum jam
" Genibus prehensis oremus, si fortè misereatur."
Sic dixit: Seni autem animus confusus est, timuitque gravitèr:
Rectae autem comae steterunt in flexilibus membris;
Stetitque attonitus: Ipse autem Mercurius propè veniens,

τάτην ἥβην εἶναι τοῦ ὑπηνήτου; *Plato in Protagorâ* sub initio.

Ora puer primâ signans intonsa juventâ.
Æn. IX, 181.

Quo de loco *Macrobius:* " Prætermissa gra-" tia (inquit) incipientis pubertatis, τοῦ περ " χαριεστάτη ἥβη, minùs gratam fecit Lati-" nam descriptionem." *Saturnal. Lib.* V. *cap.* 13.

Ibid. Πρῶτον ὑπηνήτῃ.] *Al.* Πρώτῳ ὑπηνήτῃ.

Ver. 351. — ἤλυθε.] Vide suprà ad ό, 454. et ad ά, 37.

Ver. 353. — ποτὶ.] *Al.* προτί. Ut suprà *ver.* 330.

Ver. 354. —— φραδέος νόου ἔργα τέτυκται.] Συνετοῦ νοῦ, καὶ ἄριστα βουλεύεσθαι δυναμένου, ὁ παρὼν καιρὸς δεῖται. *Schol.*

Ver. 356. —— ἄγε δὴ.] Vide suprà ad ψ′, 313.

Ver. 358. ——— σὺν δὲ γέροντι νόος χύτο.] Τὸ, " σὺν δὲ γέροντι νόος χύτο," ἤγουν συνεχύθη ὁ νοῦς τῷ Πριάμῳ, τὴν ταραχὴν φασι [οἱ παλαιοὶ] τῆς διανοίας μιμεῖσθαι τῇ τῆς συντάξεως διακοπῇ. *Eustath.* in comment. ad ό, 1.

Ver. 359. Ὀρθαὶ δὲ τρίχες ἔσταν ——— Στῆ δὲ ταφών.]

Obstupui, steteruntque comæ ——.
Æn. III, 48.

De cujus versûs prosodiâ inusitatâ, vide suprà ad γ′, 363.

At verò Æneas aspectu obmutuit amens;
Arrectæque horrore comæ ——.
Æn. IV, 279.

Arrectæque horrore comæ ——.
Æn. XII, 868.

Ibid. — ἔσταν ἐνὶ.] Vide suprà ad ά, 535.

Ibid. — γναμπτοῖσι μέλεσσι.] *Al.* γναμπτοῖς μελέεσσι.

Ver. 360. ——— αὐτὸς δ' Ἐριούνιος ἐγγύθεν ἐλθὼν.] Καὶ σφόδρα τὸν Ἑρμῆν ἐναργῶς ἀκολουθοῦντα Πριάμῳ δεδήλωκεν ἀλληγορήσας. Οὐδὲν γὰρ ἔοικεν οὕτω πειθήνιον ἀνδράσιν ὀργιζομένοις, οὐκ ἄργυρος, οὐ χρυσὸς, οὐδὲ ἡ διὰ δώρων πολυτέλεια· μειλίχιον δὲ καὶ προσηνὲς ἱκεσίας ὅπλον ἐστὶν, ἡ διὰ τοῦ λόγου πειθώ. Πάνυ γοῦν ἀληθῶς Εὐριπίδης, " Οὐκ ἔστι πειθοῦς ἱερὸν ἄλ-" λο πλὴν λόγος." Τούτῳ τε Πρίαμος ὥσπερ ὀχυρᾷ παντευχίᾳ καθώπλισται· ᾧ καὶ μάλιστα τὴν Ἀχιλλέως ἀπήλασεν ὀργὴν, οὐκ ἐν ἀρχῇ δείξας δώδεκα πέπλους, δώδεκα διπλοΐδας χλαίνας, τάτε λοιπὰ τῶν κομισθέντων δώρων, ἀλλ' αἱ πρῶται τῆς ἱκεσίας φωναὶ τοὺς ἄρσενας αὐτοῦ θυμοὺς ἐξεθήλυναν· " Μνῆσαι πατρὸς

Χεῖρα γέροντος ἑλὼν, ἐξείρετο καὶ προσέειπε·
Πῆ, πάτερ, ὧδ' ἵππους τε καὶ ἡμιόνους ἰθύνεις
Νύκτα δι' ἀμβροσίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι;
Οὐδὲ σύ γ' ἔδδεισας μένεα πνείοντας Ἀχαιοὺς,
Οἵ τοι δυσμενέες καὶ ἀνάρσιοι ἐγγὺς ἔασιν;
Τῶν εἴτις σε ἴδοιτο, θοὴν διὰ νύκτα μέλαιναν,
Τοσσάδ' ὀνείατ' ἄγοντα, τίς ἂν δή τοι νόος εἴη;
Οὔτ' αὐτὸς νέος ἐσσὶ, γέρων δέ τοι οὗτος ὀπηδεῖ,
Ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ·
Ἀλλ' ἐγὼ οὐδέν σε ῥέξω κακὸν, ἀλλά κεν ἄλλον
Σεῦ ἀπαλεξήσαιμι· φίλῳ δέ σε πατρὶ ἐΐσκω.
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
Οὕτω πῆ τάδε γ' ἐστὶ, φίλον τέκος, ὡς ἀγορεύεις·
Ἀλλ' ἔτι τις καὶ ἐμεῖο θεῶν ὑπερέσχεθε χεῖρα,

Manu senis prehensâ, interrogavit et allocutus est:
" Quo, pater, sic equos et mulas dirigis
" Noctem per dulcem, quandò dormiunt mortales caeteri?
" Neque tu timuisti robur spirantes Achivos,
" Qui tibi hostes et infensi propè sunt?
" Quorum si quis te videret, celerem per noctem nigram,
" Tot opes vehentem, quae tunc tibi mens esset?
" Neque ipse juvenis es, senexque te hic comitatur,
" Virum ut arceas, quandò quis prior infestârit:
" Sed ego nullo te afficiam malo, imò et alium
" A te propulsaverim: charo enim te patri comparo."
Huic autem respondit deindè senex Priamus deo-similis:
" Sic sanè haec utique sunt, dilecte fili, ut dicis:
" Sed adhuc aliquis et me Deorum protegit manu,

" σοῖο, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ, Τηλίκου, οἷος " ἐγὼν, ὀλοῷ ἐπὶ γήραος οὐδῷ." Δι' ὀλίγου προοιμίου τῶν λόγων συνήρπασεν Ἀχιλλέα, καὶ σχεδὸν ἀντὶ Πριάμου γέγονε Πηλεύς. Διὰ τοῦτο ἠλέηται μὲν ἄχρι τραπέζης, λουτροῖς δὲ κοσμηθὲν ἀποδίδοται τὸ Ἕκτορος σῶμα. Τοσοῦτον ἴσχυσεν ὁ τῶν παθῶν Ἑρμηνεὺς λόγος, ὃν ἀπέστειλεν Ὅμηρος αὐτῷ τῆς ἱκεσίας παράκλητον. *Heraclid. Pont.*

Ver. 361. —— ἐξείρετο.] *Al.* ἐξήρετο. Quo modo legit et Codex *Harleianus.*

Ver. 363. — ὅτε θ'.] *Quum scilicèt* ——.

Ver. 367. Τοσσάδ'.] Sic infrà *ver.* 375. τοιόνδ'.] Vide suprà ad ύ, 357.

Ibid. —— ἄγοντα.] *Al.* ἔχοντα.

Ver. 369. Ἄνδρ' ἀπαμύνασθαι.] *Eustathius* hæc ad præcedentem " γέρων" refert. Τὸ δὲ γέρων οὗτος ἄνδρ' ἀπαμύνασθαι —— χαλεπήναντα, ὅμοιόν ἐστι τῷ ἀσθενής. Ἀπάλαμνοι γὰρ φύσει πρὸς ἄμυναν ἰσχυρὰν οἱ γέροντες. Eodem modo et accipit *Domina Dacier. Henricus Stephanus* autem hæc ad vocem " νέος" referri, vocesque " γέρων δέ τοι οὗτος ὀπηδεῖ" parenthesi includi mavult. Cui sententiae nonnihil favere videtur locus iste *Odyss.* π΄, 71:

Αὐτὸς μὲν νέος εἰμὶ, καὶ οὔπω χερσὶ πέποιθα
Ἄνδρ' ἀπαμύνασθαι ————.

Et iterùm *Odyss.* φ΄, 132.

Ἠὲ νεώτερός εἰμι, καὶ οὔπω χερσὶ πέποιθα
Ἄνδρ' ἀπαμύνεσθαι ————.

Ibid. — ἀπαμύνασθαι.] Cod. *Harleian.* ἐπαμύνασθαι. *Al.* ἀπαμύνεσθαι. Porrò versum hunc pro signo militibus usurpâsse *Claudium* Imperatorem refert *Suetonius* in *Claudio, cap.* 42.

Ver. 370. —— ἀλλά κεν ἄλλον.] *Al.* ἠδέ κεν ἄλλον.

Ver. 372. 386 et 405. — θεοειδής.] Vide suprà ad *ver.* 217.

Ver. 374. Ἀλλ' ἔτι τις.] Cod. *Harleian.* Ἀλλ' εἴτις.

Ibid. — τις καὶ ἐμεῖο θεῶν ὑπερέσχεθε χεῖρα.] Ita suprà ί, 419.

—— μάλα γὰρ ἕθεν εὐρύοπα Ζεὺς
Χεῖρα ἑὴν ὑπερέσχε ————.

Ὅς μοι τοιόνδ' ἧκεν ὁδοιπόρον ἀντιβολῆσαι,
Αἴσιον, οἷος δὴ σὺ δέμας καὶ εἶδος ἀγητὸς,
Πέπνυσαί τε νόον, μακάρων δ' ἔξ ἐσσι τοκήων.
  Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
Ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπας·
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
Ἠέ πῃ ἐκπέμπεις κειμήλια πολλὰ καὶ ἐσθλὰ
Ἄνδρας ἐς ἀλλοδαποὺς, ἵνα περ τάδε τοι σόα μίμνῃ;
Ἦ ἤδη πάντες καταλείπετε Ἴλιον ἱρὴν
Δειδιότες; τοῖος γὰρ ἀνὴρ ὤριστος ὄλωλε
Σὸς παῖς· οὐ μὲν γάρ τι μάχης ἐπεδεύετ' Ἀχαιῶν.
  Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
Τίς δὲ σύ ἐσσι, φέριστε, τέων δ' ἔξ ἐσσι τοκήων,
Ὅς μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸς ἔνισπες;
  Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
Πειρᾷ ἐμεῖο, γεραιὲ, καὶ εἴρεαι Ἕκτορα δῖον·
Τὸν μὲν ἐγὼ μάλα πολλὰ μάχῃ ἔνι κυδιανείρῃ
Ὀφθαλμοῖσιν ὄπωπα, καὶ εὖτ' ἐπὶ νηυσὶν ἐλάσσας

" Qui mihi talem misit viae comitem obvium fieri,
" Faustum, qualis jam tu corpore et specie admirabilis,
" Prudensque es animo, beatisque prognatus es parentibus."
Eum verò vicissim allocutus est internuncius Argicîda:
" Nae jam haec omnia, senex, rectè dixisti:
" Sed age mihi hoc dic et verè narra,
" An aliquò mittis thesauros multos et pretiosos
" Viros ad alienigenas, ut saltem hi tibi salvi maneant?
" An jam omnes deseritis Ilium sacram
" Metu-perculsi? Talis enim vir fortissimus ille periit
" Tuus filius: Nec enim quidquam pugnâ inferior-erat Achivis."
Huic autem respondit deindè senex Priamus deo-similis:
" Quis verò tu es, optime, quibusque prognatus es parentibus,
" Qui mihi commodè interitum infelicis filii memorâsti?"
Illum verò vicissim allocutus est internuncius Argicîda:
" Tentas me, senex, et interrogas super Hectore nobili:
" Hunc quidem ego perquàm saepè pugnâ in gloriosâ
" Oculis vidi, et quandò ad naves actos

Ver. 377. —— νόον.] *Al.* νόῳ. Quo modo legit et Codex *Harleianus.*

Ibid. et *ver.* 387. — ἔξ ἐσσι.] *Al.* ἔξεσσι.

Ver. 379. —— κατὰ μοῖραν] Vide suprà ad π', 367.

Ibid.— ἔειπας.] *Al.* ἔειπες. Quod idem.

Ver. 380. Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον.]

—— mihique haec edissere vera roganti.
Æn. II, 149.

Ver. 382. —— ἵνα περ τάδε τοι σόα.] *Al.* ἵνα τοι τάδε περ σόα.

Ver. 384. —— ὄλωλε.] Vide suprà ad π', 521. et infrà ad *ver.* 392.

Ver. 388. Ὅς μοι.] *Al.* Ὥς μοι.

Ver. 389, 405 et 410. Τὸν δ'.] Vide suprà ad ά, 57. et ad θ', 160.

Ver. 391. — κυδιανείρῃ.] Ἐν ᾗ δοξάζονται οἱ ἄνδρες. *Schol.*

Ver. 392. —— ὄπωπα.] Differunt inter se μάλα πολλὰ εἶδον, et μάλα πολλὰ ὄπωπα, eodem modo atque apud Anglos, *I often saw*, et, *I have often seen.* Vide suprà ad ά, 37. et ad ζ', 124.

Ἀργείους κτείνεσκε, δαΐζων ὀξέϊ χαλκῷ·
Ἡμεῖς δ' ἑσταότες θαυμάζομεν· οὐ γὰρ Ἀχιλλεὺς
Εἴα μάρνασθαι, κεχολωμένος Ἀτρείωνι.
Τοῦ γὰρ ἐγὼ θεράπων, μία δ' ἤγαγε νηῦς εὐεργής·
Μυρμιδόνων δ' ἔξ εἰμι· πατὴρ δέ μοι ἐστὶ Πολύκτωρ·
Ἀφνειὸς μὲν ὅδ' ἐστὶ, γέρων δὲ δὴ, ὡς σύ περ ὧδε·
Ἓξ δέ οἱ υἷες ἔασιν, ἐγὼ δέ τοι ἕβδομός εἰμι·
Τῶν, μεταπαλλόμενος, κλήρῳ λάχον ἐνθάδ' ἕπεσθαι·
Νῦν δ' ἦλθον πεδίονδ' ἀπὸ νηῶν· ἠῶθεν γὰρ
Θήσονται περὶ ἄστυ μάχην ἑλίκωπες Ἀχαιοί.
Ἀσχαλόωσι γὰρ οἵγε καθήμενοι, οὐδὲ δύνανται
Ἴσχειν ἐσσυμένους πολέμου βασιλῆες Ἀχαιῶν.
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
Εἰ μὲν δὴ θεράπων Πηληϊάδεω Ἀχιλῆος
Εἶς, ἄγε δή μοι πᾶσαν ἀληθείην κατάλεξον,
Ἢ ἔτι πὰρ νήεσσιν ἐμὸς πάϊς, ἦέ μιν ἤδη
Ἧσι κυσὶν μελεϊστὶ ταμὼν προὔθηκεν Ἀχιλλεύς;
Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
Ὦ γέρον, οὔπω τόνδε κύνες φάγον, οὐδ' οἰωνοί·
Ἀλλ' ἔτι κεῖνος κεῖται Ἀχιλλῆος παρὰ νηΐ

" Argivos interficiebat, caedens acuto aere:
" Nos verò stantes mirabamur; non enim Achilles
" Sinebat pugnare, iratus Atridae.
" Hujus enim ego famulus, eademque advexit navis affabrè-facta:
" Ex Myrmidonibus autem sum, pater verò mihi est Polyctor;
" Dives quidem is est, senexque jam, sicut tu;
" Sex autem ei filii sunt, egoque tibi septimus sum;
" Inter hos, factâ sortitione, mihi sors obtigit hùc *Achillem* comitari:
" Nunc verò veni in campum à navibus; manè enim
" Edent circa urbem pugnam nigri-oculos Achivi.
" Aegrè-ferunt enim illi desidentes, neque possunt
" Continere cupidos proelii reges Achivorum."
Huic autem respondit deindè senex Priamus deo-similis:
" Si quidem famulus Pelidae Achillis
" Es, agedùm mihi omnem veritatem dic,
" An adhuc apud naves meus filius, an ipsum jam
" Suis canibus membratim discissum objecit Achilles?"
Illum verò vicissim allocutus est internuncius Argicîda:
" O senex, nondum hunc canes ederunt, neque alites;
" Sed adhuc ille jacet Achillis apud navem

Ver. 393.—— κτείνεσκε.] *Interficere solebat.* Vide suprà ad ν', 84. et ad β', 221.

Ver. 396.— μία δ' ἤγαγε νηῦς.] Ἑταῖρον καὶ φίλον ἑαυτὸν βούλεται συστῆσαι Ἀχιλλεῖ ὁ Ἑρμῆς πρὸς πλείονα πίστιν· οἱ γὰρ τοιοῦτοι μιᾶς νεὼς ἐπιβαίνουσιν. *Schol.*

Ver. 397.—— ἔξ εἰμι.] *Al.* ἔξειμι.

Ver. 398.—— ὅδ'.] Cod. *Harleian.* ὅγ'.

Ver. 400.—— μεταπαλλόμενος.] Μετ' αὐτῶν κληρούμενος· πάλοι γὰρ κλῆροι. *Schol.* *Al.* μέτα παλλόμενος. Quo modo legit et Codex *Harleianus.*

Ver. 403.— οἵγε.] Cod. *Harleian.* οἵδε.

Ver. 406. Εἰ μὲν δή.] *Siquidem revera* —. Vide suprà ad ξ', 433.

Ver. 411.— τόνδε.] Cod. *Harleian.* τόνγε.

Αὔτως ἐν κλισίῃσι· δυωδεκάτη δέ οἱ ἠὼς
Κειμένῳ, οὐδέ τί οἱ χρὼς σήπεται, οὐδέ μιν εὐλαὶ
Ἔσθουσ', αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν.
Ἦ μέν μιν περὶ σῆμα ἑοῦ ἑτάροιο φίλοιο
Ἕλκει ἀκηδέστως, ἠὼς ὅτε δῖα φανείη·
Οὐδέ μιν αἰσχύνει· θειοῖό κεν αὐτὸς ἐπελθὼν,
Οἷον ἐερσήεις κεῖται, περὶ δ' αἷμα νένιπται,
Οὐδέ ποθι μιαρός· σὺν δ' ἕλκεα πάντα μέμυκεν,
Ὅσσ' ἐτύπη· πολέες γὰρ ἐπ' αὐτῷ χαλκὸν ἔλασσαν·
Ὥς τοι κήδονται μάκαρες θεοὶ υἷος ἑῆος,
Καὶ νέκυός περ ἐόντος· ἐπεί σφι φίλος περὶ κῆρι.
Ὣς φάτο· γήθησεν δ' ὁ γέρων, καὶ ἀμείβετο μύθῳ·
Ὦ τέκος, ἦ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι
Ἀθανάτοις· ἐπεὶ οὔποτ' ἐμὸς πάϊς, εἴποτ' ἔην γε,
Λήθετ' ἐνὶ μεγάροισι θεῶν, οἳ Ὄλυμπον ἔχουσι·
Τῷ οἱ ἀπεμνήσαντο καὶ ἐν θανάτοιό περ αἴσῃ.

" Neglectim in tentoriis : duodecimus autem ei dies
" Jacenti, neque tamen omninò ei corpus putrescit, neque eum vermes
" Edunt, qui sanè viros proelio-occisos comedunt.
" Certè quidem ipsum circa sepulchrum sui sodalis dilecti
" Raptat immanitèr, aurora quandò pulchra apparet;
" Nec tamen ipsum deturpat : Admirareris certè contemplans ipse cum accesseris,
" Ut roscidus jacet, circumque sanguis ablutus est,
" Neque ullâ parte foedatus : vulnera autem omnia clausa sunt,
" Quotquot inflicta fuerant; multi enim ipsi aes impegerunt :
" Adeò tibi curam gerunt beati dii filii tui,
" Mortui licèt : ipsis enim charus ex animo."
Sic dixit : Gavisus est autem senex, et respondit verbis :
" O fili, certè bonum etiam debita dona dare
" Immortalibus : neque enim unquam meus filius, siquidem fuit,
" Oblitus est in aedibus deorum, qui Olympum tenent :
" Ideò illius recordati sunt etiam in ipso mortis fato.

Ver. 413. Αὔτως ἐν κλισίῃσι.] Ματαίως, ἀνεπιμελήτως ἐν τῇ σκηνῇ. *Schol.* *Al.* Οὕτως ἐν κλισίῃσι.

Ibid. —— δυωδεκάτη δέ οἱ ἠώς.] *Al.* δυωδεκάτη δέ οἱ ἧδε.

Ver. 414. —— οὐδέ τί οἱ.] *Al.* οὐδ' ἔτι οἱ.

Ver. 415. — αἵ ῥά τε.] *Qui scilicèt* ——.

Ibid. — ἀρηϊφάτους.] Τοὺς ἐν πολέμῳ ἀνῃρημένους. *Schol.*

Ver. 417. —— φανείη.] *Al.* φανήῃ.

Ver. 418. — θειοῖό.] *Al.* θηεῖο, et θηεῖο.

Ver. 419. —— ἐερσήεις.] Ita edidit *Barnesius.* *Al.* ἑερσήεις.

Ver. 419, 420. —— νένιπται, —— μέμυκεν.] Si νένιπτο — μεμύκει dixisset, jam non constitisset Temporum ratio. Vide suprà ad *ver.* 392. et ad ά, 37.

Ver. 420. —— ποθι μιαρός.] Quâ ratione, ποθι, hîc ultimam producat; item ἐνὶ, *ver.* 428. et τε, *ver.* 430. vide suprà ad ά, 51.

Ibid. —— μέμυκεν.] Vide suprà ad β', 314.

Ver. 421. —— ἐπ' αὐτῷ.] Cod. *Harleian.* ἐν αὐτῷ.

Ver. 425. —— δῶρα διδοῦναι.] Quâ ratione dicitur δώσειν et διδώσειν, eâdem fortasse dicitur δοῦναι et διδοῦναι. Cæterùm nonnulli hîc legunt δίδοσθαι.

Ver. 426. 464. Ἀθανάτοις· —— Ἀθάνατον.] Vide suprà ad ά, 398.

Ibid. — εἴποτ' ἔην γε.] *Scholiastes* exponit, ἕως περ ἔην. Sed, ut opinor, minùs rectè. Vide suprà ad γ', 180.

Ver. 427. Λήθετ' ἐνὶ μεγάροισι.] *Al.* Λήθετο ἐν μεγάροις.

Ver. 428. —— ἀπεμνήσαντο.] *Al.* ἐπεμνήσαντο. Sic apud *Hesiodum :*

Οἵ οἱ ἀπεμνήσαντο χάριν εὐεργεσιάων.
Theogon. ver. 503.

Ἀλλ' ἄγε δὴ τόδε δέξαι ἐμεῦ πάρα καλὸν ἄλεισον·
Αὐτόν τε ῥῦσαι, πέμψον δέ με, σύν γε θεοῖσιν,
Ὄφρα κεν ἐς κλισίην Πηληϊάδεω ἀφίκωμαι.
Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
Πειρᾷ ἐμεῖο, γεραιὲ, νεωτέρου, οὐδέ με πείσεις·
Ὅς με κέλῃ σέο δῶρα παρὲξ Ἀχιλῆα δέχεσθαι·
Τὸν μὲν ἐγὼ δείδοικα, καὶ αἰδέομαι περὶ κῆρι
Συλεύειν, μή μοί τι κακὸν μετόπισθε γένηται.
Σοὶ δ' ἂν ἐγὼ πομπὸς καί κε κλυτὸν Ἄργος ἱκοίμην,
Ἐνδυκέως ἐν νηῒ θοῇ, ἢ πεζὸς ὁμαρτέων·
Οὐκ ἄν τίς τοι πομπὸν ὀνοσσάμενος μαχέσαιτο.
Ἦ, καὶ ἐπαΐξας Ἐριούνιος ἅρμα καὶ ἵππους,
Καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν·
Ἐν δ' ἔπνευσ' ἵπποισι καὶ ἡμιόνοις μένος ἠΰ.
Ἀλλ' ὅτε δὴ πύργους τε νεῶν καὶ τάφρον ἵκοντο,
Οἱ δὲ νέον περὶ δόρπα φυλακτῆρες πονέοντο,
Τοῖσι δ' ἐφ' ὕπνον ἔχευε διάκτορος Ἀργειφόντης
Πᾶσιν· ἄφαρ δ' ὤϊξε πύλας, καὶ ἀπῶσεν ὀχῆας,
Ἐς δ' ἄγαγε Πρίαμόν τε καὶ ἀγλαὰ δῶρ' ἐπ' ἀπήνης.

" Sed agedum, hoc accipe à me pulchrum poculum;
" Ipsumque tutare, et deduc me, faventibus utique diis,
" Usque dum in tentorium Pelidae pervenero."
Illum verò vicissim allocutus est internuncius Argicîda:
" Tentas me, senex, juniorem, nec tamen mihi persuadebis;
" Qui me jubes tua dona clam Achille accipere:
" Eum quidem ego timeo, et vereor ex animo
" Spoliare, ne mihi aliquod malum in-posterum fiat.
" Tibi verò ego viae-dux vel ad inclytum Argos proficiscerer,
" Sedulò in navi veloci, aut viâ-terrestri comitans:
" Non sanè aliquis tecum duce contempto pugnaverit."
Dixit, et saltu-dato Mercurius in currum et equos,
Statim scuticam et habenas prehendit manibus;
Inspiravit autem equis et mulabus animos validos.
Sed cùm jam ad turresque navium et fossam pervenissent,
Custodes tum verò primùm circa coenas occupati-erant;
Iis autem somnum infudit internuncius Argicîda
Omnibus: statimque aperuit portas, et retrusit vectes,
Introque duxit Priamumque et splendida dona in rhedâ.

Ver. 431. —Πηληϊάδεω ἀφίκωμαι.] Sic suprà *ver.* 406. Πηληϊάδεω Ἀχιλῆος· et infrà *ver.* 448. Πηληϊάδεω ἀφίκοντο· Pronuntiabatur Πηληϊάδω. Vide suprà ad ά, 1.

Ver. 434. —— παρὲξ Ἀχιλῆα δέχεσθαι.] *Al.* παρὲξ Ἀχιλῆος ἔχεσθαι.

Ver. 435. —— δείδοικα, καὶ αἰδέομαι.] Vide suprà ad ν', 481 et 736.

Ver. 436. —— γένηται.] *Al.* γίνοιτο.

Ver. 438. — ὁμαρτέων.] Pronuntiabatur ὁμαρτῶν. Quomodo et scribi posteà cœptum est.

Ver. 439. — πομπὸν ὀνοσσάμενος.] Καταφρονήσας ἐμοῦ τοῦ πέμποντος. *Schol.*

Ver. 440. ——— ἐπαΐξας.] Cod. *Harleian.* ἀναΐξας. Quo modo et in uno MS. scriptum repperit *Barnesius.* *Al.* ἐπ' ἀΐξας.

Ver. 445. Τοῖσι δ'.] Vide suprà ad θ', 160. et ad μ', 12. *Barnesius* minùs rectè Τοισίδ'.

Ibid. —— ἔχευε.] *Al.* ὄρουσε.

Ἀλλ' ὅτε δὴ κλισίην Πηληϊάδεω ἀφίκοντο
Ὑψηλὴν, τὴν Μυρμιδόνες ποίησαν ἄνακτι,
Δοῦρ' ἐλάτης κέρσαντες· ἀτὰρ καθύπερθεν ἔρεψαν
Λαχνήεντ' ὄροφον, λειμωνόθεν ἀμήσαντες·
Ἀμφὶ δέ οἱ μεγάλην αὐλὴν ποίησαν ἄνακτι
Σταυροῖσιν πυκινοῖσι· θύρην δ' ἔχε μοῦνος ἐπιβλὴς
Εἰλάτινος, τὸν τρεῖς μὲν ἐπιῤῥήσεσκον Ἀχαιοὶ,
Τρεὶς δ' ἀναοίγεσκον μεγάλην κληῖδα θυράων,
Τῶν ἄλλων· Ἀχιλεὺς δ' ἄρ' ἐπιῤῥήσσεσκε καὶ οἶος.
Δή ῥα τόθ' Ἑρμείας ἐριούνιος ὦξε γέροντι,
Ἐς δ' ἄγαγε κλυτὰ δῶρα ποδώκεϊ Πηλείωνι,
Ἐξ ἵππων δ' ἀπέβαινεν ἐπὶ χθονὶ, φώνησέν τε·
Ὦ γέρον, ἦτοι ἐγὼ θεὸς ἄμβροτος εἰλήλουθα
Ἑρμείας· σοὶ γάρ με πατὴρ ἅμα πομπὸν ὄπασσεν·
Ἀλλ' ἦτοι μὲν ἐγὼ πάλιν εἴσομαι, οὐδ' Ἀχιλῆος
Ὀφθαλμοὺς εἴσειμι· νεμεσσητὸν δέ κεν εἴη,
Ἀθάνατον θεὸν ὧδε βροτοὺς ἀγαπαζέμεν ἄντην.
Τύνη δ' εἰσελθὼν λάβε γούνατα Πηλείωνος,
Καί μιν ὑπὲρ πατρὸς καὶ μητέρος ἠϋκόμοιο

Sed quandò jam ad tentorium Pelidae pervenerant
Excelsum, quod Myrmidones fecerant regi,
Lignis abietis caesis; et desuper texerant
Lanuginoso culmine, ex prato ubi demessuerant;
Circum autem ei magnum septum fecerant regi
Palis densis: januam autem tenebat unus obex
Abiegnus, quem tres quidem obdebant Achivi,
Tres item reserabant ingens claustrum forium,
Ex aliis; Achilles verò obdebat etiam solus.
Et tum quidem Mercurius utilitatum-auctor aperuit seni,
Intróque duxit inclyta dona pedibus-veloci Pelidae;
E curruque descendit in terram, dixitque:
" O senex, ego quidem deus immortalis veni
" Mercurius; tibi enim me Jupiter ut-comitarer ducem-viae praebuit:
" Sed ego quidem redibo, neque Achillis
" In conspectum veniam: indignum enim esset,
" Immortalem deum sic mortales fovere palàm.
" Tu verò ingressus prehende genua Pelidae,
" Et eum per patrem et matrem comas-pulchram

Ver. 448. Ἀλλ' ὅτε δὴ κλισίην.] Sic suprà *ver.* 443. Ἀλλ' ὅτε δὴ πύργους. Vide suprà ad ξ', 433 et 504.

Ver. 451. Λαχνήεντ' ὄροφον.] Τὸν δασύν· λέγει δὲ τὴν ἀπὸ τῆς καλάμης ὕλην, καὶ τῆς τούτων κόμης· ὄροφος γὰρ εἶδος καλάμου πρὸς ὀροφὴν ἐπιτηδείου. *Schol.*

Ver. 453. Σταυροῖσιν.] Ὀξέσι ξύλοις, σκόλοψι. *Schol.*

Ibid. —— ἐπιβλὴς.] Ὁ τῇ θύρᾳ ἐπιβαλλόμενος μοχλός. *Schol.*

Ver. 454. 455. 456. ———— ἐπιῤῥήσσεσκον — ἀναοίγεσκον — ἐπιῤῥήσσεσκε.] Vide suprà ad *ver.* 393. et ad β', 221. Cæterùm Codex *Harleianus* utrobique legit ἐπιῤῥήσεσκον.

Ver. 460. — εἰλήλουθα.] Vide suprà ad φ', 81. et ad ά, 37.

Ver. 466. Καί μιν ὑπὲρ πατρὸς καὶ μητέρος.] Σημειῶσαι δὲ, ὅτι εἰ καὶ προεκθετικῶς τῷ γέροντι ἔδοξε καὶ ἀπὸ μητρὸς, ὡς εἰρήσεται, καὶ τέκνου, ἱκετεύσειν τὸν Ἀχιλλέα, ὅμως οὐ γίνεται. τοῦτο· τάχα μὲν καὶ διότι ἐξέκρουσεν ἡ λύπη τῆ,

Λίσσεο, καὶ τέκεος· ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς.
Ὣς ἄρα φωνήσας ἀπέβη πρὸς μακρὸν Ὄλυμπον
Ἑρμείας· Πρίαμος δ' ἐξ ἵππων ἆλτο χαμᾶζε,
Ἰδαῖον δὲ κατ' αὖθι λίπεν· ὁ δὲ μίμνεν ἐρύκων
Ἵππους ἡμιόνους τε· γέρων δ' ἰθὺς κίεν οἴκου,
Τῇ ῥ' Ἀχιλεὺς ἵζεσκε, Διῒ φίλος· ἐν δέ μιν αὐτὸν
Εὗρ'· ἕταροι δ' ἀπάνευθε καθείατο· τῶ δὲ δύ' οἴω
Ἥρως Αὐτομέδων τε, καὶ Ἄλκιμος ὄζος Ἄρηος,
Ποίπνυον παρεόντε· (νέον δ' ἀπέληγεν ἐδωδῆς
Ἔσθων καὶ πίνων, ἔτι καὶ παρέκειτο τράπεζα.)
Τοὺς δ' ἔλαθ' εἰσελθὼν Πρίαμος μέγας, ἄγχι δ' ἄρα στὰς,
Χερσὶν Ἀχιλλῆος λάβε γούνατα, καὶ κύσε χεῖρας
Δεινὰς, ἀνδροφόνους, αἵ οἱ πολέας κτάνον υἷας.
Ὡς δ' ὅταν ἄνδρ' ἄτη πυκινὴ λάβῃ, ὅστ' ἐνὶ πάτρῃ

"Supplex-ora, et filium: ut ei animum commoveas."
Sic quidem fatus abiit ad excelsum Olympum
Mercurius: Priamus verò de curru desiliit in terram,
Idaeumque ibidem reliquit: is verò manebat continens
Equos mulasque: Senex autem rectà ivit per domum,
Ubi Achilles sedebat, Jovi charus; intúsque eum ipsum
Invenit; socii verò seorsùm sedebant: ei autem duo soli
Heros Automedonque, et Alcimus ramus Martis,
Ministrabant astantes: (modò autem destiterat à cibo,
Postquàm ederat et biberat; adhuc etiam aderat mensa.)
Hos autem latuit ingressus Priamus magnus, propè verò stans,
Manibus Achillis prehendit genua, et osculatus est manus
Terribiles, homicîdas, quae ei multos interfecerant filios.
Ut verò cùm virum malum magnum cepit, qui in patriâ,

τοῦ γέροντος ψυχῆς τὴν τοῦ διδασκάλου Ἑρμοῦ μέθοδον. *Eustath.* Vide infrà ad *ver.* 486.

Ver. 467. —— τέκεος· ἵνα.] Quâ ratione, τέκεος, hîc ultimam producat; item λίπεν, *ver.* 470. et Διῒ, *ver.* 472. et ἄλλον, *ver.* 481. et ἐνὶ, *ver.* 497. vide suprà ad ά, 51.

Ver. 469. —— ἐξ ἵππων ἆλτο χαμᾶζε.]
—— è curru saltum dedit ocyùs arvis.
Æn. XII, 681.
Vide suprà ad γ', 29.

Ver. 470. —— κατ' αὖθι.] *Al.* καταῦθι.

Ver. 472. Τῇ ῥ'.] *Ubi utique* ——. *Ubi scilicèt* ——.

Ibid. — ἵζεσκε.] *Sedere solebat* ——. Vide suprà ad β', 221.

Ver. 473. —— ἀπάνευθε.] Vide suprà ad ά, 349.

Ibid. —— καθείατο.] *Al.* καθήατο.

Ibid. —— τῷ δὲ δύ'.] *Al.* τὼ δὲ δύ'. Atque ita legit Codex *Harleianus*.

Ver. 475. Ποίπνυον.] De hujus vocis mediâ hoc in loco *productâ*, suprà autem σ', 421, *correptâ*; vide suprà ad ν', 103. et ad ό, 24.

Ver. 476. Ἔσθων καὶ πίνων, ἔτι καὶ παρέκειτο τράπεζα.] Φασὶ γὰρ τοῖς παλαιοῖς μὴ ὅλως αἴρεσθαι τὴν τράπεζαν· χωρὶς εἰ μὴ διὰ τὴν τοῦ Πατρόκλου λύπην. *Schol.* Τῷ δὲ μὴ αἴρεσθαι τὰς τραπέζας, ἐναντιοῦσθαι δοκεῖ τὸ ἐν Ἰλιάδι· "Ἔσθων καὶ πίνων, ἔτι καὶ παρέκειτο τράπεζα." Ἀναγνωστέον οὖν οὕτω, "Ἔσθων καὶ πίνων ἔτι, "καὶ παρέκειτο τράπεζα." Ἢ τὸν καιρὸν αἰτι-"ᾶσθαι τὸν παρόντα δεῖ. Πῶς γὰρ ἦν πρέπον τῷ Ἀχιλλεῖ πενθοῦντι παρακεῖσθαι τράπεζαν, καθάπερ τοῖς εὐωχουμένοις, παρ' ὅλην τὴν συνουσίαν; *Athenæus, Lib.* I. *cap.* 10. Verùm, ut opinor, præstat Vulgata Lectio. Neque omninò, utì ad hunc *Athenæi* locum annotat *Casaubonus*, inde sequitur, mensas post cœnam auferri non solitas; hoc enim ait Poëta, *Achillem* tam exiguo tempore à comedendo et bibendo desiisse, ut ei adhuc mensa adesset.

Ver. 478. Χερσὶν Ἀχιλλῆος λάβε γούνατα.]
Tendentemque manus Priamum conspexit inermes. *Æn.* I, 491.

Ver. 480. Ὡς δ' ὅταν ἄνδρ', *&c.*] Ἔθος ἦν παρὰ τοῖς παλαιοῖς τὸν ἀκούσιον φόνον ἐργασάμενον φεύγειν ἐκ τῆς πατρίδος, καὶ παραγίγνεσθαι

Φῶτα κατακτείνας, ἄλλον ἐξίκετο δῆμον,
Ἀνδρὸς ἐς ἀφνειοῦ, θάμβος δ' ἔχει εἰσορόωντας·
Ὣς Ἀχιλεὺς θάμβησεν, ἰδὼν Πρίαμον θεοειδέα·
Θάμβησαν δὲ καὶ ἄλλοι, ἐς ἀλλήλους δὲ ἴδοντο.
Τὸν καὶ λισσόμενος Πρίαμος πρὸς μῦθον ἔειπε·
 Μνῆσαι πατρὸς σεῖο, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
Τηλίκου, ὥσπερ ἐγὼν, ὀλοῷ ἐπὶ γήραος οὐδῷ.
Καὶ μέν που κεῖνον περιναιέται ἀμφὶς ἐόντες
Τείρουσ', οὐδέ τις ἐστὶν, ἀρὴν καὶ λοιγὸν ἀμῦναι·
Ἀλλ' ἤτοι κεῖνός γε, σέθεν ζώοντος ἀκούων,
Χαίρει τ' ἐν θυμῷ, ἐπί τ' ἔλπεται ἤματα πάντα
Ὄψεσθαι φίλον υἱὸν, ἀπὸ Τροίηθεν ἰόντα·

Homine interfecto, ad aliam pervenit civitatem,
Viri ad divitis *domum*, stupor autem tenet aspicientes;
Sic Achilles obstupuit, conspicatus Priamum deo-similem:
Obstupuerunt et caeteri, alterque in alterum intuebatur.
Hunc etiam supplicans Priamus verbis allocutus est:
" Recordare patris tui, diis similis Achille,
" Ejusdem aetatis, quâ et ego, gravi in senectutis limine.
" Et illum quidem fortè vicini circumsistentes
" Premunt, neque quis est, qui malum et perniciem arceat:
" Et tamen ille quidem, te vivere audiens,
" Gaudetque in animo, speratque dies omnes
" Visurum dilectum filium, à Trojâ reversum:

εἴς τινος οἰκίαν ἀνδρὸς πλουσίου, καὶ καθίζειν· ἐπὶ τῆς οἰκίας συγκεκαλυμμένον καθαρσίων δεόμενον. *Schol.*

Ver. 481. —— ἄλλον ἐξίκετο δῆμον.] *Barnesius* ex uno MS. edidit ἄλλων ἐξίκετο δῆμον· itaque omninò scribendum censet propter id quod legitur, *Odyss.* ὀ, 238.

———— ὁ δ' ἄλλων ἵκετο δῆμον.

Et *Odyss.* ὑ, 219.

Ἄλλων δῆμον ἵκεσθαι ————.

Sed mutato nihil opus. Nam et alibi occurrit ἄλλον δῆμον, ubi codices inter se conveniunt:

Δὴ τότε γ' ἄλλον δῆμον ἀφίκετο, πατρίδα φεύγων. *Odyss.* ὀ, 228.

———— ἄλλον δ' ἀφικώμεθα δῆμον. π', 382.

Ver. 482. —— ἔχει.] *Al.* ἔχεν.

Ver. 483. —— θεοειδέα.] Sic infrà, *ver.* 486, θεοῖς ἐπιείκελ'. Vide suprà ad *ver.* 217. Pronuntiabatur autem θεοειδῆ.

Ver. 486. Μνῆσαι πατρὸς σεῖο —— Τηλίκου, ὥσπερ ἐγὼν.]

—— miseri te siqua parentis
Tangere cura potest, oro, (fuit et tibi talis
Anchises genitor,) Dauni miserere senectæ. *Æn.* XII, 932.

Καὶ τὰ μέτρα τῶν ἐσχηματισμένων λόγων παιδεύει ἡμᾶς ὁ Ὅμηρος, ὅτι οὐ (fortè οὐ μόνον) τῆς εὐπρεπείας δεῖται, ἀλλὰ καὶ τῆς ἐν χρείᾳ συντομίας. Τῶν γὰρ πάντων χρεία ἐστίν· ὅσων μὲν ἡ χρεία παραδίδωσι, ταῦτα ὁ καιρὸς παραιτεῖται. Διδάσκει δὴ τοῦτο ἐν τοῖς Ἑρμοῦ λόγοις πρὸς Πρίαμον Ὅμηρος. Τοῦτον γὰρ Ἑρμῆς, ὥσπερ διδάσκαλος ὢν, παιδεύει πῶς χρὴ ἐντυχεῖν Ἀχιλλεῖ, καὶ παραδίδωσι τὰς μεθόδους τῆς ἱκετείας· " Τύνη " δ' εἰσελθὼν λάβε γούνατα," &c. (suprà *ver.* 465.) Καὶ πάντας τοὺς ἀριθμοὺς τῆς ἱκετείας παραλαμβάνει, τὸ γένος τοῦ Ἀχιλλέως, πατρὸς, μητρὸς, υἱοῦ. Ταῦτα μαθὼν ὁ γέρων, οἶδε τέχνην κατὰ τέχνας. Προσελθὼν γὰρ τῷ Ἀχιλλεῖ, τοῦ γενείου ἐπιλαμβάνεται, καὶ λέγει· " Μνῆσαι πα" τρὸς σεῖο, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ." Καὶ οὔτε τοῦ παιδὸς μέμνηται, οὔτε τῆς μητρὸς, ἀλλὰ τῶν προγόνων· τὴν πολλὴν γὰρ χορηγίαν παρέλιπε τῇ χρείᾳ τοῦ παιδός. *Dionys. Halicarn. Lib. qui inscribitur* Τέχνη, § 9. " Epilogus quidem quis " unquam poterit illis Priami rogantis Achil" lem precibus æquari?" *Quintilian. Lib.* X. *cap.* 1. Vide et suprà ad *ver.* 360.

Ibid. —— σεῖο.] *Al.* σοῖο.

Ver. 487. ——— ὥσπερ ἐγὼν.] *Heraclides Ponticus* loco suprà (*ver.* 360.) citato legit οἷος ἐγών.

Ver. 489. —— ἀρὴν.] Vide suprà ad σ', 100. et ad ξ', 485.

Ver. 492. ——— Τροίηθεν ἰόντα.] *Al.* Τροίηθε μολόντα.

Αὐτὰρ ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίῃ ἐν εὐρείῃ, τῶν δ' οὔτινα φημὶ λελεῖφθαι.
Πεντήκοντά μοι ἦσαν, ὅτ' ἤλυθον υἷες Ἀχαιῶν·
Ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν,
Τοὺς δ' ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες.
Τῶν μὲν πολλῶν θοῦρος Ἄρης ὑπὸ γούνατ' ἔλυσεν·
Ὃς δέ μοι οἶος ἔην, εἴρυτο δὲ ἄστυ καὶ αὐτοὺς,
Τὸν σὺ πρώην κτεῖνας, ἀμυνόμενον περὶ πάτρης,
Ἕκτορα· τοῦ νῦν εἵνεχ' ἱκάνω νῆας Ἀχαιῶν,
Λυσόμενος παρὰ σεῖο, φέρω δ' ἀπερείσι' ἄποινα.
Ἀλλ' αἰδεῖο θεοὺς, Ἀχιλεῦ, αὐτόν τ' ἐλέησον,
Μνησάμενος σοῦ πατρός· ἐγὼ δ' ἐλεεινότερός περ,
Ἔτλην δ', οἷ' οὔπω τις ἐπιχθόνιος βροτὸς ἄλλος,
Ἀνδρὸς παιδοφόνοιο ποτὶ στόμα χεῖρ' ὀρέγεσθαι.
Ὣς φάτο· τῷ δ' ἄρα πατρὸς ὑφ' ἵμερον ὦρσε γόοιο,
Ἁψάμενος δ' ἄρα χειρὸς, ἀπώσατο ἦκα γέροντα.
Τὼ δὲ μνησαμένω, ὁ μὲν Ἕκτορος ἀνδροφόνοιο,

" Sed ego infelicissimus, genui enim filios fortissimos
" Trojâ in latâ, eorumque neminem autumo relictum esse.
" Quinquaginta mihi erant, quandò venerunt filii Achivorum:
" Undeviginti quidem uno ex ventre erant,
" Caeteros autem mihi pepererunt in aedibus mulieres.
" *Ex his* plerorumque quidem impetuosus Mars genua solvit:
" Qui verò mihi unicus erat, tutabaturque urbem et ipsos,
" Hunc tu nuper interfecisti, pugnantem pro patriâ,
" Hectorem: hujus nunc gratiâ venio ad naves Achivorum,
" Redempturus à te, feroque infinita dona.
" Sed reverere deos, Achille, meique ipsius miserere,
" Recordatus tui patris: ego autem adhuc miserabilior;
" Sustinui enim, qualia nequaquam aliquis super terram mortalis alius,
" Viri filiorum-interfectoris ad os manus admovere."
Sic dixit: Ei autem de patre desiderium excitavit luctûs,
Prehensâque manu, removit à se leniter senem.
Hi verò recordati, hic quidem Hectoris homicîdae,

Ver. 493. — ἐπεὶ τέκον υἷας ἀρίστους.] Vide suprà ad *ver.* 255.

Ver. 496. Ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος.] *Theocritus Hecubæ* viginti filios tribuit:

Οὔθ' Ἕκτωρ, Ἑκάβας ὁ γεραίτερος εἴκατι παίδων. *Idyll.* XV. *ver.* 139.

Quem ad locum *Scholiastes*, citante hîc *Barnesio*: Τῷ γὰρ ἀρτίῳ ἀριθμῷ ἀποκέχρηνται, ὡς καὶ Σιμωνίδης· Ὅμηρος δὲ, Ἐννεακαίδεκα λέγει.

Ver. 499. ——— εἴρυτο δὲ ἄστυ καὶ αὐτοὺς.] Vide suprà ad χ΄, 507. et ad ζ΄, 402.

Ver. 502. Λυσόμενος παρὰ σεῖο.]

Exanimumque auro corpus vendebat Achilles. *Æn.* I, 488.

Ver. 503. Ἀλλ' αἰδεῖο θεοὺς, Ἀχιλεῦ.] *Al.* Ἀλλ' αἰδεῖο, φέριστε, θεούς. *Al.* αἰδοῖο.

Ver. 504. Μνησάμενος σοῦ πατρός.] Vide suprà ad *ver.* 486.

Ver. 506. —— χεῖρ' ὀρέγεσθαι.] *Al.* χεῖρας ὀρέξαι.

Ver. 507. —— ἄρα.] *Ut par erat* ——.

Ibid. —— ὑφ' ἵμερον ὦρσε γόοιο.] Ἐπιθυμίαν θρήνου ἐνέβαλεν. *Schol.* Vide suprà ad ψ΄, 108.

Ver. 509. —— ἀνδροφόνοιο.] Vide suprà ad π΄, 77.

Κλαῖ' ἀδινὰ, προπάροιθε ποδῶν Ἀχιλῆος ἐλυσθείς·
Αὐτὰρ Ἀχιλλεὺς κλαῖεν ἑὸν πατέρ', ἄλλοτε δ' αὖτε
Πάτροκλον· τῶν δὲ στοναχὴ κατὰ δώματ' ὀρώρει.
Αὐτὰρ ἐπεί ῥα γόοιο τετάρπετο δῖος Ἀχιλλεὺς,
Καί οἱ ἀπὸ πραπίδων ἦλθ' ἵμερος, ἠδ' ἀπὸ γυίων,
Αὐτίκ' ἀπὸ θρόνου ὦρτο, γέροντα δὲ χειρὸς ἀνίστη,
Οἰκτείρων πολιόν τε κάρη, πολιόν τε γένειον·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἆ δεῖλ', ἦ δὴ πολλὰ κάκ' ἄνσχεο σὸν κατὰ θυμόν.
Πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος
Ἀνδρὸς ἐς ὀφθαλμοὺς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
Υἱέας ἐξενάριξα; σιδήρειον νύ τοι ἦτορ.
Ἀλλ' ἄγε δὴ κατ' ἄρ' ἕζευ ἐπὶ θρόνου· ἄλγεα δ' ἔμπης
Ἐν θυμῷ κατακεῖσθαι ἐάσομεν, ἀχνύμενοί περ·
Οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.
Ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι,

Flebat crebris lachrymis, ante pedes Achillis provolutus;
At Achilles flebat suum patrem, interdumque vicissim
Patroclum: Eorum autem gemitus per aedes excitabatur.
At postquàm luctu satiatus est nobilis Achilles,
Et ei è praecordiis abiit desiderium, atque ex artubus,
Protinùs è sede surrexit, senemque manu *prehensum* erexit,
Miseratus canumque caput, canumque mentum:
Et ipsum editâ-voce verbis alatis allocutus est:
" Ah miser, certè jam multa mala tolerâsti tuo in animo.
" Quomodò sustinuisti ad naves Achivorum venire solus,
" Viri in conspectum, qui tibi multosque et strenuos
" Filios interfeci? Ferreum certè tibi cor.
" Sed age jam conside in sede; dolores autem prorsùs
" In animo residere sinamus, dolentes licèt:
" Nullus enim profectus est tristis luctûs.
" Sic enim fato-tribuunt dii miseris mortalibus,

Ver. 510, 511. Κλαῖ' — κλαῖεν.] Vide suprà ad ν', 84.

Ver. 512. —— ὀρώρει.] Vide suprà ad φ', 352. et ad β', 810.

Ver. 513. Αὐτὰρ ἐπεί ῥα γόοιο.] *Galenus de Hippocratis et Platonis Dogmatibus, Lib.* IV. *cap.* 7. locum hunc hoc modo citat:

Ἀλλ' ὅτε δὴ κλαίων τε κυλινδόμενός τ' ἐκορέσθη,
Καί οἱ ἀπὸ πραπίδων ἦλθ' ἵμερος ἠ δ' [ἵμερος, ἠδ'] ἀπὸ γυίων.

Utì *Odyss.* δ', 541.

Ibid. ——— τετάρπετο.] Vide suprà ad ψ', 10.

Ver. 522. Ἀλλ' ἄγε δὴ κατ' ἄρ' ἕζευ.] Ὑπερφυῶς δὲ φαίνεται περὶ τὴν παραμυθίαν, ὁ ποιητὴς εὐδοκιμεῖν, ποιήσας τὸν Ἀχιλλέα λέγοντα πρὸς τὸν Πρίαμον ἥκοντα ἐπὶ λύτρα τοῦ Ἕκτορος, ταυτὶ, " Ἀλλ' ἄγε δὴ κατ' ἄρ' ἕζευ," &c. *Plutarch. de Consolat. ad Apoll.*

Ver. 523. — ἐάσομεν.] Vide suprà ad δ', 42.

Ibid. ——— ἀχνύμενοι.] Sic infrà *ver.* 526. ἀχνυμένους.] Vide suprà ad γ', 260.

Ver. 524. — πρῆξις.] Vide suprà ad ν', 192.

Ver. 525. Ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι.] Οὐ —— ἁπλῶς εἶπε καὶ πᾶσιν ἀνθρώποις ὑπὸ θεῶν ἐπικεκλῶσθαι λυπηρὸν βίον, ἀλλὰ τοῖς ἄφροσι καὶ ἀνοήτοις, οὓς δειλαίους καὶ οἰκτροὺς διὰ μοχθηρίαν ὄντας, εἴωθε δειλοὺς καὶ ὀϊζυροὺς προσαγορεύειν. *Plutarch. de audiendis Poëtis.*

Ver. 526. — αὐτοὶ δέ τ' ἀκηδέες εἰσί.] Ita ferè apud *Hesiodum:*

Ὥστε θεοὶ δ' ἔζωον, ἀκηδέα θυμὸν ἔχοντες,
Νόσφιν ἄτερ τε πόνων καὶ ὀϊζύος ——.
Ἔργ. καὶ Ἡμερ. I, 112.

Ζώειν ἀχνυμένους· αὐτοὶ δέ τ' ἀκηδέες εἰσί.
Δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει
Δώρων, οἷα δίδωσι, κακῶν· ἕτερος δὲ, ἐάων·
Ὧ μὲν καμμίξας δώῃ Ζεὺς τερπικέραυνος,
Ἄλλοτε μέν τε κακῷ ὅγε κύρεται, ἄλλοτε δ' ἐσθλῷ·
Ὧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκε·
Καί ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει·
Φοιτᾷ δ' οὔτε θεοῖσι τετιμένος, οὔτε βροτοῖσιν.
Ὣς μὲν καὶ Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
Ἐκ γενετῆς· πάντας γὰρ ἐπ' ἀνθρώπους ἐκέκαστο
Ὄλβῳ τε, πλούτῳ τε, ἄνασσε δὲ Μυρμιδόνεσσι,
Καί οἱ θνητῷ ἐόντι θεὰν ποίησαν ἄκοιτιν·
Ἀλλ' ἐπὶ καὶ τῷ θῆκε θεὸς κακὸν, ὅττι οἱ οὔτι

" Ut vivant tristes; ipsi verò sine-curis sunt.
" Duo quippe dolia jacent in Jovis limine
" Donorum, quae dat, *alterum* malorum; alterum verò, bonorum:
" Cui quidem miscens dederit Jupiter fulmine-gaudens,
" Interdum quidem in malum ille incidit, interdum et in bonum:
" Cui verò ex malis dederit, injuriis obnoxium facit;
" Et illum exitialis dira-calamitas super terram almam exercet:
" Vagaturque nec diis honoratus, neque mortalibus.
" Sic quidem et Peleo dii dederunt illustria dona
" A natalibus: omnes enim inter homines *eminentèr*-ornatus-erat
" Opibusque, divitiisque, imperabat verò Myrmidonibus,
" Et ei mortali licèt deam fecerunt uxorem:
" Sed et huic imposuit deus malum, quòd ei nequaquàm

Et apud *Lucretium :*

——— Deos securum agere ævum.
Lib. V, 83. VI, 57.

Et *Lib.* I. *ver.* 57. 60.

Omnis enim per se Divûm natura necesse est
Immortali ævo summâ cum pace fruatur;
——— privata dolore omni, privata periclis.

Ibid. ——— ἀχνυμένους.] *Plutarchus* locis suprà citatis legit ἀχνυμένοις.

Ver. 527. Δοιοὶ γάρ τε πίθοι.] Εἰς παραμυθίαν Πριάμου ὁ Ποιητὴς εἰσήγαγε τὸν Ἀχιλλέα λέγοντα ταῦτα. *Schol.* Porrò *Plutarchus* versus hosce cum loco isto *Hesiodi* de *Pandoræ* Dolio, Ἔργ. καὶ Ἡμερ. I. 94, *&c.* conferens: Ὁ δὲ (inquit) μετὰ τοῦτον [Ὅμηρον] καὶ τῇ δόξῃ καὶ τῷ χρόνῳ, καίτοι τῶν Μουσῶν ἀναγορεύων ἑαυτὸν μαθητὴν Ἡσίοδος, καὶ οὗτος ἐν πίθῳ καθείρξας τὰ κακὰ, τὴν Πανδώραν ἀνοίξασαν ἀποφαίνει σκεδάσαι τὸ πλῆθος ἐπὶ πᾶσαν γῆν καὶ θάλατταν. *De Consolat. ad Apollon.* Ubi in transcursu notandum, *Plutarcho Hesiodum Homero* recentiorem esse visum. Cæterùm vituperat hîc *Homerum Plato :* Οὐκ ἄρα ἀποδεκτέον οὔτε Ὁμήρου οὔτ' ἄλλου ποιητοῦ ταύτην τὴν ἁμαρτίαν περὶ τοὺς θεοὺς ἀνοήτως ἁμαρτάνοντος, καὶ λέγοντος ὡς δοιοὶ πίθοι ——— " κατακείαται ἐν Διὸς οὔδει, Κηρῶν ἔμπλειοι· ὁ " μὲν ἐσθλῶν, αὐτὰρ ὁ, δειλῶν." *De Republ. Lib.* II.

Ver. 528. Δώρων, οἷα δίδωσι, κακῶν· ἕτερος δὲ, ἐάων.] *Al.* Κηρῶν ἔμπλεοι· ὁ μὲν ἐσθλῶν, αὐτὰρ ὁ δειλῶν. Quomodo legit *Plutarchus de audiendis Poëtis,* itemque *Plato* loco jam citato.

Ἓν παρ' ἐσθλὸν πήματα σύνδυο δαίονται βροτοῖς
Ἀθάνατοι ———.
Pindar. Pythior. Od. III. *ver.* 145.

Ubi *Scholiastes,* citante *Duport. Gnomolog. Homeric.* ad hunc locum: Οὕτως ἐδέξατο δύο πίθους ἕνα φαύλων καὶ ἕνα ἀγαθῶν.

Ver. 532. ——— βούβρωστις.] Κυρίως μὲν ὁ μέγας καὶ χαλεπὸς λιμός· νῦν δὲ ἀντὶ τῆς μεγάλης ἀνίας καὶ λύπης κεῖται ἡ λέξις. Ἔνιοι δὲ βούβρωστιν τὸν οἶκτον ἐξεδέξαντο. *Schol.* Ita *Callimachus :*

Νῦν δὲ κακὰ βούβρωστις ἐν ὀφθαλμοῖσι κάθητο.
Hymn. in Cererem, ver. 102

Παίδων ἐν μεγάροισι γονὴ γένετο κρειόντων,
Ἀλλ' ἕνα παῖδα τέκεν παναώριον· οὐδέ νυ τόν γε
Γηράσκοντα κομίζω, ἐπεὶ μάλα τηλόθι πάτρης
Ἧμαι ἐνὶ Τροίῃ, σέ τε κήδων, ἠδὲ σὰ τέκνα.
Καί σε, γέρον, τοπρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι,
Ὅσσον Λέσβος ἄνω Μάκαρος ἕδος ἐντὸς ἐέργει,
Καὶ Φρυγίη καθύπερθε, καὶ Ἑλλήσποντος ἀπείρων·
Τῶν σε, γέρον, πλούτῳ τε καὶ υἱάσι φασὶ κεκάσθαι.
Αὐτὰρ ἐπεί τοι πῆμα τόδ' ἤγαγον οὐρανίωνες,
Αἰεί τοι περὶ ἄστυ μάχαι τ' ἀνδροκτασίαι τε·
Ἄνσχεο, μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν.
Οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἷος ἑῆος,
Οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθησθα.
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων, Πρίαμος θεοειδής·
Μή μέ πω ἐς θρόνον ἷζε, διοτρεφὲς, ὄφρα κεν Ἕκτωρ

" Filiorum in aedibus soboles nata-est regno-successurorum,
" Sed unum filium genuit immaturâ-morte-periturum: nec tamen hunc
" Jam senem foveo; valde enim procul à patriâ
" Sedeo in Trojâ, teque contristans, atque tuos liberos.
" Et te, senex, olim quidem audimus opibus floruisse,
" Quantas Lesbus suprà Macaris sedes intùs continet,
" Et Phrygia desuper, et Hellespontus immensus:
" Inter hos, te, senex, divitiisque et filiis aiunt ornatum-excelluisse.
" At postquàm tibi cladem hanc intulerunt coelites,
" Assiduè tibi circa urbem proeliaque caedesque virorum:
" Perfer *tamen*, nec perpetuò moere tuo in animo.
" Nihil enim proficies, tristatus de filio tuo,
" Neque ipsum resurgere facies, priùs etiam malum aliud passus fueris.'
Ei verò respondit deindè senex, Priamus deo-similis:
" Ne me dum in sede colloca, Jovis alumne, quamdiù Hector

Ver. 540. ——— παναώριον.] Ἢ τὸν πάντῃ ἄωρον λέγει, παρὰ τὴν ὥραν, τὸν καιρόν· —— ἢ παρὰ τὴν ὥραν, τὴν φροντίδα, τὸν πάνυ πεφροντισμένον. *Eustath.*

Ver. 544. Ὅσσον Λέσβος ἄνω Μάκαρος ἕδος.] Vide suprà ad ά, 51. *Julianus, Orat.* 2. legit. Ὅσσον Λέσβος ἔσω Μακάρων ἕδος. *Dion. Chrysostomus,* § 33. legit, Ὅσσον Λέσβος ἄνω Μακάρων ἕδος. *Suidas* autem, notante *Barnesio*, citat, Ἠδ' ὅσα Λέσβος ἄνω Μάκαρος ἕδος. Cæterùm *Strabo, Geograph. lib.* VIII. legisse videtur, Μάκαρος πόλιν.

Ibid. —— Μάκαρος ἕδος.] Ἀντὶ τοῦ οἰκητήριον· ἔκτισε γὰρ τὴν Λέσβον Μάκαρος ὁ Κρινάκου, καὶ ἐβασίλευσεν αὐτῆς. *Schol.*

Ver. 546. Τῶν σε.] *Al.* Τῷ σε.

Ver. 547. 549. — ἐπεί τοι πῆμα τόδ' ἤγαγον οὐρανίωνες, —— Ἄνσχεο.]

—— ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν
Τύχας δοθείσας ἔστ' ἀναγκαῖον φέρειν.
Sophocl. Philoctet. ver. 1309.

Ver. 548. ——— μάχαι τ' ἀνδροκτασίαι τε.] Sic *Odyss.* λ', 611.

" Ὑσμῖναί τε, μάχαι τε, φόνοι τ', ἀνδροκτα-
" σίαι τε."

Quo de loco *Gellius:* "Ante omnes (inquit) apud Homerum, ejusdem rei atque sententiæ luculenta exaggeratio est ——— Ὑσμῖναί τε, &c. Nam quum omnia ista ——— multa et continua nomina nihil plus demonstrent quàm prœlium, hujus tamen rei varia facies delectabilitèr ac decorè multis variisque verbis depicta est." *Lib.* XIII. *cap.* 22.

Ver. 550. —— πρήξεις.] Vide suprà ad ν', 192.

Ver. 551. Οὐδέ μιν ἀνστήσεις.]

Τόλμα δ', οὐ γὰρ ἀνάξεις ποτ' ἔνερθεν
Κλαίων τοὺς φθιμένους ἄνω.
Euripid. Alcest. ver. 986.

Κεῖται ἐνὶ κλισίῃσιν ἀκηδής· ἀλλὰ τάχιστα
Λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω· σὺ δὲ δέξαι ἄποινα
Πολλὰ, τά τοι φέρομεν· σὺ δὲ τῶνδ' ἀπόναιο, καὶ ἔλθοις
Σὴν ἐς πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔασας
Αὐτόν τε ζώειν καὶ ὁρᾷν φάος ἠελίοιο.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Μηκέτι νῦν μ' ἐρέθιζε, γέρον· νοέω δὲ καὶ αὐτὸς
Ἕκτορά τοι λῦσαι· Διόθεν δέ μοι ἄγγελος ἦλθε,
Μήτηρ, ἥ μ' ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντος·
Καὶ δέ σε γιγνώσκω, Πρίαμε, φρεσὶν, οὐδέ με λήθεις,
Ὅττι θεῶν τίς σ' ἦγε θοὰς ἐπὶ νῆας Ἀχαιῶν·
Οὐ γάρ κεν τλαίη βροτὸς ἐλθέμεν, οὐδὲ μάλ' ἡβῶν
Ἐς στρατόν· οὐδὲ γὰρ ἂν φυλάκους λάθοι, οὐδέ κ' ὀχῆας
Ῥεῖα μετοχλίσσειε θυράων ἡμετεράων.

"Jacet in tentoriis insepultus; sed citissimè
"Redemptum-redde, ut oculis videam: Tu verò accipe dona
"Multa, quae tibi afferimus: tu autem his fruaris *utinam*, et pervenias
"Tuam in patriam terram, postquàm me primùm sivisti
"Ipsum vivereque et aspicere lumen solis."
Hunc autem torvè intuitus allocutus est pedibus velox Achilles:
"Ne ampliùs nunc me irrita, senex: habeo enim in animo et ipse
"Hectorem tibi redemptum-reddere; à Jove enim mihi nuncia venit,
"Mater, quae me peperit, filia marini senis:
"Sed et te sentio, Priame, animo, neque me lates,
"Quòd Deorum aliquis te duxerit celeres ad naves Achivorum:
"Haud enim ausus esset mortalis *ullus* intrare, nè aetate quidem admodùm florens
"In castra: neque enim custodes latuisset, neque obices
"Facilè reserâsset portarum nostrarum.

Ver. 555—561. Λῦσον ——— λῦσαι.] Vide suprà ad ά, 20.

Ver. 556. —— φέρομεν.] *Al.* φέρομαι.

Ver. 557. —— πρῶτον.] *Al.* πρῶτος.

Ibid. et *ver.* 569. —— ἔασας — ἐάσω.] Vide suprà ad δ', 42. Malè *Barnesius* ἔασσας —— ἐάσσω. Porrò *Etymolog. Magn.* notante *Barnesio*, hìc legit ἕασας· exponitque ἐχαροποιήσας, ἀπὸ τοῦ ἥδω, ἥσω· ἥσας, καὶ ἐν διαιρέσει ἕασας. *Scholiastes* itidem exponit εὔφρονας. Sed hoc, ut rectè observavit *Barnesius*, cum sequenti, "Αὐτόν τε ζώειν, &c." parùm aptè congruit. Vide et *ver.* 569.

Ver. 559. ——— ὑπόδρα ἰδὼν.] Ἐπεὶ δώρων ὑπέμνησε. *Schol.*

Ver. 560. Μηκέτι νῦν μ' ἐρέθιζε.] Ἐπεὶ δὲ μεγάλου δοκοῦντος εἶναι καὶ ὄντος τοῦ κρατεῖν ὀργῆς μεῖζόν ἐστιν ἡ φυλακὴ καὶ ἡ πρόνοια τοῦ μὴ περιπεσεῖν ὀργῇ μηδὲ ἁλῶναι· καὶ ταῦτα δεῖ τοῖς ἀναγινώσκουσιν ὑποδεικνύειν μὴ παρέργως, ὅτι τὸν Πρίαμον ὁ Ἀχιλλεὺς οὐκ ἀνασχετικὸς ὢν οὐδὲ πρᾶος, ἡσυχίαν ἄγειν κελεύει καὶ μὴ παροξύνειν αὐτὸν, οὕτως· "Μηκέτι νῦν μ' ἐρέθιζε, γέρον," &c. Καὶ τὸν Ἕκτορα λούσας καὶ περιστείλας αὐτὸς ἐπὶ τὴν ἀπήνην τίθησιν, πρὶν ἠκισμένον ὑπὸ τοῦ πατρὸς ὀφθῆναι, "Μὴ ὁ μὲν ἀχνυμένῃ κραδίῃ," &c. (infrà *ver.* 584.) Τὸ γὰρ ἐπισφαλῶς πρὸς ὀργὴν ἔχοντα, καὶ φύσει τραχὺν ὄντα, καὶ θυμοειδῆ μὴ λανθάνειν ἑαυτὸν, ἀλλ' ἐξευλαβεῖσθαι καὶ φυλάττεσθαι τὰς αἰτίας, καὶ προκαταλαμβάνειν τῷ λογισμῷ πόῤῥωθεν, ὅπως οὐδὲ ἄκων τῷ πάθει περιπεσεῖται, θαυμαστῆς ἐστι προνοίας. *Plutarch. de audiend. Poëtis.*

Ibid. ——— νοέω δὲ καὶ αὐτὸς.]

——— Nec fallunt jussa superba
Magnanimi Jovis ———.

Æn. XII, 877.

Ver. 563. —— γιγνώσκω.] Ita edidit *Barnesius. Al.* γινώσκω. Quod perinde est: Nam primam producit.

Ver. 564. Ὅττι θεῶν τίς σ' ἦγε.] Voculam σε, inseruit *Barnesius* ex duorum MSS. auctoritate; quorum alter, Ὅττι θεῶν σ' ἦγε legit; alter, Ὅττι θεός σέ τις ἦγε. *Vulgg.* Ὅττι θεῶν τις ἦγε.

Ver. 566. —— λάθοι.] *Al.* λάθῃ.

Ver. 567. — μετοχλίσσειε.] Ita edidit *Bar-*

Τῷ νῦν μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ὀρίνῃς,
Μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίῃσιν ἐάσω,
Καὶ ἱκέτην περ ἐόντα, Διὸς δ' ἀλίτωμαι ἐφετμάς.
Ὣς ἔφατ'· ἔδδεισεν δ' ὁ γέρων, καὶ ἐπείθετο μύθῳ.
Πηλείδης δ' οἴκοιο, λέων ὥς, ἆλτο θύραζε,
Οὐκ οἶος· ἅμα τῷ γε δύω θεράποντες ἕποντο,
Ἥρως Αὐτομέδων τε καὶ Ἄλκιμος, οὕς ῥα μάλιστα
Τῖ' Ἀχιλεὺς ἑτάρων, μετὰ Πάτροκλόν γε θανόντα.
Οἳ τόθ' ὑπὸ ζυγόφιν λύον ἵππους ἡμιόνους τε,
Ἐς δ' ἄγαγον κήρυκα καλήτορα τοῖο γέροντος·
Κὰδ δ' ἐπὶ δίφρου εἷσαν· ἐϋξέστου δ' ἀπ' ἀπήνης
Ἥρεον Ἑκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα.
Κὰδ δ' ἔλιπον δύο φάρε', ἐΰννητόν τε χιτῶνα,
Ὄφρα νέκυν πυκάσας δώῃ οἶκόνδε φέρεσθαι.
Δμωὰς δ' ἐκκαλέσας λοῦσαι κέλετ', ἀμφί τ' ἀλεῖψαι,
Νόσφιν ἀειράσας, ὡς μὴ Πρίαμος ἴδοι υἱόν·
Μὴ ὁ μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύσαιτο,

"Ideò nunc ne mihi magis doloribus animum commoveas,
"Ne te, senex, ne ipsum quidem in tentoriis sinam,
"Quantumvis supplicem, Jovis autem violem mandata."
Sic dixit: Timuit autem senex, et paruit sermoni.
Pelides verò è domo, leo tanquam, prosiliit foras,
Non solus; eum nempè duo famuli comitabantur,
Heros Automedonque et Alcimus, quos quidem maximè
Honorabat Achilles ex sociis, post Patroclum utiquè mortuum.
Hi tunc à jugo solverunt equos mulasque,
Introque duxerunt praeconem vocalem senis:
Et in sedili collocârunt: elegantèr-politâ autem de rhedâ
Detraxerunt Hectorei capitis infinita pretia.
At reliquerunt duo pallia, textamque benè tunicam,
Ut cadaver contectum redderet domum asportandum.
Ancillas autem evocatas lavare *is* jussit circumque ungere,
Seorsùm sublatum, ut nè Priamus videret filium:
Nè is quidem dolenti corde iram non contineret,

---

nesius. Al. μετοχλίσειε. Quod, ut opinor, ferri non potest. Vide suprà ad μ΄, 448. et ad ά, 140.

Ver. 568. — μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ὀρίνῃς.] Vide suprà ad *ver.* 560.

Ver. 569. Μή σε, γέρον, οὐδ'.] Edidit *Barnesius*, Μή σε, γέρων, οὐδ'. Sed nihil opus. Vide suprà ad ά, 51. Quanquam *Plutarchus, de audiendis Poëtis*, Μή σε, γέρων, οὐδ' legit.

Ver. 574. —— Αὐτομέδων τε καὶ Ἄλκιμος.] *Al.* Αὐτομέδων ἠδ' Ἄλκιμος.

Ibid. ——— οὕς ῥα.] *Quos scilicèt* ———.

Ver. 575. Τῖ' Ἀχιλεὺς.] Vide suprà ad ψ΄, 703. et ad ν΄, 103.

Ver. 576. 600. —— ζυγόφιν ——— φαινομενῆφιν.] Vide suprà ad ν΄, 588.

Ver. 577. —— κήρυκα καλήτορα.] Ἀπὸ τοῦ βοᾷν καὶ συγκαλεῖν τὸν ὄχλον. *Schol.*

Ver. 578. — εἷσαν.] Cod. *Harleian.* ἦσαν.

Ver. 580. ——— ἐΰννητόν.] Ita ex uno MS. edidit *Barnesius*. Quocum facit et Codex *Harleianus*. *Al.* ἐΰνητον.

Ver. 581. —— πυκάσας.] Vide suprà ad ά, 140.

Ver. 583. — Νόσφιν.] Vide suprà ad ά, 349.

Ibid. — Πρίαμος ἴδοι υἱόν.] *Al.* Πρίαμος ἴδῃ υἱόν. *Al.* Πρίαμος γ' ἴδοι υἱόν. *Al.* Πρίαμός μιν ἴδοιτο. Cæterùm quâ ratione, Πρίαμος, hîc ultimam producat; item ἐνὶ, *ver.* 603. et ἄρα, *ver.* 607. vide suprà ad ά, 51.

Ver. 584. Μὴ ὁ μὲν ἀχνυμένῃ.] Vide suprà ad *ver.* 560.

Παῖδα ἰδὼν, Ἀχιλῆϊ δ' ὀρινθείη φίλον ἦτορ,
Καί ἑ κατακτείνειε, Διὸς δ' ἀλίτηται ἐφετμάς.
Τὸν δ' ἐπεὶ οὖν δμωαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
Ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλον, ἠδὲ χιτῶνα,
Αὐτὸς τόνγ' Ἀχιλεὺς λεχέων ἐπέθηκεν ἀείρας,
Σὺν δ' ἕταροι ἤειραν ἐΰξέστην ἐπ' ἀπήνην.
Ὤμωξέν τ' ἄρ' ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
  Μή μοι, Πάτροκλε, σκυδμαινέμεν, αἴκε πύθηαι,
Εἰν ἄϊδός περ ἐὼν, ὅτι Ἕκτορα δῖον ἔλυσα
Πατρὶ φίλῳ· ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα·
Σοὶ δ' αὖ ἐγὼ καὶ τῶνδ' ἀποδάσσομαι, ὅσσ' ἐπέοικεν.
  Ἦ ῥα, καὶ ἐς κλισίην πάλιν ἤϊε δῖος Ἀχιλλεύς·
Ἕζετο δ' ἐν κλισμῷ πολυδαιδάλῳ, ἔνθεν ἀνέστη,
Τοίχου τοῦ ἑτέρου, προτὶ δὲ Πρίαμον φάτο μῦθον·
  Υἱὸς μὲν δή τοι λέλυται, γέρον, ὡς ἐκέλευες·
Κεῖται δ' ἐν λεχέεσσ', ἅμα δ' ἠοῖ φαινομένηφιν
Ὄψεαι αὐτὸς ἄγων· νῦν δὲ μνησώμεθα δόρπου.
Καὶ γάρ τ' ἠΰκομος Νιόϐη ἐμνήσατο σίτου,
Τῆπερ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
Ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡϐώοντες·

Filium conspicatus, Achilli autem commoveretur charum cor,
Et ipsum interficeret, Jovisque violaret mandata.
Illud verò postquàm ancillae laverant et unxerant oleo,
Circumque ipsum pallium pulchrum jecerant, atque tunicam,
Ipse illud Achilles lectis imposuit sublatum,
Simulque socii elevârunt eleganter-politam in rhedam.
Ingemuit autem deindè, dilectumque nomine ciebat sodalem:
" Ne mihi, Patrocle, irascaris, si fortè audiveris,
" In orco licèt, me Hectora nobilem redemptum-reddidisse
" Patri ejus; haud enim mihi indecora dedit dona:
" Tibi verò ego ex his etiam impertiam, quantum par-est."
Dixit, et in tentorium rediit nobilis Achilles:
Resedit autem in sellâ affabre-factâ, unde surrexerat,
Pariete ex adverso, Priamumque allocutus est sermone:
" Filius quidem jam tibi redemptus est, senex, ut jussisti:
" Jacet autem in lectis, et cum aurorâ apparente
" Videbis ipse abducens: nunc verò memores simus coenae.
" Nam et comas-pulchra Niobe memor-fuit cibi,
" Cui tamen duodecim liberi in aedibus perierant,
" Sex quidem filiae, sex autem filii pubescentes:

Ibid. — ἀχνυμένη.] Vide suprà ad γ', 260.
Ver. 587. — οὖν.] *Ut jusserat Achilles*——. *ver.* 582.
Ver. 588. — καλὸν.] Vide suprà ad β', 43.
Ver. 591. — φίλον δ' ὀνόμηνεν ἑταῖρον.] Vide suprà ad ψ', 178 et 220.
Ver. 598. ——— προτὶ.] *Al.* ποτί. Quod perindè est.
Ver. 599. — λέλυται.] Vide suprà ad α', 37.
Ibid. ——— ἐκέλευες.] *Al.* ἐκέλευσας.
Ver. 604. ——— θυγατέρες.] Vide suprà ad α', 398.

Τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο,
Χωόμενος Νιόβῃ, τὰς δ' Ἄρτεμις ἰοχέαιρα,
Οὕνεκ' ἄρα Λητοῖ ἰσάσκετο καλλιπαρήῳ.
Φῆ δοιὼ τεκέειν, ἡ δ' αὐτὴ γείνατο πολλούς·
Τὼ δ' ἄρα, καὶ δοιώ περ ἐόντ', ἀπὸ πάντας ὄλεσσαν.
Οἱ μὲν ἄρ' ἐννῆμαρ κέατ' ἐν φόνῳ, οὐδέ τις ἦεν
Καθθάψαι· λαοὺς δὲ λίθους ποίησε Κρονίων·
Τοὺς δ' ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ οὐρανίωνες.
Ἡ δ' ἄρα σίτου μνήσατ', ἐπεὶ κάμε δακρυχέουσα.
Νῦν δέ που ἐν πέτρῃσιν, ἐν οὔρεσιν οἰοπόλοισιν,
Ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰς
Νυμφάων, αἵτ' ἀμφ' Ἀχελώϊον ἐῤῥώσαντο,
Ἔνθα, λίθος περ ἐοῦσα, θεῶν ἐκ, κήδεα πέσσει.
Ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα, δῖε γεραιὲ,
Σίτου, ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοισθα,
Ἴλιον εἰσαγαγών· πολυδάκρυτος δέ τοι ἔσται.
Ἦ, καὶ ἀναΐξας ὄϊν ἄργυφον ὠκὺς Ἀχιλλεὺς

" Hos quidem Apollo interfecit ab argenteo arcu,
" Iratus Niobae, illas autem Diana sagittis-gaudens,
" Quoniam Latonae se aequiparabat genas-pulchrae.
" Dixit *illam* duos peperisse, se verò peperisse multos:
" Illi verò, duo *tantùm* licèt essent, omnes perdiderunt.
" Et ii quidem novem-dies jacebant in caede, neque quis erat,
" Qui sepeliret; populos enim lapides fecerat Saturnius:
" Eos autem decimâ die sepelierunt dii coelites.
" Et haec quidem cibi memor fuit, postquàm fatigata-erat lacrymas-fundens.
" Nunc verò alicubi in petris, in montibus desertis,
" In Sipylo, ubi aiunt Dearum esse cubilia
" Nympharum, quae circa Acheloüm choreas-ducunt,
" Illic, lapis licèt sit, immissos à diis dolores concoquit.
" Sed agè jam et nos curam-geramus, nobilis senex,
" Cibi; deindè verò dilectum filium defleas,
" In Ilium vectum: multis autem lacrymis-prosequendus tibi erit."
Dixit, et properè-surgens ovem candidam velox Achilles

Ver. 605. 606. Τοὺς μὲν Ἀπόλλων πέφνεν, ——— τὰς δ' Ἄρτεμις.] Δοκεῖ δὲ ὁ τῶν παίδων τῆς Νιόβης θάνατος, ἐξ αἰτίας λοιμώδους γενέσθαι, ἢ καὶ ἄλλως ἀπὸ αἰφνιδίου πάθους τινός. Ὅθεν Ἀπόλλωνι καὶ Ἀρτέμιδι ἀνάπτεται, οἳ τοῦ τοιούτου θανάτου εἰσὶν αἴτιοι, τόξοις λεγόμενοι βάλλειν τοὺς οὕτω θνήσκοντας. *Eustath.* Vide suprà ad τ', 59.

Ver. 607. Οὕνεκ' ἄρα.] *Quòd scilicèt* ———.

Ver. 608. — ἡ δ' αὐτή.] *Eustathius* in commentario legit ἠδ' αὐτή.

Ver. 611. ——— Κρονίων.] De hujus vocis prosodiâ, vide suprà ad ά, 265 et 397.

Ver. 613. Ἡ δ' ἄρα.] Non hîc supervacuum est istud ἄρα· sed vim habet in connectendâ sententiâ cum eo quod præcessit, *ver.* 602. Καὶ γάρ τ' ἠΰκομος Νιόβη ———.

Ver. 615. Ἐν Σιπύλῳ.] Ἐν ὄρει τῆς Λυδίας καὶ Μαγνησίας. *Schol.*

Ver. 616. — αἵτ' ἀμφ' Ἀχελώϊον ἐῤῥώσαντο.] Αἵτινες περὶ τὸ ὕδωρ χορεύουσιν· ἤτοι ἀπὸ τοῦ Ἀχελῴου ποταμοῦ τοῦ ἐν Αἰτωλίᾳ ——— ἢ διὰ τοῦ η, Ἀχελήϊον. Ἀχέλης γὰρ ποταμὸς ἀπὸ Σιπύλου ῥέει εἰς τὴν Σμυρναίων γῆν. *Schol.*

Ver. 617. Ἔνθα, λίθος περ ἐοῦσα.] Θρηνοῦσαν τὴν Νιόβην ἀφάτως τὸ τοιοῦτον δυστύχημα Ζεὺς ἐλεήσας, εἰς λίθον μετέβαλεν, ὃς καὶ μέχρι νῦν ἐν Σιπύλῳ τῆς Φρυγίας ὁρᾶται παρὰ πάντων, πηγὰς δακρύων προϊέμενος. *Schol.* ad *ver.* 602. suprà.

Σφάξ᾽· ἕταροι δ᾽ ἔδερόν τε καὶ ἄμφεπον εὖ κατὰ κόσμον,
Μίστυλλόν τ᾽ ἄρ᾽ ἐπισταμένως, πεῖράν τ᾽ ὀβελοῖσιν,
Ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
Αὐτομέδων δ᾽ ἄρα σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ
Καλοῖς ἐν κανέοισιν· ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
Οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Ἤτοι Δαρδανίδης Πρίαμος θαύμαζ᾽ Ἀχιλῆα,
Ὅσσος ἔην, οἷός τε· θεοῖσι γὰρ ἄντα ἐῴκει.
Αὐτὰρ Δαρδανίδην Πρίαμον θαύμαζεν Ἀχιλλεὺς,
Εἰσορόων ὄψιν τ᾽ ἀγαθὴν, καὶ μῦθον ἀκούων.
Αὐτὰρ ἐπεὶ τάρπησαν ἐς ἀλλήλους ὁρόωντες,
Τὸν πρότερος προσέειπε γέρων Πρίαμος θεοειδής·
Λέξον νῦν με τάχιστα, διοτρεφὲς, ὄφρα κεν ἤδη
Ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντες·
Οὐ γάρ πω μύσαν ὄσσε ὑπὸ βλεφάροισιν ἐμοῖσιν,

Mactavit: Socii verò excoriâruntque et curârunt scitè et decorè,
Minutatim dein secuerunt peritè, et verubus transfixerunt,
Assâruntque accuratè, detraxeruntque omnia.
Automedon autem panem sumptum distribuit in mensâ
Pulchris in canistris: at carnes distribuit Achilles.
Ii verò ad cibos paratos appositos manus porrigebant.
At postquàm potûs et cibi amorem exemerant,
Dardanides quidem Priamus admirabatur Achillem,
Quantus erat, qualisque: diis enim visu similis erat.
At Dardanidem Priamum admirabatur Achilles,
Aspiciens vultusque egregios, et sermonem audiens.
At postquàm satiati sunt alter alterius aspectu,
Illum prior allocutus est senex Priamus deo-similis:
" Mitte nunc cubitum me quàm primùm, Jovis alumne, ut jam
" Somno dulci oblectemur cubantes:
" Nondum enim clausi sunt oculi sub palpebris meis,

Ver. 622.] —— *ἔδερόν τε καὶ ἄμφεπον.*]
Illi se prædæ accingunt dapibusque futuris:
Tergora diripiunt costis, et viscera nudant:
Pars in frusta secant, verubusque trementia figunt.
Littore ahena locant alii, flammasque ministrant.
Tum victu revocant vires ——.
Æn. I, 214.

Ver. 624. *Ὤπτησάν τε.*] *Καὶ παρ᾽ Ὁμήρου τά γε τοιαῦτα μάθοι ἄν τις. Οἶσθα γὰρ ὅτι ἐπὶ στρατιᾶς ἐν ταῖς τῶν ἡρώων ἑστιάσεσιν, οὔτε ἰχθύσιν αὐτοὺς ἑστιᾷ, καὶ ταῦτα ἐπὶ θαλάττῃ ἐν Ἑλλησπόντῳ ὄντας, οὔτε ἑφθοῖς κρέασιν, ἀλλὰ μόνον ὀπτοῖς. Plato de Republ. Lib.* III.

Ver. 625. —— *ἄρα.*] *Ut solitus erat* ——.

Ver. 626—644. Καλοῖς —— *καλὰ.*] Vide suprà ad *β*′, 43.

Ver. 628. Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο.]
Postquàm exempta fame; epulis, mensæque remotæ. *Æn.* I, 220.
Vide suprà ad *ψ*′, 57.

Ver. 631. —— Πρίαμον θαύμαζεν Ἀχιλλεὺς, Εἰσορόων ὄψιν.]
Obstupuit primo aspectu Sidonia Dido.
Æn. I, 617.

Ver. 634 et 659. —— *θεοειδής.*] Vide suprà ad *ver.* 217.

Ver. 635. Λέξον.] Vide suprà ad *β*′, 515. et ad *ί*, 613.

Ver. 636. —— *ταρπώμεθα.*] *Nos ipsi oblectemus.* Vide suprà ad *ψ*′, 10 et 685.

Ἐξ οὗ σῆς ὑπὸ χερσὶν ἐμὸς πάϊς ὤλεσε θυμόν·
Ἀλλ' αἰεὶ στενάχω καὶ κήδεα μυρία πέσσω,
Αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον.
Νῦν δὴ καὶ σίτου πασάμην, καὶ αἴθοπα οἶνον
Λαυκανίης καθέηκα· πάρος γε μὲν οὔτι πεπάσμην.
Ἦ ῥ'· Ἀχιλεὺς δ' ἑτάροισιν, ἰδὲ δμωῇσι κέλευσε,
Δέμνι' ὑπ' αἰθούσῃ θέμεναι, καὶ ῥήγεα καλὰ
Πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας,
Χλαίνας τ' ἐνθέμεναι οὔλας καθύπερθεν ἕσασθαι.
Αἱ δ' ἴσαν ἐκ μεγάροιο, δάος μετὰ χερσὶν ἔχουσαι·
Αἶψα δ' ἄρ' ἐστόρεσαν δοιὼ λέχε' ἐγκονέουσαι.
Τὸν δ' ἐπικερτομέων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἐκτὸς μὲν δὴ λέξο, γέρον φίλε· μήτις Ἀχαιῶν

"Ex quo tuis sub manibus meus filius amisit animam:
"Sed assiduè ingemisco et dolores innumerabiles concoquo,
"Aulae in septis volutatus in fimo.
"Nunc tandem etiam cibum gustavi, et nigrum vinum
"Per guttur demisi: anteà sanè nequaquàm gustaveram."
Dixit: Achilles verò socios et ancillas jussit,
Lectos sub porticu ponere, et stragula pulchra
Purpurea injicere, sternereque desupèr tapetas,
Chlaenasque imponere villosas supernè obducendas.
Illae verò exierunt domo, facem in manibus tenentes:
Statim autem straverunt duos lectos festinantes.
Hunc autem falso-metu-ludens allocutus est pedibus velox Achilles:
"Extrà quidem jam cuba, senex optime; ne quis Achivorum

Ver. 640. Αὐλῆς ἐν χόρτοισι.] Ἐν τοῖς περιφράγμασι τῆς αὐλῆς· ὅ ἐστιν, ὑπαιθρίοις. *Schol.* Ὅμηρος δὲ τὴν αὐλὴν ἀεὶ τάττει ἐπὶ τῶν ὑπαίθρων τόπων. —— Ὁ μέντοι γε Πηλεὺς καταλαμβάνεται (*Iliad.* λ΄, 773.) "Αὐλῆς ἐν χόρτῳ," &c. Ὁ δὲ Πρίαμος, "Αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον." *Athenæus, Lib.* V. *cap.* 3.

Ibid. — ἐν χόρτοισι.] Latini, vocem Græcam retinentes, villæ *cohortem* appellabant; indeque *aves cohortales*, &c. apud *Columellam.*

Ver. 641. —— αἴθοπα οἶνον.] Vide suprà ad ψ΄, 237.

Ver. 642. Λαυκανίης.] Cod. *Harleian.* Λευκανίης. Quo modo et in duobus MSS. scriptum repperit *Barnesius.* Vide suprà ad χ΄, 325.

Ver. 644. —— ῥήγεα καλὰ Πορφύρε'.] Τὰ βαπτὰ στρώματα. *Schol.* Ὅμηρος δὲ ὁ θαυμασιώτατος τῶν στρωμάτων τὰ μὲν κατώτερα, λῖτα εἶναι φάσκει, ἤτοι λευκὰ καὶ μὴ βεβαμμένα, ἢ πεποικιλμένα, τὰ δὲ περιστρώματα, ῥήγεα καλὰ, πορφύρεα. *Athenæus, Lib.* II. *cap.* 9. "Stragulam vestem, quæ injicitur, "non substernitur, Homerus vocat ῥήγεα." *Casaubon. ibid.*

Ver. 645. Πορφύρε'.] Vide suprà ad ά, 338 et 482.

Ver. 647. —— δάος.] *Al.* φάος.

Ver. 648. Αἶψα δ' ἄρ'.] *Statimque proindè ut præceperat Achilles* ——, *ver.* 643.

Ver. 649. —— ἐπικερτομέων.] Ἔνθα καὶ σημείωσαι, τὸ κερτομεῖν, οὐ τραχύτητα ἔχον ὑβριστικὴν, ἢ ὀνειδιστικὴν, ἀλλ' εἰσήγησιν φόβου ψευδοῦς, ἵνα μὴ ὁ γέρων βασιλεὺς λυπηθῇ, ὡς ἔξω παραῤῥιπτούμενος. *Eustath.*

Ibid. —— πόδας ὠκὺς Ἀχιλλεύς.] Sic infrà *ver.* 668. ποδάρκης δῖος Ἀχιλλεύς. Vide suprà ad ά, 58.

Ver. 650. —— λέξο, γέρον φίλε.] Τὸ δὲ ῥηθὲν "λέξο" ἐκ τοῦ ἐλελέγμην, ἐλέλεξο, κλιθὲν, κατὰ τὸ ἐτέτυψο, ἀφαιρέσει ποιητικῇ τῶν αὐξήσεων. *Eustath.* Immò verò, uti notavit *Barnesius*, ex *Imperativo* λέλεξο fit λέξο, eodem modo ac δέξο et δέδεξο, *Iliad.* τ΄, 10. Alii autem, notante itidem *Barnesio*, malè hîc legunt, λέξον γέρον φίλε· et λέξον γρὸν φίλε. Vide et suprà ad β΄, 515.

Ἐνθάδ' ἐπέλθῃσιν βουληφόρος, οἵ τέ μοι αἰεὶ
Βουλὰς βουλεύουσι παρήμενοι, ἣ θέμις ἐστί·
Τῶν εἴτις σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν,
Αὐτίκ' ἂν ἐξείποι Ἀγαμέμνονι ποιμένι λαῶν,
Καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένηται.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
Ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον,
Ὄφρα τέως αὐτός τε μένω καὶ λαὸν ἐρύκω.
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
Εἰ μὲν δή μ' ἐθέλεις τελέσαι τάφον Ἕκτορι δίῳ,
Ὧδέ κέ μοι ῥέζων, Ἀχιλεῦ, κεχαρισμένα θείης.
Οἶσθα γὰρ, ὡς κατὰ ἄστυ ἐέλμεθα, τηλόθι δ' ὕλη
Ἀξέμεν ἐξ ὄρεος· μάλα δὲ Τρῶες δεδίασιν.
Ἐννῆμαρ μέν κ' αὐτὸν ἐνὶ μεγάροις γοάοιμεν,

" Huc adveniat consiliarius, qui mecum assiduè
" Consilia consultant assidentes, ut mos est:
" Horum si quis te viderit celerem per noctem nigram,
" Continuò diceret Agamemnoni pastori populorum,
" Et fortè dilatio redemptionis cadaveris fieret.
" Verùm age mihi hoc dic, et accuratè narra,
" Quot-diebus cupis justa-facere Hectori nobili,
" Ut tamdiù ipseque quiescam, et copias contineam."
Illi autem respondit senex Priamus deo-similis:
" Siquidem jam me vis celebrare funus Hectori nobili,
" Sic certè mihi faciens, Achille, grata feceris.
" Scis enim, ut intra urbem concludimur, longeque lignum
" Devehendum ex monte: Admodùm verò Trojani metuunt.
" Novem dies quidem ipsum in aedibus lugeremus,

Ver. 651. — οἵ τέ μοι αἰεὶ Βουλὰς βουλεύουσι —— ἣ θέμις ἐστί.] Τὸ δὲ καθὰ θέμις ἐστὶ, καὶ τὸ αἰεὶ, τῆς τοῦ Ἀχιλλέως ἐστὶ σεμνότητος, ὡς ἀεί τε τῶν βουληφόρων περὶ αὐτὸν ἀθροιζομένων, καὶ ὡς θεμιτὸν ὂν οὕτω γίνεσθαι, διὰ τὸ περιφανὲς τοῦ ἥρωος. *Eustath.*

Ver. 655. —— λύσιος.] *Marcus Meibomius*, notante *Barnesio*, hìc legit ῥύσιος.

Ver. 656. — κατάλεξον.] *Barnesius* in uno MS. scriptum repperit ἀγόρευσον.

Ver. 657. Ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον.] Occurrit apud *Julianum Imperatorem*, *Orat.* 2.

Ἐννῆμαρ μὲν ὅλας κτερεΐζομεν Ἕκτορα δῖον.

Quem versum ex hoc loco corruptè citâsse *Julianum* existimat *Barnesius*: "Cum Auc-" tor," inquit, "ipse ostendat, hæc esse " *Achillis* interrogatiunculæ partem." Atqui ex Auctoris contextu liquet, versum hunc non ex *Achillis* interrogatione, sed ex *Priami* responso esse desumptum; adeoque non hinc, sed ex versu 664 infrà, à *Juliano* negligentèr ac fortassè memoritèr citatum.

Ibid. — μέμονας.] Vide suprà ad *ver.* 542. et ad ν', 481 et 736.

Ver. 660. Εἰ μὲν δή.] Vide suprà ad *ver.* 406. et ad ξ', 433.

Ver. 661. —— ῥέζων.] *Al.* ῥέξας.

Ver. 662. — τηλόθι δ' ὕλη Ἀξέμεν ἐξ ὄρεος.]

Bis senos pepigere dies: et pace sequestrâ
Per sylvas Teucri, mixtique impunè Latini,
Erravêre jugis. Ferro sonat alta bipenni
Fraxinus——. *Æn.* XI, 133.

Ibid. —— ὕλη.] Vide suprà ad γ', 151.

Ver. 663. — μάλα δὲ.] *Al.* μάλα γάρ.

Ibid. —— δεδίασιν.] Sic infrà *ver.* 670. ἄνωγας. Vide suprà ad ν', 481 et 736.

Ver. 664. —— ἐνὶ μεγάροις.] Quâ ratione vox ἐνὶ, hìc ultimam producat; item πυκινὸν, *ver.* 744. vide suprà ad α', 51.

Τῇ δεκάτῃ δέ κε θάπτοιμεν, δαινῦτό τε λαός.
Ἑνδεκάτῃ δέ κε τύμϐον ἐπ' αὐτῷ ποιήσαιμεν,
Τῇ δὲ δυωδεκάτῃ πολεμίξομεν, εἴπερ ἀνάγκη.
Τὸν δ' αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
Ἔσται τοι καὶ ταῦτα, γέρον Πρίαμ', ὡς σὺ κελεύεις·
Σχήσω γὰρ τόσσον πόλεμον χρόνον, ὅσσον ἄνωγας.
Ὣς ἄρα φωνήσας, ἐπὶ καρπῷ χεῖρα γέροντος
Ἔλλαϐε δεξιτερὴν, μήπως δείσῃ ἐνὶ θυμῷ.
Οἱ μὲν ἄρ' ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο
Κῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες·
Αὐτὰρ Ἀχιλλεὺς εὗδε μυχῷ κλισίης εὐπήκτου·
Τῷ δ' ἄρ Βρισηῒς παρελέξατο καλλιπάρῃος.
Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
Εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ·

" Decimâ autem sepeliremus, epulareturque populus.
" Undecimâ autem tumulum super ipso faceremus;
" Duodecimâ verò pugnabimus, siquidem necesse *erit*."
Eum autem rursùs allocutus est pedibus-valens nobilis Achilles:
" Erunt tibi et haec, senex Priame, ut tu jubes:
" Inhibebo enim tanto pugnam tempore, quanto jubes."
Sic utique locutus, ad carpum manum senis
Prehendit dexteram, ne fortè timeret in animo.
Illi quidem in vestibulo domûs illic dormierunt
Praeco et Priamus, prudentia mentibus consilia tenentes:
At Achilles dormiit in recessu tentorii benè compacti:
Ei autem Briseïs accubuit genas-pulchra.
Alii quidem diique et mortales bellatores-equestres
Dormiebant totam per noctem molli domiti somno:

Ver. 665. —— δαινῦτό.] Ita ex *Etymolog. Magn.* edidit *Barnesius*, ut sit contractum ex δαινύοιτο. Rectè, ut opinor; nam vox δαίνυτο, quod habent Vulgati, mediam necessariò corripit:

—— νῦν δαίνυται εὔφρων.
Iliad. ὀ, 99.

—————— μεταδαίνυται ἡμῖν.
χ', 498.

Porrò, utì hîc annotat *Eustathius*, optimè congruit δαινῦτο sive δαινύοιτο cum præcedente θάπτοιμεν. Εἴη δὲ ἂν ἐνταῦθα τὸ, δαίνυτο, [δαινῦτο,] συγκοπὲν ἴσως, ἐκ τοῦ δαινύοιτο· ἵνα ὁμοιγκλίτως εἴη, θάπτοιμεν, δαινύοιτό τε λαός.

Ver. 667. ——— πολεμίξομεν.] Cod. *Harleian.* πολεμίζομεν.

Ver. 670. ——— τόσσον πόλεμον χρόνον.] *Al.* πόλεμον τόσσον χρόνον.

Ibid. —— ὅσσον ἄνωγας.] *Al.* ὡς σὺ ἄνωγας. Ex versu (ut videtur) præcedenti.

Ver. 673. Οἱ μὲν.] Cod. *Harleian.* Τὼ μέν. Utrumque ferri possit. Vide suprà ad ἀ, 566.

Ibid. —— ἄρ'.] *Ut jusserat Achilles* ——, *ver.* 650.

Ver. 674. Κῆρυξ.] Vide suprà ad *ver.* 149.

Ver. 676. Τῷ δ' ἄρ Βρισηῒς.] Cod. *Harleian.* Τῷ δὲ Βρισηῒς. *Al.* Τῷ δ' ἄρα Βρισηῒς.

Ibid. —— ἄρ.] *Ut solita erat* ——.

Ibid. —— παρελέξατο.] Vide suprà ad β', 515.

Ver. 677. — ἱπποκορυσταὶ.] Vide suprà ad φ', 205.

Ver. 678. Εὗδον παννύχιοι, —— Ἀλλ' οὐχ Ἑρμείην.]

Nox erat, et placidum carpebant fessa soporem
Corpora: ————
——— Somno positæ sub nocte silenti
Lenibant curas, et corda oblita laborum:
At non infelix animi Phœnissa; neque unquam
Solvitur in somnos, oculisve aut pectore noctem
Accipit ———.
Æn. IV, 522.

Ἀλλ' οὐχ Ἑρμείην ἐριούνιον ὕπνος ἔμαρπτεν,
Ὁρμαίνοντ' ἀνὰ θυμὸν, ὅπως Πρίαμον βασιλῆα
Νηῶν ἐκπέμψειε, λαθὼν ἱεροὺς πυλαωρούς.
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
Ὦ γέρον, οὔ νύ τι σοί γε μέλει κακόν· οἷον ἔθ' εὕδεις
Ἀνδράσιν ἐν δηΐοισιν, ἐπεί σ' εἴασεν Ἀχιλλεύς·
Καὶ νῦν μὲν φίλον υἱὸν ἐλύσαο, πολλὰ δ' ἔδωκας·
Σεῖο δέ κεν ζωοῦ καὶ τρὶς τόσα δοῖεν ἄποινα
Παῖδες τοὶ μετόπισθε λελειμμένοι, αἴκ' Ἀγαμέμνων
Γνοίῃ σ' Ἀτρείδης, γνώωσι δὲ πάντες Ἀχαιοί.
Ὣς ἔφατ'· ἔδδεισεν δ' ὁ γέρων, κήρυκα δ' ἀνίστη·
Τοῖσι δ' ἄρ' Ἑρμείας ζεῦξ' ἵππους ἡμιόνους τε·
Ῥίμφα δ' ἄρ' αὐτὸς ἔλαυνε κατὰ στρατὸν, οὐδέ τις ἔγνω.
Ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋῤῥεῖος ποταμοῖο
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεὺς,
Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον,
Ἠὼς δὲ κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν·
Οἱ δ' εἰς ἄστυ ἔλων οἰμωγῇ τε στοναχῇ τε
Ἵππους, ἡμίονοι δὲ νέκυν φέρον· οὐδέ τις ἄλλος

Sed non Mercurium utilitatum-auctorem somnus cepit,
Versantem-animo, quomodò Priamum regem
E navium-coetu educeret, clàm sacris portarum-custodibus.
Stetit autem supra caput, et eum sermone allocutus est:
" O senex, non utique tibi curae-est malum; cùm ita adhuc dormis
" Viros inter hostes, postquàm te intactum-sivit Achilles:
" Et nunc quidem dilectum filium redemisti, multaque dedisti:
" Pro te autem vivo vel ter tot dederint dona
" Filii qui sunt relicti, si Agamemnon
" Rescierit de te Atrides, rescierintque omnes Achivi."
Sic dixit: Timuit autem senex, praeconemque excitavit:
Iis autem Mercurius junxit equos mulasque;
Citò verò ipse egit per castra, neque ullus sensit.
Sed cùm jam ad meatum pervenissent pulchrè-fluentis fluvii
Xanthi vorticosi, quem immortalis genuit Jupiter,
Mercurius quidem tum abiit ad excelsum Olympum,
Aurora autem croceo-induta-peplo spargebatur totam super terram:
Ii verò ad urbem agebant lamentisque gemituque
Equos, mulae verò cadaver ferebant: neque quis alius

Ver. 679. Ἑρμείην ——.] Cod. *Harleian.* Ἑρμείαν.

Ver. 680. Ὁρμαίνοντ' ἀνὰ θυμὸν.] Vide suprà ad π', 647.

Ibid. —— βασιλῆα.] Vide suprà ad ά, 265.

Ver. 684. — εἴασεν.] Vide suprà ad δ', 42.

Ver. 690. Τοῖσι δ' ἄρ' Ἑρμείας.] Cod. *Harleian.* Τοῖσιν δ' Ἑρμείας.

Ver. 692. Ἀλλ' ὅτε δὴ.] Vide suprà ad ξ', 433.

Ver. 693. —— ἀθάνατος.] Vide suprà ad ά, 598. Cæterùm totum hunc versum omittit Cod. *Harleianus.*

Ver. 695. Ἠὼς δὲ κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν.]

Et jam prima novo spargebat lumine terras
Tithoni croceum linquens Aurora cubile.
Æn. IV, 584.

Vide suprà ad ά, 477.

Ἔγνω πρόσθ᾽ ἀνδρῶν καλλιζώνων τε γυναικῶν·
Ἀλλ᾽ ἄρα Κασσάνδρη, ἰκέλη χρυσῇ Ἀφροδίτῃ,
Πέργαμον εἰσαναβᾶσα, φίλον πατέρ᾽ εἰσενόησεν
Ἑσταότ᾽ ἐν δίφρῳ, κήρυκά τε ἀστυβοώτην·
Τὸν δ᾽ ἄρ᾽ ἐφ᾽ ἡμιόνων ἴδε κείμενον ἐν λεχέεσσι·
Κώκυσέν τ᾽ ἄρ᾽ ἔπειτα, γέγωνέ τε πᾶν κατὰ ἄστυ·
Ὄψεσθε, Τρῶες, καὶ Τρωάδες, Ἕκτορ᾽ ἰόντες,
Εἴποτε καὶ ζώοντι μάχης ἐκνοστήσαντι
Χαίρετ᾽· ἐπεὶ μέγα χάρμα πόλει τ᾽ ἦν, παντί τε δήμῳ.
Ὣς ἔφατ᾽· οὐδέ τις αὐτόθ᾽ ἐνὶ πτόλεϊ λίπετ᾽ ἀνὴρ,
Οὐδὲ γυνή· πάντας γὰρ ἀάσχετον ἵκετο πένθος·
Ἀγχοῦ δὲ ξύμβληντο πυλάων νεκρὸν ἄγοντι.
Πρῶται τόν γ᾽ ἄλοχός τε φίλη καὶ πότνια μήτηρ
Τιλλέσθην ἐπ᾽ ἄμαξαν ἐΰτροχον ἀΐξασαι,
Ἁπτόμεναι κεφαλῆς· κλαίων δ᾽ ἀμφίσταθ᾽ ὅμιλος.
Καί νύ κε δὴ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα

Sensit priùs virorum aut eleganter-cinctarum mulierum;
Sed Cassandra, similis aureae Veneri,
Pergamo conscenso, dilectum patrem conspexit
Stantem in sellâ, praeconemque vocalem:
Illum verò super mulabus vidit, jacentem in lectis:
Tum verò ejulavit, clamavitque totam per urbem:
" Visite, Troës, et Troades, Hectora progressi,
Si quandò et vivo è pugnâ reverso
" Gavisi-estis: magnum enim gaudium urbique erat, totique populo."
Sic dixit: neque aliquis illic in urbe relictus est vir,
Neque mulier; omnes enim intolerandus invasit luctus:
Prope autem portas occurrerunt cadaver advehenti.
Primae super hoc uxorque dilecta et veneranda mater
Vellebant-crines ad rhedam volubilem ruentes,
Tangentes caput: flens autem circumstabat turba.
Et certè totum diem usque ad solis occasum

Ver. 699. —— Κασσάνδρη.] Cod. *Harleian.* Κάσσανδρα.

Ibid. —— χρυσῇ.] Edidit *Barnesius* χρυσίῃ. Quod eodem modo pronuntiandum. Vide suprà ad ύ, 272. et ad ν΄, 523.

Ver. 701. Ἑσταότ᾽.] Cod. *Harleian.* Ἑσταῶτ᾽. Quæ si vera sit lectio, pronuntiandum erit Ἑστῶτ᾽.

Ibid. —— ἀστυβοώτην.] Ἀπὸ τοῦ ἐν τῷ ἄστει βοᾷν. *Schol.*

Ver. 702. — ἄρ᾽.] Non hîc supervacaneum est istud ἄρα· sententiam enim connectit cum eo quod præcessit, *ver.* 697. —— ἡμίονοι δὲ νέκυν φέρον ——.

Ibid. —— ἐφ᾽ ἡμιόνων.] *Al.* ὑφ᾽ ἡμιόνων.

Ver. 703. Κώκυσέν.] Vide suprà ad σ΄, 37.

Ibid. —— γέγωνέ.] Vide suprà ad ξ΄, 469.

Ver. 704. —— Τρωάδες.] *Al.* Τρωϊάδες. Quo modo legit et Codex *Harleianus.*

Ver. 705. — μάχης ἐκνοστήσαντι.] *Al.* μάχης ἐκ νοστήσαντι.

Ver. 707. —— οὐδέ τις αὐτόθ᾽ ἐνὶ πτόλεϊ λίπετ᾽ ἀνὴρ.]

Contrà turba Phrygum veniens plangentia jungit
Agmina ——. *Æn.* XI, 145.

Ibid. — αὐτόθ᾽ ἐνὶ πτόλεϊ λίπετ᾽ ἀνὴρ.] Ita ex duobus MSS. edidit *Barnesius.* Quæ lectio quâ ratione ferri possit, vide suprà ad ά, 51. *Eustathius* in Commentario legit, αὐτόθ᾽ ἐνὶ πτόλεϊ λείπετο ἀνήρ. *Vulgg.* αὐτόθι εἰνὶ πόλει λίπετ᾽ ἀνήρ.

Ver. 710. —— τόν γ᾽ ἄλοχός.] Cod. *Harleian.* τῷ δ᾽ ἄλοχος.

Ver. 711. Τιλλέσθην ἐπ᾽ ἄμαξαν.] Τὸ δὲ, ἐπ᾽ ἄμαξαν Ἰωνικὴν ψίλωσιν τῆς ἀμάξης δηλοῖ. *Eustath.* Vide infrà ad *ver.* 782. *Al.* Τιλλέσθην ἐφ᾽ ἄμαξαν.

Ἕκτορα δακρυχέοντες ὀδύροντο πρὸ πυλάων,
Εἰ μὴ ἄρ' ἐκ δίφροιο γέρων λαοῖσι μετηύδα·
Εἴξατέ μοι, οὐρεῦσι διελθέμεν· αὐτὰρ ἔπειτα
Ἄσεσθε κλαυθμοῖο, ἐπὴν ἀγάγοιμι δόμονδε.
Ὣς ἔφαθ'· οἱ δὲ διέστησαν, καὶ εἶξαν ἀπήνῃ.
Οἱ δ' ἐπεὶ εἰσάγαγον κλυτὰ δώματα, τὸν μὲν ἔπειτα
Τρητοῖς ἐν λεχέεσσι θέσαν, παρὰ δ' εἷσαν ἀοιδοὺς,
Θρήνων ἐξάρχους, οἵτε στονόεσσαν ἀοιδὴν
Οἱ μὲν ἄρ' ἐθρήνεον, ἐπὶ δὲ στενάχοντο γυναῖκες.
Τῇσιν δ' Ἀνδρομάχη λευκώλενος ἦρχε γόοιο,
Ἕκτορος ἀνδροφόνοιο κάρη μετὰ χερσὶν ἔχουσα·
Ἆνερ, ἀπ' αἰῶνος νέος ὤλεο, κὰδ δέ με χήρην
Λείπεις ἐν μεγάροισι· πάϊς δ' ἔτι νήπιος αὔτως,
Ὃν τέκομεν σύ τ' ἐγώ τε δυσάμμοροι, οὐδέ μιν οἴω
Ἥβην ἵξεσθαι· πρὶν γὰρ πόλις ἥδε κατ' ἄκρης
Πέρσεται· ἦ γὰρ ὄλωλας ἐπίσκοπος, ὅστε μιν αὐτὴν

Hectora lachrymas-fundentes delamentati-fuissent ante portas,
Si non è sellâ senex populum allocutus fuisset:
" Cedite mihi *viâ*, ut mulabus transeam: at deindè
" Satiabitis vos fletu, postquàm vexero domum."
Sic dixit: Hi autem diducti-sunt, et cesserunt *viâ* rhedae.
Illi verò postquàm vexerant in inclytas aedes, eum quidem deindè
Tornatis in lectis posuerunt, juxtaque collocarunt cantores,
Qui naenias auspicarentur; qui quidem gemitibus mistum cantum
Lugubre canebant, adgemebantque mulieres.
Illis autem Andromache ulnas-candida exorsa-est luctum,
Hectoris homicìdae caput inter manus tenens:
" *Mi* vir, vitâ juvenis excidisti, meque viduam
" Deseris in aedibus; filius autem infans adeò,
" Quem genuimus tuque egoque calamitosi, neque ipsum puto
" Ad pubertatem perventurum; priùs enim urbs haec à culmine
" Evertetur: Certè enim periisti custos, qui illam ipsam

Ver. 713. Καί νύ κε δὴ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα.] Vide suprà ad ψ', 154.

Ver. 716. —— αὐτὰρ ἔπειτα.] Vide suprà ad ά, 464. et ad ξ', 101.

Ver. 717. Ἄσεσθε.] Vide suprà ad ψ', 10. et ad γ', 141. Cæterùm Codex *Harleianus* hîc legit Ἄσσεσθε.

Ver. 719. Οἱ δ' ἐπεὶ.] *Al.* Ἀλλ' ἐπεί.

Ver. 721. Θρήνων.] Cod. *Harleian.* Θρήνους.

Ibid. —— οἵτε στονόεσσαν ἀοιδὴν.]

Τίνα δὲ προσῳδὸν,
Ἢ τίνα μουσοπόλον στοναχὰν ἐπὶ δάκρυσι,
—— ἀνακαλέσομαι;
Euripid. Phœniss. ver. 1505.

Ibid. —— οἵτε.] *Al.* οἱ δέ.

Ver. 722.— ἄρ'.] *Ut iis præceptum erat* —.

Ibid. — ἐθρήνεον.] Enuntiabatur ac si scriptum esset ἐθρήνουν, vel ἐθρήνευν. Utì et notavit *Barnesius*. Vide suprà ad ξ', 116. et σ', 493. Porrò *Barnesius* in uno MS. scriptum repperit ἐθρήνουν.

Ver. 723. —— λευκώλενος.] Vide suprà ad ά, 572. et ad ό, 92.

Ver. 724. Ἕκτορος ἀνδροφόνοιο κάρη μετὰ χερσὶν ἔχουσα.]

—————— ambas
Ad cœlum tendit palmas, et corpore inhæret. *Æn.* X, 844.

Ibid. —— ἀνδροφόνοιο.] Vide suprà ad π', 77.

Ver. 728. —— πόλις ἥδε κατ' ἄκρης Πέρσεται.]

— ruit alto à culmine Troja. *Æn.* II, 290.

Ver. 729. —— ὄλωλας.] Vide suprà ad ν', 481, et 736. et ad ά, 37.

Ῥύσκευ, ἔχες δ' ἀλόχους κεδνὰς, καὶ νήπια τέκνα·
Αἳ δή τοι τάχα νηυσὶν ὀχήσονται γλαφυρῇσι,
Καὶ δὴ ἐγὼ μετὰ τῇσι· σὺ δ' αὖ, τέκος, ἢ ἐμοὶ αὐτῇ
Ἕψεαι, ἔνθα κεν ἔργα ἀεικέα ἐργάζοιο,
Ἀεθλεύων πρὸ ἄνακτος ἀμειλίχου· ἤ τις Ἀχαιῶν
Ῥίψει, χειρὸς ἑλὼν, ἀπὸ πύργου, λυγρὸν ὄλεθρον,
Χωόμενος· ᾧ τινὶ δήπου ἀδελφεὸν ἔκτανεν Ἕκτωρ,
Ἢ πατέρ', ἠὲ καὶ υἱόν· ἐπεὶ μάλα πολλοὶ Ἀχαιῶν
Ἕκτορος ἐν παλάμῃσιν ὀδὰξ ἕλον ἄσπετον οὖδας.
Οὐ γὰρ μείλιχος ἔσκε πατὴρ τεὸς ἐν δαῒ λυγρῇ·
Τῷ καί μιν λαοὶ μὲν ὀδύρονται κατὰ ἄστυ.
Ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας,
Ἕκτορ, ἐμοὶ δὲ μάλιστα λελείψεται ἄλγεα λυγρά.
Οὐ γάρ μοι θνήσκων λεχέων ἐκ χεῖρας ὄρεξας·
Οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος, οὗτέ κεν αἰεὶ

" Servabas, tuebarisque uxores venerandas, et infantes liberos :
" Quae jam citò navibus avehentur cavis,
" Et sanè ego inter has : Tu verò, fili, vel me ipsam
" Comitaberis *illuc*, ubi certè indignis operibus exerceberis,
" Laborans pro domino immiti : vel aliquis Achivorum
" Projiciet, manu correptum, à turri, tristem ad interitum,
" Iratus ; cui fortè fratrem interfecit Hector,
" Aut patrem, vel et filium : Perquam enim multi Achivorum
" Hectoris manibus mordicùs prehenderunt immensum solum.
" Non enim mitis erat pater tuus in pugnâ tristi :
" Ideò et illum cives quidem lugent per urbem.
" Infandum autem parentibus luctum et moerorem attulisti,
" Hector, mihi verò praecipuè relicti sunt dolores graves.
" Non enim mihi moriens è lectis manus porrexisti :
" Neque aliquod mihi dixisti prudens dictum, cujus utique perpetuò

Ver. 731. —— νηυσὶν ὀχήσονται.] Cod. *Harleian.* νηυσ' οἰχήσονται.

Ver. 732. Καὶ δὴ ἐγὼ.] *Al.* Καὶ μὲν ἐγώ.

Ver. 734. Ἀεθλεύων.] Pronuntiabatur Ἀθλεύων. Quomodo et in nonnullis scriptum est.

Ver. 735. Ῥίψει, χειρὸς ἑλὼν, ἀπὸ πύργου.] Ἐντεῦθεν κινηθέντες οἱ μεθ' Ὅμηρον ποιηταὶ, ῥιπτόμενον κατὰ τοῦ τείχους ὑπὸ τῶν Ἑλλήνων εἰσάγουσι τὸν Ἀστυάνακτα. *Schol.*

Ver. 736. Χωόμενος ᾧ τινὶ.] Pronuntiabatur Χώμενος, vel Χωύμενος. *Al.* Χωόμενος· ᾧ δή που. Quod quâ ratione ferri possit, vide suprà ad ά, 51.

Ver. 737. ——— ἐπεὶ μάλα πολλοὶ Ἀχαιῶν Ἕκτορος ἐν παλάμῃσιν.]

——— cæsis Volscorum millibus ante
Ducentem in Latium Teucros, cecidisse juvabit. *Æn.* XI, 167.

Ver. 738. — ὀδὰξ ἕλον ἄσπετον οὖδας.] Vide suprà ad β', 418.

Ver. 739. — μείλιχος ἔσκε.] Vide suprà ad *ver.* 67.

Ver. 741. Ἀρητὸν.] *Al.* Ἄῤῥητον.

Ver. 743. Οὐ γάρ μοι θνήσκων.]

———— nec te sub tanta pericula missum
Affari extremum miseræ data copia matri? *Æn.* IX, 483.

Ver. 744. Οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος.] Pulchra super hâc re *Plutarchi* observatio: Οἱ δὲ πολλοὶ πάντα καταμέμφονται, καὶ πάντα τὰ παρὰ τὰς ἐλπίδας αὐτοῖς συμβεβηκότα, ἐξ ἐπηρείας τύχης καὶ δαιμόνων γίνεσθαι νομίζουσι. Διὸ καὶ ἐπὶ πᾶσιν ὀδύρονται, στένοντες, καὶ τὴν ἑαυτῶν ἀτυχίαν αἰτιώμενοι.—Ἐὰν ἄφωνος [τις ἀποθάνῃ,] μηδὲν προσειπὼν περὶ μηδενὸς, κλαίοντες λέγουσιν· " Οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος, " οὗτέ κεν αἰεὶ Μεμνήμην." Ἐὰν προσομιλήσας τι, τοῦτ' αἰεὶ πρόχειρον ἔχουσι ὥσπερ ὑπέκκαυμα τῆς λύπης. Ἐὰν ταχέως, &c. *Plutarch.* de *Consolat. ad Apoll.*

Μεμνήμην νύκτας τε καὶ ἤματα δακρυχέουσα.
Ὣς ἔφατο κλαίουσ'· ἐπὶ δὲ στενάχοντο γυναῖκες.
Τῇσιν δ' αὖθ' Ἑκάβη ἀδινοῦ ἐξῆρχε γόοιο·
Ἕκτορ, ἐμῷ θυμῷ πάντων πολὺ φίλτατε παίδων,
Ἦ μέν μοι ζωός περ ἐὼν, φίλος ἦσθα θεοῖσιν,
Οἳ δ' ἄρα σεῦ κήδοντο καὶ ἐν θανάτοιό περ αἴσῃ·
Ἄλλους μὲν γὰρ παῖδας ἐμοὺς πόδας ὠκὺς Ἀχιλλεὺς
Πέρνασχ', ὅντιν' ἕλεσκε, πέρην ἁλὸς ἀτρυγέτοιο,
Ἐς Σάμον, ἔς τ' Ἴμβρον, καὶ Λῆμνον ἀμιχθαλόεσσαν·
Σεῦ δ' ἐπεὶ ἐξέλετο ψυχὴν ταναηκέϊ χαλκῷ,
Πολλὰ ῥυστάζεσκεν ἑοῦ περὶ σῆμ' ἑτάροιο,
Πατρόκλου, τὸν ἔπεφνες· ἀνέστησεν δέ μιν οὐδ' ὥς.
Νῦν δέ μοι ἑρσήεις καὶ πρόσφατος ἐν μεγάροισι
Κεῖσαι, τῷ ἴκελος, ὅντ' ἀργυρότοξος Ἀπόλλων
Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνεν.
Ὣς ἔφατο κλαίουσα, γόον δ' ἀλίαστον ὄρινε.
Τῇσι δ' ἔπειθ' Ἑλένη τριτάτη ἐξῆρχε γόοιο·
Ἕκτορ, ἐμῷ θυμῷ δαέρων πολὺ φίλτατε πάντων,

"Recordarer noctesque et dies lacrymas-fundens."
Sic dixit flens: adgemebant autem mulieres.
Illis verò et Hecuba vehementem exorsa est luctum:
"Hector, meo animo omnium longè charissime filiorum,
"Certè mihi etiam dum viveres, charus eras diis,
"Illi enim tuî curam gesserunt etiam in ipso mortis fato:
"Alios etenim filios meos pedibus velox Achilles
"Vendebat, quemcunque caperet, trans mare infructuosum,
"In Samum, inque Imbrum, et Lemnum importuosam:
"Tibi verò postquàm eripuit animam longâ-acie-munito aere,
"Saepè raptavit sui circa sepulchrum socii,
"Patrocli, quem interfeceras; excitavit tamen illum nè sic quidem.
"Nunc autem mihi roscidus et recens in aedibus
"Jaces, illi similis, quem argenteo-arcu-insignis Apollo
"Suis mitibus telis superveniens interfecit."
Sic dixit flens, luctumque vehementem excitavit.
Illis verò deindè Helena tertia exorsa est luctum:
"Hector, meo animo levirûm longè charissime omnium,

Ibid. —— εἶπες.] *Al.* εἶπας.

Ver. 750. —— ἄρα.] *Ut par erat* ——.

Ver. 752. Πέρνασχ'.] *Vendere solebat* ——. Vide suprà ad *ver.* 67.

Ibid. —— ὅντιν'.] *Al.* ἥν τιν'.

Ibid. — ἀτρυγέτοιο.] Vide suprà ad ό, 27.

Ver. 755. Πολλὰ ῥυστάζεσκεν.] Quâ ratione, Πολλὰ, ultimam hîc, etiam extra cæsuram, producat; item ἴκελος, *ver.* 758. et πρὶν, *ver.* 764. et εἰκοστὸν, *ver.* 765. et κακὸν, *ver.* 767. et ἐνὶ, *ver.* 768. vide suprà ad ά, 51. Cæterùm edidit *Barnesius*, Πολλά σε ῥυστάζεσκεν. Sed nihil opus.

Ver. 759. Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνεν.] Ἀντὶ τοῦ ὃν συνέβη αἰφνιδίῳ καὶ ὀξεῖ θανάτῳ τελευτῆσαι —— ἀνώδυνοι γὰρ οἱ ὀξεῖς θάνατοι. *Schol.* Vide suprà ad *ver.* 605, 606. et ad τ', 59.

Ibid. —— κατέπεφνεν.] *Al.* καταπέφνῃ.

Ver. 760. —— ὄρινε.] *Al.* ἔγειρε.

Ver. 761. Τῇσι δ' ἔπειθ'.] Cod. *Harleian.* Τῇσι δ' αὖθ'.

Ver. 763. —— Ἀλέξανδρος θεοειδής.] Vide suprà ad ζ', 290.

Ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοειδὴς,
Ὅς μ' ἄγαγε Τροίηνδ'· ὡς πρὶν ὤφελλον ὀλέσθαι.
Ἤδη γὰρ νῦν μοι τόδε εἰκοστὸν ἔτος ἐστὶν,
Ἐξ οὗ κεῖθεν ἔβην, καὶ ἐμῆς ἀπελήλυθα πάτρης·
Ἀλλ' οὔπω σεῦ ἄκουσα κακὸν ἔπος, οὐδ' ἀσύφηλον·
Ἀλλ' εἴτις με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι
Δαέρων, ἢ γαλόων, ἢ εἰνατέρων εὐπέπλων,
Ἢ ἑκυρὴ, (ἑκυρὸς δὲ, πατὴρ ὡς, ἤπιος αἰεὶ,)
Ἀλλὰ σὺ τόνγ' ἐπέεσσι παραιφάμενος κατέρυκες,
Σῇ τ' ἀγανοφροσύνῃ, καὶ σοῖς ἀγανοῖς ἐπέεσσι.
Τῷ σέ θ' ἅμα κλαίω καὶ ἔμ' ἄμμορον, ἀχνυμένη κῆρ·
Οὐ γάρ τίς μοι ἔτ' ἄλλος ἐνὶ Τροίῃ εὐρείῃ
Ἤπιος, οὐδὲ φίλος· πάντες δέ με πεφρίκασιν.
Ὣς ἔφατο κλαίουσ'· ἐπὶ δ' ἔστενε δῆμος ἀπείρων.
Λαοῖσιν δὲ γέρων Πρίαμος μετὰ μῦθον ἔειπεν·
Ἄξετε νῦν, Τρῶες, ξύλα ἄστυδε, μηδέ τι θυμῷ
Δείσητ' Ἀργείων πυκινὸν λόχον· ἦ γὰρ Ἀχιλλεὺς
Πέμπων μ' ὧδ' ἐπέτελλε μελαινάων ἀπὸ νηῶν,

" Namque mihi maritus est Alexander divinâ-formâ-praeditus,
" Qui me duxit ad Trojam: utinam anteà periissem.
" Jam enim nunc mihi hic vigesimus annus est,
" Ex quo huc veni, et à meâ decessi patriâ;
" Nunquam tamen à te audivi malum dictum, neque ignominiosum:
" Verùm si quis me etiam alius in aedibus increparet
" Levirûm, vel glorum, vel fratriarum elegantibus-peplis-indutarum,
" Vel socrus, (socer enim, pater tanquam, mitis semper;)
" Tu contrà illum verbis admonens cohibebas,
" Tuâque humanitate et tuis lenibus verbis.
" Quocircà te simul fleo et me infelicem, dolens corde;
" Non enim quisquam mihi jam alius in Trojâ latâ
" Benignus, neque amicus; sed omnes me abominantur."
Sic dixit flens: adgemuit autem plebs immensa.
Apud populum verò senex Priamus verba dixit:
" Convehite nunc, Trojani, ligna ad urbem, neque quicquam animo
" Timeatis Argivorum densas insidias; nam Achilles
" Dimittens me sic pollicitus-est nigris à navibus,

Ver. 764. Ὅς μ' ἄγαγε Τροίηνδ'.] Cod. *Harleian.* Ὅς μ' ἄγαγ' ἐς Τροίηνδ'. Unde legendum fortassè Ὅς μ' ἄγαγ' ἐς Τροίην.

Ibid. — ὡς πρὶν ὤφελλον ὀλέσθαι.] *Al.* ὡς πρὶν ὤφελλ' ἀπολέσθαι.

Ver. 765. — τόδε εἰκοστὸν.] *Al.* τόδ' ἐεικοστόν.

Ibid. —— εἰκοστὸν ἔτος ἐστὶν, Ἐξ οὗ κεῖθεν ἔβην.] Δεκαετίᾳ γὰρ ἠθροίσθη ὁ στρατὸς τῶν Ἑλλήνων· δεκαετίᾳ δὲ ἄλλῃ ἐπορθήθη ἡ Ἴλιος.

Ver. 766. —— ἀπελήλυθα.] Vide suprà ad φ', 81. et ad ά, 37.

Ver. 768. ——— ἐνίπτοι.] *Al.* ἐνίσσοι, et ἐνίσποι.

Ver. 769. Δαέρων.] Pronuntiabatur, Δάρων. Quod enim hîc ait *Barnesius*, " *Anapæstus* " in *Primâ* sede;" id verò ferri nullo modo potest. Vide suprà ad *ver.* 734.

Ver. 770. —— αἰεὶ.] *Al.* αἰὲν. *Al.* ἦεν.

Ver. 773. — ἀχνυμένη.] Vide suprà ad γ', 260.

Ver. 775. —— πεφρίκασιν.] Vide suprà ad β', 514.

Ver. 777. Λαοῖσιν δὲ γέρων.] Cod. *Harleian.* Λαοῖσιν δ' ὁ γέρων.

Ver. 778. Ἄξετε.] *Al.* Ἄξατε. Atque ita legit Codex *Harleianus.*

Μὴ πρὶν πημανέειν, πρὶν δωδεκάτη μόλῃ ἠώς.
Ὣς ἔφαθ'· οἱ δ' ὑπ' ἁμάξῃσιν βόας ἡμιόνους τε
Ζεύγνυσαν· αἶψα δ' ἔπειτα πρὸ ἄστεος ἠγερέθοντο.
Ἐννῆμαρ μὲν τοί γε ἀγίνεον ἄσπετον ὕλην·
Ἀλλ' ὅτε δὴ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς,
Καὶ τότ' ἄρ' ἐξέφερον θρασὺν Ἕκτορα δακρυχέοντες·
Ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν, ἐν δ' ἔβαλον πῦρ.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Τῆμος ἄρ' ἀμφὶ πυρὴν κλυτοῦ Ἕκτορος ἔγρετο λαός.
Αὐτὰρ ἐπεί ῥ' ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο,
Πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ
Πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα
Ὀστέα λευκὰ λέγοντο κασίγνητοι, ἕταροί τε,
Μυρόμενοι, θαλερὸν δὲ κατείβετο δάκρυ παρειῶν.
Καὶ τά γε χρυσείην ἐς λάρνακα θῆκαν ἑλόντες,

"Non priùs se infestaturum, quàm duodecima venisset aurora."
Sic dixit: Illi verò sub rhedis boves mulosque
Junxerunt: statimque deindè ante urbem congregati sunt.
Novem dies quidem hi adducebant immensam materiam:
At cùm jam decima apparuit lucem-mortalibus-afferens aurora,
Tum verò extulerunt audacem Hectora lachrymas-fundentes:
In pyrâ autem summâ cadaver posuerunt, injeceruntque ignem.
Quandò autem manè-genita apparuit rosea-digitos aurora,
Tum quidem circa pyram inclyti Hectoris congregatus est populus.
Sed postquàm congregati sunt, frequentesque fuerunt,
Primùm quidem pyram extinxerunt nigro vino
Totam, quantum occupârat ignis vis; at deindè
Ossa alba legerunt fratres, sodalesque,
Lugentes, uberesque defundebantur lachrymæ per genas.
Et haec aureum in loculum posuerunt suscepta,

Ver. 782.—— *οἱ δ' ὑπ' ἁμάξῃσιν.*]
Nec plaustris cessant vectare gementibus ornos. *Æn.* XI, 138.

Ibid.—— *ὑπ' ἁμάξῃσιν.*] Ita ex uno MS. edidit *Barnesius.* Quocum facit et Codex *Harleianus.* *Vulgg.* ὑφ' ἁμάξῃσιν. Τὸ δὲ, ἅμαξα, οἱ μὲν παλαιοὶ ψιλοῦσι. Καὶ φέρονται καὶ συναλοιφαὶ τοῦτο δηλοῦσαι· οἷον, "Τιλλέσθην ἐπ' "ἄμαξαν" &c. *Eustath.* ad σ', 487. Vide suprà ad *ver.* 711. item ad μ', 448. et ad χ', 146.

Ver. 783. Ζεύγνυσαν.] Vide suprà ad γ', 260.

Ver. 784.—— *τοί γε ἀγίνεον.*] *Al.* τοίγ' ἐπαγίνεον.

Ibid.—— *ὕλην.*] Vide suprà ad γ', 151.

Ver. 786.— *ἄρ'.*] *Ut dixerat Priamus*——, *ver.* 665.

Ver. 787. Ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν, ἐν δ' ἔβαλον πῦρ.]
Constituere pyras: huc corpora quisque suorum
More tulere patrum; subjectisque ignibus atris
Conditur in tenebras altum caligine coelum. *Æn.* XI, 185.
Vide et suprà ad ψ', 165.

Ver. 788.—— *ῥοδοδάκτυλος ἠώς.*] Vide suprà ad ά, 477.

Ver. 790.— *ἐπεὶ ῥ'.*] *Postquam, ut dictum est* ——, *ver.* 789.

Ver. 791. Πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν.] Vide suprà ad ψ', 250.

Ibid.—— *αἴθοπι οἴνῳ.*] Vide suprà ad ψ', 237.

Ver. 792.—— *αὐτὰρ ἔπειτα Ὀστέα λευκὰ λέγοντο.*]
Ossaque lecta cado texit Chorinæus aheno. *Æn.* VI, 228.

Πορφυρέοις πέπλοισι καλύψαντες μαλακοῖσιν·
Αἶψα δ' ἄρ' ἐς κοίλην κάπετον θέσαν· αὐτὰρ ὕπερθε
Πυκνοῖσιν λάεσσι κατεστόρεσαν μεγάλοισι.
Ῥίμφα δὲ σῆμ' ἔχεαν, περὶ δὲ σκοποὶ εἵατο πάντη,
Μὴ πρὶν ἐφορμηθεῖεν ἐϋκνήμιδες Ἀχαιοί.
Χεύαντες δὲ τὸ σῆμα, πάλιν κίον· αὐτὰρ ἔπειτα
Εὖ συναγειράμενοι, δαίνυντ' ἐρικυδέα δαῖτα,
Δώμασιν ἐν Πριάμοιο διοτρεφέος βασιλῆος.
Ὣς οἵγ' ἀμφίεπον τάφον Ἕκτορος ἱπποδάμοιο.

Purpureis peplis obtecta mollibus:
Mox autem in cavam fossam posuerunt; et supernè
Densis lapidibus straverunt magnis.
Citò verò tumulum aggesserunt, circumque speculatores sedebant quaquaversùs,
Ne priùs ingruerent benè-ocreati Achivi.
Aggesto autem tumulo, redierunt, et deinde
Frequentes congregati, epulati sunt splendidum-epulum,
Aedibus in Priami Jovis-alumni regis.
Sic illi utique curaverunt funus Hectoris equûm-domitoris.

Ver. 796. Πορφυρέοις πέπλοισι καλύψαντες.]
Purpureasque super vestes, velamina nota,
Conjiciunt ———. *Æn.* VI, 221.

Ver. 797. Αἶψα δ' ἄρ'.] *Statimque deinceps* ———.

Ver. 799. ——— εἵατο.] Vide suprà ad φ', 352. ad σ', 596. et ad δ', 492.

Ver. 802. Εὖ συναγειράμενοι.] Cod. *Harleian.* Εὖ τ' ἀναγειράμενοι. *Al.* Εὖ διαγειράμενοι.

Ibid. — συναγειράμενοι.] Vide suprà ad ψ', 685. et ad γ', 141.

Ver. 803. ——— βασιλῆος.] Vide suprà ad ά, 265.

Ver. 804. ——— ἱπποδάμοιο.] Vide suprà ad β', 23.

INDEX VERBORUM,

DE QUIBUS PRAECIPUE

IN ANNOTATIONIBUS AGITUR.

B.

Γ.

Δ.

E.

Z.

H.

Θ.

I.

K.

Ρ.

Σ.

Τ.

Υ.

INDEX AUCTORUM, &c.

IN ANNOTATIONIBUS

CITATORUM.

T.

U.

V.

W.

X.

INDEX RERUM

IN ILIADE MAXIME MEMORABILIUM.

B.

C.

D.

L.

M.

S.


T.

V.

X.

Z.

DUNCANUS STEVENSON,
Academiae Edinensis Typographus.


UTL AT DOWNSVIEW
D RANGE BAY SHLF POS ITEM C
39 13 29 25 05 006 0